[1] δὴ φαίνονται τῶν ἰητρῶν οἱ μάλιστα ἐπαινεόμενοι καὶ διαιτήμασι ἰώμενοι καὶ ἄλλοισί [2] γε εἴδεσι, ἃ οὐκ ἄν τις φαίη, μὴ ὅτι ἰητρὸς, ἀλλ' οὐδὲ ἰδιώτης ἀνεπιστήμων ἀκούσας, μὴ οὐ τῆς τέχνης εἶναι. Ὅκου οὖν οὐδὲν οὔτε ἐν τοῖσι ἀγαθοῖσι τῶν ἰητρῶν, οὔτε ἐν τῇ ἰητρικῇ αὐτῇ ἀχρεῖόν ἐστι, ἀλλ' ἐν τοῖσι πλείστοισι τῶν τε φυομένων καὶ τῶν ποιευμένων ἔνεστι τὰ εἴδεα τῶν θεραπειῶν καὶ τῶν φαρμάκων, οὐκ ἔστι ἔτι οὐδενὶ τῶν ἄνευ ἰητροῦ ὑγιαζομένων τὸ αὐτόματον αἰτιήσασθαι ὀρθῷ λόγῳ· τὸ μὲν γὰρ αὐτόματον οὐδὲν φαίνεται ἐὸν ἐλεγχόμενον· πᾶν γὰρ τὸ γιγνόμενον διά τι εὑρίσκοιτ' ἂν γιγνόμενον καὶ ἐν τῷ διά τι [3] τὸ αὐτόματον οὐ φαίνεται οὐσίην ἔχον οὐδεμίαν, ἀλλ' ἢ οὔνομα μοῦνον· ἡ δὲ ἰητρικὴ καὶ ἐν τοῖσι διά τι [4] καὶ ἐν τοῖσι προνοουμένοισι φαίνεταί τε καὶ φανεῖται [5] αἰεὶ οὐσίην ἔχουσα.

xime celebrantur et victus ratione et aliis etiam modis curationes faciunt, quae non medicus modo, sed ne plebeius quidem omnino rudis ex arte profecta esse negare audeat. Quando igitur nihil, neque in bonis medicis, neque in arte medica est inutile, sed in iis quae nascuntur aut parantur quam plurimis insunt quaedam curationum et medicamentorum species, non est certe quod quis eorum, qui citra medici operam curati sunt, ad id quod temere fit huius causam re vera referre debeat. Quod enim temere fit, nihil prorsus esse constat. Quidquid enim fit, propter aliquid fieri reperietur. Et in iis, quae propter causam aliquam fiunt, id quod temere fit nullo modo subsistere videtur, sed nomen tantum inane esse. Ars autem medica ex his esse cernitur, quae ob aliquam causam et providentia quadam sunt instituta, et ex his eam esse semper constabit.

ιβ'. Τοῖσι μὲν οὖν τῇ τύχῃ τὴν ὑγίειαν προστιθεῖσι, τῆς δὲ τέχνης ἀφαιρέουσι, τοιαῦτ' ἄν τις λέγοι· τοὺς δ' ἐν τῇσι τῶν ἀποθνησκόντων ξυμφορῇσι τὴν τέχνην ἀφανίζοντας θαυμάζω, ὅτεῳ ἐπαιρόμενοι ἀξιοχρέῳ λόγῳ τὴν μὲν τῶν ἀποθνησκόντων [6] ἀκρασίην οὐκ αἰτίην [7] καθιστᾶσι, τὴν δὲ τῶν [8] τὴν ἰητρικὴν μελετησάντων ξύνεσιν αἰτίην· ὡς τοῖσι μὲν ἰητροῖσι ἔνεστι τὰ μὴ δέοντα ἐπιτάξαι, τοῖσι δὲ νοσέουσι οὐκ [9] ἔνεστι τὰ προσταχθέντα παραβῆναι. Καὶ μὴν πολύ γε [10] εὐλογώτερον τοὺς κάμνοντας ἀδυνατέειν τὰ προσ-

12. Atque ad eos, qui fortunae sanitatem acceptam referunt, arti vero eam denegant, huiusmodi oratione quis uti possit. At vero qui ex morientium calamitatibus artem funditus delere conantur, miror quanam satis iusta oratione elati in morientium animi infirmitatem causam non reiiciant, sed eorum, qui medicinam exercent, prudentiam accusent, quasi medicorum sit quae non conveniant praescribere, in aegrorum autem facultate non sit, aliquid contra imperata admittere. Atqui longe magis est rationi consentaneum, aegros non posse im-

[1] δή abest. — [2] τε. — [3] τὸ δὲ αὐτ. — [4] καὶ ἐν τοῖσι h. l. abest. — [5] ἔτι ut vulg. — [6] ἀκρισίην. — [7] καθιστῶσι. — [8] τήν h. l. abest. — [9] ἔστι. — [10] ξυλώτερον, sed in m. εὐλ.

Marcianus; unus cod. νῦν μὲν φ., alter quidam νῦν δὲ δὴ φ. μέν.

ἄλλοισί γε εἴδεσι.] Libri τε, — emendavit Littréus.

ὅκου.] Sic Zuing. in m.; non video cur Ionismum non recipiam cum Lind. Mack.; ὅπου cett. Pro ἀχρεῖόν ἐστι, quod sequitur paulo post, Marc. ἄχροιόν ἐστιν.

τῶν θεραπειῶν καὶ τῶν φ.] τῶν θ. τε καὶ τῶν φ. Lind., non male, sed non constat unde.

εὑρίσκοιτ' ἂν γιγνόμενον.] Hanc codd. lectionem, quam in V. et Marc. etiam reperio, restituit Littréus pro vulg. ἀνευρίσκοιτ' ἂν γ.

τὸ αὐτόματον οὐ φαίνεται.] τὸ δὲ αὐτομ. vulg., perinde ac si novae periodi initium hoc esset. Cod. A. meliorem Littréo lect. praebuit. In ἀλλ' ἢ οὔνομα μοῦνον A. et Marc. μοῦνον omm.

ἐν τοῖσι διά τι καὶ ἐν τοῖσι προνοουμ.] Est lectio codicis A. a Littréo iam recepta pro vulgata, quam e V. enotavi. Ex eodem cod. ἀεί pro ἔτι vulgatae datum est a Littr.

12. τῆς δὲ τέχνης.] τὴν δὲ τέχνην cod. A.

ὅτεῳ.] Sic Littr. e ms. A.; ὅτῳ cett.

ἀκρασίην.] Ita de meo refeci vulgatum ἀκρησίην, quod in codd. aliis ἀκρισίην progenuit. Cod. A. ἀτυχίην et tum ἀναίτιον pro οὐκ αἰτίην.

τὴν ἰητρικὴν μελετησάντων.] τήν vulgo om., additur a Littréo e cod. A.

οὐκ ἔνεστι.] Vulgo οὐκ ἔστι; illud e cod. A. Littréus.

καὶ μὴν πολύ γε εὐλ.] Zuingeri in m. lectio est: καὶ μὴν καὶ πολύ γε εὐλογ. Sed de alia re hic monendum est: omnes legunt καὶ μὴν πολύ γε εὐλογώτερον τοῖσι κάμνουσι ἀδυνατέειν τὰ προστασσόμενα ὑπουργέειν, ἢ τοῖσι ἰητροῖσι τὰ μὴ δέοντα ἐπιτάσσειν. In quibus quidem dativi τοῖσι κάμνουσι et τοῖσι ἰητροῖσι offendunt: Graecum

τασσόμενα ὑπουργέειν, ἢ τοὺς ἰητροὺς τὰ μὴ δέοντα ἐπιτάσσειν· οἱ μὲν γὰρ ὑγιαινούσῃ τῇ γνώμῃ μεθ' ὑγιαίνοντος σώματος ἐγχειρέουσι λογισάμενοι τά τε παρεόντα τῶν τε παροιχομένων τὰ ὁμοίως διατεθέντα τοῖσι παρεοῦσι, ὥστε ποτὲ θεραπευθέντα εἰπεῖν ὅτι ἀπήλλαξαν· οἱ δὲ οὔτε ἃ κάμνουσι, οὔτε δι' ἃ κάμνουσι, οὐθ' ὅ τι ἐκ τῶν παρεόντων ἔσται, οὐθ' ὅ τι ἐκ τῶν τούτοισι ὁμοίων γίγνεται εἰδότες ἐπιτάσσονται ἀλγέοντες μὲν τῷ παρεόντι, [1] φοβεύμενοι δὲ τὸ μέλλον καὶ πλήρεες μὲν τῆς νούσου, κενεοὶ δὲ [2] σιτίων, ἐθέλοντες τὰ πρὸς τὴν νοῦσον ἡδέα μᾶλλον, ἢ τὰ πρὸς [3] τὴν ὑγίειαν προσδέχεσθαι, οὐκ ἀποθανεῖν ἐρῶντες, ἀλλὰ καρτερεῖν ἀδυνατέοντες. Οὕτω [4] δὲ διακειμένους πότερον εἰκὸς τούτους τὰ ὑπὸ τῶν ἰητρῶν ἐπιτασσόμενα [5] μὴ ποιέειν, ἢ ἄλλα ποιέειν, ἃ οὐκ ἐπετάχθησαν, ἢ τοὺς ἰητροὺς [6] τοὺς ἐκείνως διακειμένους, ὡς ὁ πρόσθεν λόγος ἡρμήνευσε, ἐπιτάσσειν τὰ μὴ δέοντα; ἆρ' οὐ πολὺ μᾶλλον τοὺς μὲν δεόντως ἐπιτάσσειν, τοὺς δὲ εἰκότως ἀδυνατέειν πείθεσθαι, μὴ πειθομένους δὲ περιπίπτειν τοῖσι θανάτοισι, ὧν οἱ μὴ ὀρθῶς λογιζόμενοι τὰς αἰτίας τοῖς οὐδὲν αἰτίοις ἀνατιθέασι, τοὺς αἰτίους ἐλευθεροῦντες;

ιγ'. Εἰσὶ δέ τινες, οἳ καὶ διὰ τοὺς μὴ ἐθέλοντας ἐγχειρέειν τοῖσι κεκρατημένοισι ὑπὸ τῶν νοσημάτων μέμφονται τὴν ἰητρικήν, λέγοντες ὡς ταῦτα μὲν καὶ αὐτὰ [7] ἐφ' ἑαυτῶν ἂν ἐξυγιάζοιτο, ἃ ἐγχειρέουσι ἰῆσθαι, ἃ δ' ἐπικουρίης δεῖται, οὐχ ἅπτονται, δεῖν δὲ, εἴπερ ἦν ἡ τέχνη, πανθ' ὁμοίως ἰῆσθαι. Οἱ

peratis obsequi quam medicos ea, quae minimum conveniant, imperare, hi enim sana mente et corpore tum praesentia tum ex praeteritis quae cum praesentibus similiter se habent in considerationem adhibentes ad curationem adgrediuntur, adeo ut qui curatus est aliquando fateatur se illorum ope a morbo liberatum. Illi vero neque quo morbo, neque quam ob causam laborent, neque quid ex praesentibus eventurum sit, neque quid ex his, quae sunt eiusmodi, fiat, intelligentes, imperata facere iubentur, praesenti quidem morbo afflicti, eventum vero rerum metuentes et morbis quidem gravati, cibis vero vacui, ea, quae morbo grata sunt, potius eligunt quam quae ad sanitatem conferunt, non quod mori desiderent, sed quod toleranter ferre medici praecepta nequeant. Hos vero sic affectos an est vero similius quae a medicis imperantur non, aut alia quae non imperantur facere? an medicos eiusmodi, quales ante exposuimus, ea quae minime conveniant imperare? Nonne longe aequius est, eos quidem recte imperare, illos vero, ut par est, parere non posse, eamque ob causam mortem incurrere? Quorum quidem causam qui non recta ratione reputant, in eos, qui culpa vacant reiiciunt, illis absolutis, qui maxime culpae sunt obnoxii.

13. Non desunt autem, qui artem medicam reprehendunt quod nullus iis, qui a morbis sunt superati, manus admovere velit, dicentes eos quidem morbos, quos curatione aggrediuntur, posse per sese sanari, eos vero qui auxilio indigent, non attingere, oportere autem, si quidem ars sit, omnibus ex aequo curationem ad-

[1] φοβεύμενος — πλήρης. — [2] σίτων. — [3] ὑγείην sine τήν. — [4] δέ abest. — [5] μή om. — [6] solum ἐκείνους. — [7] ἀφ' αὐτῶν.

est εὔλογόν ἐστι τοὺς κάμνοντας ἀδυνατέειν ὑπουργέειν; vereor ne scribae dativum perperam intulerint propter verbum ὑπουργέειν, quod cum dativo personae et accusativo rei, ut aiunt, componi solet. Itaque dativos illos in accusativos mutandos esse existimavi.

ὑγιαινούσῃ τῇ γνώμῃ.] Articulus abesse solet; adscripsi e cod. A.

ὅτι ἀπήλλαξαν.] ὡς ἀπηλλ. cod. A.

οὐθ' ὅ τι ἐκ τῶν.] Vulgo in his ὅ τι οὖν ἐκ, sed οὖν om. Littréus cum A., qui liber οὐδ' — οὐδ'.

ἀλγέοντες μὲν τῷ παρεόντι.] In his μὲν ἐν τῷ π. cod. A., quem sequitur Littréus, equidem ἐν recipere nolim.

ἐθέλοντες τὰ πρὸς τὴν νοῦσον ἡδέα μ.] Cod. A.: ἐθέλοντες δὲ τὰ πρὸς τὴν νοῦσον ἤδη μ.

ἀδυνατέοντες.] ἀδυνατεῦντες A.

μὴ ποιέειν.] Sic Littréus de suo, ceteris μή non legentibus; me iudice ille rem acu tetigit.

ἃ οὐκ ἐπετάχθησαν.] ἢ ἃ ἐπετ. cod. A.

13. αὐτὰ ἐφ' ἑαυτῶν ἂν ἐξυγ.] Vulgo ὑφ' ἑαυτῶν, sed ἀφ' plures libri, ἐφ' unus; vulgo αὐτῶν, cod. A. et Littréus ἑαυτῶν. Equidem ἐφ' veram esse puto lect., ceteras inde ortas esse.

ἐπικουρίης.] Cod. A. ἐπικουρίης μεγάλης, in quo adiectivo habemus recens additamentum, idque otiosum me iudice.

μὲν οὖν ταῦτα λέγοντες εἰ ἐμέμφοντο τοῖσι ἰητροῖσι, ὅτι αὐτῶν τοιαῦτα λεγόντων οὐκ ἐπιμελοῦνται ὡς παραφρονεύντων, εἰκότως ἂν [1] ἐμέμφοντο μᾶλλον ἢ ἐκεῖνα μεμφόμενοι· εἰ γάρ τις [2] ἢ τέχνην, ἐς ἃ μὴ τέχνη, ἢ φύσιν, ἐς ἃ μὴ [3] φύσις πέφυκε, ἀξιώσειε δύνασθαι, [4] ἀγνοεῖ ἄγνοιαν ἁρμόζουσαν μανίῃ μᾶλλον ἢ ἀμαθίῃ. Ὧν γάρ ἐστι ἡμῖν τοῖσί τε τῶν φυσίων τοῖσί τε τῶν τεχνέων ὀργάνοισι ἐπικρατέειν, τούτων ἔστι ἡμῖν δημιουργοῖσι εἶναι, ἄλλων δὲ οὐκ ἔστι. Ὅταν οὖν τι πάθῃ ὥνθρωπος κακὸν, ὃ κρέσσον ἐστὶ τῶν ἐν ἰητρικῇ ὀργάνων, οὐδὲ [5] προσδοκᾶσθαι τοῦτό που δεῖ ὑπὸ ἰητρικῆς κρατηθῆναι ἄν· αὐτίκα γὰρ τῶν ἐν ἰητρικῇ καιόντων [6] τὸ πῦρ ἐσχάτως καίει, τούτου δὲ ἧσσον [7] καὶ ἄλλα πολλά· τῶν μὲν οὖν ἡσσόνων τὰ κρέσσω οὔπω δηλονότι [8] ἀνίητα· τῶν δὲ κρατίστων τὰ κρέσσω πῶς οὐ δηλονότι ἀνίητα; ἃ γὰρ πῦρ δημιουργέει, πῶς οὐ τὰ τούτῳ μὴ ἁλισκόμενα [9] δηλονότι ἄλλης δεῖται τέχνης, καὶ οὐ ταύτης, [10] ἐν ᾗ τὸ πῦρ ὄργανον; ωὑτὸς δέ μοι λόγος καὶ ὑπὲρ τῶν ἄλλων, ὅσα τῇ ἰητρικῇ ξυνεργέει ὧν ἁπάντων φημὶ δεῖν ἑκάστου [11] μὴ κατατυχόντα τὸν ἰητρὸν τὴν δύναμιν αἰτιᾶσθαι τοῦ πάθεος, μὴ τὴν τέχνην. Οἱ μὲν οὖν μεμφόμενοι τοὺς τοῖσι κεκρατημένοισι μὴ ἐγχειρέοντας

movere. Qui ergo huiusmodi verbis utuntur, si medicos accusant, quod talia dicentium tanquam delirorum curam non suscipiunt, multo certe iustius ob ea, quam ob illa incusant. Si quis enim artis facultatem ad ea, quae artis non sunt, aut naturae ad ea, ad quae minime apta est, requirat, is illud non intelligit magis ad insaniam cum ignorantia coniunctam, quam ad imperitiam accedere. Quorum enim facultatem tum per naturae, tum per artium instrumenta consequimur, eorum nos opifices profiteri possumus, aliorum non item. Si quid igitur homini contigerit, quod medicinae instrumenta superat, id ne sperandum quidem est ab arte medica evinci posse. Atque ut exemplo rem ipsam doceamus, ignis eorum omnium, quae in medicina urendi facultatem habent, summe urit, eo vero minus alia pleraque. Atqui certe de leviora auxilia superantibus nondum certo patet ea sanari non posse. Sed quae fortissimis illis sunt fortiora, quomodo dubitari possit num sint insanabilia? In his enim, quae ignis efficit, an non ea, quae ab ipso superari nequeunt, satis arguunt alia opus esse arte quam ea, quae igne utitur instrumento? Eadem vero mihi dicenda sunt de his, quae medicinae subserviunt, in quibus singulis si res medico non succedit pro

[1] ἐμέμφοντο. — [2] ἤ om. — [3] φύσις om. — [4] ἀγνοεῖ μανίην ἁρμόζουσαν ἀγνοίῃ μᾶλλον. — [5] προσδοκᾶσθαι δεῖ ὑπὸ ἰητρ. — [6] τό om. — [7] καί om. [8] κἀνίητα. — [9] δηλοῖ ὅτι. — [10] ἧς ἕνι τὸ π. — [11] μή om.

ἢ ἐκεῖνα.] ἢ κεῖνα A.; eundem Ionismum saepius in hoc libro observavi.

εἰ γάρ τις ἢ τέχνην.] ἤ Littréo praebuit cod. A.; in vulg. deest.

ἐς ἃ μὴ φύσις.] h. l. φύσις ex eodem fonte hausit Littréus.

ἀγνοεῖ ἄγνοιαν ἁρμόζουσαν μανίῃ μᾶλλον ἢ ἀμαθίῃ.] Vulgo: ἀγνοεῖ μανίην ἁρμόζουσαν ἀγνοίῃ (ἀγνοίᾳ cod. A.; „ἀνοίῃ quaedam exemplaria, inquit Foës., quae secutus est Corn.") μᾶλλον ἢ ἀμαθίῃ (ἀμαθίην unus liber). — Zuing. in marg. lectionem habet, quam cum Lind. et Littréo sequendum sum arbitratus.

ὥνθρωπος.] Recepi e cod. A.; ἄνθρ. vulgo.

ἐν ἰητρικῇ.] Vulgo ἐν τῇ ἰητρ. Littréus articulum omisit, quia codd. non ferebant; neque ego in V. reperio.

τοῦτό που.] Adscriptum est a Littréo e cod. A., ceteris non habentibus.

τὸ πῦρ.] Sic Littr. ex A.; cett. τό omm.

ἃ γὰρ πῦρ δημιουργέει, πῶς οὐ κτλ.] Admisi lectionem codicis A., in qua οὐ, quod vulgo ante δημ. infertur, omissum est. Forma negationis suspicionem movet, nam si requiratur negatio, potius μή exspectaveris. Sed illud οὐ emblema est aliorum: sermo est de iis, quae igne tractari solent in artibus, inter quae si sint, quae eo non tangantur, indicio sunt alia arte in ipsorum tractatione opus esse. Vulgo δημιουργέῃ, sed mss. pleraque, Lind., Littr.: δημιουργέει.

πῶς οὐ τὰ τούτῳ μὴ ἁλισκόμενα.] Littréus h. l. ἁλισκόμενα idem significare monens, quod ἀναλισκόμενα et reddens „ce qu'il consume" in errore est. Non sermo est de rebus, quas consumat ignis, quae comburantur, sed de rebus, quae ignis vi ita tanguntur ut in usum aliquem transformari possint. Rerum nexus id ultro docet; iam supra de ea re monui.

ἐν ᾗ τὸ πῦρ ὄργ.] Sic lego cum cod. A.; vulgatum ἧς
ἐν ᾗ
ἕνι ortum suum debuit, me iudice, dittographiae ἧς: — testatur lectio codicis J. ἧς ἐν ᾗ. Et vero fere perinde est utrum ἧς an ἐν ᾗ scribas.

καὶ ὑπὲρ τῶν ἄλλων.] καὶ ὑπὲρ τῆς τῶν ἄλλων plures codd.; falso tamen.

μὴ κατατυχ.] Mirum est μή h. l. in multis codd. non legi, quum tamen salvo sensu abesse non possit.

μὴ τὴν τέχνην.] ἀλλὰ μὴ τ. τ. ex uno libro in varr. lectt. adnotat Littr.

Οἱ μὲν οὖν μεμφόμενοι τοὺς τοῖσι κεκρ. μὴ ἐγχειρέον-

παρακελεύονται καὶ ὧν μὴ προσήκει ἅπτεσθαι οὐδὲν ἧσσον ἢ ὧν προσήκει· παρακελευόμενοι δὲ ταῦτα, ὑπὸ μὲν τῶν οὐνόματι ἰητρῶν θαυμάζονται, ὑπὸ δὲ τῶν καὶ τέχνῃ καταγελῶνται. Οὐ *μὴν οὕτως ἀφρόνων οἱ ταύτης τῆς δημιουργίης ἔμπειροι οὔτε μωμητῶν,* [1] *οὔτ' ἐπαινετῶν δέονται· ἀλλὰ λελογισμένων πρὸς ὅ τι αἱ ἐργασίαι τῶν δημιουργῶν τελευτώμεναι* [2] *πλήρεις εἰσὶ καὶ ὅτευ ὑπολειπόμεναι ἐνδεεῖς, ἔτι τε τῶν ἐνδειῶν, ἅς τε τοῖσι δημιουργοῦσι ἀναθετέον, ἅς τε τοῖσι δημιουργεομένοισι.*

animi sententia, meo quidem iudicio in morbi vehementiam, non in artem culpa reiicienda est. Qui igitur eos reprehendunt, qui victis a morbis manus non admovent, non minus adhortantur ad ea suscipienda, quae attingere fas non est, quam quae fas est. In eoque apud eos, qui nomine tenus medici sunt, admirationem sibi conciliant, ab artis vero peritis ridentur. Neque vero huius artificii periti tam imprudentes aut reprehensores, aut laudatores morantur, sed eos, qui recta ratione iudicant, quemnam ad finem deductae artificum rationes perfectae sint et qua in re deficientes imperfectae, ac praeterea earum imperfectarum actionum quaenam ad artifices, quaenam etiam ad ipsa effecta sint referendae.

ιδ'. Τὰ *μὲν οὖν κατὰ τὰς ἄλλας τέχνας ἄλλος χρόνος μετ' ἄλλου λόγου δείξει· τὰ δὲ κατὰ τὴν ἰητρικήν, οἷά τέ ἐστι, ὥς τε κριτέα, τὰ μὲν ὁ παρῳχημένος, τὰ δὲ ὁ παρεὼν διδάξει λόγος.* Ἔστι *γὰρ τοῖσι ταύτην τὴν τέχνην ἱκανῶς εἰδόσι τὰ μὲν τῶν νοσημάτων οὐκ ἐν δυσόπτῳ κείμενα καὶ οὐ πολλά, τὰ δὲ οὐκ ἐν εὐδήλῳ καὶ πολλά ἐστι· τὰ μὲν γὰρ πρὸς τὰ ἐντὸς τετραμμένα ἐν δυσόπτῳ,* [3] *τὰ δ' ἐξανθεῦντα ἐς τὴν χροιήν, ἢ χροιῇ, ἢ οἰδήμασι ἐν εὐδήλῳ· παρέχει γὰρ ἑωυτῶν τῇ τε ὄψι τῷ τε ψαῦσαι τῆς στερεότητος καὶ τῆς ὑγρότητος αἰσθάνεσθαι, καὶ ἅ τε αὐτῶν θερμά, ἅ τε ψυχρά, ὧν τε ἑκάστου* [4] *ἢ παρουσίῃ, ἢ ἀπουσίῃ* [5] *τοιαῦτά ἐστι.* Τῶν *μὲν δὴ τοιούτων πάντων ἐν ἅπασι τὰς*

14. Quae igitur alias artes spectant, aliud tempus aliamque orationem postulant; quae vero ad medicinam pertinent, quaenam sint et quomodo diiudicanda partim quidem superiore, partim vero praesenti oratione dicentur. Sunt enim apud eos, qui artem illam probe callent, morbi partim quidem non obscuri iique pauci, partim vero non manifesti iique multi. Qui enim ad internas corporis partes vertunt, obscuri, qui vero ad corporis superficiem erumpunt, aut tumorem faciunt, manifesti. Sui enim copiam faciunt tum visu, tum tactu, ut eorum durities et mollitudo sentiatur, et quinam calidi, quinam frigidi et quorum in singulis praesentia aut absentia tales exsistunt. Atque in eorum quidem omnium remediis non peccatur, non

[1] *οὔτ' αἰνετῶν.* — [2] *πλήρης.* — [3] *τὰ δ' ἐξανευθέντα* omissis superioribus a *τὰ μὲν γὰρ πρὸς τὸ ἐντός* inde. — [4] *ἡ.* — [5] *τοιαύτη.*

τας.] Vulgo *οἱ μὲν οὖν μεμφόμενοι τοῖσι τοῖς κεκρατημένοισι μὴ ἐγχειρέουσι*, sed A. *οἱ μ. ὁ. μ. τοὺς τοῖς κεκρ. μὴ ἐγχειρέοντας.* Malui hoc recipere. — Littréus item recepit, sed *τούς* omisit, minus recte, ut mihi videtur.

ὑπὸ τῶν οὐνόματι.] *τῶν τῷ ὀνομ.* vulgo; sed *τῷ* cum A. om. Littr. et ex Aldo *οὐνόματι* duxit.

οὐ μὴν οὕτως ἀφρόνων.] Lectionem *ἄφρονες* iam Foës. e mss. duxit in adn. et ex A. adnotat Littr.

ἐπαινετῶν] Sic Littr. e cod. A. pro vulgato *αἰνετῶν.*

πρὸς ὅ τι αἱ ἐνεργ.] *πρὸς ὅ τι ἂν αἱ ἐν.* vulgo, sed libri scripti *ἄν* omm., in V. etiam abest.

καὶ ὅτεο ὑπολ.] *ὅ τι* e cod. J. et Zuing. in m. adnotat Littr.; iam Foës. e mss. regiis eandem lect. memorat.

ἔτι τε.] *τε* om. A.; in Kühniana in *δέ* est mutatum.

14. *παρῳχημένος.*] Littr. e cod. A.: dedit *παροιχόμενος.*

τὰ — ἐν δυσόπτῳ.] Quemadmodum haec e V. abesse annotavi, ita Foës. in mss. duobus, Littr. in omnibus suis abesse viderunt.

τὰ δὲ οὐκ ἐν εὐδ.] Sic A., vulgo *τὰ δ' οὐκ*; praetuli illud in partitione.

τὰ δ' ἐξανθ.] Cod. A. *ἔστιν δὲ τὰ μὲν ἐξανθ. ἐς τὴν χροιὴν. ἢ χροιῇ. ἢ οἰδήμασι ἐν εὐδ.* — Vulgo: *τὰ δ' ἐξανθεῦντα εἰς τὴν χροιὴν ἢ οἰδαίνοντα ἐν εὐδ.* — Dedi textum, qualem ex utraque lectione Littr. composuit.

ἅ τε ψυχρά.] *καὶ ἃ ψ.* unus cod. Par.

ἢ παρουσίῃ ἢ ἀπουσίῃ τοιαῦτά ἐστι.] In his *ἡ παρουσίη* A., unde intelligitur, quo modo ortum sit vulgatum *τοιαύτη.*

τῶν μὲν δή.] *δή* h. l. in multis libris abest.

ἀκέσιας ἀναμαρτήτους δεῖ εἶναι, οὐχ ὡς ῥηϊδίας, ἀλλ᾽ ὅτι ἐξεύρηνται· ἐξεύρηνταί γε μὴν οὐ τοῖσι βουληθεῖσι, ἀλλὰ τούτων τοῖσι δυνηθεῖσι· δύνανται δὲ, οἷσι τά τε τῆς παιδείης μὴ ἐκποδὼν, τά τε τῆς φύσιος μὴ ταλαίπωρα.

ιε΄. Πρὸς μὲν οὖν τὰ φανερὰ τῶν νοσημάτων οὕτω δεῖ εὐπορέειν τὴν τέχνην· δεῖ γε μὴν αὐτὴν μηδὲ πρὸς τὰ [1] ἧσσον φανερὰ ἀπορέειν· ἔστι δὲ ταῦτα, ἃ πρός τε τὰ [2] ὀστέα τέτραπται καὶ τὴν νηδύν· ἔχει δὲ τὸ σῶμα οὐ μίαν, ἀλλὰ πλείους· δύο μὲν γὰρ αἱ [3] τὸν σῖτον δεχόμεναί τε καί ἀφιεῖσαι, ἄλλαι δὲ τούτων πλείους, ἃς ἴσασι οἷσι τούτων ἐμέλησε· ὁκόσα γὰρ τῶν μελέων ἔχει σάρκα περιφερέα, ἣν μῦν καλέουσι, πάντα νηδὺν ἔχει. Πᾶν γὰρ τὸ [4] ξύμφυτον, ἤν τε δέρματι, ἤν τε σαρκὶ καλύπτηται, κοῖλόν ἐστι, πληροῦταί τε ὑγιαῖνον μὲν πνεύματος, ἀσθενῆσαν δὲ ἰχῶρος· ἔχουσι μὲν τοίνυν οἱ βραχίονες σάρκα τοιαύτην· ἔχουσι δ᾽ οἱ μηροὶ, ἔχουσι δ᾽ αἱ κνῆμαι. Ἔτι δὲ καὶ ἐν [5] τοῖσι ἀσάρκοισι τοιαύτη ἔνεστι, οἵη καὶ ἐν τοῖσι εὐσάρκοισι εἶναι δέδεικται· ὅ τε γὰρ θώρηξ καλεόμενος, ἐν ᾧ τὸ ἧπαρ στεγάζεται, ὅ τε τῆς κεφαλῆς κύκλος, ἐν ᾧ ὁ ἐγκέφαλος, τό τε νῶτον πρὸς [6] ὃ ὁ πνεύμων, τούτων οὐδὲν ὅ τι οὐ καὶ αὐτὸ κενόν ἐστι, πολλῶν διαφυσίων μεστὸν, [7] ᾗσι οὐδὲν ἀπέχει πολλῶν ἀγγεῖα εἶναι τῶν μέν τι βλαπτόντων τὸν κεκτημένον, τῶν δὲ καὶ ὠφελεύντων. Ἔτι δὲ [8] καὶ πρὸς τούτοισι φλέβες πολλαὶ καὶ νεῦρα οὐκ

quod sint facilia, sed quod inventione constent. Et sane non sunt a quibusvis inventa, sed ab his, qui recta inveniendi facultate valent. Valent autem tum qui in bonis disciplinis liberaliter sunt educati, tum qui a natura non infeliciter sunt comparati.

15. Hoc igitur modo ad manifestos morbos curandos artem facultate abundare oportet; neque sane eam in minus manifestis deficere convenit. Sunt autem hi, qui ad ossa et cavitatem internam vergunt. Neque vero unam corpus habet, sed plures: duae namque sunt, quae cibum recipiunt et demittunt, aliaeque praeter has plures, quas ii norunt, quibus illa curae sunt. Quaecumque enim membra carnem in orbem circumdatam habent, quam musculum nominant, ea omnia cavitatem habent. Quicquid enim coaluit, sive pellicula, sive carne tegatur, cavum est, quod dum homo valet, spiritu quidem, dum vero aegrotat, sanie plenum est. Habent itaque brachia huiusmodi carnem, habent et femora, habent et tibiae. Quin et in partibus carnis expertibus huiusmodi caro inest, qualem in carnosis inesse diximus. Nam et thorax dictus, quo iecur concluditur, et capitis orbis, in quo cerebrum comprehenditur, ipsumque dorsum, cui annexi sunt pulmones, haec omnia prorsus sunt vacua, multis intervallis referta, quae fere vasorum naturam obtinent, cum res eas continent, quae partim quidem eum, qui eas possidet, iuvant, partim etiam laedunt. Ad haec etiam venae sunt mul-

[1] ἥσσονα. — [2] ὅσα. — [3] τὸ σ. — [4] ἀσύμφυτον. — [5] τοῖς σάρκοισι. — [6] ᾧ. — [7] εἶσι. — [8] καί om. h. l, sed infertur ante φλέβες.

μὴ ταλαίπωρα.] Littr. ex A. adnotat μὴ ἀταλ.; fuerit forte lectio ἀταλαίπωρα pro μὴ ταλαίπωρα.

15. μηδὲ πρὸς τὰ ἧσσον φανερά.] οὐδέ cod. A., qui paulo post πρὸς τὰ ὀστέα sine τε.

τὸν σῖτον.] τὸ σιτίον A. et tum δεχόμεναι αἵ τε καὶ κ.τ.λ.

ὁκόσα.] Sic scripsi ex Erot. gl. voce νηδύν. cett. ὅσα.

πᾶν γὰρ τὸ ξύμφυτον.] Rursus sequor Erot. l. l.; vulgo ἀσύμφυτον. Foës. Erotiani lectionem vitiosam esse dicit in adn., neque quisquam interpretum eam recepit; sed primum quod dein sequitur ἤν τε δέρματι, ἤν τε σαρκὶ καλύπτηται me docet πᾶν γὰρ τὸ ξύμφυτον voluisse scriptorem; tum etiam patet eum aliquid docere velle, quod non statim exspectaveris, quapropter supra iam dixit ὁκόσα τῶν μελέων ἔχει σάρκα περιφερέα, ἣν μῦν καλέουσι, πάντα νηδὺν ἔχει, et hic docere pergit πᾶν τὸ ξύμφυτον κοῖλόν ἐστι, non πᾶν τὸ ἀξύμφυτον. Quid quod τὸ ἀξύμφυτον neque πνεῦμα, neque ἰχῶρας continebit? Totus igitur ratiocinationis cursus me impellit, ut solam Erotiani lectionem admittam.

εἶναι δέδεικται.] Quod A. ante εἶναι habere ἐν scribit Littréus, eo spectare videtur, ut ἐνεῖναι altera fuerit lectio, non sane prorsus contemnenda.

ὅ τε τῆς κεφαλῆς κύκλος.] Nihil sane muto, quum nostri anatomica scientia alia esse videatur quam aliorum; sed non reticeo suspicionem mihi esse obortam fortasse τό τε τῆς κεφαλῆς κύτος auctorem nostrum voluisse, uti legitur apud Platonem in Tim. p. 45. A.

μεστόν.] μεστόν ἐστι codd. Littréi, Aldus, non cod. Voss. — Parisiensium unus καὶ πολλῶν διαφ. μεστόν.

πολλῶν ἀγγεῖα εἶναι.] Voss., libri Parr. nonnulli, Lind. Littréus sic legunt; vulgo πολλὸν ἀ. ἐ.

ἐν τῇ σαρκὶ μετέωρα, ἀλλὰ πρὸς τοῖσι ὀστέοισι προστεταμένα ξύνδεσμος ἔς τί τῶν ἄρθρων καὶ αὐτὰ τὰ ἄρθρα, ἐν οἷσι αἱ ξυμβολαὶ τῶν κινεομένων ὀστέων ἐγκυκλέονται, καὶ τούτων οὐδὲν, ὅ τι οὐχ ὕπαφρόν ἐστι καὶ ἔχον περὶ αὐτὸ θαλάμας, ἃς καταγγέλλει ἰχὼρ, ὃς ἐκ [1] διοιγομένων αὐτέων πολύς τε καὶ [2] πολλὰ λυπήσας ἐξέρχεται.

ις'. Οὐ γὰρ δὴ ὀφθαλμοῖσί γε ἰδόντι τούτων τῶν εἰρημένων οὐδενὶ οὐδέν ἐστι εἰδέναι· διὸ δὴ καὶ ἄδηλα ἐμοί τε ὠνόμασται καὶ τῇ τέχνῃ κέκριται εἶναι, οὐ μὴν ὅτι ἄδηλα κεκράτηκε, ἀλλ' ᾖ δυνατὸν κεκράτηται· δυνατὸν δὲ, [3] ὅσον αἵ τε τῶν νοσεόντων φύσιες ἐς τὸ σκεφθῆναι παρέχουσι, αἵ τε τῶν ἐρευνησόντων ἐς τὴν ἔρευναν πεφύκασι. Μετὰ πλείονος μὲν γὰρ πόνου καὶ οὐ μετ' ἐλάσσονος χρόνου [4] ἢ εἰ τοῖσι ὀφθαλμοῖσι ἑωρᾶτο, γιγνώσκεται· ὅσα γὰρ τὴν τῶν ὀμμάτων ὄψιν ἐκφεύγει, ταῦτα τῇ τῆς γνώμης ὄψι κεκράτηται καὶ ὅσα [5] δ' ἐν τῷ μὴ ταχὺ ὀφθῆναι οἱ νοσέοντες πάσχουσι, οὐχ οἱ θεραπεύοντες αὐτοὺς αἴτιοι, ἀλλ' ἡ φύσις, ἥ τε τοῦ νοσέοντος, ἥ τε τοῦ νοσήματος· ὁ μὲν γὰρ, ἐπεὶ οὐκ ἦν αὐτῷ ὄψι ἰδεῖν τὸ μοχθέον, οὐδ' ἀκοῇ πυθέσθαι, λογισμῷ μετῄει. Καὶ γὰρ δὴ καὶ [6] ἃ πειρῶνται οἱ τὰ ἀφανέα νοσέοντες ἀπαγγέλλειν περὶ τῶν νοσημάτων τοῖσι θεραπεύουσι, δοξάζοντες μᾶλλον ἢ εἰδότες [7] ἀπαγγέλλουσι· εἰ γὰρ ἠπίσταντο, οὐκ ἂν περιέπιπτον αὐτοῖσι· τῆς γὰρ αὐτῆς

tae et nervi, non ii quidem in carne exstantes, sed ad ossa protensi articulos colligant. Quinetiam ipsi articuli, in quibus ossium, quae moventur, connexiones volvuntur. Quorum nihil est, quod non aliquantulum spumosum sit, et circa se latibula habeat, quae sanies ipsa arguit, quae iis apertis copiosa et multis molesta effluit.

16. Neque enim sane eorum quae dicta sunt quicquam oculis intuenti conspicere licet, ideoque non manifesti morbi a me appellati sunt et ab arte esse censentur; non tamen quia non manifesta naturam nostram evincunt, sed quoad eius fieri potest, ab ea superantur. Potest autem fieri, cum et aegrorum naturae se ad investigationem exhibent et qui pervestigaturi sunt ad indagationem recte snnt a natura comparati. Neque enim sine maiore labore et longiore tempore, quam si oculis cernerentur, cognoscuntur. Quae namque oculorum aspectum effugiunt, ea mentis acie comprehenduntur. Quae vero ex eo aegris accidunt, quod non protinus statim effectus cernatur, eorum culpa non in medicos, sed tum in aegrotantis, tum in morbi naturam reiicienda est. Ille enim cum neque doloris causam oculis cernere, neque auditione cognoscere queat, ratiocinatione consequitur. Qui enim obscuro morbo laborant, quod de morbo medicis indicare conantur, id ex opinione potius quam ex certa cognitione denunciant. Neque enim si certo scirent, in ipsos inciderent, cum eius-

[1] διοιγουμένων. — [2] πολλούς. — [3] ὅσαι τε. — [4] ἢ om. — [5] δέ. — [6] ἃ om. — [7] ἃ ἀπαγγ.

προστεταμένα.] προστεταγμένα alii libri.

ξύνδεσμος ἔς τι τῶν ἄρθρων.] Littréum recte h. l. ἐστι in ἔς τι mutavisse credo.

οὐδὲν ὅ τι οὐχ ὕπαφρόν ἐστι.] Haec codd. lectio est; apud Erot. ὕποφρον non nisi corruptum ὕπαφρον est, non ὑπόφορον, quod Foës. in mss. se vidisse testatur et quod Schneiderus in Lex. tueri velle videtur; ὕπαφρον in ὕποφρον abiit, fere simili modo, quo ἀκρατής in Ep. VII. in ἄκροπις. Hesychius etiam ὕπαφρον habet, neque alia hic est notio quam qua veteres pulmonis structuram v. c. cum spuma comparare solebant. Licet autem ὑποφοραί substantivum notum sit, vellem exemplis doceri ὑπόφορος eo sensu, quo Foës. et post illum Schneiderus voluerunt, esse sumendum, aut saltem sumi posse.

περὶ αὐτό.] Sic lego cum Lind.; vulgo αὐτό, cod. A. αὐτῷ.

16. γε ἰδόντι.] γ' ἰδόντι A.

διὸ δὴ καὶ ἄδηλα.] Sic mss. reg. apud Foës. et plures codd. Parr. et Lind.; vulgo δή abest.

ἀλλ' ᾗ δυνατὸν κεκρ.] Sic Littréus e cod. A. alteroque; vulgo εἰ δ.

ὅσον αἵ τε.] Lectio, quam e V. excerpsi, in adnn. iam Foës. memoravit et in multis mss. vidit Littréus.

ἢ εἰ τοῖσι.] Vulg.: μετὰ πλείονος μὲν γὰρ πόνου καὶ οὐ μετ' ἐλάσσονος χρόνου τοῖσι ὀφθαλμοῖσι ὁρᾶταί τε καὶ γινώσκεται. — In hisce χρόνου ἢ εἰ τοῖς ὀφθαλμοῖς συνεωρᾶτο, γινώσκεται legit cod. A. Lectionem, quam e V. enotavi, permulti codd. Parr. habent. Littréus codicem A. secutus est partim; cum eo consentio, ita tamen ut ἑώρατο, quod de suo dedit, non requiri putem.

καὶ ὅσα δ' ἐν κ. τ. λ.] Vulgo ὅσα δέ, sed Littr. in codd. καί ante ὅσα vidit et ipse vidi in V.; inde καὶ ὅσα δέ Littr., sed cod. A. καὶ ὅσα δ' ἐν.

ἃ πειρῶνται.] εἰ π. Aldus; quae lect. non prorsus contemnenda; eam adeo Latine expressit Foës.

ξυνέσιός ἐστι, ἥσπερ τὸ εἰδέναι τῶν νούσων τὰ αἴτια καὶ τὸ θεραπεύειν αὐτὰς ἐπίστασθαι πάσῃσι τῇσι θεραπείῃσι, αἳ κωλύουσι τὰ νοσήματα μεγαλύνεσθαι. Ὅτε οὖν οὐδὲ ἐκ τῶν ἀπαγγελλομένων ἔστι τὴν ἀναμάρτητον σαφήνειαν ἀκοῦσαι, [1] προσοπτέον τι καὶ [2] ἄλλο τῷ θεραπεύοντι· ταύτης οὖν τῆς βραδυτῆτος οὐχ ἡ τέχνη, ἀλλ' ἡ φύσις αἰτίη ἡ τῶν σωμάτων· ἡ μὲν γὰρ αἰσθανομένη ἀξιοῖ θεραπεύειν σκοποῦσα ὅπως μὴ τόλμῃ μᾶλλον ἢ γνώμῃ καὶ ῥᾳστώνῃ μᾶλλον ἢ βίῃ [3] θεραπεύῃ· ἡ δ' ἢν μὲν ἀρκέσῃ πρὸς τὸ ὀφθῆναι, ἐξαρκέσει καὶ πρὸς τὸ [4] ἰαθῆναι· ἣν δ' ἐν ᾧ τοῦτο ὁρᾶται κρατηθῇ διὰ τὸ βραδέως αὐτὸν ἐπὶ τὸν θεραπεύσοντα ἐλθεῖν, ἢ διὰ τὸ τοῦ νοσήματος τάχος, οἰχήσεται. Ἐξ ἴσου μὲν γὰρ ὁρμώμενον τῇ θεραπείῃ οὐκ ἔστι θᾶσσον, προλαβὸν δὲ θᾶσσον, προλαμβάνει δὲ διά τε τὴν τῶν σωμάτων [5] στεγνότητα, ἐν ᾗ οὐκ ἐν εὐόπτῳ οἰκέουσι αἱ νοῦσοι διά τε τὴν τῶν καμνόντων ὀλιγωρίην· [6] ὑπερτίθενται γάρ, [7] οὐ λαμβανόμενοι δὲ ἀλλ' εἰλημμένοι ὑπὸ τῶν νοσημάτων ἐθέλουσι θεραπεύεσθαι. Ἐπεὶ τῆς γε τέχνης τὴν δύναμιν, ὁκόταν τινὰ τῶν τὰ ἄδηλα νοσεύντων ἀναστήσῃ, θαυμάζειν ἀξιώτερον, ἢ ὁκόταν ἐγχειρήσῃ [8] τοῖς ἀδυνάτοις. Οὔκουν ἐν ἄλλῃ [9] γε δημιουργίῃ τῶν ἤδη εὑρημένων οὐδεμιῇ ἔνεστι οὐδὲν τοιοῦτον, ἀλλ' αὐτέων ὅσαι πυρὶ δημιουργεῦνται, τούτου μὴ

dem sit prudentiae tum morborum causas cognoscere, tum omnibus praesidiis, quae morbos augeri prohibent, eos curare nosse. Cum igitur ex his, quae denunciata sunt, non liceat ad aliquam certam cognitionem pervenire, alia sane qui curationem instituit inspicere debet. Huius igitur morae causa ad corporum naturam, non ad artem ipsam referenda est. Haec enim ubi morbum percepit, curationem instituendam censet, id unum spectans, ne temeritate magis quam consilio et ut facilitate potius quam vi curationem adhibere videatur. Illa vero si tamdiu morbum ferre possit, ut a medico recte perspici possit, curationem etiam admittet. Sin vero interim dum morbus cognoscitur, a morbo evicta fuerit, vel quod serius ad medicum accesserit, vel ob morbi celeritatem aeger peribit. Neque enim qui ex aequo ad curationem procedit morbus celer existimandus est, sed qui praevertit. Praevertit autem tum ob corporum densitatem, in qua non conspicui morbi delitescunt, tum etiam propter aegrotantium negligentiam, nam curationem differunt, nec dum prehenduntur, sed morbis correpti demum curationem expetunt. Quare artis facultatem admirari longe certe aequius est, si quem ex obscuro morbo laborantem restituerit quam si, quae fieri non possunt, aggressa fuerit. Neque vero in ulla quapiam arte iam inventa tale quippiam

[1] προσπτταίοντι. — [2] ἄλλῳ. — [3] θεραπεύοι. — [4] ἰασθῆναι. — [5] στενότητα. — [6] ἐπιτίθενται. — [7] συλλαμβανόμενοι δὲ ὑπό. — [8] τοῖς om. — [9] γε om.

οὐδὲ ἐκ.] οὐδ' ἐκ A.

σκοποῦσα.] καὶ σκ. cod. A.

ἢ βίῃ θεραπεύῃ.] h. l. θεραπεύει prima manus in A., θεραπεύειν alii libri multi.

ἡ δ' ἢν.] ὁ δ' ἢν vulgo, sed ἡ δ' ἢν correctio est in A., a Littréo recepta. In V. litera obscurior est, sed ὁ δ' ἢν agnosco. Sequitur in A. διαρκέσει ἐς τὸ ὀ., ἐξαρκέσει καὶ ἐς τὸ ὑγιανθῆναι.

στεγνότητα.] Hanc lect. plures libri Littréo praebuerunt pro vulgato στενότητα; iam Foës. meliorem lect. in notulis adfert.

ὑπερτίθενται γάρ· οὐ λαμβανόμενοι δὲ, ἀλλ' εἰλημμένοι ὑπὸ τῶν νοσημάτων ἐθέλουσι θεραπεύεσθαι.] Locum corruptum de coniectura ita constitui. Vulgo: ἐπιτίθενται γὰρ λαμβανόμενοι δὲ ὑπὸ τῶν ν. ἐθελ. θερ.; multi libri: ἐπιτίθενται, οὐ λαμβανόμενοι (συλλαμβαν. L. et cod. Voss. sine οὐ) δὲ ὑπὸ τῶν V. κ. τ. λ. Cod. autem A.: ἐπιτίθεται (alia manu ἐπιτίθενται) οὐ λαμβανόμενοι γὰρ, ἀλλ' εἰλημμένοι ὑπὸ τῶν νοσ. κ. τ. λ. — Littréus ex ἐπιτίθενται effecit ἐπεὶ ἔοικε, dein cod. A., est secutus. Iam vero recte sane monet ἐπιτίθεσθαι h. l. parum recte primum Foësium, dein alios hunc secutos, interpretatos esse *cunctari*, at miro modo in eo ἐπεὶ ἔοικε latere putans hoc substituit, quum tamen sensum aptum non praebeat. — Foës. in notula de his monet et adfert lectionem apud Zuing. in margine obviam ὑπερτίθενται, quae utrum viri coniectura sit, an cod. alicuius lectio, mihi non constat; sed quae sola admittenda est, ita ut mirer Littréum eam ne memorantem quidem et Foësium eam in notulis adscribentem, sed non videntem quam bona sit. Eam igitur recepi et lectionem dein e vulgata et codicis A. scriptura composui.

ἐπεὶ τῆς — ἀδυνάτοις.] In his cod. A. ἐπὶ τῆς τέχνης et τῶν τε ἄδηλα, et ὁπότερον μὴ ἐγχ. — Vulgo ἐγχειρίσῃ, alteram vero formam e pluribus mss. dedit Littr.

ἐν ἄλλῃ γε.] γε cod. A. praebuit Littréo; vulgo abest, ut in V.

ἤδη εἰρημένοις.] εἰρημένοις sine ἤδη A.

ὅσαι πυρὶ δ.] ὅσα e mss. adnotat Foës. E Marciano δημιοεργεῦνται excerptum est.

παρεόντος ἄεργοί [1] εἰσι, μετὰ δὲ τοῦ ἀφθῆναι ἔνεργοι. Καίτοι καὶ [2] ὅσαι ἐν τοῖσι εὐεπανορθώτοισι σώμασι [3] δημιουργεῦνται, — αἱ μὲν μετὰ ξύλων, αἱ δὲ μετὰ σκυτέων, αἱ δὲ γραφῇ, χαλκῷ τε καὶ σιδήρῳ καὶ τοῖσι τούτων ὁμοίοισι [4] σχήμασι αἱ πλεῖσται, — [5] ὄντων δὴ τῶν ἐκ τούτων καὶ μετὰ τούτων δημιουργευμένων εὐεπανορθώτων, — ὅμως οὐ τῷ τάχεϊ μᾶλλον, ἢ τῷ ὡς δεῖ δημιουργεῦνται· οὐδ' ὑπερβατῶς, ἀλλ' ἢν ἀπῇ τι τῶν ὀργάνων, [6] ἐλινύουσι, καίτοι κἀκείναις τὸ βραδὺ πρὸς τὸ [7] λυσιτελέστερον ἀξύμφορον, ἀλλ' ὅμως προτιμᾶται.

inesse conspicitur, verum ex his quae igne opus suum perficiunt, si eis desit, ab omni opere feriantur, ubi vero is accensus fuerit, in opere continentur. Quin et quaecumque in facile emendabili materie opus suum exercent, ut in lignis quaedam, aliae in coriis, quaedam etiam stylo, aere, ferro atque id genus aliis quam plurimae, quamquam illa, quae ex his et per has perficiuntur, facile emendari possunt, non tamen celeritatem magis ad opificium requirunt quam ut rite minimeque perfunctorie tractentur; sed si quod instrumentum defuerit, ab opere quiescunt; et quamvis illis mora sit ad emolumentum incommoda, ea tamen pluris aestimatur.

ιζ'. Ἰητρικὴ δὲ τοῦτο μὲν τῶν ἐμπύων, τοῦτο δὲ τῶν τὸ ἧπαρ, ἢ τοὺς νεφροὺς, τοῦτο δὲ τῶν ξυμπάντων ἐν τῇ νηδύϊ νοσεύντων [8] ἀπεστερημένη [9] τι ἰδεῖν ὄψι, ᾗ τὰ πάντα πάντες ἱκανωτάτως [10] ὁρῶσι, ὅμως [11] ἄλλας εὐπορίας ξυνεργοὺς ἐφεῦρε· φωνῆς τε γὰρ λαμπρότητι καὶ τρηχύτητι, καὶ πνεύματος ταχυτῆτι καὶ βραδυτῆτι, καὶ ῥευμάτων, —

17. At vero medicina his quidem ex pure in thorace collecto, aliis vero ex hepate et renibus, aliis etiam ex omnibus, quae ventre continentur laborantibus, cum ea intensa oculorum acie contueri nequeat, qua certe omnes omnia apertissime vident, aliarum tamen facultatum subsidia adhibuit. Ex vocis namque claritate et aspredine et spiritus celeritate ac tarditate et

[1] ἀνεργοί εἰσιν καὶ ὅσαι μετὰ τοῦ ὀφθ. ἐργοί. — [2] ὅσαι abest. — [3] sic V. — [4] σχήμασι om. — [5] τὰ δ' ἐκ τούτων καὶ μετὰ τ. — [6] ἐλινύει ἢ ἡσυχάζειν. — [7] λυσιτέλεον. — [8] ἀποστερουμένη. — [9] τῇ δεινοψίῃ τὰ π. — [10] ὁρῶσα. — [11] καὶ ἄλλας.

ἄεργοι.] Multi libri Parr. ἄνεργοι; tum multi codd. Littréi eandem lect., quam e V. enotavi, referunt, in cuius fine ἔνεργοι cod. A.

μετὰ δὲ τοῦ ἀφθῆναι.] In his legi solet μετὰ δὲ τοῦ τούτου ἀφθ.; Littréus τούτου in τοῦτο mutavit. Foës. in adn. memorat codicum Reg. et Vatic. lectionem καὶ ὅσαι μετὰ τοῦ ὀφθῆναι ἄεργοι; hinc dedi μετὰ δὲ τοῦ ἀφθῆναι, quum pronomine facile carere mihi viderer.

καίτοι καὶ ὅσαι — προτιμᾶται.] Locum de coniectura constitui; itaque vulgatam describam et quas emendationes Littréus voluerit, significabo, tandem de mea ratione dicam. En vulgatam: καὶ ὅσαι καὶ τοῖσιν εὐεπανορθώτοισι τοῖσι σώμασι δημιουργεῦνται, αἱ μὲν μετὰ ξύλων, αἱ δὲ μετὰ σκυτέων. αἱ δὲ γραφῇ, χαλκῷ τε καὶ σιδήρῳ καὶ τοῖσι τούτων ὁμοίοισι αἱ πλεῖσται. τὰ δ' ἐκ τούτων καὶ μετὰ τούτων δημιουργεύμενα καὶ εὐεπανόρθωτα. ὅμως οὐ τῷ τάχει μᾶλλον, ἢ τῷ (τῷ om. Marc.) ὡς δεῖ δημιουργεῖται. οὐδ' ὑπερβατῶς· ἀλλ' ἢν ἀπῇ τι τῶν ὀργάνων ἐλινύει. καίτοι κ. τ. λ. — Haec vitiosa esse vidit Littréus, itaque principio καί post ὅσαι de suo delevit; item cum cod. A. omisit τοῖσι ante σώμασι; tum pro τὰ δ' ἐκ τούτων in cod. A. reperit ὄντα δὲ ἐκ τουτέων, unde dedit ὄντα δὲ τὰ ἐκ τουτέων. Quodsi iam textum ita decriptum legas, videbis nexum idoneum inter singula membra periodi non esse, totamque orationem esse incongruam. qua de re pluribus dicere supersedeo; sed malo quae ad rem faciant annotare. Advertit lectio codicis A. initio periodi καὶ ὅσαι καίτοι ἐν εὐεπ., — talem enim esse e Littréi adnn. efficio; — unde elicui καίτοι καὶ ὅσαι ἐν τοῖσι εὐεπ. E cod. Marc. mihi adnotatum est: παρεόντος ἄεργοί εἰσι καὶ ὅσαι μετὰ τοῦ ὀφθῆναι ἄεργοι, καὶ τοῖσι εὐεπανορθώτοισι τοῖσι σώμασι δημιουργεῖται. Advertit lectio eiusdem codicis A., τοῖσι τούτων ὁμοίοισι σχήμασι αἱ πλ., in qua σχήμασι non esse videtur glossema, aut interpretatio aliena, sed id potius in reliquis mss. periisse opinor. Iam vero manifesto ὄντα — τὰ — δημιουργεύμενα εὐεπανόρθωτα nata sunt e gignendi casu; est enim hic locus genitivo absoluto, qualem in primo volumine item saepius in codd. in nominativum aut accusativum abiisse vidimus. Hoc autem restituto δέ post ὄντων in δή mutare malui et δημιουργεῖται et ἐλινύει in pluralia erant mutanda, ut ad ὅσαι et αἱ πλεῖσται principio periodi longius ductae, ideoque a librariis turbatae, quum eam non intelligerent, referrentur. Iam demum sensus fit planus et perspicuus.

17. τῶν τὸ ἧπαρ.] τῶν Littr. e codd., reperio etiam in V. et Marc.; vulgo abest.

τι ἰδεῖν ὄψι, ᾗ.] Est lectio codicis A., a Littréo recepta, quae in corrupta vulgata latet, quam e V. adscripsi et quae in Marc. etiam habetur. Quod Buttmannum de superlativo ἱκανωτάτως dubitare adnotat Littréus et ipse video, non multum me movet; ille propter loci corruptelam dubitat, quae iam sublata est, nec video cur auctor noster saltem ita scribere non potuisset.

ξυνεργοὺς ἐφεῦρε.] συνεργοὺς εὗρε Marc.

φωνῆς τε γὰρ — δυναμένων.] Verba φωνῆς — ῥευμάτων Littréus e cod. A. demum plene et recte scripta hausit; in ceteris libris, etiam in Marciano, lacunae sunt, de quibus dicere non attinet. Pro δέδονται in uno libro prave δέχονται emendatur; ὀδμῇσι debetur codici A. ὀδμῆς habenti, unde Ionismum restituit Littr.; διασταθμώμενα A. falso.

ἃ διαρρεῖν εἴωθε, ἑκάστοισι δι' ὧν ἔξοδοι δέδονται, — [1] τὰ μὲν ὀδμῇσι, τὰ δὲ χροιῇσι, τὰ δὲ λεπτότητι καὶ παχύτητι διασταθμωμένη τεκμαίρεται, ὧν τε σημεῖα ταῦτα, ἅ τε πεπονθότων, ἅ τε παθεῖν δυναμένων. Ὅταν δὲ ταῦτα μὴ μηνύωνται, μηδ' αὐτὴ ἡ φύσις ἑκοῦσα ἀφίῃ, ἀνάγκας εὕρηκε, ᾗσι ἡ φύσις ἀζημίως βιασθεῖσα μεθίησι· ἀνεθέντα δὲ δηλοῖ τοῖσι τὰ τῆς τέχνης εἰδόσι, ἃ ποιητέα. Βιάζεται δὲ τοῦτο μὲν πῦρ τὸ ξύντροφον φλέγμα διαχέειν σιτίων δριμύτητι καὶ πομάτων, ὅκως τεκμαρεῖταί τι ὀφθὲν περὶ ἐκείνων, ὧν αὐτῇ ἐν ἀμηχάνῳ τὸ ὀφθῆναι [2] ἦν· [3] τοῦτο δ' αὖ πνεῦμα [4] ὧν κατήγορον, ὁδοῖσί τε προσάντεσι καὶ δρόμοισι ἐκβιᾶται κατηγορέειν· ἱδρῶτάς τε τούτοισι τοῖσι προειρημένοισι ἄγουσα ὕδατος θερμοῦ ἀποπνοίῃσι, [5] πυρὶ ὅσα τεκμαίρεται. Ἔστι δὲ ἃ καὶ διὰ τῆς κύστιος διελθόντα ἱκανώτερα δηλῶσαι τὴν νοῦσόν ἐστι, ἢ διὰ τῆς σαρκὸς ἐξιόντα. Ἐξεύρηκε οὖν καὶ τοιαῦτα πόματα καὶ βρώματα, ἃ τῶν θερμαινόντων θερμότερα γιγνόμενα τήκει τε ἐκεῖνα καὶ διαρρεῖν ποιέει, ἃ οὐκ ἂν διερρύη μὴ τοῦτο παθόντα. Ἕτερα μὲν οὖν πρὸς ἑτέρων καὶ ἄλλα δι' ἄλλων ἐστὶ τά τε διϊόντα τά τ' ἐξαγγέλλοντα, ὥστ' οὐ θαυμάσιον αὐτῶν τάς [6] τε

destillationes, quae defluere solent per vias, quibus earum singulis exitus est concessus, partim quidem odoribus, partim coloribus, modo etiam tenuitate et crassitudine diligenti trutina ponderans tum quarum partium tum quomodo iam affectarum, tum vero ad quemnam affectum opportunarum signa sint, colligit. Ubi vero ista de se significationem non praebuerint, neque ea sponte natura dimittit, necessarias vias quasdam invenit, per quas vi impulsa citra noxiam ea emittit, demissa vero artis peritis quae porro facienda sint plane indicant. Ac partim quidem ignem in nobis connatum cibi potusque acrimonia ut pituitam diffundat cogit, ut coniectura colligat quod sibi in his visum fuerit, quae conspici nullo modo potuerunt; partim vero spiritum ipsum, tanquam morbi delatorem, itinere et cursu per acclivia facto ea prodere cogit, quae denotare natus est. Quin etiam sudores prius commemoratis ciens per aquae calidae exhalationes (cogit prodere) ea, quae igne significantur. Quaedam praeterea per vesicam prodeuntia evidentius morbum ostendunt quam quae per carnes exeunt. Huiusmodi igitur cibos et potus adinvenit, qui, cum calidis succis sint calidiores, eos et eliquant et fluxiles reddunt, qui numquam effluerent, nisi hoc illis

[1] ὧν τὰ μέν. — [2] ἦν om. — [3] τό. — [4] ὄν. — [5] πυρὶ ὅσα om , tum τεκμαίρεται. — [6] τε om.

Reliqua varietas lectionis nullius fere momenti est; sed ante τὰ μὲν ὀδμῇσι inseritur ὧν in libris, quod mihi otiose invehi, quin omnem loci membrorum nexum et sensum eius pervertere videtur, ita ut abiecerim. In ῥευμάτων, ἃ διαρρεῖν εἴωθε, ἑκάστοισι δι' ὧν ἔξοδοι δέδονται, τὰ μὲν κ. τ. λ. iungere oportet: ῥευμάτων τὰ μὲν κ. τ. λ., non ῥευμάτων ἑκάστοισι. Nam cohaerent: ἃ εἴωθε διαρρεῖν δι' ὧν ἑκάστοισι ἔξοδοι δέδονται. E male iunctis verbis puto et loci corruptiones et interpretum errores exstitisse.

Ὅταν δὲ ταῦτα μὴ μηνύωνται.] Rectissime mihi visus est Littréus μή h. l. de suo adscribere, quod etiam in Marciano deficit.

ἀζημίως.] ἀζημίως cod. A., ἀζήμιος cett.

ἀνεθέντα.] Ceteri ἀνεθεῖσα, sed passivo hic locus esse nequit, nisi ad ταῦτα participium referatur; sin ad φύσις referre velis, activo opus erit, ita ut aut ἀνεῖσα, aut ἀνεθέντα corrigendum sit, quorum hoc praetuli.

τεκμαρεῖται.] Sic Littr. e cod. uno J. idemque mihi e Marc. excerpsit Cobetus; vulgo τεκμαρῆται, A. τεκμηρεῖται, alia vero manu τεκμηρῆται.

ὧν αὐτῇ ἐν ἀμηχάνῳ τὸ ὀφθῆναι ἦν.] Est codicis A. lectio a Littréo recepta. nisi quod αὔτη in αὐτῇ mutavit. Vulgo: ὧν αὐτὴ (αὐτῇ alii libri) ἐμηχάνωτο ὀφθῆναι; in Marciano ὧν αὐτῆι ἐν μηχάνωιτο ὀφθῆναι, τότ' αὖ πνεῦμα. (α superscriptum) in qua lectione illud ᾱ superscriptum est a secunda manu.

ὧν κατήγορον.] Est verissima emendatio Littréi pro ὃν κατηγ.

ἐκβιᾶται.] ἐκβιῆται A.

ἱδρῶτας — ἄγουσα ὕδατος θερμοῦ ἀποπνοίῃσι πυρὶ ὅσα τεκμαίρεται.] Subintelligitur in fine ex antecedentibus ἐκβιᾶται κατηγορέειν, quod non perspexisse credo Littréum, quum τεκμαίρονται ante τεκμαίρεται inferret. Nimirum vulgata habet: ἱδρῶτας — ἄγουσα ὑδάτων θερμῶν ἀποπνοίῃσι τεκμαίρεται; verum cod. A. praebet: ἱδρῶτας — ἄγουσα θερμὸν (θερμοῦ?) ὕδατος ἀποπνοίῃσι πυρὶ ὅσα τεκμαίρονται Putavit iam editor Parisiensis alteram lectionem ex altera esse explendam; secus sentio et ellipsin, qualem iudicavi, his inesse puto. Minutum est, quod θερμοῦ ὕδατος prae plurali praetuli.

καὶ διὰ τῆς κύστιος.] καί om. A. Idem liber et Marc. δηλῶσαι τὴν νοῦσόν ἐστι vulgata τ. ν. δ. ἔ. ferente.

τοιαῦτα πόματα.] τὰ τ. π. A.

τάς τε ἀπιστίας.] Sic Littréus e paucioribus codd., vulgo τάς τε πίστιας, de qua lectionis varietate iam Foës. in notulis monuit, qui πιστίας praefert. Equidem cum Lit-

ἀπιστίας χρονιωτέρας γίγνεσθαι τάς τ' ἐγχειρήσιας βραδυτέρας, οὕτω δι' ἀλλοτρίων ἑρμηνειῶν πρὸς τὴν θεραπεύουσαν ξύνεσιν ἑρμηνευομένων.

accideret. Itaque alia ex aliis et alia per alia tum corpus pervadunt, tum morbum denunciant, ut proinde nemini mirum videri debeat, si ad eorum cognitionem longius tempus requiratur, eosque tardius aggrediantur, cum per aliorum expositionem ad medici curantis cognitionem narratione devenerint.

ιη'. Ὅτι μὲν οὖν καὶ λόγους ἐν ἑωυτῇ εὐπόρους ἐς τὰς ἐπικουρίας ἔχει [1] ἡ ἰητρικὴ καὶ οὐκ εὐδιορθώτοισι δικαίως οὐκ ἂν ἐγχειρέοι τῇσι νούσοισι, ἢ ἐγχειρευμένας ἀναμαρτήτους ἂν παρέχοι, οἵ τε νῦν λεγόμενοι λόγοι δηλοῦσι αἵ τε τῶν εἰδότων τὴν τέχνην [2] ἐπιδείξιες, ἃς ἐκ τῶν ἔργων ἥδιον ἢ ἐκ τῶν λόγων ἐπιδεικνύουσι, οὐ τὸ λέγειν καταμελετήσαντες, ἀλλὰ τὴν πίστιν τῷ πλήθεϊ ἐξ ὧν ἂν ἴδωσι οἰκειοτέρην ἡγεύμενοι, ἢ ἐξ ὧν [3] ἂν ἀκούσωσι.

18. Quod igitur ars medica adhibendi remedii abundantem per se habeat rationum facultatem, quodque merito morbis, qui corrigi nequeunt, manus non admoveat, aut in iis aggrediendis inculpatam se exhibeat, tum praesens oratio manifesto indicat, tum viri huius artis periti ex ipsa lubentius quam verbis demonstrant, qui non tam orationis dictioni student, quam quod vulgi fidem ex his quae viderit firmiorem quam ex his quae audierit sibi comparaturos existimant.

ιθ'. Ὁκόσοι [4] μὲν ἐπεχείρησαν περὶ ἰητρικῆς λέγειν, ἢ γράφειν, ὑπόθεσίν σφισι αὐτοῖσι ὑποθέμενοι τῷ λόγῳ, θερμὸν, ἢ ψυχρὸν, ἢ ὑγρὸν, ἢ ξηρὸν, [5] ἢ ἄλλο τι ὅ τι ἂν ἐθέλωσι ἐς βραχὺ ἄγοντες τὴν ἀρχὴν τῆς αἰτίης τοῖσι ἀνθρώποισι τῶν νούσων τε καὶ τοῦ θανάτου καὶ πᾶσι τὴν αὐτὴν, ἓν ἢ δύο προθέμενοι, ἐν πολλοῖσι μὲν καὶ οἷσι λέγουσι καταφανέες εἰσὶ ἁμαρτάνοντες· [6] μάλιστα δὲ ἄξιοι μέμψασθαι, [7] ὅτι ἀμφὶ τέχνης ἐούσης, ᾗ [8] χρέονταί τε πάντες ἐπὶ τοῖσι μεγίστοισι καὶ τιμῶσι μάλιστα τοὺς ἀγαθοὺς χειροτέχνας καὶ δημιουργούς. Εἰσὶ δὲ δημιουργοὶ, οἱ μὲν φλαῦροι, οἱ δὲ πολλὸν διαφέροντες· ὅπερ εἰ μὴ ἦν ἰητρικὴ ὅλως, μηδ' ἐν αὐτῇ ἔσκεπτο, μηδ' [9] εὕρητο μηδὲν, οὐκ ἂν ἦν,

19. Qui quidem de medicina dicere, aut scribere aggressi sunt, supposuerunt suo sermoni calidum quid, aut frigidum, aut humidum, aut siccum, aut aliud quodlibet in breve contrahentes principium causae hominibus morborum et mortis, omnibusque idem unum, aut duo etiam proposuerunt et in multis, quae dicunt, manifesto errarunt. Sunt autem maxime culpandi, quod errarunt circa artem, quae re vera exsistit, et qua omnes utuntur in rebus maximis, et in qua artifices et opifices peritos summis honoribus dignos habent. Sunt autem opifices alii quidem mali, alii vero multum praestantes; quod sane minime contingeret, si prorsus non exsisteret ars medica, nihilque in ea vel observatione vel inventione constaret, om-

[1] ἡ om. — [2] sic V. — [3] ἄν om. — [4] μέν om. — [5] ἢ ἀλλ' ὅτι ἄν. — [6] μᾶλλον. — [7] ὅτι om. — [8] χρῶνται. — [9] εὕροιτο.

tréo consentio: ἀπιστίαι hic sunt dubitationes de natura mali, quae longiores esse dicuntur, propter rationem subsidiorum investigationis. Eò tamen etiam redit sensus interpretationis Foësianae.

ἐγχειρήσιας βραδυτέρας.] Ceteri βραχυτέρας, sed quod exhibeo Zuing. in m. habet et Mackius re ipsa dedit. Littréus factum noluit; mihi solum βραδυτέρας cum universi loci sensu congruere videtur.

18. παρέχοι.] Sic cod. A., Littr. et Marcianus liber; vulgo παρέχῃ; — ἢ ἐξ ὧν ἄν iidem, vulgo ἄν absente.

19. Ὁκόσοι μὲν ἐπεχ.] Sic scripsi cum cod. A.; ceteri omnes μέν omm.

ἢ ἄλλο τι ὅ τι ἂν ἐθελ.] Vulgatam e V. enotavi, sed cod. A. ἄλλο τι ὃ ἢν ἐθ; hinc effeci quod exhibui.

τῶν νούσων τε καὶ τοῦ θανάτου.] τῶν et τοῦ om. A.

προθέμενοι.] ὑποθέμενοι A solus. Ex eodem cod. μάλιστα Littr. dedit pro vulg. μᾶλλον et ὅτι. quod ceteri omm. — Ego de meo ἄξιον, in quo consentiunt mss., in ἄξιοι mutavi, referendum est enim ad eos, qui καταφανέες εἰσὶ ἁμαρτάνοντες.

καὶ δημιουργούς.] Hoc ex A. supplevit Littr.

μηδ' εὕρητο.] Sic legendum; vulg. εὕροιτο. unus cod. εὑρῆτο habet; sed advertit totum hoc μηδ' εὕρητο e cod. A. abesse. Credidi aliquando glossam, certe additamentum alie-

ἀλλὰ πάντες [1] ἂν ὁμοίως αὐτῆς ἄπειροί τε καὶ ἀνεπιστήμονες ἦσαν καὶ τύχῃ ἂν πάντα τὰ τῶν καμνόντων [2] διῳκέετο. Νῦν δ' οὐχ οὕτως ἔχει, ἀλλ' ὥσπερ καὶ τῶν ἄλλων τεχνέων πασέων οἱ δημιουργοὶ πολλὸν ἀλλήλων διαφέρουσι κατὰ χεῖρα καὶ κατὰ γνώμην, οὕτω δὴ καὶ ἐπὶ ἰητρικῆς. Διὸ οὐκ ἠξίουν αὐτὴν ἔγωγε κενῆς ὑποθέσιος δεῖσθαι, ὥσπερ τὰ ἀφανέα τε καὶ ἀπορεόμενα, περὶ ὧν ἀνάγκη, ἤν τις [3] ἐπιχειρέῃ λέγειν, ὑποθέσι χρῆσθαι· [4] οἷον περὶ τῶν μετεώρων, ἢ τῶν ὑπὸ γῆν, [5] ἃ εἴ τις καὶ λέγοι γιγνώσκειν ὡς ἔχει, οὔτ' ἂν αὐτῷ τῷ λέγοντι, οὔτε τοῖσι ἀκούουσι δῆλα ἂν εἴη, εἴ τε ἀληθέα ἐστὶ, εἴτε μή· οὐ γὰρ ἔστι πρὸς ὅ τι χρὴ [6] ἐπανενέγκαντα εἰδέναι τὸ σαφές.

nesque ex aequo inexperti et ignari essent, aegrotantiumque rebus fortuna praeesset. Verum aliter se res habet, nec secus ac in reliquis omnibus artibus opifices longe inter se tum manu tum mente praestant, sic etiam in arte medica. Quamobrem equidem ipsam vana sumptione non indigere putabam, sicuti quae obscura sunt et dubia, de quibus si quis dicere velit aliquid, necesse est eum sumptione uti. Veluti si quis de rebus sublimibus aut sub terra positis disserat, quas si quis diceret quomodo se haberent se scire, tamen neque ipsi dicenti neque audientibus constaret verumne sit, an non; neque enim datur ad quod quis referat, ut num clarum sit sciat.

κ'. Ἰητρικῇ δὲ πάλαι πάντα ὑπάρχει, καὶ ἀρχὴ καὶ ὁδὸς εὑρημένη, καθ' ἣν καὶ τὰ εὑρημένα πολλά τε καὶ καλῶς ἔχοντα εὕρηται ἐν πολλῷ χρόνῳ καὶ τὰ λοιπὰ εὑρεθήσεται, ἤν τις ἱκανός τ' ἐὼν καὶ τὰ εὑρημένα εἰδὼς, ἐκ τούτων ὁρμώμενος ζητέῃ. Ὅστις δὲ ταῦτα ἀποβαλὼν καὶ ἀποδοκιμάσας πάντα, ἑτέρῃ ὁδῷ καὶ ἑτέρῳ σχήματι ἐπιχειρέει ζητέειν καὶ φήσει τι εὑρηκέναι ἐξηπάτηται [7] τε καὶ ἐξαπατᾷ· — ἀδύνατον γάρ. Δι' ἃς δὲ ἀνάγκας ἀδύνατον ἐγὼ [8] πειρήσομαι ἐπιδεῖξαι λέγων καὶ δεικνὺς τὴν τέχνην [9] ὅ τι ἐστί. Ἐκ δὲ τούτου καταφανὲς ἔσται ἀδύνατα ἐόντα ἄλλως πως εὑρίσκεσθαι. Μάλιστα δέ μοι δοκέει περὶ ταύτης δεῖν λέγοντα τῆς

20. At vero in medicina iam pridem omnia subsistunt, in eaque principium et via inventa est, per quam praeclara multa longo temporis spatio sunt inventa et reliqua deinceps invenientur, si quis probe comparatus fuerit, at ex inventorum cognitione ad ipsorum investigationem feratur. Qui vero his omnibus reiectis ac repudiatis aliam inventionis viam aut modum aggreditur et aliquid se invenisse iactitat, is cum fallitur, tum alios fallit; neque enim illud ullo pacto fieri potest. Quas autem ob causas illud fieri nequeat, postea ostendam, ubi quid ars sit dixero, ac docuero. Ex quo etiam manifestum fiet nihil omnino alia ratione inveniri posse. Ac mihi quidem maxime videtur qui de

[1] ὁμοίως ἄν. — [2] διοικεῖτο. — [3] ἐπιχειροίη. — [4] ὅ. — [5] εἰ λέγοι τις καὶ γινώσκων ὡς ἔχει. — [6] ἐπανέγκαντα. — [7] καὶ ἐξαπατᾶται. — [8] πειράσομαι. — [9] ὅτι ἐστίν.

num esse; sed nostri oratio redundantior me ab ea opinione revocavit.

διῳκέετο.] Non sum certus, non *διοικέετο* codicis A. ab auctoris manu esse.

διὸ οὐκ ἠξίουν — δεῖσθαι.] Secutus sum ordinem verborum in cod. A.; vulgo *διὸ οὐκ ἠξ. ἔγ. κενῆς αὐτέην ὑποθ. δ.*

περὶ ὧν ἤν τις ἐπιχειρέῃ λέγειν.] Cod. A. *ἐπιχειρῇ τι λέγειν*, sed *τι* h. l. otiosum.

ἃ εἴ τις καὶ λέγοι γιγνώσκειν ὡς ἔχει, οὔτ' ἂν αὐτῷ τῷ λέγοντι κ. τ. λ.] Vulgata *εἰ λέγοι τις καὶ γινώσκοι ὡς ἔχει*: — cod. A. *ἀεί τις λέγειν καὶ γινώσκει*. Littréus inde coniectura effecit *ἃ εἴ τις λέγοι καὶ γινώσκειν*, quod recipio voculas *λέγοι καί* transponens, quum *καί* minus apte eo loco poni putem. Vulgo *αὐτῷ* sine *τῷ*, sed plures libri, inter quos cod. A. *αὐτῷ τῷ*. Hunc cum Littréo sequor, licet sentiam vulgatam non pravam lectionem referre.

20. *καὶ φήσει τι εὑρηκέναι ἐξηπάτηταί τε καὶ ἐξαπατᾷ.*] In his *ἐξευρηκέναι* cod. A., sed puto praepositionem a seqq. verbis adhaerere. Libri *ἐξηπάτηται καὶ ἐξαπατᾶται* miro sane sensu et satis inepto; sed Calvus „fallitur fallitque et fallitur" Corn. vulgatam exprimit, Foës. „cum fallitur, tum alios fallit." — Itaque e librorum lectione quod loci sensus flagitat ne literulam quidem omittens, sed *ται* in *τε* mutans et transponens effeci.

τῆς τέχνης ὅ τι ἐστί.] Optimus cod. Par. *ὅτι*, quod Calvus, Foës. exprimunt, nec tamen auctorem voluisse credo.

ἄλλως πως εὑρίσκεσθαι.] *ἄλλως πως τουτέων εὑρ.* cod. A, quem nunc sequi non oportet.

δέ μοι.] *δ' ἐμοί* A. et mox *οὔτε γὰρ περὶ ἄλλου*, quorum hoc error scribae est.

τέχνης γνωστὰ λέγειν τοῖσι δημότησι. Οὐ γὰρ περὶ ἄλλου τινὸς οὔτε ζητέειν προσήκει, οὔτε λέγειν ἢ περὶ τῶν παθημάτων, ὧν αὐτοὶ οὗτοι νοσέουσί [1] τε καὶ πονέουσι. Αὐτοὺς μὲν οὖν τὰ σφέων αὐτῶν παθήματα καταμαθεῖν, ὥς τε γίγνεται καὶ παύεται καὶ δι' οἵας προφάσιας αὔξεταί τε καὶ φθίνει, [2] δημότας ἐόντας οὐ ῥηΐδιον, ὑπ' ἄλλου δ' εὑρημένα καὶ λεγόμενα εὐπετές. Οὐδὲν γὰρ ἕτερον [3] ἢ ἀναμιμνήσκεται ἕκαστος ἀκούων τῶν ἑαυτῷ ξυμβαινόντων· εἰ δέ τις τῆς τῶν ἰδιωτέων γνώμης ἀποτεύξεται καὶ μὴ διαθήσει τοὺς ἀκούοντας [4] οὕτως, τοῦ ἐόντος ἀποτεύξεται. Καὶ διὰ ταῦτα οὐδὲν δεῖται ὑποθέσιος.

κα'. Τὴν [5] γὰρ ἀρχὴν οὔτ' ἂν εὑρέθη ἡ τέχνη ἡ ἰητρικὴ, οὔτ' ἂν ἐζητήθη, — οὐδὲν γὰρ αὐτῆς ἔδει, — εἰ τοῖσι κάμνουσι τῶν ἀνθρώπων τὰ αὐτὰ διαιτωμένοισί τε καὶ προσφερομένοισι, ἅπερ οἱ ὑγιαίνοντες ἐσθίουσί τε καὶ πίνουσι καὶ τἄλλα διαιτέονται, ξυνέφερε καὶ μὴ ἦν ἕτερα τούτων βελτίω. Νῦν δ' αὐτὴ ἡ ἀνάγκη ἰητρικὴν ἐποίησε ζητηθῆναί τε καὶ εὑρεθῆναι ἀνθρώποισι, [6] ὅτι τοῖσι κάμνουσι ταὐτὰ προσφερομένοισι, ἅπερ οἱ ὑγιαίνοντες, οὐ ξυνέφερε, ὡς οὐδὲ νῦν ξυμφέρει. Ἔτι δ' ἄνωθεν [7] ἔγωγε ἀξιῶ οὐδ' ἂν τὴν τῶν ὑγιαινόντων δίαιτάν τε καὶ τροφὴν, ᾗ νῦν χρέονται, εὑρεθῆναι, εἰ ἐξήρκει τῷ ἀνθρώπῳ ταὐτὰ ἐσθίοντι καὶ πίνοντι βοΐ τε καὶ ἵππῳ καὶ πᾶσι ἐκτὸς ἀνθρώπου, οἷον τὰ ἐκ τῆς γῆς φυόμενα καρπούς τε καὶ ὕλην καὶ χόρτον· [8] ἀπὸ τούτων γὰρ καὶ τρέφονται καὶ αὔξονται

hac arte disserere instituit quae plebeiis nota sunt dicere debere, cum de nullo alio vel quaerere vel dicere conveniat, quam de morbis, quibus ii ipsi tentantur ac laborant. Cum igitur rudes sint, neque morbos quibus aegrotant nosse, neque quomodo oriantur aut desinant, neque ob quas causas increscant aut minuantur, iis est facile; ab alio vero inventa et exposita facile. Neque enim aliud quid fit, quam ut audiens recordetur unusquisque quid sibi ipsi acciderit. Quod si quis popularium sententiam non assequatur, neque audientes eo modo afficiat, quod vere est non assequetur. Quapropter nulla indiget sumptione.

21. Statim sane neque inventa fuisset, neque investigata ars medica, — neque enim ea opus fuisset, — si aegrotantibus inter homines eadem victus ratio, idemque cibi ac potus genus, quod sani edunt et bibunt et qua ceterum degunt, profuisset, neque alia essent his praestantiora. At nunc necessitate coacti homines artem medicam invenerunt et investigarunt, quia aegrotantibus idem cibus ac potus oblatus, qui sanis, non profuit, quemadmodum neque hodie prodest. Ad haec superioribus equidem saeculis neminem istam bene valentium victus rationem et alimentum illud, quo nunc utuntur, inventurum fuisse existimo, si idem cibus et potus homini, qui bovi et equo, et ceteris praeter hominem animantibus satis fuisset, ea nempe, quae ex terra oriuntur, fructus, herbae et foenum; nam his et nutriuntur et augentur, et sana degunt,

[1] τε καὶ π. abest. — [2] ἰδιώτας. — [3] ἢ om. — [4] οὗτος τοῦ ἐόντος ἀποτ. — [5] γάρ om. — [6] ὅτι τοῖσι κ. V. — [7] ἀξ. ἐγ. — [8] οἱ ἀπὸ τουτέων τρέφονται καὶ αὐξ.

τε καὶ πονέουσι.] E cod. A. haec supplevit Littr.

ὥς τε γίγνεται καὶ παύεται.] Cod. A. om. τε, quod negligere nolim. Idem liber paulo post δι' ἃς προφ.

δημότας ἐόντας.] Sic A., Littr.; e V. vulgatam enotavi.

ἢ ἀναμιμν.] Hic quoque ἢ Littr. ex A. adscripsit. Idem autem liber paulo inferius οὕτως solus pro οὗτος; recepi cum Littréo.

καὶ διὰ ταῦτα οὐδὲν δεῖται ὑποθέσιος.] Ceteri καὶ διὰ ταῦτα οὖν οὐδὲν κ. τ. λ.; sed aut καί, aut οὖν abundat; puto autem duplicem fuisse lectionem, alteram, quam dedi, alteram διὰ ταῦτα οὖν οὐδὲν δ. ὑ.

21. εἰ τοῖσι κάμνουσι.] εἰ abesse solet; praebuit Littréo A.

καὶ τἄλλα διαιτέονται.] Sic A., Littr.; vulgo καὶ τἄλλα διαιτωμένοις.

καὶ μὴ ἦν ἕτ.] Sic A.; καὶ εἰ μὴ ἦν ἕτ. plures libri, sed repetito εἰ non est opus.

τούτων βελτίω.] Sic Littr. e pluribus mss. Parr.; vulgo pronomen abest.

αὐτὴ ἡ ἀνάγκη.] αὕτη ἡ ἀ. cod. A.

ζητηθῆναι.] Sic A., Littr.; vulgo ζητεῖσθαι.

ὅτι τοῖσι κάμνουσι.] τοῖσι om. Littr., num consulto, an fortuito mihi non liquet. Ad οἱ ὑγιαίν. adscribit in cod. A. οἱ abesse; at ibi servavit. Mihi aut utroque loco articulus servandus, aut utroque delendus videtur, quorum hoc si quis malit, non adversor.

δ' ἄνωθεν.] δὲ ἄν. A.

τὴν τῶν ὑγιαινόντων.] Sic vulg.: quare τήν om. Littréus, non constat.

ἀπὸ τούτων γὰρ καὶ τρέφονται καὶ α.] Vulgo οἱ ἀπὸ τουτέων τε καὶ τρ. καὶ α. —, in qua lectione οἱ debebit

καὶ ἄπονοι διάγουσι, οὐδὲν προσδεόμενοι ἄλλης διαίτης. Καίτοι τὴν ἀρχὴν ἔγωγε ἀξιῶ καὶ τὸν ἄνθρωπον τοιαύτῃ τροφῇ κεχρῆσθαι· τὰ δέ [1]γε νῦν διαιτήματα εὑρημένα τε καὶ τετεχνημένα ἐν πολλῷ χρόνῳ γεγενῆσθαί μοι δοκέει, ὡς ἔπασχον πολλά τε καὶ δεινὰ ὑπὸ ἰσχυρῆς τε καὶ θηριώδεος διαίτης [2]ὠμά τε καὶ ἄκρητα καὶ μεγάλας δυνάμιας ἔχοντα ἐσφερόμενοι, οἷά περ ἂν καὶ νῦν ὑπ' αὐτῶν πάσχοιεν, πόνοισί τε ἰσχυροῖσι καὶ νούσοισι περιπίπτοντες καὶ διὰ τάχεος θανάτοισι. Ἧσσον μὲν οὖν ταῦτα τότε εἰκὸς ἦν πάσχειν διὰ τὴν ξυνήθειαν, ἰσχυρῶς δὲ καὶ τότε· καὶ τοὺς μὲν πλείστους τε καὶ ἀσθενεστέρην φύσιν ἔχοντας ἀπόλλυσθαι εἰκός, τοὺς δὲ τούτων ὑπερέχοντας πλείω χρόνον ἀντέχειν· ὥσπερ καὶ νῦν ἐκ τῶν ἰσχυρῶν βρωμάτων οἱ [3]μὲν ῥηϊδίως ἀπαλλάσσονται, οἱ δὲ μετὰ πολλῶν πόνων τε καὶ κακῶν. Διὰ δὴ ταύτην τὴν χρείην καὶ οὗτοί μοι δοκέουσι ζητῆσαι τροφὴν ἁρμόζουσαν τῇ φύσι καὶ εὑρεῖν ταύτην, ᾗ νῦν χρώμεθα· ἐκ μὲν [4]οὖν τῶν πυρῶν βρέξαντες καὶ πτίσαντες [5]καὶ καταλέσαντες καὶ διασήσαντες καὶ [6]φορύξαντες καὶ ὀπτήσαντες ἀπετέλεσαν μὲν ἄρτον· ἐκ δέ γε τῶν κριθέων μᾶζαν ἄλλα τε συχνὰ περὶ ταύτην πρηγματευσάμενοι ἥψησάν τε καὶ ὤπτησαν καὶ ἔμιξαν καὶ ἐκέρασαν [7]τὰ ἰσχυρά τε καὶ ἄκρητα τοῖσι ἀσθενεστέροισι, πλάσσοντες

nullo alio victu indigentia. Quin equidem principio etiam hominem tali victu usum esse arbitror. At cibaria, quibus nunc utuntur, non nisi arte inventa et excogitata longo temporis intervallo in usum deducta mihi videntur, cum nimirum ex robusto et ferino victu, crudis et intemperatis et nimium valentibus cibariis sumptis, in multos et graves morbos homines inciderent, in quos etiam hoc tempore, si iisdem uterentur, incurrerent, gravibus doloribus et morbis correpti brevi vitam cum morte commutantes. Ac probabile quidem est tunc quidem minus eos ista passos esse propter consuetudinem, — licet tunc etiam valde paterentur, — et plerosque et naturam debiliorem habentes periisse est vero simile, eos vero qui viribus praestarent, diutius restitisse, non secus atque hoc tempore quidam valentiores cibos facilius ferunt, alii vero cum multis doloribus ac molestiis. Eaque sane necessitate mihi adducti illi videntur consentaneum naturae alimentum investigasse et id, quo nunc utimur, invenisse. Triticum igitur macerantes et pinsentes, et molis frangentes et cribro excutientes et subigentes et assantes panem quidem confecerunt; ex hordeo vero mazam et alia multa circa eam magna opera adhibita agentes, coxerunt et assarunt; et valentia et intemperata imbecillioribus miscuerunt et temperarunt et omnia pro hominis

[1] γε om. — [2] σώματα καί. — [3] μὲν γὰρ ῥ. — [4] οὖν abest. — [5] πάντα καταλ. — [6] φοράσαντες V. in m., sed eadem manu. — [7] τά om.

esse relativum οἵ; sed cum Littréo amplector lectionem codicis A., qui num καὶ τρέφονται omittat, nescio; omisit Littr., sed non omittendum est, etiamsi desit in A.; puto autem forte fortuito apud illum neglectum esse.

καίτοι τὴν ἀρχὴν.] τήν γε in his A., tum paulo post δοκέω pro ἀξιῶ.

τὰ δέ γε νῦν δ.] γε om. A.

εὑρημένα τε καὶ τετεχνημένα.] καί habet A. solus; cum Littréo recepi et τε de meo adscripsi.

ὡς ἔπασχον.] Ceteri ὡς γὰρ ἔπασχον, quod quam ineptum sit, nemo semel admonitus non videbit; itaque otiosum γάρ abieci. Quin ne certus quidem sum non μοι δοκέει item emblema esse alienum, sed plura de sede sua movere nolo.

ὑπὸ ἰσχυρῆς.] Sic A., vulgo ἀπό, sed mox omnes ὑπ' αὐτῶν πάσχοιεν; itaque hic quoque ὑπό recepi.

ὠμά τε.] Sic A.; in vulgata in σώματα abierat.

ἐσφερόμενοι.] Cum hoc verbo cf. ἐσβάλληται infra eodem hoc capitulo, ubi A. ἐμφέρηται, pro quo ἐσφέρηται legendum censet Littr., putans ἐσβάλληται fortasse glossam esse; quod mihi non persuadet, quum potius credam ἐμφέρηται s. ἐσφέρηται esse correctionem arbitrariam in A. illo loco. Infra autem § 29. ἐπεσενέγκατο, unde constat h. l. ἐσφερόμενοι recte constare, neque προσφερόμενοι requiri.

ἰσχυρῶς δὲ καὶ τότε.] Mihi quidem h. l. vix textus a vitiis liber esse videtur, licet sensum, ut aiunt, sanum praebeat. Conieci quidem aliquid, sed reticeo, quum nimis incertum sit; qui post me libellum edent de his locis accurate videant.

ἐκ τῶν ἰσχυρῶν.] ἀπὸ τῶν ἰσχ. A.

χρείην.] αἰτίην A.

βρέξαντες.] βρέξαντες σφᾶς A.

καὶ καταλέσαντες.] Post hoc participium Littréus e cod. A. recepit πάντα, quod mihi emblema alienum videtur, licet Foësius in Latinis id respicere videatur.

ἀπετέλεσαν μὲν ἄρτον.] μέν vulgo abest, sed latere sum arbitratus in codicis A. lectione ἀπετελέσαμεν. — Idem liber ἐκ δὲ τῶν κρ.

καὶ ἔμιξαν καὶ ἐκέρασαν.] Similiter in fine §. 31. κέκρηταί τε καὶ μέμικται, et in media §. 32. ταῦτα μὲν

πάντα πρὸς τὴν τοῦ ἀνθρώπου φύσιν τε καὶ δύναμιν, ἡγεύμενοι ὅσα μὲν ἂν ἰσχυρότερα ᾖ οὗ δυνήσεται κρατέειν ἡ φύσις ἐσβάλληται, ἀπὸ τούτων αὐτῶν πόνους τε καὶ νούσους καὶ θανάτους ἔσεσθαι· ὅσων δ' ἂν δύνηται ἐπικρατέειν, ἀπὸ τούτων τροφήν τε καὶ αὔξησιν καὶ ὑγίειαν. Τῷ δ' εὑρήματι τούτῳ καὶ ζητήματι [1]*τί οὖν ὄνομα δικαιότερον ἄν τις* [2]*θείη ἢ ἰητρικήν; ὅτι γε εὕρηται ἐπὶ τῇ τοῦ ἀνθρώπου ὑγιείῃ τε καὶ τροφῇ καὶ σωτηρίῃ, ἄλλαγμα ἐκείνης τῆς διαίτης, ἐξ ἧς οἱ πόνοι καὶ νοῦσοι* [3]*καὶ θάνατοι ἐγίγνοντο.*

natura et viribus composuerunt, rati cibos valentiores ingestos, quam qui a natura superari possint, dolores, morbos et mortem afferre; eos vero, qui a natura superarentur, alimentum, incrementum ac sanitatem praestare. Huic autem invento quodnam convenientius quam medicinae nomen imponi queat? quandoquidem ad hominis sanitatem, nutritionem et salutem inventum est, quod in illius victus rationis vicem succederet, ex qua dolores et morbi et mors profluunt.

κβ'. Εἰ *δὲ μὴ τέχνη* [4]*αὕτη νομίζεται εἶναι, οὐκ* [5]*ἀπεοικός· ἧς γὰρ μηδείς ἐστι ἰδιώτης, ἀλλὰ πάντες ἐπιστήμονες διὰ τὴν χρῆσίν τε καὶ ἀνάγκην, οὐ προσήκει ταύτης οὐδένα τεχνίτην καλέεσθαι· . . . . ἐπεὶ τό γε εὕρημα καὶ μέγα καὶ πολλῆς σκέψιός τε καὶ τέχνης. Ἔτι γοῦν καὶ νῦν οἱ τῶν γυμνασίων τε καὶ ἀνακτησίων ἐπιμελεόμενοι αἰεί τι προσεξευρίσκουσι κατὰ τὴν*

22. Quod si quis hanc ipsam artem esse non existimet, non absurde prorsus sentiat. Cuius enim artis propter usum et necessitatem nemo rudis est, sed omnes periti, illius artificem aliquem vocari non fas est . . . . quum inventum sit magnum et multa observatione atque arte constet. Quin etiam in hodiernum usque diem qui rei gymnasticae et viribus reficiendis praesunt eadem via investigando semper aliquid

[1] *τί ἂν ὄνομα δ. ἄν τις προσῆκον μᾶλλον.* — [2] *θεοῖτο.* — [3] *καὶ θ.* om. — [4] *αὐτῇ.* — [5] *ἀπεικός.*

μεμιγμένα καὶ κεκρημένα ἀλλήλοισι. Adpono ne putes esse sive glossema, sive dittographiam *καὶ ἔμιξαν.*

ἡγεύμενοι ὅσα μὲν ἂν ἰσχυρότερα ᾖ οὗ δυνήσεται κρατέειν ἡ φύσις ἐσβάλληται, ἀπὸ τούτων αὐτῶν πόνους — ἔσεσθαι.] Vulgo *ἡγεύμενοι ὅσα μὲν ἰσχυρότερα ᾖ οὐ δυνήσεται κρατέειν ἡ φύσις, ἣν ἐσβάληται, ἀπὸ τούτων δ' αὐτῶν πόνους — ἔσεσθαι.* — Littréus in his: *ἡγεύμενοι ὅτι ὅσα ἂν ἰσχυρότερα ᾖ, οὐ κ. τ. λ.* e textu Mercurialis; sed multo meliorem coniecturam suam in notis dedit: *ἡγεύμενοι ὅσα μὲν ἂν ἰσχυρότερα ᾖ ἢ δυνήσεται κρατέειν ἡ φύσις, ἣν ἐσβάληται, ἀπὸ τούτων.* Nimirum summam rei acu tetigit; dicam tamen qua in re aliquid mutatum cupiam: *ᾖ* et *ἤ* sibi subsequentia mirum sonant, neque *ᾖ* requiritur, quum solum *ἤ* sufficiat; *ἥν* aute *ἐσβ.* item supervacaneum; nam proxime cohaerent *ὅσα ἂν ἐσβ.* — Verum hocce *ἐσβάληται* vitiosum est, certe *ἐσβάλληται* esse debebit, quod malui quam cum cod. A. *ἐμφέρηται* scribere. E vulg. *οὐ* lego *οὗ*. Quod ad *δ'* ante *αὐτῶν* attinet, id omni modo redundat, etiam in vulg., neque *τε* codicis A. placet, si quid eiusmodi velles, saltem *γε* esse deberet, sed praestat cum Littréo otiosam particulam omittere.

τῷ δ' εὑρήματι.] *τῷ δὲ εὑρ.* A., qui codex plenam hanc lect. Littréo praebuit; vulgo *τούτῳ καὶ ζητήματι* abest.

τί οὖν ὄνομα δικαιότερον ἄν τις θείη ἢ ἰητρικήν;] Vulgo: *τί ἂν οὖν ὄνομα δικαιότερον ἄν τις προσῆκον μᾶλλον θεῖτο ἢ ἰητρικήν;* Littréus codicem A. est secutus legens: *τί ἄν τις οὔνομα δικαιότερον ἢ προσῆκον μᾶλλον θείη ἢ ἰητρικήν;* Vera autem lectio latet in vulgata, obscurata glossemate, quod *ἢ* addendo magis obtexit descriptor codicis A.: nempe *προσῆκον μᾶλλον* non est nisi interpretatio nominis *δικαιότερον*. Iam intelliges, quare locum eo modo, quo feci, exhibuerim.

ὅτι γε εὕρηται.] Est lectio codicis A. a Littréo recepta, vulgo *γε* abest.

ἐκείνης.] *ἐκείνης* A. *κείνης* vulgo.

καὶ θάνατοι.] Haec om. A. Ni fallor *ἐγίνοντο* de suo dedit Littréus pro vulgato *γίνονται*; credo imperfectum praestare.

22. *εἰ δὲ μὴ τέχνη αὕτη νομ. ἐ.*] *αὕτη* solus A., *αὐτή* vulgo. Idem cod. A. mox *μηδεὶς ἔσται ἰδιώτης.*

διὰ τὴν χρ.] *ἐπεὶ διὰ τὴν χρ.* A.

καὶ μέγα καὶ πολλῆς.] *μέγα τε καὶ π.* A.

. . . . *ἐπεὶ κ. τ. λ.*] Si quis ad rerum consecutionem in vulgato *οὐ προσήκει ταύτης οὐδένα τεχνίτην καλέεσθαι· ἐπεὶ τό γε εὕρημα μέγα καὶ πολλῆς τέχνης τε καὶ σκέψιος* mentem advertat, non poterit negare nexum in his esse incongruum, seu potius nullum. Verum Corn. *ἐπεί* reddit „atqui", Foës. „quanquam." Littr. „et cependant." — Itaque mecum quaesivi num forte in *ἐπεί* lateret aliquid, quale *ἔστι δέ*, vel aliud quid eiusdemmodi. Sed ne sic quidem apte procedit sermo, quum mirum esset non licere *τεχνίτας* appellare occupatos in re *πολλῆς τέχνης*, neque esset non *ἀπεοικός*, sed omnino *ἀπεοικός* rem *πολλῆς τέχνης* artem non esse reputari. Itaque potius credo lacunam esse, qua protasis perierit sententiae, cuius apodosin relictam habemus in verbis *ἐπεὶ — σκέψιος.* — Unde factum, ut lacunae signa ponerem.

σκέψιος τε καὶ τέχνης.] Sic A.; vulgo *τέχνης τε καὶ σκέψιος.*

ἀνακτησίων.] Sic vulgata: cod. A. *ἀσκησίων*, quod puto recentem esse correctionem scilicet male intellecti adeoque vitiosi habiti *ἀνακτησίων*, cuius corruptela est *ἀκτησίων* in aliis libris.

ἐπιμελεόμενοι.] Vulgo *ἐπιμελούμενοι*, sed Littr. *ἐπιμελόμενοι* e pluribus libris, quod ex Ionica forma ortum putavi.

αὐτὴν ὁδὸν ζητέοντες ὅ τι ἔδων τε καὶ πίνων ἐπικρατήσει τε [1] αὐτοῦ μάλιστα καὶ [2] ἰσχυρότατος αὐτὸς ἑωυτοῦ ἔσται.

κγ'. [3] Σκεψώμεθα δὲ καὶ τὴν ὁμολογουμένως ἰητρικὴν, τὴν ἀμφὶ τοὺς κάμνοντας εὑρημένην ἣ καὶ οὔνομα καὶ τεχνίτας ἔχει, εἰ κρατέειν καὶ αὕτη τῶν αὐτῶν ἐθέλει καὶ ὁπόθεν ποτὲ ἦρκται. Ἐμοὶ μὲν γὰρ, ὅπερ ἐν ἀρχῇ εἶπον, [4] οὐδ' ἂν ζητῆσαι ἰητρικὴν δοκέει οὐδεὶς, εἰ ταὐτὰ διαιτήματα τοῖσί τε κάμνουσι καὶ τοῖσι ὑγιαίνουσι ἥρμοζε. Ἔτι γοῦν καὶ νῦν ὁκόσοι ἰητρικῇ μὴ χρέονται, οἵ τε βάρβαροι καὶ τῶν Ἑλλήνων [5] οἱ ὅμοροι τὸν αὐτὸν τρόπον, ὅν περ [6] οἱ ὑγιαίνοντες, διαιτέονται πρὸς ἡδονὴν καὶ οὔτ' ἂν ἀπόσχοιντο οὐδενὸς ὧν ἐπιθυμέουσι, [7] οὔθ' ὑποστείλαιντο ἄν. Οἱ δὲ ζητήσαντές τε καὶ εὑρόντες ἰητρικὴν, τὴν αὐτὴν ἐκείνοισι διάνοιαν ἔχοντες, περὶ ὧν μοι ὁ [8] πρότερον λόγος εἴρηται, πρῶτον μὲν οὖν, οἶμαι, ὑφεῖλον τοῦ πλήθεος τῶν σιτίων αὐτῶν τούτων καὶ ἀντὶ πλεόνων [9] ὀλίγα ἐποίησαν· ἐπεὶ δὲ αὐτοῖσι τοῦτο ἔστι μὲν [10] ὅτε πρός τινας τῶν καμνόντων ἤρκεσε καὶ φανερὸν ἐγένετο ὠφελῆσαν, οὐ μέντοι πᾶσί γε, ἀλλ' ἦσάν τινες οὕτως ἔχοντες, ὡς μήδ' ὀλίγων σιτίων δύνασθαι ἐπικρατέειν, ἀσθενεστέρου δὲ δή τινος [11] οἱ τοιοίδε ἐδόκεον δεῖσθαι, εὗρον τὰ ῥυφήματα μίξαντες ὀλίγα τῶν ἰσχυρῶν πολλῷ τῷ ὕδατι καὶ ἀφαιρεό-

inveniunt, quo quis pro cibo et potu usus id facillime subigat et quam maxime fieri possit robustus fiat.

23. Medicinam vero, quam omnes aegrorum causa inventam esse fatentur, in considerationem adhibeamus, quae et nomen et artifices habet, num eadem sibi subiicere velit, et unde initium duxerit. Ac mea quidem opinione, quam supra dixi, nemo ad medicinam investigandam animum applicaturus fuisset, si eadem victus ratio et aegris et sanis accommodata esset. Quare etiam in hunc usque diem barbari et e Graecis his finitimi, apud quos nullus est medicinae locus, eadem victus ratione qua sani ad voluptatem utuntur, neque eo, quod expetunt, abstinent, neque sibi temperant. At vero qui medicinam perscrutando invenere, eandem quam qui a me superiore oratione dicti sunt sententiam secuti, primum quidem, ut sentio, de suis cibis copiam detraxerunt et pro multis paucos sumpserunt. Quod cum aegrotantibus quibusdam satis esset, palamque prodesse, non tamen omnibus constaret, verum essent quidam ita affecti, ut ne paucos quidem cibos conficere possent, quibus sane imbecilliore quodam cibo opus esset, sorbitiones invenerunt, valentes cibos paucos aqua diluentes eorumque vim temperatione et coctione detrahentes. Quodsi qui neque sorbitiones superare possent, iis etiam detractis potiones sub-

[1] αὐτέων. — [2] ἰσχυρότατος ἑωυτοῦ ἔ. — [3] σκεψόμεθα. — [4] οὐδ' εἰ ταῦτα. — [5] οἱ ὅμοιοι. — [6] οἱ om. — [7] οὐδὲ στείλαιντο. — [8] πρότερον. — [9] ὀλίγα. — [10] μὲν sine ὅτε. — [11] ἐδόκεον οἱ τοιοῦτοι.

ἔδων.] ἐσθίων A., unde rursus apparet cod. vetustissimum non semper antiquissimas referre lectiones.

ἐπικρατήσει τε αὐτοῦ μάλιστα.] αὐτοῦ A., αὐτέων vulg.

ἰσχυρότατος αὐτὸς ἑωυτοῦ.] A. ἰσχυρότερος αὐτὸς ἑωυτοῦ; vulg. ἰσχυρότερος ἑωυτοῦ, alii libri ἰσχυρότατος ἑωυτοῦ. Itaque in lectionem codicis A. superlativum intuli.

23. σκεψώμεθα δέ.] Vulgo σκεψώμεθα γοῦν, sed in antithesi medicinae ab omnibus dictae et alterius illius, quae ars non esse putatur in superioribus, puto δέ, quod A. praebet, praeferendum esse.

ἣ καὶ οὔνομα.] Sic Littr. e cod. A. et m. Zuing.; vulgo εἰ καὶ ὁ.

εἰ κρατέειν καὶ αὕτη.] καὶ κρατεῖν καὶ αὐτή vulg.; εἰ A. et Zuing. m., unde Littréus εἰ κρατέειν καὶ αὐτή, — sed manifesto αὕτη scribendum est. Codicis A. lectio ἦρά τι pro εἰ κρατεῖν, ita comparata est, ut putem descriptorem voluisse ἦρά τι κρατεῖν καὶ αὕτη τῶν αὐτῶν ἐθέλει; — Vulgo ἐθέλοι, unus cod. indicativum Littréo praebuit. — Dein πόθεν A.

οὐδ' ἂν ζητῆσαι ἰητρικὴν δοκέει οὐδείς.] In his ζητέει vulg. et cod. A.; mss. tria δοκέοι.

ὁκόσοι ἰητρικῇ μὴ χρ.] ὁκόσοι A.; ὅσοι cett.

καὶ τῶν Ἑλλήνων οἱ ὅμοροι.] In vulg. οἱ abest: sed cod. Voss. οἱ ὅμοιοι, unde recepi. Cod. A. καὶ τῶν Ἑλλήνων ἔνιοι, in quo ἔνιοι recens correctio videtur pro ὅμοιοι, in quod ὅμοροι in multis cod. abiit.

οἱ ὑγιαίν.] Sic Littr. ex A.; vulgo οἱ om.

οὔθ' ὑποστείλαιντο.] Sic A., Littr.; vulgatam e V. enotavi.

ζητήσαντές τε καὶ εὑρ.] τε om. A.; idem dein ἐκείνοισι, cett. κείνοισι. — ὁ πρότερον λ. A, ὁ πρότερος λ. cett.

πρῶτον μὲν οὖν οἶμαι.] οὖν e solo A. recepi.

ὀλίγα.] ὀλίγιστα A.

οὐ μέντοι πᾶσι γε.] οὐ μέντοι γε πᾶσι A.

ὡς μήδ' ὀλίγον.] Littr. μή ex A.; non praefero.

ἀσθενεστέρου δὲ δή τινος.] δέ ex A. recepit Littr.; apud cett. abest.

οἱ τοιοίδε ἐδ.] Sic A.; vulgatam e V. enotavi.

τὰ ῥυφήματα.] Sic A.; vulgata ῥοφ. sine τά.

μενοι τὸ ἰσχυρὸν τῇ κρήσι τε καὶ ἑψήσι. Ὁκόσοι δὲ μηδὲ τῶν ῥοφημάτων ἐδύναντο ἐπικρατέειν, ἀφεῖλον καὶ ταῦτα καὶ ἀφίκοντο ἐς πόματα καὶ ταῦτα τῇσί τε κρήσισι καὶ τῷ πλήθεϊ διαφυλάσσοντες ὡς μετρίως ἔχοι, μήτε πλείω τῶν δεόντων μήτε ἀκρητέστερα προσφερόμενοι, μήτ' ἐνδεέστερα.

stituerunt, observantes ut et usu et copia moderatae essent, neque iusto copiosiores, neque meraciores, neque pauciores exhiberentur.

κδ'. *Εὖ δὲ* [1] *χρὴ τοῦτο εἰδέναι, ὅτι ἐνίοισι τὰ ῥυφήματα ἐν τῇσι νούσοισι οὐ ξυμφέρει,* [2] *ἀλλ' ἄντικρυς ὅταν ταῦτα προσαίρωνται παροξύνονταί σφισι οἵ τε πυρετοὶ καὶ τὰ ἀλγήματα· καὶ δῆλον τὸ προσενεχθὲν τῇ μὲν νούσῳ τροφή τε καὶ αὔξησις* [3] *γενόμενον, τῷ δὲ σώματι φθίσις τε καὶ ἀρρωστίη. Ὁκόσοι δ' ἂν τῶν ἀνθρώπων ἐν ταύτῃ τῇ διαθέσι ἐόντες προσενέγκωνται ξηρὸν σιτίον, ἢ μᾶζαν, ἢ ἄρτον καὶ ἢν πάνυ σμικρὸν, δεκαπλασίως ἂν μᾶλλον καὶ ἐπιφανέστερον κακωθεῖεν ἢ ῥοφέοντες, δι' οὐδὲν ἄλλο ἢ διὰ τὴν ἰσχὺν τοῦ βρώματος πρὸς τὴν διάθεσιν· καὶ* [4] *ὅτῳ ῥυφεῖν ξυμφέρει, ἐσθίειν δ' οὔ,* [5] *εἰ πλείω φάγοι, πολὺ ἂν* [6] *μᾶλλον κακωθείη, ἢ εἰ ὀλίγα· καὶ εἰ ὀλίγα* [7] *δὲ, ἔτι πονήσειε ἄν. Πάντα δὴ τὰ αἴτια τοῦ πόνου ἐς τὸ αὐτὸ* [8] *ἀνάγεται, — τὰ ἰσχυρότατα μάλιστά* [9] *τε καὶ ἐπιφανέστατα λυμαίνεσθαι τὸν ἄνθρωπον καὶ τὸν ὑγιέα ἐόντα καὶ τὸν νοσέοντα.*

24. Probe autem novisse oportet sorbitiones quibusdam non prodesse in morbis, sed continuo ubi assumserint, febres ac dolores exacerbari, unde patet id, quod assumptum est, morbum quidem fovere et augere, corpus vero imminuere et imbecillius reddere. At vero qui ita affecti cibum siccum, aut mazam, aut panem quantumvis modicum assumunt, ii decuplo magis atque manifestius laeduntur quam si sorbitione utantur, neque aliam ob causam quam quod cibus viribus sit valentior quam affectus requirat. Et cui sorbere prodest, non cibis vesci, si plura comederet, multo magis laederetur quam si pauca; quin si pauca, vel sic tamen laboraret. Omnes igitur laboris causae ad idem referuntur: — valentissima et maxime et evidentissime hominem laedere cum sanum, tum aegrotantem.

[1] *χ. εἰδ. τ.* — tum *ὅτι* om. et *οἷσι* pro *ἐνίοισι*. — [2] *μάλ' ἀ. ὅταν τοῦτο ποιήσωσι*. — [3] *γιν.* — [4] *ᾧ γε ῥοφεῖν*. — [5] *εἰ γάρ*. — [6] *ἔτι κ.* — [7] *δὲ, ἔτι* om. — [8] *ἄγεται τῷ τά*. — [9] *γε*.

ἑψήσι.] *τῇ ἑψ.* A.; tum *ὅσοι* idem liber et *ἐπικρατ.*, ubi vulgo falso *ὑποκρατέειν*.

καὶ ταῦτα τῇσί τε κρήσισι.] *αὐτά* A.; *χρήσεσι* vulg.. sed *κρήσεσι* A. Littr.

ὡς μετρίως ἔχοι.] Sic A., *ἔχῃ* vulg.

24. *εὖ δὲ χρὴ — ὅτι ἐνίοισι.*] Vulgatam e V. descripsi in varr. lectt. — Littréus codicem A. secutus, qui *τοῖσι* habet, hinc *τισί* effecit; mihi in *οἷσι* vulgatae vestigium dativi *ἐνίοισι* superesse videbatur: nempe *ὅτι* excidit et postrema syllaba verbi *εἰδέναι* absorpsit primas nominis *ἐνίοισι*.

ἀλλ' ἄντικρυς.] *ἀλλὰ φανερῶς* A.; glossam esse monet Littréus ex Hesychio.

προσαίρωνται.] Est codicis A. lectio a Littréo recepta pro vulgata, quam e V. adnotavi.

σφισι.] *σφισι αὐτοῖσι* A.

καὶ δῆλον τὸ προσεν.] *καὶ δὴ τοῦτο τὸ πρ.* A., in quo *δή* truncatum *δῆλον* esse opinor cum additamento alieno *τοῦτο*. Plures libri Parr. *τῇ μὲν οὖν νούσῳ*.

γενόμενον.] A. etiam *γινόμενον*. uti V.

ὁκόσοι δ' ἄν.] *ὅσοι δέ* A. sine *ἄν*.

ξηρὸν σιτίον.] *ξ. τι σ.* tres libri.

καὶ ἢν πάνυ σμικρόν.] Sic vulg. Littréus *ἤν* om.

καὶ ὅτῳ ῥυφεῖν.] *καὶ ᾧγε ῥοφεῖν* vulgo; illud A. Littréo praebuit.

εἰ πλείω φάγοι.] Sic A., Littr.; vulg. e V. notavi.

πολὺ ἂν μᾶλλον.] Sic Littr. ex A., qui liber *πολὺ πλείω ἂν μᾶλλον*.

ἢ εἰ ὀλίγα.] Littr. ex A. invexit *ἢ ὀλίγα*, quod cett. non ferunt; consentio, modo *εἰ* addere mihi liceat.

καὶ εἰ ὀλίγα δὲ, ἔτι πονήσειε ἄν.] Littr. e vetere cod. *δέ* recepit, cui de meo *ἔτι* adscripsi, hinc aberrasse credens in vulgata, in qua pro *μᾶλλον* supra scriptum vidimus.

ἀνάγεται.] Est scriptura codicis A a Littréo recepta. Vulgatum *τῷ τὰ ἰσχυρότατα — λυμαίνεσθαι* vitiosum est sed ortum videtur e *τὸ τὰ ἰσχ. — λυμ.*, quod si quis malit, non multum adversor.

μάλιστά τε.] Sic A., Littr.; vulgo *μ. γε*.

κε'. [1] Τί οὖν φαίνεται ἑτεροῖον διανοηθεὶς ὁ [2] καλεύμενος ἰητρὸς καὶ ὁμολογουμένως χειροτέχνης, ὃς ἐξεῦρε τὴν ἀμφὶ τοὺς κάμνοντας δίαιτάν τε καὶ τροφὴν, ἢ ἐκεῖνος ὁ ἀπ' ἀρχῆς τοῖσι πᾶσι ἀνθρώποισι [3] τὴν τροφὴν, ᾗ νῦν χρεόμεθα ἐξ ἐκείνης τῆς ἀγρίης [4] τε καὶ θηριώδεος εὑρών τε καὶ παρασκευάσας διαίτης; ἐμοὶ [5] μὲν γὰρ φαίνεται ὡυτὸς τρόπος καὶ ἕν τι καὶ ὁμοῖον τὸ εὕρημα. Ὁ μὲν [6] ὅσων μὴ ἠδύνατο ἡ φύσις ἡ ἀνθρωπίνη ἐπικρατέειν ὑγιαίνουσα ἐμπιπτόντων διὰ τὴν ἀγριότητά τε καὶ ἀκρησίην, — ὁ δὲ ὅσων ἡ διάθεσις, ἐν οἵῃ ἂν ἑκάστοτε ἕκαστος τύχῃ διακείμενος, μὴ [7] ἦν δυνατὸς ἐπικρατέειν, ταῦτα ἐζήτησε ἀφελεῖν. Τί δὴ [8] τοῦτ' ἐκείνου διαφέρει ἀλλ' ἢ πλέον τό γε εἶδος καὶ ὅτι ποικιλώτερον [9] καὶ πλέονος πραγματείης, ἀρχὴ δὲ ἐκείνη ἡ πρότερον γενομένη;

25. Quamnam igitur aliam habuisse mentem videtur is, qui medicus et omnium confessione artifex vocatur, cum victus rationem, qua aegri utuntur, invenit, aut qui ab initio omnibus mortalibus victum illum, quo nunc utimur, loco illius agrestis ac ferinae victus rationis adinvenit et apparavit? Mihi quidem eadem esse ratio et uno eodemque modo excogitata videtur. Hic enim ea, quae occurrerent et natura humana bene valente propter feritatem et incommoderationem superari non poterant, detrahere studuit, ille vero quae quivis quomodolibet affectus minime superare poterat. At quid inter hoc et illud est discriminis, nisi quod hoc multiplici et vario magis genere constat et plus habet negotii? initium vero fuit illa, quae prius exstitit victus ratio.

κϛ'. Εἰ δέ τις σκέπτοιτο [10] τὴν τῶν ὑγιαινόντων δίαιταν πρὸς τὴν τῶν καμνόντων, εὕροι ἂν οὐχ ἧσσον βλαβερὴν ἤ περ τὴν τῶν θηρίων τε καὶ τῶν ἄλλων ζῴων πρὸς τὴν τῶν ὑγιαινόντων. Ἀνὴρ γὰρ κάμνων νοσήματι μήτε τῶν χαλεπῶν τε καὶ [11] ἀπόρων, μήτ' αὖ [12] τῶν παντάπασι εὐηθέων, [13] ἀλλ' ἢ αὐτῷ ἐξαμαρτάνοντι μέλλει ἐπίδηλον ἔσεσθαι, εἰ

26. Quod si quis in considerationem adhibeat sanorum victus rationem collatam cum aegrorum, illam non minus noxiam deprehendet, quam cum ferarum et ceterorum animantium victu collatam sanorum victus rationem. Si quis enim morbo laboret neque difficili et intolerabili, neque prorsus levi, huic nae manifesto peccavisse constabit, si panem vult edere aut carnem, aut

[1] τις. — [2] κελευσμένος — ὁμολογημένως. — [3] τήν abest. — [4] τε abest. — [5] μέν om. — [6] ὅσον. — [7] ἦ. — [8] τούτου ἐκεῖνο. — [9] καὶ πλέονος om. [10] τὶς ἡ τῶν καμνόντων δίαιτα. — [11] ἀφόρων. — [12] τῶν om. — [13] ἀλλ' ὅτι αὐτέων ἁμαρτ.

25. ὁμολογουμένως.] Sic A.; vulgatam e V. notavi.
ἐκεῖνος ὁ.] ἐκεῖνο ὁ A. κεῖνος ὁ vulgo.
τὴν τροφὴν, ᾗ.] Articulum de meo addidi.
ἀγρίης τε καὶ θηρ.] Sic A; cett. τε omm.
ὡυτὸς τρόπος.] ὁ αὐτὸς λόγος A.; idem mox ἓν καὶ ὅμοιον et ἐδύναντο.
ἀγριότητά τε καὶ ἀκρησίην.] A θηριότητα et ἀκρασίην.
τοῦτ' ἐκείνου.] Sic A.; ἐκεῖνο τοῦτο alius liber; vulgatam e V. descripsi.
τό γε εἶδος.] Sic A., Littr.; τό τε ε. cett.
ἐκείνη.] ἐκείνη A. — Videmus vulgarem formam huic libro esse constantem in libello de vetere med. Ceterum ubivis fere codd. in hac vocula discrepant.
26. εἰ δέ τις σκέπτοιτο — πρὸς τὴν τῶν ὑγιαινόντων.] Vulgata ferebat: εἰ δέ τις σκέπτοιτό τις ἡ τῶν καμνόντων δίαιτα πρὸς τὴν τῶν ὑγιαινόντων, εὕροι ἂν βλαβερωτέρην, ἤπερ τὴν ἥτις τῶν καμνόντων θηρίων τε καὶ τῶν ἄλλων ζῴων. — E cod. A. autem Littréus hausit: εἰ δέ τις σκέπτοιτο τὴν τῶν καμνόντων δίαιταν πρὸς τὴν τῶν ὑγιαινόντων, εὕροι ἂν οὐ βλαβερωτέραν ἢ περὶ τῶν ὑγιαινόντων πρὸς τὴν τῶν θηρίων τε καὶ πρὸς τὴν τῶν ἄλλων ζῴων. Unde Littréus dedit: εἰ δέ τις σκέπτοιτο τὴν τῶν καμνόντων δίαιταν πρὸς τὴν τῶν ὑγιαινόντων, εὕροι ἂν οὐ βλαβερωτέρην ἤπερ τὴν τῶν ὑγιαινόντων πρὸς τὴν τῶν θηρίων τε καὶ τῶν ἄλλων ζῴων. Verum Duebnerus admonuit Littréum, locum ita descriptum esse obscurum vide vol. II. Ed. Littréi p. I. addendorum initio voluminis. Ibi autem Littréus quid docere debuerit auctor recte exponit, sed inde patet locum ita esse perturbatum ut comparationis termini sint inversi, et ut pro οὐ βλαβερωτέρην in cod. A. lectione sit ponendum οὐχ ἧσσον βλαβερήν. Itaque ita locum descripsi, ut haec vitia tollerentur; quo facto videbis capituli initium cum exemplis sequentibus congruere.
χαλεπῶν τε καὶ ἀπόρων.] In his A. ἀ^πφόρων; ceteri ἀφόρων. Dubium non est, quin in A recte corrigatur.
ἀλλ' ἢ αὐτῷ.] Hoc latet in codicis A. ἀλλ' ἢ α. — Vid. p. XCVI
Vulgatam e V. notavi.
ἐξαμαρτάνοντι.] Sic A. Littr.; ἁμαρτ. vulgo.

ἐθέλοι καταφαγεῖν ἄρτον [1] ἢ κρέας, ἢ ἄλλο τι ὧν οἱ ὑγιαίνοντες ἐσθίοντες ὠφελέονται μὴ [2] πολλὸν, ἀλλὰ πολλῷ [3] ἔλασσον ἢ ὑγιαίνων ἂν ἠδύνατο· ἄλλος τε τῶν ὑγιαινόντων, φύσιν ἔχων μήτε παντάπασι ἀσθενέα, μητ' αὖ ἰσχυρὴν, φαγών τι ὧν βοῦς ἢ ἵππος φαγὼν ὠφελοῖτό τε καὶ [4] ἰσχύοι, ὀρόβους ἢ κριθὰς, ἢ ἄλλο τι τῶν τοιούτων μὴ πολὺ, ἀλλὰ πολλῷ μεῖον ἢ δύναιτο, [5] οὐκ ἂν ἧσσον ὁ ὑγιαίνων τοῦτο ποιήσας πονήσειέ τε καὶ κινδυνεύσειε [6] ἐκείνου τοῦ νοσέοντος, ὃς τὸν ἄρτον, ἢ τὴν μᾶζαν ἀκαίρως προσηνέγκατο. Ταῦτα [7] δὴ πάντα τεκμήρια ὅτι [8] αὕτη ἡ τέχνη πᾶσα ἡ ἰητρικὴ τῇ αὐτῇ ὁδῷ ζητεομένη εὑρίσκοιτο ἄν.

κζ'. Καὶ [9] εἰ μὲν ἁπλῶς, ὥσπερ ὑφηγέεται, ὅσα μὲν [10] ἂν ἰσχυρότερα, ἔβλαπτε, ὅσα δ' [11] ἂν ἀσθενέστερα, ὠφέλεέ τε καὶ ἔτρεφε καὶ τὸν κάμνοντα καὶ τὸν ὑγιαίνοντα, εὐπετὲς ἂν ἦν τὸ [12] πρῆγμα· πολλὸν γὰρ τοῦ ἀσφαλέος ἂν ἔδει, περιλαμβάνοντας ἄγειν ἐπὶ τὸ ἀσθενέστατον. Νῦν δὲ οὐκ ἔλασσον ἁμάρτημα, οὐδὲ ἧσσον λυμαίνεται τὸν ἄνθρωπον, ἢν ἐλάσσονα καὶ ἐνδεέστερα τῶν ἱκανῶν προσφέρηται· τὸ γὰρ τοῦ λιμοῦ μένος [13] ἰσχυρῶς ἐνδύνεται ἐν τῇ φύσι τοῦ ἀνθρώπου καὶ γυιῶσαι [14] καὶ ἀποκτεῖναι. Πολλὰ δὲ [15] καὶ ἄλλα κακὰ ἑτεροῖα μὲν τῶν ἀπὸ πληρώσιος,

aliud quiddam eorum, quae sanos iuvant, comedat, non multum quidem, sed longe parcius quam sanus poterat. Aliusque sanus natura non omnino imbecilli, neque robusta rursus, si quid eorum, quae bovi aut equo prosunt, comedat, nempe ervum, aut hordeum, aut aliud quippiam huiusmodi, non multum quidem, sed multo minus quam ferre possit; quamvis id sanus fecerit, non minus utique gravabitur aut periclitabitur quam qui aegrotus panem aut mazam intempestive assumpsit. Ex quibus omnibus colligitur istam artem medicam omnem eadem via investigatam repertum iri.

27. Quodsi re vera, quemadmodum existimant, quae quidem sunt valentiora laederent, quae vero imbecilliora tum aegros tum sanos iuvarent et nutrirent, res facili negotio conficeretur. Nam saepe tuta illa agendi ratione opus esset, — ita nempe ut aegros ad imbecillimum deduceremus. At nunc non levius peccatur, neque minus laeditur, si quis pauciora et infra modum assumat; famis enim vis fortiter penetrat in hominis naturam adeo ut eam debilitet et conficiat. Multa vero alia mala ac diversa ab iis, quae e plenitudine profluunt, sed non minus gravia ab inanitione oriuntur, quia multo

[1] κρέα sine ἤ. — [2] πολύ. — [3] ἐλάσσω. — [4] ἐσθίει. — [5] κἂν ἧσσον ὑγ. — [6] ἐκείνου. — [7] δέ. — [8] ταύτη ἡ τ. ἡ ἰητρ. — [9] εἰ μὲν ἦν. — [10] ἄν abest. — [11] ἦν. — [12] χρῆμα. — [13] δύναται ἰσχ. — [14] καὶ ἀσθενέα ποιῆσαι καὶ ἀποκτ. — [15] καί om.

εἰ ἐθέλοι.] Sic A. εἰ ἐθέλει vulgo.

ἢ κρέας.] Vulgo κρέα, sed A. καὶ κρέας; malui particulam disiunctivam dare, uti in seq. ἢ ἄλλο τι.

ὧν οἱ ὑγιαίν.] τῶν οἱ ὑγ. A.; ceteri codd. οἱ omm.

ἢ ἵππος φαγὼν ὠφελ.] φαγών h. l. om. A.; si quis eum sequi malit, non adversor.

ἰσχύοι.] Sic Littr. ex A., qui ἰσχυροῖ. Vulgata, quam e. V. enotavi, absurda est.

μεῖον.] A. ἔλασσον. Erotianum hic μεῖον legisse videri monet Littréus.

οὐκ ἂν ἧσσον.] Sic Littr. ex A. — Vulgatam e V. enotavi.

ὁ ὑγιαίνων.] Articulum e solo A. addidit Littréus. Idem liber dein ἐκείνου, ubi vulgo κείνου, et porro κινδυνεύσει (οι superscr.).

αὕτη ἡ.] Sic A., alii libri αὐτή; vulgatam e V. adposui. — Sequens πᾶσα solus cod. vetus Littréo praebuit.

27. καὶ εἰ μὲν ἁπλῶς.] Zuing. in m. hoc habet; vulgo καὶ εἰ μὲν ἦν ἁπλῶς, in quo ἦν additamentum alienum aut ex ἄν ortum.

ὅσα μὲν ἂν ἰσχ. — ὅσα δ' ἂν ἀσθ.] Utroque loco fere pro ἄν editur et in codd. legitur ἦν; equidem putavi hoc ex illo ortum esse.

καὶ τὸν κάμνοντα.] Sic scripsi ex A.; vulgo καί h. l. om. — Ex eodem libro cum Littr. πρῆγμα dedi pro χρῆμα.

ἐπὶ τὸ ἀσθενέστατον.] A. ἐπὶ τὸ ἀσθενέστερον; — vix scio quid praestet. Locum sic accipio: πολλὸν γὰρ τοῦ ἀσφαλέος τούτου ἂν ἔδει, — τοῦ περιλαμβάνοντας ἄγειν ἐπὶ τὸ ἀσθενέστατον τοὺς κάμνοντας.

οὐδὲ ἧσσον λ.] A. in m. ἢ οὐδὲ ἴσον.

τὸ γὰρ τοῦ λιμοῦ μένος ἰσχυρῶς ἐνδύνεται ἐν τῇ φύσι τοῦ ἀνθρώπου καὶ γυιῶσαι καὶ ἀποκτεῖναι.] Vulgo τὸ γὰρ τοῦ λιμοῦ μέρος ἰσχυρῶς δύναται ἐν τῇ φ. κ. τ. λ. Sed ἰσχυρῶς δύναται ἐν τῇ φύσι γυιῶσαι nihili dictio est, tum vero μένος, non μέρος verum est. Iam olim comparavi Homericum μένος ἠελίοιο et τὸ τοῦ οἴνου μένος e §. 63. libri de vict. ac. p. 323. vol. I. — Post γυιῶσαι expunxi glossema καὶ ἀσθενέα ποιῆσαι; verum γυιῶσαι, sicuti recte A., Littr. legunt, in reliquis libris, etiam in V., in ὑγιῶσαι abiit.

οὐχ ἧσσον [1] δὲ δεινὰ καὶ ἀπὸ κενώσιος, διότι πολλὸν ποικιλωτέρη τε καὶ διὰ πλέονος ἀκριβείης ἐστί. Δεῖ γὰρ μέτρου τινὸς στοχάσασθαι· μέτρον δὲ, οὐδὲ σταθμὸν, οὐδὲ ἀριθμὸν οὐδένα ἄλλον, πρὸς ὃν ἀναφέρων εἴσῃ τὸ ἀκριβὲς, οὐκ ἂν εὑροίης [2] ἀλλ' ἢ τοῦ σώματος τὴν αἴσθησιν· διὸ ἔργον [3] οὕτω καταμαθεῖν ἀκριβῶς, ὥστε σμικρὰ ἁμαρτάνειν ἔνθα ἢ ἔνθα· κἂν ἐγὼ τοῦτον τὸν ἰητρὸν ἰσχυρῶς [4] ἐπαινέσαιμι τὸν σμικρὰ ἁμαρτάνοντα. Τὸ δὲ ἀτρεκὲς ὀλιγάκις ἔστι κατιδεῖν· ἐπεὶ οἱ πολλοί γε τῶν ἰητρῶν [5] ταὐτά μοι δοκέουσι τοῖσι κακοῖσι κυβερνήτῃσι πάσχειν· καὶ γὰρ ἐκεῖνοι ὅταν ἐν γαλήνῃ κυβερνῶντες [6] ἁμαρτάνωσι, οὐ καταφανέες εἰσί· ὅταν δὲ αὐτοὺς κατάσχῃ [7] χειμών τε μέγας καὶ ἄνεμος ἐξώστης, φανερῶς ἤδη πᾶσι ἀνθρώποισι δι' ἀγνωσίην καὶ ἁμαρτίην δῆλοί εἰσι ἀπολέσαντες τὴν ναῦν. Οὕτω δὴ καὶ οἱ κακοί τε καὶ πλεῖστοι ἰητροὶ, ὅταν μὲν θεραπεύωσι ἀνθρώπους μηδὲν δεινὸν ἔχοντας, ἐς οὓς ἄν τις καὶ τὰ μέγιστα ἁμαρτάνων οὐδὲν δεινὸν ἐργάσαιτο, — πολλὰ δὲ τὰ τοιαῦτα νοσήματα καὶ πολλόν τι πλείω τῶν δεινῶν ἀνθρώποισι ξυμβαίνει, — ἐν μὲν [8] δὴ τοῖσι τοιούτοισι ἁμαρτάνοντες οὐ καταφανέες εἰσὶ τοῖσι ἰδιώτῃσι. Ὁκόταν δ' ἐντύχωσι μεγάλῳ τε καὶ ἰσχυρῷ καὶ ἐπισφαλέϊ νοσήματι, τότε σφέων τά τε ἁμαρτήματα καὶ ἡ [9] ἀτεχνίη

magis est varia et maiorem diligentiam requirit. Modum enim quadam coniectura colligere oportet. Modum autem neque pondus, neque numerum alium ullum, ad quem referens iustum cognosces, invenias, praeter corporis sensum. Quocirca illud adeo exacte cognoscere, ut leviter in utramque partem pecces, operosa res est. Quin ego vehementer eum medicum laudaverim, qui parum peccet. At exacta certitudo raro cernitur; quippe medicorum plerique malorum navium gubernatorum mihi simillimi videntur, qui si tranquillo mari navem regunt, nemo eos peccare deprehendit; sin eos vehemens tempestas et ventus impetuosus oppresserit, iam omnibus manifesto constat eorum imperitia et culpa navem fuisse perditam. Ad hunc sane modum improbi plerique medici; dum leviter affectos curant, in quibus vel gravissimi errores commissi nihil periculi admittunt, — multi autem eiusmodi morbi et multo plures quam periculosi hominibus contingunt, — in talibus quidem si delinquant, id plebeios latet. Ubi vero in magnum et vehementem et periculosum morbum inciderint, tum eorum imperitia et errores omnibus sunt conspicui. Horum enim cuiusque vindices poenae praesto sunt, neque in longum differuntur.

[1] δὲ ἅμα δ. δεῖ ὧν πολλῷ ποικ. — [2] ἄλλο ἤ. — [3] οὕτω om. — [4] ἐπαινέοιμι. — [5] ταύτῃ. — [6] ἁμάρτωσιν. — [7] ἄνεμός τε μέγας καὶ χείμων, φανερῶς. — [8] δή om. — [9] τέχνη.

οὐχ ἧσσον δὲ δεινὰ καὶ ἀπὸ κεν.] Sic A. — Vulg. δὲ ἅμα δεινά, ubi tamen ἅμα a librariis profectum, qui saepius obtrudunt nobis voculam, vid. adn. ad lib. de morbo sacro § 1.; καὶ ἀπό om. vulg. — Paulo ante μέν om. A. post ἑτεροῖα, ubi ego servandam puto particulam cum Littréo.

δίοτι πολλὸν ποικιλωτέρη τε καὶ διὰ πλέονος ἀκριβείης ἐστί.] Vulgo δι' ὧν, sed A. διότι, quod praefero. Contra vero A. ποικιλώτερα, quod recepit Littréus et quod si recipias ποικιλώτερά τε καὶ διὰ πλέονος ἀκριβείης ἐστί subiectum sibi habet τὰ κακά, cum si ποικιλωτέρη scribis, subiectum habet ἡ κένωσις. Littréus illud praetulit, sed etiamsi κένωσις ποικιλωτέρη dici possit et τὰ κακά esse possint ποικιλώτερα, non intelligo quo modo τὰ κακά dicantur διὰ πλέονος ἀκριβείης εἶναι, sed optime intelligo τὴν κένωσιν dici διὰ πλέονος ἀκριβείης εἶναι. Itaque hac in re vulgata mihi servanda visa est.

οὐδὲ σταθμὸν, οὐδὲ ἀριθμὸν οὐδένα.] Cod. A. οὐδὲ ἀρ. οὔτε στ., sine οὐδένα.

πρὸς ὃν ἀναφ.] Vulgo πρὸς ὅ, sed duo libri ὅν, quod praefero.

οὐκ ἂν εὑροίης.] A. οὐδ' ἂν εὕροις. Idem liber ἀλλ' ἤ. ubi vulg. e V. notavi.

κἂν ἐγώ.] καὶ ἐ. Merc. in m.

τὸ δὲ ἀτρεκές.] Sic A., τὸ δ' ἀκριβές vulgo; idem cod. mox τὰ αὐτά pro ταὐτά.

ὅταν δὲ αὐτούς.] δ' A.

χειμών τε μ. καὶ ἀν. ἐ.] Sic A., vulgatam e V. excerpsi. Herodotus II. 113. καί μιν — ἐξῶσται ἄνεμοι ἐκβάλλουσι ἐς τὸ Αἰγύπτιον πέλαγος.

οὕτω δή.] οὕτω δέ A. et dein καὶ οἱ πλ., et θεραπεύωσι, quod cum Littr. recepi, pro vulg. θεραπεύσωσι.

καὶ τὰ μέγ. ἁμαρτ.] καί om. A. et ἐξαμαρτάνων habet.

τὰ τοιαῦτα ν.] τά om. A., tum πολλόν τι πλείω eiusdem libri lectio est pro vulgato πολὺ πλέον.

ἐν μὲν δὴ τοῖσι τ.] δή om. A.

δ' ἐντύχωσι.] Sic A., vulgo δὲ τύχωσι.

τά τε ἁμαρτ.] Sic A., vulgo τε abest, idem liber ἀτεχνίη pro inepto τέχνη vulgatae.

πᾶσι καταφανής ἐστι· οὐ γὰρ ἐς μακρὸν αὐτῶν [1] ἑκατέρου αἱ τιμωρίαι, ἀλλὰ διὰ τάχεος πάρεισι.

κη'. Ὅτι δὲ οὐδὲν ἐλάσσους ἀπὸ κενώσιος ἀκαίρου κακοπάθειαι γίγνονται τῷ ἀνθρώπῳ, [2] ἢ ἀπὸ πληρώσιος καταμανθάνειν καλῶς ἔχει ἐπαναφέροντας ἐπὶ τοὺς ὑγιαίνοντας. Ἔστι γὰρ οἷσι [3] αὐτῶν ξυμφέρει μονοσιτέειν καὶ τοῦτο διὰ τὸ ξυμφέρον [4] οὕτω σφισὶ αὐτοὶ ξυνετάξαντο· ἄλλοισι [5] δὲ ἀριστᾶν διὰ τὴν αὐτὴν ἀνάγκην· οὕτω γὰρ αὐτοῖσι ξυμφέρει καὶ μὴ τούτοισι, οἳ δι' ἡδονήν, ἢ δι' ἄλλην τινὰ ξυγκυρίην ἐπετήδευσαν ὁπότερον αὐτῶν· τοῖσι μὲν γὰρ πλείστοισι τῶν ἀνθρώπων οὐδὲν διαφέρει, ὁπότερον ἂν ἐπιτηδεύσωσι, εἴτε μονοσιτέειν, εἴτε ἀριστᾶν, τούτῳ τῷ ἔθεϊ [6] χρῆσθαι. Εἰσὶ δέ τινες, οἳ οὐκ ἂν δύναιντο ἔξω τοῦ ξυμφέροντος ποιέοντες ῥηϊδίως ἀπαλλάσσειν, ἀλλὰ [7] ξυμβαίνει αὐτῶν ἑκατέροισι παρ' ἡμέρην μίαν καὶ ταύτην οὐχ ὅλην μεταβάλλουσι ὑπερφυὴς κακοπάθεια. Οἳ μὲν γὰρ [8] ἂν ἀριστήσωσι μὴ ξυμφέροντος αὐτοῖσι, εὐθὺς βαρέες καὶ νωθροὶ καὶ τὸ σῶμα καὶ τὴν γνώμην, χάσμης τε καὶ νυσταγμοῦ καὶ δίψης πλήρεις· ἢν δὲ καὶ ἐπιδειπνήσωσι, καὶ φῦσα καὶ στρόφος, καὶ ἡ κοιλίη καταρρήγνυται· καὶ πολλοῖσι ἀρχὴ νούσου αὕτη [9] μεγάλης ἐγένετο, ἢν τὰ αὐτὰ σιτία, ἃ [10] μεμαθήκασι ἅπαξ ἀναλίσκειν, [11] δὶς προσενέγκωνται καὶ μηδέν τι πλέον. Τοῦτο δὲ [12] ἢν ἀριστᾶν μεμαθηκώς τις καὶ οὕτως αὐτῷ [13] ξυμ-

28. Quod autem non minores affectus ex intempestiva vacuatione quam repletione homini contingant, ex bene valentibus probe cognoscas. Quibusdam enim eorum semel tantum cibum sumere confert, idque quod conferat sibi constituerunt; quidam etiam prandere ob eandem causam coguntur, quod iis conferat; quod non iis contingit, qui propter voluptatem, aut alium quemvis casum horum alterutrum facere student. Plerisque enim nihil refert utrumlibet secuti vel semel tantum cibum capere, vel prandere etiam assuescant. Quidam vero si quid incommode fecerint, non facile degunt, verum eorum utrisque die ne integro quidem exacto supra modum gravis oritur affectio. Si enim pransi fuerint quibus prandere non conducit, ii continuo graves totoque corpore et mente segnes evadunt cum oscitatione, somnolentia, multaque siti; quodsi insuper coenaverint etiam, et flatus et tormina excitantur et venter erumpit. Ac multis magni morbi origo fuit, si cibos, quos semel absumere consueverant, bis assumpsissent, nec quicquam amplius. Ad haec si quis prandere consuetus atque cui prandere conducat, non prandeat, protinus ubi tempus praeteriit, statim gravis impotentia exoritur, tremor et animi defectio; ad haec oculi cavi, urina calens, magis cum virore pallens et crassior redditur, os ama-

[1] ἑκάστου. — [2] ἢ καὶ ἀ. π. — [3] αὐτέων. — [4] τοῖσι αὐτοῖσι ἐτάξ. — [5] τε. — [6] χρῆσθαι. — [7] ξυμφέρει. — [8] ἤν. — [9] μεγάλη. — [10] μεμαθήκει. [11] δ. προσενέγκηται. — [12] εἰ. — [13] ξυμφέρον.

καταφανής ἐστι.] ἐστι om. A.

ἑκατέρου.] Sic A., Littréus; vulgo ἑκάστου. Quid auctor dederit mihi incertum videtur, ἐς μακράν Zuing. in marg.

28. ἢ ἀπὸ πληρώσιος.] Cum A. omisi καί ante ἀπὸ πληρ. Idem liber principio periodi ὅτι δ' οὐδέν.

ἔστι μὲν οἷσι αὐτῶν.] ἡμῶν A. in hisce.

οὕτω σφισὶ αὐτοὶ ξυνετάξαντο.] Vulgatam e V. notavi; Littréus ex A. οὕτως αὐτοὶ συνετάξαντο, sed in notula coniicit σφισὶν αὐτοῖσιν. — Equidem neutram codicum lectionem integram esse credo, sed Littréum verum vidisse, cum σφισί excidisse putaret; hinc quare textum ita dederim iutelligetur.

ἄλλοισι δέ.] Sic A., ἀ. τε vulg.

οἳ δι' ἡδονήν.] ἢ δι' ἡδ. A., sitne forte ortum ex οἳ ἢ δι' ἡδ.?

ὁπότερον ἂν ἐπιτ.] Sic V.; πότερον vulgo; cod. A. ὁπότερον ἢν ἐ.

οὐχ ὅλην.] Sic A., Littr.; in vulg. in οὐ σχολῇ abiit.

καὶ τὸ σῶμα. Sic A.; cett. h. l. καί omm.

ἢν δὲ καὶ ἐπιδ.] Sic A.; vulgo καί abest.

ἢν τὰ αὐτὰ σιτία, ἃ μ.] καὶ ἢν τὰ σιτία μεμ. A. Ad μεμαθήκασι, quod A. praebet, vulgatam e V. notavi.

δὶς προσενέγκωνται.] A. ταῦτα δὶς προσενέγκωνται, quod recipio ita ut ταῦτα repudiem. Vulgatam e V. adscripsi.

καὶ μηδέν τι πλέον.] Sic duo codd. Parr.; vulgo ἔτι pro τι, sed A. voculam om.

ἢν ἀρ. μεμαθηκώς.] Sic A. εἰ ἀ. μ. vulgo. In καὶ οὕτως αὐτῷ ξυμφέρον ceteri συμφέρον, sed A. dein ἢν μὴ ἀρ., unde Littr. coniicit libri descriptorem καὶ οὕτως αὐτῷ συμφέρον ἦν voluisse; credo tamen potius pro ἂν vitiose ἤν eum dedisse. Parum abfui quin genitivum darem ad

φέρον, μὴ ἀριστήσῃ, ὅταν τάχιστα παρέλθῃ ἡ ὥρη, εὐθὺς ἀδυναμίη δεινὴ, τρόμος, ἀψυχίη· ἐπὶ τούτοισι [1] ὀφθαλμοὶ κοῖλοι, οὖρον θερμὸν, χλωρότερον καὶ παχύτερον καὶ στόμα πικρὸν, καὶ τὰ σπλάγχνα οἱ δοκέει κρέμασθαι, σκοτοδινίη, [2] δυσοργίη, δυσθυμίη. Ταῦτὰ δὲ πάντα καὶ ὅταν δειπνεῖν ἐπιχειρήσῃ· ἀηδέστερος μὲν ὁ σῖτος, ἀναλίσκειν δὲ [3] οὐ δύναται ὅσα ἀριστιζόμενος πρότερον ἐδείπνει· ταῦτα δὲ αὐτὰ μετὰ στρόφου τε καὶ ψόφου καταβαίνοντα [4] ξυγκαίει τὴν κοιλίην, δυσκοιτέουσί [5] τε καὶ ἐνυπνιάζονται τεταραγμένα τε καὶ θορυβώδεα· πολλοῖσι δὲ καὶ τούτων αὕτη ἀρχὴ νούσου ἐγένετο.

rulentum evadit, viscera ei pendere videntur, tenebricosa vertigine corripitur, vehementer irascitur et moeret. Eadem vero omnia coenare volenti contingunt; cibus minus gratus est, neque cibos, quos priore coena assumpsit, qui prandere consuevit conficere potest, sed cum torminibus et strepitu descendunt et alvum exurunt, ipsi vero noctem inquietam agunt et insomniis perturbatis ac tumultuosis vexantur; quod plerisque etiam morbi initium exstitit.

κθ'. Σκέψασθαι δὲ χρὴ, διὰ τίνας προφάσιας αὐτοῖσι ταῦτα ξυνέβη· τῷ μὲν, οἶμαι, μεμαθηκότι μονοσιτέειν, ὅτι οὐκ ἀνέμεινε τὸν χρόνον τὸν ἱκανὸν μέχρις αὐτοῦ ἡ κοιλίη τῶν τῇ προτεραίῃ προσενηνεγμένων σιτίων [6] ἀπολαύσῃ τελέως καὶ ἐπικρατήσῃ καὶ λαπαχθῇ τε καὶ ἡσυχάσῃ, ἀλλ' ἐπὶ ζέουσαν τε καὶ ἐζυμωμένην καινὰ ἐπεισηνέγκατο· αἱ δὲ τοιαῦται κοιλίαι πολλῷ τε βραδύτερον πέσσουσι καὶ πλέονος δέονται ἀναπαύσιός τε καὶ ἡσυχίης. Ὁ δὲ μεμαθηκὼς ἀριστίζεσθαι, [7] διότι, ἐπειδὴ τάχιστα ἐδεήθη τροφῆς τὸ σῶμα καὶ τὰ πρότερα κατανάλωτο καὶ οὐκ εἶχε οὐδεμίαν ἀπόλαυσιν, [8] οὐκ εὐθέως αὐτῷ προσεγένετο καινὴ τροφὴ, φθίνει [9] δὴ καὶ ξυντήκεται ὑπὸ λιμοῦ. Πάντα γὰρ ἃ λέγω πάσχειν τὸν τοιοῦτον ἄνθρωπον λιμῷ ἀνατίθημι. Φημὶ

29. Quae quas ob causas his accidant, consideranda sunt. Nempe quod is, opinor, qui semel tantum cibum assumere consuevit, non exspectavit idoneum tempus dum venter hesternos cibos plene exhauserit, superaverit, emollitus fuerit, ac conquieverit, sed in ipsum ferventem et fermentatum recentes ingesserit. At huiusmodi ventres multo tardius concoquunt maioreque otio et quiete opus habent. Qui vero prandere consuevit, quoniam, ubi quamprimum alimento corpus indiguit, prioribus cibis consumptis nec habuit amplius, quo frueretur, non statim ipsi novum alimentum adfuit, ideoque fame imminuitur et contabescit. Quaecumque enim eiusmodi hominibus accidunt, ad famem referenda censeo. Quin etiam iis omnibus, qui duos aut tres dies sine cibo transierint, eadem

[1] ὀφθ. χλωρότεροι οὖρον παχὺ καὶ θερμὸν στόμα π. — [2] δυσοργίη δυσθυμίη. — [3] οὐ δυνατὸς ἦν ὁ ἀριστ. ἃ προτ. ἐδείπνει τὰ αὐτὰ ταῦτα μ. σ. — [4] συγκλείη. — [5] τε om. — [6] ἀπολλύσῃ. — [7] ὅτι οὐκ ἐ. — [8] οὐκ om. — [9] τε.

exemplum loci, paulo ante obvii μὴ ξυμφέροντος αὐτοῖσι; sed retinuit me usus, quo δέον, alia similia usurpantur, cf. Vig. ed. Herm. p. 329. seqq.

ἐπὶ τούτοισι ὀφθαλμοὶ κοῖλοι, οὖρον θερμὸν, χλωρότερον καὶ παχύτερον καὶ στόμα π.] Vulgo: ἐπεὶ τούτοισι οἱ ὀφθαλμοὶ χλωρότεροι, οὖρον παχὺ καὶ θερμὸν, στόμα π.; sed A.: ἐπὶ τούτοις ὀφθ. κοῖλοι, οὖρον χλωρότερον καὶ παχύτερον καὶ στ. π. At certum est in his esse imitationem loci e lib. de V. A. §. 30. p. 305. vol. I. Itaque puto praestantiorem esse lectionem codicis A., sed quum in lib. de V. A. οὐρέουσι θερμόν καὶ χλωρόν legatur, nolui θερμόν vulgatae negligere, sed item assumpsi.

δυσοργίη, δυσθυμίη.] A. δυσθυμίη, δυσεργίη, quod recepit Littr. Equidem δυσεργίη nullo modo concoquo, sed falsam lect. esse puto.

ταῦτὰ δὲ πάντα καὶ ὅταν.] Ceteri ταῦτα; de meo illud dedi; tum καί, quod vulg. om., cum Littréo ex A. scripsi.

ἀηδέστερος μὲν ὁ σῖτος.] Haec ex A. supplevit Littréus.

ὅσα ἀριστιζόμενος πρότ.] Sic A., vulgatam e V. excerpsi.

ξυγκαίει.] Sic Littr. cum A., qui συγκαίη; vulgata, quam e V. notavi, inde orta est.

ἐνυπνιάζονται.] ἐνυπνιάζουσι A.

29. διὰ τίνας προφάσιας.] διὰ τίνα αἰτίαν A.

ἀναπαύσιος.] Vulgo ἀνασπάσιος. Illud ex A. aliisque mss. Littr.

διότι ἐπειδή.] Sic A.; vulgo ὅτι οὐκ, sed tum οὐκ omissum est infra ante εὐθέως, ubi A. id habet. Idem hic liber τὸ σῶμα τροφῆς.

προσεγένετο.] Sic A. παρεγένετο vulgo.

φθίνει δή.] Sic Littr. ex A., vulgo δέ. Cod. Vossianus hic cum cod. S. Foësii in τε consentit; et vero saepius in hoc libello animadverti utriusque libri lectt. congruere.

δὲ καὶ τοὺς ἄλλους ἀνθρώπους ἅπαντας, οἵ τινες [1] ἂν ὑγιαίνοντες ἄσιτοι δύο ἢ τρεῖς ἡμέρας γένωνται ταὐτὰ πείσεσθαι οἷά περ ἐπὶ τῶν ἀναρίστων γενομένων εἴρηκα.

accidere dico, quae de his qui minime prandent diximus.

λ'. Τὰς δὲ τοιαύτας φύσιας ἔγωγέ φημι [2] τὰς ταχέως τε καὶ ἰσχυρῶς τῶν ἁμαρτημάτων ἀπολαυούσας, ἀσθενεστέρας εἶναι τῶν ἑτέρων· ἐγγύτατα δὲ τοῦ ἀσθενέοντός ἐστι ὁ ἀσθενής· ἔστι δὲ ἀσθενέστερος ὁ ἀσθενέων καὶ μᾶλλον αὐτῷ προσήκει ὅ τι ἂν τοῦ καιροῦ ἀποτυγχάνῃ πονέειν. Χαλεπὸν δὲ τοιαύτης ἀκριβείης ἐούσης περὶ τὴν τέχνην [3] τυγχάνειν αἰεὶ τοῦ ἀτρεκεστάτου· πολλὰ δὲ εἴδεα κατ' ἰητρικὴν ἐς τοσαύτην ἀκρίβειαν ἥκει, περὶ ὧν εἰρήσεται. Οὔ φημι δὴ διὰ τοῦτο δεῖν τὴν τέχνην ὡς οὐκ ἐοῦσαν, οὐδὲ καλῶς ζητεομένην, τὴν ἀρχαίην [4] ἀποβαλέσθαι, εἰ μὴ ἔχει περὶ πάντα ἀκρίβειαν, ἀλλὰ πολὺ μᾶλλον διὰ τὸ ἐγγὺς, [5] οἶμαι, τοῦ ἀτρεκεστάτου δύνασθαι ἥκειν λογισμῷ προσίεσθαι καὶ τὰ [6] ἐκ πολλῆς ἀγνωσίης ἐξευρημένα θαυμάζειν· ὡς καλῶς καὶ ὀρθῶς ἐξεύρηται καὶ οὐκ ἀπὸ τύχης.

30. Ac eiusmodi naturas, quae celeriter ac vehementer suorum delictorum incommoda percipiunt, equidem reliquis imbecilliores esse censeo. Qui vero imbecillus est, proxime ad eum, qui aegrotat accedit, estque imbecillior qui aegrotat, multoque gravius afficitur, si quid intempestive fecerit. Cum autem eiusmodi exacta diligentia in arte medica adhibenda sit, quod est certissimum semper assequi difficile est. Multa tamen in re medica tam exactam diligentiam obtinent, de quibus dicetur. Neque sane priscam artem medicam ideo quod omnium exactam diligentiam non habeat, quasi ars nulla sit, aut non recte investigata, reiiciendam censeo: verum, opinor, cum prope ad veritatem accedat ratiocinatione, multo magis eam admittere oportet et admirari, quippe quae sunt ex magna ignoratione pulchre et recte, sed non fortuito inventa.

λα'. Ἐπὶ δὲ τὸν [7] τῶν καινὸν τρόπον [8] τὴν τέχνην ἐξ ὑποθέσιος ζητεόντων λόγον ἐπανελθεῖν βούλομαι. [9] Εἴ γάρ τι ἔστι θερμὸν, ἢ ψυχρὸν, ἢ ξηρὸν, ἢ ὑγρὸν τὸ λυμαινόμενον τὸν ἄνθρωπον καὶ δεῖ τὸν ὀρθῶς ἰητρεύοντα

31. At vero nunc ad eos, qui nova quadam ratione artem ex sumptione investigant, nostra revertatur oratio. Si quidem est calidum, aut frigidum, aut siccum, aut humidum, quod hominem laedit, et eum, qui recte mederi volet,

[1] ἂν ὑγ. om. — [2] τάς om. — [3] μὴ τυγχ. — [4] ἀποβάλλεσθαι — εἰ μὴ ἔχοι. — [5] οἶμαι om. — [6] ἐκ om. — tum μὴ θαυμ. — [7] τῶν om. — [8] τῶν τήν. — et ἐξ ὑποθ. ζητ. — [9] ἤ — tum τι abest.

οἵ τινες ἂν ὑγιαίνοντες.] ὑγ. ex A. supplevit Littréus.
ταὐτὰ πείσεσθαι.] Cett. ταῦτα πείσεσθαι, parum apte.
οἷά περ ἐπὶ τῶν ἀναρ.] Sic A., οἷα περὶ τῶν ἀναρ. vulgata. Cod. A. paulo ante δύο ἡμ. ἢ τρεῖς et in fine capituli γινομένων pro aoristo.

30. τὰς ταχέως.] Articulus hic deësse solet, sed Littréo praebuit cod. A.

χαλεπὸν δὲ τοιαύτης ἀκριβείης ἐούσης περὶ τὴν τέχνην.] Erot. in voce ἀτρεκέως legit μὴ τοιαύτης, quam lect. recepit Littréus. Equidem eam falsam et e male intellecto loco ortam puto; quin parum apte congruit cum sequenti πολλὰ δὲ εἴδεα κατ' ἰητρικὴν ἐς τοσαύτην ἀκρίβειαν ἥκει.

πολλὰ δὲ εἴδεα.] π. οὖν ἐ. Erot. l. l., non male sane; sed deterius est, quod dein apud eum legitur ἐστὶν ἐς τοσαύτην ἀκριβείην, sine ἥκει.

διὰ τοῦτο δεῖν.] δεῖν διατοῦτο A. et paulo inferius ἀποβάλλεσθαι, uti V.

ἀλλὰ πολὺ μᾶλλον διὰ τὸ ἐγγὺς, οἶμαι, τοῦ ἀτρεκεστάτου δύνασθαι ἥκειν λογισμῷ προσίεσθαι καὶ τὰ ἐκ πολλῆς ἀγνωσίης ἐξευρημένα θαυμάζειν, ὡς καλῶς καὶ ὀρθῶς ἐξεύρηται καὶ οὐκ ἀπὸ τύχης.] Vulgata πολὺ μᾶλλον διὰ τὸ ἐγγὺς εἶναι τοῦ ἀτρεκεστάτου ὁμοῦ δύνασθαι ἥκειν λογισμῷ ἐκ πολλῆς ἀγνωσίης θαυμάζειν τὰ ἐξευρημένα, ὡς καλῶς κ. τ. λ. In hisce pro εἶναι A. Littréo praebuit οἶμαι: cod. autem S. apud Foës. et Voss. neutrum horum habet. Idem cod. A. pro ὁμοῦ legit οὐ. Tum post λογισμῷ cod. S. Foësii Littréo, mihi vero Vossianus, praebuerunt προσίεσθαι καί. — Littréus igitur edidit: ἀλλὰ πολὺ μᾶλλον, διὰ τὸ ἐγγὺς οἶμαι, τοῦ ἀτρεκεστάτου ὁμοῦ δύνασθαι ἥκειν λογισμῷ, προσίεσθαι καὶ ἐκ πολλῆς ἀγνωσίης θαυμάζειν τὰ ἐξευρημένα. ὡς καλῶς κ. τ. λ. — At certum est nihili dictionem esse διὰ τὸ ἐγγὺς ὁμοῦ δύνασθαι ἥκειν; sin eiusmodi quid quale διὰ τὸ ἐγγὺς οὐ δύνασθαι ἥκειν, uti A. fert, voluisset auctor, non οὐ, puto, sed μή scripsisset. Verum sive ὁμοῦ, sive οὐ legas, haec vocula abundat; itaque reieci et verba ordine saltem aptiore disposui.

31. ἐπὶ δὲ τὸν τῶν κ. τρ.] Ceteri inverso ordine ἐπὶ τῶν τὸν κ. τρ.; unde forte in A. ζητεύντων ἐξ ὑποθ. λόγων. Sed cohaerent ἐπὶ τὸν τῶν ζητεόντων λόγον ἐπανελθεῖν, ita ut in vulgato textu sedem invicem commutare debeant articuli.

εἰ γάρ τι ἔστι θερμὸν κ. τ. λ.] Sic A.; vulgo τι abest.

βοηθεῖν τῷ [1] μὲν θερμῷ ἐπὶ τὸ ψυχρὸν, τῷ δὲ ψυχρῷ ἐπὶ τὸ θερμὸν, τῷ δὲ ξηρῷ ἐπὶ τὸ ὑγρὸν, τῷ δ' ὑγρῷ ἐπὶ τὸ ξηρὸν, ἔστω μοι ἄνθρωπος μὴ τῶν ἰσχυρῶν φύσι, ἀλλὰ τῶν ἀσθενεστέρων· οὗτος δὲ πυροὺς ἐσθιέτω, οὓς ἂν ἀπὸ τῆς ἅλω ἀνέλῃ, ὠμοὺς καὶ ἀργοὺς καὶ κρέα ὠμὰ, καὶ πινέτω ὕδωρ. [2] Ταύτῃ δὴ χρεόμενος τῇ διαίτῃ εὖ οἶδ' ὅτι πείσεται πολλὰ καὶ δεινά· καὶ γὰρ πόνους πονήσει καὶ τὸ σῶμα ἀσθενὲς ἔσται καὶ ἡ κοιλίη φθαρήσεται καὶ ζῆν πουλὺν χρόνον οὐ δυνήσεται. [3] Τί δεῖ τοιγαροῦν βοήθημα παρασκευάσασθαι ὧδ' ἔχοντι; θερμὸν, ἢ ψυχρὸν, ἢ ξηρὸν, ἢ ὑγρόν; [4] δῆλον γὰρ ὅτι τούτων τι. Εἰ γὰρ τὸ λυμαινόμενόν [5] ἐστι τούτων τὸ ἕτερον, τῷ ὑπεναντίῳ προσήκει λῦσαι, ὡς ὁ ἐκείνων λόγος ἔχει. Τὸ μὲν γὰρ βεβαιότατόν τε καὶ προφανέστατον φάρμακον ἀφελόντα τὰ διαιτήματα, οἷσι ἐχρῆτο, ἀντὶ μὲν τῶν πυρῶν ἄρτον διδόναι, ἀντὶ δὲ τῶν ὠμῶν κρεῶν ἑφθὰ, πιεῖν [6] τε ἐπὶ τούτοισι οἴνου· ταῦτα [7] μεταβάλλοντα οὐχ οἷόν τε μὴ [8] οὐχ ὑγιέα γενέσθαι, ἤν γε μὴ παντάπασι ᾖ διεφθαρμένος ὑπὸ χρόνου τε καὶ τῆς διαίτης. Τί δὴ φήσομεν; πότερον αὐτῷ ὑπὸ ψυχροῦ κακοπαθέοντι θερμὰ ταῦτα προσενέγκαντες ὠφέλησαν, ἢ τἀναντία; οἶμαι γὰρ ἔγωγε πολλὴν ἀπορίην [9] ἐρωτηθέντι παρασχεῖν· [10] ὁ γὰρ τὸν ἄρτον παρασκευάζων τῶν πυρῶν τὸ θερμὸν, ἢ τὸ ψυχρὸν, ἢ τὸ ξηρὸν, ἢ τὸ ὑγρὸν ἀφείλετο· οὗτος γὰρ [11] ὕδατι δέδευται καὶ πυρὶ καὶ πολλοῖσι ἄλλοισι εἴργασται, ὧν ἕκαστον ἰδίην δύναμιν καὶ φύσιν ἔχει

[1] ἀλλὰ καὶ τοῦ θ. καὶ ὑπερθ. — [2] καὶ ὑπερψ. — [3] καὶ ὑπερξ. — [4] καὶ ὑπερυγρ. — [5] καὶ ἔστιν. — [6] παρέχεται. — [7] καὶ ὑπερθερμ. — [8] καὶ ὑπερψ. [9] γένηται. — [10] τιτρωσκομένη ἀνάγκη χ. — [11] καί om. — [12] δὲ καί. — [13] τὰ τοιαῦτα. — [14] σπληνῖτις om.

cod. θ. — In καὶ ὑπὸ τοῦ θερμοῦ ὑπερθ. lectionem habemus Lindani, Mackii, Littréi e cod. θ. datam et quam Marc. fert pro vulg., quam e V. excerpsi. Simili modo καί ante ὑπερψύχ., ὑπερξηρ., et ὑπερυγρ. iidem omm. et in Marciano omittitur.

καὶ ἡ μὲν χολὴ — ὑπερψύχοντος.] καὶ ἔνι αἰεὶ ἐν est lectio cod. θ. a Littréo recepta pro vulg., quam e V. notavi, et Marc. habet. Idem ille liber παρέχει praebuit Littréo pro vulg. παρέχεται; quid hic praestet non discerno, Marc. vulgatum habet. — ἀπὸ θερμοῦ τοῦ et ἀπὸ ψυχροῦ τοῦ cod. G. apud Littréum, — unde ἀπὸ τοῦ ψυχροῦ dedi pro ὑπὸ τοῦ ψ. vulgatae lectionis.

3. ἀνάγκη δὲ — προσωτάτω ἐστί.] Pro ὁκόταν cod. θ. ὅ τι ἄν; — γένηται cod. Serv. Foësii. — Vulgo ἀνάγκη χωλοῦσθαι, sed Littr. cum θ. om. ἀνάγκη. — Ante μάλιστα Littr. ex E. H. θ. adscripsit καί, quod Marc. etiam habet. Littr. ἀποθνήσκειν e θ. pro vulg. ἀποθνήσκει. — Idem cod. θ. ἢ κοιλίην, ἢ ἧπαρ, reliquorum nullo ἢ κοιλίην ferente, sed legitur Aph. 18. VI., itaque recipiendum esse putavi. — Ἀλλά ante τούτων προσωτάτω omm. Ald., codicum vis apud Littr.; in Marc. habetur; in V., ut in cod. Serv., scribitur ἀλλ' ἅ.

τῶν δὲ νοσ. — ὑστέρῃσι γένηται.] Ad ὅταν γένωνται e cod. θ. adnotat Littréus ὅτ' ἂν ἐπιγένηται ὕδρωπι φθίσις καὶ γυναῖκα. — Lind. [καὶ] ὕδρωψ.

ἐνδοιαστὰ — ῥόος αἱματώδης.] τὰ τοιάδε Mack., Littr., hic e libris tribus pro vulg., quam e V. notavi. — πλευρ. φρεν. cod. θ. — σπληνῖτις, ἡπατῖτις E. H. Marc. Pro

ῥόος αἱματώδης. Τὰ δὲ τοιάδε οὐ θανάσιμα, ἤν μή τι αὐτοῖσι προσγένηται· κέδματα, μελαγχολίη, ποδάγρη, ἰσχιὰς, τεινεσμὸς, τεταρταῖος, τριταῖος, στραγγουρίη, ὀφθαλμίη, λέπρη, λειχὴν, ἀρθρῖτις. Ἔμπηροι δὲ ἀπὸ τῶνδε γίγνονται· ἀπόπληκτοι μὲν χεῖρας καὶ πόδας, καὶ φωνῆς ἀκρατέες καὶ παραπλῆγες ὑπὸ μελαίνης χολῆς, χωλοὶ δὲ ὑπὸ ἰσχιάδων, ὄμματα δὲ πηροῦνται καὶ ἀκοὴν ὑπὸ φλέγματος καταστηρίξαντος. Μακρὰ δὲ τάδε ἀνάγκη εἶναι, φθίσιν, δυσεντερίην, ποδάγρην, κέδματα, φλέγμα [1] λευκὸν, ἰσχιάδα, στραγγουρίην, γεραιτέροισι δὲ νεφρῖτιν, γυναιξὶ δὲ ῥόον αἱματώδη, αἱμορροΐδας, σύριγγας. Καῦσος [2] δὲ, φρενῖτις, περιπνευμονίη, κυνάγχη, σταφυλὴ, πλευρῖτις, ταχέως κρίνει. Μεταπίπτει δὲ τάδε· πλευρῖτις ἐς καῦσον [3] καὶ φρενῖτις ἐς περιπνευμονίην· ἐκ δὲ περιπνευμονίης καῦσος οὐκ ἂν γένοιτο· ἐς δυσεντερίην τεινεσμός· ἐκ δὲ δυσεντερίης λειεντερίη· ἐκ δὲ λειεντερίης ὕδρωψ· [4] καὶ ἐκ λευκοῦ φλέγματος ὕδρωψ· ἐκ περιπνευμονίης δὲ καὶ πλευρίτιδος ἐμπύημα.

Isti vero minime letales, nisi quid ipsis accedat: diuturnae in articulos fluxiones, *κέδματα* Graece, melancholia, podagra, coxendicum affectus, crebra et inanis desidendi voluntas, quartana, tertiana, stranguria, lippitudo, lepra, impetigo, morbus articularis. Ab his autem parte aliqua corporis mutilantur: manuum quidem et pedum resolutione tentantur, vocis impotentia tenentur et leviter resolvuntur ab atra bile; — claudi ex morbo coxendicum evadunt; — oculis et auditione privantur pituita illuc incumbente. Longos autem hos esse necesse est: tabem, intestinorum difficultatem, podagram, diuturnas in articulos fluxiones, *κέδματα* dictas, pituitam albam, morbum coxarium, stranguriam: senibus vero renum dolorem, mulieribus fluorem sanguineum, haemorrhoïdes, fistulas. Febris vero ardens, phrenitis, pulmonum inflammatio, angina, uva, lateris dolor cito ad iudicationem perveniunt. Hi autem in alios transeunt, morbus lateralis in febrem ardentem et phrenitis in pulmonum inflammationem, ex pulmonis autem inflammatione febris ardens non fiet. Tenesmus in intestinorum difficultatem transit, quam consequitur levitas intestinorum. Ex intestinorum levitate et pituita alba in aquam intercutem transitus fit; ex pulmonis vero inflammatione et morbo laterali in thoracis suppurationem.

[1] λεπτόν. — [2] δέ om. — [3] καί om. — [4] καὶ ἐκ — ὕδρωψ om.

γυναικί duo codd. apud Littr. *γυναιξί*. — Lind. *καὶ γυναικί* habet.

τὰ δὲ τοιάδε — ἀρθρῖτις.] *τούτοισι προσγίνονται* Marc., θ., E., in quo al. m. vulg. restituitur.

ἔμπηροι δὲ — καταστηρίξαντος.] In vulgato *ἔμπηροι δὲ πολλάκις ἀπὸ τῶνδε γίνονται πολλοί* cum *πολλάκις*, tum *πολλοί* om. cod. Marc.; Littréus *πολλάκις* in H. omitti, sed alia m. restitui scribit, *πολλοί* vero deësse in θ. et H., in quorum hoc rursus restituitur. Mihi Marciani lectio vera est visa, *πολλάκις* et *πολλοί* esse emblemata aliena, quibus quis prudentius sententiam enunciare voluerit. — Dein *καὶ χεῖρας καὶ πόδας* θ. — *πηροῦνται* omm. Marc., θ., H., in quo alia m. rest.

μακρὰ δὲ — σύριγγας.] *μακρὰ τὰ τοιάδε* E. in m., Lind.; — *φθόην* cod. θ. — Idem *γυναικί* pro *γυναιξί*, quod autem nominativo hic effert aliquot nomina nullius momenti est.

καῦσος δὲ — κρίνει.] *δέ* Mack., Littr. e θ.; vulgo abest.

μεταπίπτει ——— *ἔμπυημα.*] Describam primum locum, quemadmodum ex librorum lectione eum constitueris: *μεταπίπτει δὲ τάδε· ἐκ πλευρίτιδος ἐς καῦσον, καὶ ἐκ φρενίτιδος ἐς περιπνευμονίην· ἐκ δὲ περιπνευμονίης καῦσος οὐκ ἂν γένοιτο· ἐς δυσεντερίην τεινεσμός· ἐκ δὲ δυσεντερίης λειεντερίη· ἐκ δὲ λειεντερίης ἐς ὕδρωπα· καὶ ἐκ λευκοῦ φλέγματος ἐς ὕδρωπα, ἐκ περιπνευμονίης δὲ καὶ πλευρίτιδος ἐς ἔμπυον.* — Lectionis varietas haec est: *ἐκ δὲ περιπλευμονίης* Marc.; *τηνεσμὸς ἐς δυσεντερίην* E. H. Marc.; — *ἐκ δὲ δυσεντ.* Lind., tres codd. apud Littr., Marc., pro vulg. *ἀπὸ δὲ δυσεντ.* — Ante *ἐκ περιπν.* in θ. om. *καί*. — E. H. Marc. *ἐκ περιπλευμονίης δέ* habent pro vulg. *καὶ ἐκ περιπ.*; illud recepi. — Verum h. l. pro *ἐς δυσεντερίην — φλέγματος ἐς ὕδρωπα* Littr. e θ. adnotat lectionem *τηνεσμὸς ἐκ λιεντερίης· ἐκ δὲ λιεντερίης ἐς ὕδρωπα· καὶ σπληνὸς οἴδημα ἐς ὕδρωπα*, quam lect. Mack. hoc modo citat: *τεινεσμὸς ἐκ λιεντερίης. ἐκ δὲ λιεντερίης ἐς ὕδρωπα καὶ ἐκ λευκοῦ φλέγματος ἐς ὕδρωπα καὶ σπληνὸς οἴδημα ἐς ὕδρωπα.* Praeterea in cod. H. post *ὕδρωπα* in marg. alia m. *καὶ σπλὴν οἰδίσκεται.* Ex his nihil recepit Littréus, neque ego recipio, mihi *καὶ σπληνὸς οἴδημα ἐς ὕδρωπα* in cod. θ. lectione, qualem Littr. tradidit, emblema alienum esse videtur. Tandem ex vulg. *καὶ ἐκ περιπν.* cod. θ. om. *καί*,

δ'. Ταῦτα δ' ἐπὶ κακοῖσι ἀνάγκη κακὰ γίγνεσθαι· ῥῖγος ἢν [1] λάβῃ, πῦρ ἐπιλαμβάνειν· καὶ νεῦρον ἢν διακοπῇ, [2] σπασμὸν, καὶ μήτε ξυμφῦναι διακοπὲν [3] ἐπιφλεγμῆναί τε ἰσχυρῶς· καὶ ἢν ὁ ἐγκέφαλος σεισθῇ τε καὶ πονέσῃ πληγέντος, ἄφωνον παραχρῆμα γενέσθαι ἀνάγκη καὶ μήτε ὁρᾶν, μήτε ἀκούειν· ἢν δὲ τρωθῇ, πυρετόν τε [4] ἐπιγενέσθαι καὶ χολῆς ἔμετον καὶ ἀπόπληκτόν τι τοῦ σώματος γενέσθαι καὶ ἀπολέσθαι· ἐπίπλοον δὲ ἢν ἐκπέσῃ, ἀνάγκη ἀποσαπῆναι, καὶ ἢν αἷμα ἐκ τρώματος ἢ φλεβὸς ῥυῇ ἐς τὴν ἄνω κοιλίην, ἀνάγκη πῦον γενέσθαι.

ε'. Καιροὶ δὲ, τὸ μὲν καθάπαξ εἰπεῖν, πολλοί τέ εἰσι [5] ἐπὶ τῇ τέχνῃ καὶ παντοῖοι, ὥσπερ καὶ τὰ νοσήματα καὶ τὰ παθήματα καὶ τούτων [6] αἱ θεραπεῖαι. Εἰσὶ δὲ ὀξύτατοι μὲν, ὅσοισι ἢ ἐκψυχοῦσι δεῖ τι ὠφελῆσαι, ἢ οὐρῆσαι, ἢ ἀποπατῆσαι μὴ δυναμένοισι, ἢ πνιγομένοισι, ἢ γυναῖκα τίκτουσαν, ἢ ἐκτιτρωσκομένην ἀπαλλάξαι, ἢ ὅσα τοιαῦτά ἐστι. Καὶ οὗτοι μὲν [7] οἱ καιροὶ ὀξέες καὶ οὐκ ἀρκέει ὀλίγῳ ὕστερον· ἀπόλλυνται γὰρ οἱ πολλοὶ ὀλίγῳ ὕστερον. Ὁ μέντοι καιρός [8] ἐστι, ἐπὴν πάθῃ τι τούτων [9] ὥνθρωπος, — ὅ τι ἂν τινα πρὸ τοῦ τὴν ψυχὴν [10] μεθιέναι

4. Haec vero mala malis supervenire necesse est: si rigor corripuerit, calorem igneum succedere et nervo praeciso convulsionem, discissumque nervum minime coalescere et vehementer inflammari. Et si cerebrum tum concussum fuerit, tum ex plaga doluerit, aegrum illico voce deficere, neque videre, neque audire; sin vulneratum fuerit, febrim et bilis vomitionem succedere corporisque partem aliquam resolutam fieri aegrumque perire. Omentum vero si procidat ut putrefiat necesse est et si sanguis ex vulnere, aut vena in superiorem ventrem fluxerit, id in pus verti necesse est.

5. Opportunitates autem, ut semel dicam, multae sunt in arte et variae, velut et morbi et affectiones eorumque curationes. Ac celerrimae quidem sunt, quibus aut animo deficientibus opitulari licet, aut qui neque urinam, neque stercus reddere possunt, aut qui suffocantur, aut mulierem parientem aut abortum facientem liberare, aut quae sunt eiusmodi. Ac hae quidem opportunitates sunt celeres; neque confert paulo post, cum plerique paulo post moriantur. Opportunitas autem, cum tale quid homini accidit, haec est, — quodcumque aliquem iuverit, antequam animum emittat, id in

[1] λαμβάνει — tum πῦρ ἐπιλ. om. — [2] σπασμὸν ποιεῖ. — [3] φλεγμῆναι. — [4] γενέσθαι. — [5] ἐπί. — [6] αἱ om. — [7] οἱ καιροί om. — [8] ἔστι om. — [9] ὁ ἄ. — [10] μεθιέναι λαβὼν ὠφελιθῇ τοῦτο ἐπὰν ἐν κ. λάβῃ ὠφελεῖται.

et E. H. legunt ἐκ περιπλευμ. δέ, quos sequor. Sed operae pretium est parum aptam dictionem notare ἐκ περιπν. δὲ καὶ πλευρίτιδος ἐς ἔμπυον; nempe ἔμπυος aeger est, itaque ἐμπύημα congruit, non ἔμπυον. Quin si respicias iam ab initio inde, i. e. a verbis μεταπίπτει δὲ τάδε, structuram sequentium in textu descripto e libris, qualem adnotationis principio dedi, vides consecutionem membrorum ineptam esse: itaque eam mutavi, nam oratio in reliquis partibus capituli non est tam prava, ut non librariis tribuenda videatur huius loci structurae perturbatio.

4. ταῦτα δὲ — μήτε ἀκούειν.] Cett. τὰ δὲ ἐπί, de meo ταῦτα δ' ἐπὶ scripsi; ἐπιλαβεῖν Littr. e θ. pro vulg. ἐπιλαμβάνει. Vulgo σπασμὸν ποιεῖ, sed ποιεῖ om. Littr. cum H., in quo al. m. restituitur, omittit etiam Marc. — Cod. θ. om. σπασμὸν ποιεῖ καί; idem om. διακοπέν et Littréo praebuit ἐπιφλεγμ. pro vulg., quam e V. notavi. Lind.: φλεγμῆναι δὲ ἰσχ. fortasse de suo. Articulum ante ἐγκεφ. om. θ. et σεισθῇ καὶ πονήσῃ habet. Cod. idem θ. ἀνάγκη γενέσθαι habet et ὁρῆν, quod Littr. dedit.

ἢν δὲ τρωθῇ — πῦον γενέσθαι.] πυρετὸν ἐπιγ. cod. θ.; — καί ante ἀποπλ. om. E.; — ἐπίπλοον ἢν ἐκπ. θ., Marc., H., sed in hoc δέ rest. al. m. — Pro καὶ ἢν cod. θ. κἢν: — in cod. E. θ. πῦον, item in H. al. m., — vulgo πῦος, quae forma saepius in codd. in hoc libro de morbis recurrit; sed ego fidem ei denego: non credo πῦος, cuius genitivus πύεος esse deberet, nam neutrius generis sit oportet, usurpatum fuisse: primo enim plerisque locis forma πῦον in hoc scripto reperitur, tum alios casus praeter accusativum πῦος frustra quaero; saltem locis exceptis ubi manifesto lectio falsa est; uti vulgatum πρὸς τοῦ πύους § 15. sub fiuem, ubi πρὸς τὸ πῦον e cod. θ. reposuit Littr. —; itaque librariorum solito errore quodam terminationes ον et ος confusae sunt. Tandem moneo me et ante ἀποσαπῆναι et ante πῦον delevisse τοῦτο. quod emblema alienum est.

5. καιροὶ δὲ — αἱ θεραπεῖαι.] ἐν τῇ τέχνῃ Mack., Littr. e cod. θ., sed ἐπὶ τῇ τ. vulgatae antiquam lect. refert. Docet Hesod. Op. et dies vs. 692:

μέτρα φυλάσσεσθαι· καιρὸς δ' ἐπὶ πᾶσιν ἄριστος.

Articulum ante θεραπεῖαι Mack., Littr. e θ.. etiam H. ab al. m. adscriptum habet.

εἰσὶ δὲ — τοιαῦτά ἐστι.] De meo tum h. l. tum § 18. ἐκψυχοῦσι scripsi, ἐκψύχουσι etiam Marc., Voss.; vulgo τιτρωσκομένην — τρωσκομένην cod. θ. — de meo ἐκτιτρωσκομένην dedi, sicuti § 8., ἐξέτρωσε τὸ ἔμβρυον legitur.

καὶ οὗτοι — ὕστερον.] οἱ καιροί Mack.. Littr. e θ.; vulgo om. — Lind. solum οὗτοι μὲν ὀξέες. — Cod. Corn. apud Mack. ἀρκέσει, item Marcianus.

ὁ μέντοι καιρὸς — ὠφέλησε.] Quod e V. abesse ἔστι

ὠφελήσῃ, τοῦτο ἐν καιρῷ ὠφέλησε. Ἔστι μὲν οὖν σχεδόν τι οὗτος ὁ καιρὸς καὶ ἐν τοῖσι ἄλλοισι νοσήμασι· αἰεὶ γὰρ ἐν ᾧ ἄν τις ὠφελήσῃ [1] ἐν καιρῷ ὠφέλησε. Ὁκόσα δὲ τῶν νοσημάτων ἢ τρωμάτων μὴ ἐς θάνατον φέρει, ἀλλὰ καίριά ἐστι, καὶ ὀδύναι τε γίγνονται ἐν αὐτοῖσι καὶ οἷά τέ ἐστι, ἤν τις ὀρθῶς θεραπεύῃ, παύσασθαι, τούτοισι [2] ἀρκέουσι γιγνόμεναι [3] αἱ ὠφέλειαι ἀπὸ τοῦ ἰητροῦ ὅταν γένωνται· καὶ γὰρ καὶ μὴ παρεόντος τοῦ ἰητροῦ ἐπαύσατο ἄν. Ἕτερα δὲ νοσήματά ἐστι, οἷσι καιρός ἐστι θεραπεύεσθαι [4] τὸ πρωῒ τῆς ἡμέρης, διαφέρει δὲ οὐδὲν ἢ πάνυ πρωῒ, ἢ ὀλίγῳ ὕστερον· ἕτερα δὲ νοσήματά ἐστι, οἷσι καιρὸς θεραπευθῆναι ἅπαξ τῆς ἡμέρης, καὶ ὁπηνίκα γε οὐδὲν διαφέρει· ἕτερα δὲ διὰ [5] τρίτης, ἢ τετάρτης ἡμέρης· καὶ ἕτερα ἅπαξ τοῦ μηνός· καὶ ἕτερά γε διὰ τριῶν μηνῶν, καὶ τοῦ τρίτου ἢ ἱσταμένου ἢ φθίνοντος οὐδὲν διαφέρει· τοιοῦτοι [6] οἱ καιροί εἰσι [7] ἐνίοισι καὶ ἀκρίβειαν οὐκ ἔχουσι ἄλλην ἢ [8] ταύτην. Ἀκαιρίη δέ ἐστι τὰ τοιάδε· ὅσα μὲν πρωῒ δεῖ θεραπεύεσθαι, ἢν μεσημβρίῃ θεραπεύηται, [9] ἀκαίρως θεραπεύεται· ἀκαίρως δὲ ταύτῃ, [10] ἐπεὶ ὅσα τάχα ῥοπὴν ἴσχει ἐς

tempore iuvit. Est igitur haec fere opportunitas etiam in aliis morbis; semper enim quocumque tempore quis auxilium attulerit, opportune illud attulit. Qui vero morbi aut vulnera minime mortem afferunt, sed periculo sunt obnoxia et dolores habent, possunt tamen si quis recte curaverit, sedari; his autem sufficiunt auxilia a medico adlata quando adferuntur; etenim non praesente medico etiam sanantur. Sunt autem alii morbi, qui opportune matutino diei tempore curantur, nihilque refert an summo mane, an paulo posterius. Alii vero morbi semel die opportune curantur, neque refert quando id fiat; quidam etiam tertio quoque, aut quarto die; quidam etiam semel mense et alii quidem tertio quoque mense, neque refert an tertio ineunte aut desinente id fiat. Tales nonnullis sunt opportunitates, neque aliam quamdam requirunt exquisitam diligentiam, nisi hanc. Temporis autem inopportunitatem habent alia: quae mane curanda sunt, si meridie curentur, intempestive curantur; intempestive autem hac de causa fiunt, quia quae cito in peius vertuntur propter intempestivam curationem sive meridie, sive vespere, sive noctu curentur, intempestive

[1] ἐν κ. ὠφελ. om. — [2] οὐκ ἀρκ. — [3] αἱ om. — et mox τοῦ bis. — [4] τῷ. — [5] τριτ. ἡμ. ἢ τετ. — [6] δὲ οἱ κ. — [7] ἐν οἷσι. — [8] τήνδε. — [9] ἀκ. θεραπ. om. — [10] ἐπὶ ῥώμην ἴσχει.

notavi, idem in pluribus codd. vidit Littr.; τι ex L. θ. Littr., mihi idem V. praebet. ὤνθρ. Littr. e θ. pro vulg. ὁ. ἀ. — Littr. ὅτι ἄν τις e cod. θ., idemque in V. lego; vulgo ὅ τι ἤν τις; — equidem de meo τινα dedi; nempe si τις serves, constare non potest utroque loco infra ὠφελήσῃ et ὠφέλησε. saltem ita nascitur periodus parum congrua. Ego μεθιέναι vulgatae servo, Littr. e θ. dedit μεθεῖναι. Dein ὠφελήσῃ edd. antt., mss. pleraque, etiam Marc., ὠφεληθῇ vulg. — Quod autem λαβὼν ὠφεληθῇ e Q.′ adnotat Littréus, cf. Vossiani lect.; — τοῦθ' ἅπαν Littr. e θ., τοῦτο πᾶν K., vulgatam e V. notavi; equidem illud ἅπαν omisi, nam ex ἐπάν vulgatae natum videtur, ipsum autem ἐπάν non est nisi otiosa repetitio eiusdem ἐπήν s. ἐπάν. quod paulo ante occurrit. — λάβῃ post ἐν καιρῷ, quod vulg. habet, om. Littr. cum multis codd., neque Marc. habet; — in fine periodi ὠφέλησε Littr. e θ. pro vulg. ὠφελεῖται, quod etiam Marc. fert. — Si mss. lectt. reputes, videntur duae fuisse lectt., altera, quam exhibui, altera ὅ τι ἄν τις πρὸ τοῦ τὴν ψυχὴν μεθιέναι ὠφεληθῇ, τοῦτο ἐν καιρῷ ὠφελεῖτο. Vix discerno, quid praestet.

ἔστι μὲν οὖν — ἐν καιρῷ ὠφέλησε.] Pro ἐν ᾧ ἄν τις cod. θ. ὅταν τις. Ald. et multi libri apud Littr. ἐν ᾧ εἴ τις.

ὁκόσα δὲ — ἐπαύσατο ἄν.] καὶ ὀδύναι τε γίγνονται scripsi de meo, ceteris solum ὀδύναι τε γίνονται habentibus. Pro τε γίνονται cod. θ. δ' ἐνγίνονται. — Littr. καὶ οἷά τέ ἐστι dedit ex E., H., θ., idemque V. et Marc. habent, pro vulg. ἀλλ' οἷά τέ ἐστι. — Vulgo θεραπεύσῃ. sed H. θ. Marc. θεραπεύῃ, — cod. E. Littréi εἰ — θεραπεύει. — Cod. θ. παύεσθαι. — Libri δὲ οὐκ ἀρκέουσι, negationem iure delevit Littr., equidem δέ etiam reieci, quo iam facile caremus h. l. Articulum ante ὠφέλειαι cod. H. Littréo praebuit et fert Marc. — E θ. scripsi γένωνται pro vulgato praesente et καὶ γὰρ καὶ μή, ubi vulgo alterum καί abest. Articulus ante ἰητροῦ abesse solet, sed Mack., Littr. e θ. adposuerunt: fert etiam Marc.

ἕτερα δὲ νοσήματα — ἄλλην ἢ ταύτην.] ἕτερα δ' ἔστι νοσ. θ.; — τῷ πρωῒ E., H., Marc., δουθὲν ἢ πρωΐ e θ. adnotat Littr. — Pro ὁπηνίκα γε Lind. ὁπ. δέ. cod. θ. ὁπ. δ'. —: Marc. γε fert. Lectionem Vossiani τριτ. ἡμ. ἢ τετ. e θ. adn. Littr. — Dein καὶ ἕτερά γε ἅπαξ θ., Mack., sed tum paulo post γε omm.; ἢ καὶ ἕτερα διὰ τριῶν E.; τοῦ δὲ τρίτου Lind., ἢ ἱσταμ. dedi ex E. H. Marc., cett ἤ omm. h. l.; — τοιοῦτοι δὲ οἱ κ. vulgo, sed δέ cum θ. om. Littr.; ἐνίοισι θ., Littr. pro vulg., quam e V. notavi. Vulgo ἀκριβίην, multi libri et Littr. ἀκριβείην, quod Marc. etiam fert; de meo mutavi; tandem ἢ τήνδε cod. Serv. apud Foës.

ἀκαιρίη δὲ — θεραπεύεται.] — ἀκ. δὲ τὰ τ. cod. θ. Post θεραπεύηται Mack. Littr., quos sequor, e θ. receperunt ἀκαίρως θεραπεύεται. Ceterum h. l. insignem corruptelam h. l. sustulit feliciter Littréus vocabula transponendo, nam

τὸ κάκιον διὰ τὴν [1] *μὴ ἐν καιρῷ θεραπείην, ἤν τε μεσημβρίης, ἤν τε ὀψὲ, ἤν τε τῆς νυκτὸς θεραπεύηται, ἀκαίρως θεραπεύεται· καὶ ἢν τοῦ ἦρος δέῃ θεραπευθῆναι,* [2] *θεραπεύηται δὲ χειμῶνος, ἢ τοῦ μὲν χειμῶνος δέῃ, τοῦ θέρεος δὲ θεραπεύηται· ἢ ὅ τι ἤδη* [3] *δεῖ θεραπεύεσθαι, τοῦτο* [4] *ἀναβάλληται, ἢ ὅ τι ἀναβάλλεσθαι δεῖ, τοῦτ' ἤδη θεραπεύηται· τὰ τοιαῦτα ἀκαίρως θεραπεύεται.*

curantur. Item si quae vere curari debent, hieme curentur, et quae hieme curanda sunt, aestate curentur; aut si quid statim curari oporteat, id differatur, vel differri debeat et statim curetur. Talia extra tempus opportunum curantur.

ς'. Ὀρθῶς δὲ ἐν αὐτῇ καὶ οὐκ ὀρθῶς τὰ τοιάδε· οὐκ ὀρθῶς μὲν τήν τε νοῦσον [5] *ἑτέρην ἐοῦσαν ἑτέρην φάναι εἶναι, καὶ μεγάλην ἐοῦσαν σμικρὴν* [6] *φάναι εἶναι, καὶ σμικρὴν ἐοῦσαν μεγάλην, καὶ περιεσόμενον μὴ φάναι περιέσεσθαι, καὶ μέλλοντα ἀπολεῖσθαι μὴ φάναι ἀπολεῖσθαι, καὶ ἔμπυον ἐόντα μὴ γιγνώσκειν, μηδὲ νούσου μεγάλης τρεφομένης ἐν τῷ σώματι γιγνώσκειν, καὶ φαρμάκου δεόμενον ὁκοίου του δεῖ μὴ γιγνώσκειν· καὶ τὰ δυνατὰ μὴ* [7] *ἐξιᾶσθαι καὶ τὰ ἀδύνατα φάναι* [8] *ἐξιήσεσθαι. Ταῦτα μὲν οὖν ἐστι κατὰ γνώμην οὐκ ὀρθῶς· κατὰ δὲ χειρουργίην τάδε· πῦον ἐν ἕλκεϊ ἐνεὸν ἢ ἐν φύματι μὴ γιγνώσκειν καὶ τὰ κατήγματα καὶ τὰ ἐκπτώματα μὴ γιγνώσκειν, καὶ μηλῶντα* [9] *κατὰ κεφαλὴν μὴ γιγνώσκειν, εἰ τὸ ὀστέον κατέηγε, μηδ' ἐς κύστιν αὐλίσκον καθιέντα δύνασθαι καθιέναι, μηδὲ λίθου ἐν κύστι ἐνεόντος γιγνώσκειν, μηδ' ἔμπυον ἐόντα διασείοντα γιγνώσκειν καὶ τάμνοντα ἢ καίοντα ἐλλείπειν ἢ τοῦ βάθεος, ἢ τοῦ μήκεος· ἢ* [10] *καίειν τε καὶ τάμνειν ἃ*

6. In arte autem ista recte vel non recte fiunt: si cum alius morbus exsistat, alium esse dicas, si cum magnus sit parvum, et si cum parvus sit, magnum pronuncies, et eum qui superstes futurus est superstitem non futurum affirmare, neque eum, qui periturus est, periturum dicere, et eum, qui suppuratus est, non cognoscere, neque nosse si magnus in corpore morbus fiat, et si quis medicamine indigeat, nescire quo illi opus sit, et quae sanari possunt, non sanare, et quae non possunt sanaturum te esse affirmare. Atque haec quidem non recte mentis consilio fiunt. Ista vero malam habent manuum tractationem, pus, quod in ulcere aut tuberculo inest, non cognoscere, ossa fracta et quae suis sedibus excesserunt, non nosse, capitis os specillo admoto fractumne sit, non nosse, neque fistulam in vesicam immittentem id perficere posse, neque calculum in vesica neque pus thorace collectum ex concussione nosse, et urendo aut secando fundum aut latitudinem non attingere, et urere aut secare

[1] *οὐκ ἐν κ. θ. ὅσα δὲ ἐς τάχα· ἤντε μεσημβρίης.* — [2] *θεραπεύοιτο* et *δέοι.* — [3] *δεῖ* om. — [4] *δὲ ἀναβάλληται.* — [5] *ἑτέρην οὖσαν, ἑτέρην φανέειν καὶ μεγ.* — [6] *φανέειν καὶ σμ.* — [7] *ἐξιῆσθαι.* — [8] *ἐξιήσεσθαι.* — [9] *κατά* om. — [10] *τέμνειν τε καὶ καίειν.*

vulg. fert: *ἀκαίρως δὲ ταύτῃ ἐπεὶ ῥοπὴν ἴσχει ἐς τὸ κάκιον διὰ τὴν μὴ ἐν καιρῷ θεραπείην· ὅσα δὲ ἐς τάχα ἢν δὲ μεσημβρίης*, quod sensu cassum. — Porro *ἤν τ' ὀψὲ τῆς νυκτός* cod. θ.; — tum *δέῃ, θεραπεύηται* et iterum *δέῃ* e cod. θ. Littr., ubi vulg. optativum habet. Idem liber *τοῦ δὲ θέρεος.* — Vulg. *τοῦτο δὲ ἀναβ.*, sed Littr. cum θ. *δέ* om.; tandem *τοῦτο ἤδη* E. H.

6. *ὀρθῶς — ἐξιήσεσθαι.*] *φάναι εἶναι*, quod e θ. dederunt Mack., Littr. in ceteris libris in *φανέειν* abiit, tum h. l., tum paulo post. Ionismum *σμικρήν* etiam Marc. habet. Vulgata: *καὶ φαρμάκου δεόμενον ἢ πότου τοῦ δεῖ μὴ γινώσκειν.* In hac lect. θ. om. *ἤ*. —, tum *ποίου* pro *πότου* ferunt Ald., codd. 5. Littréi; *τοιούτου* habet K., *ὁκοίου* H. al. m., tum in eo seq. *τοῦ* al. m. obliteratum est: Lind. *οὗ* pro *τοῦ*. Cod. θ. *ὁποίου του δει* (sic) legit. E Marc. excerptum lego: *ἢ πύου τοῦ δεῖ μὴ γινώσκειν.* — Littréus dedit *καὶ φαρμάκου δεόμενον ὁκοιουοῦν δὴ μὴ γιν.* — Mihi in Marciani lectione latere videtur *ὁποίου του δεῖ*, quod θ. re ipsa fert et in quo *του* est pro *τινός*. — Hanc lect. veram esse puto, sed tuto e correctione in H. *ὁκοίου* dare licebit — Cod. θ. *ἐξιᾶσθαι*. Ante *φάναι ἐξιήσ.* quatuor mss. Littréi *μή*, unus H. *μέν*; pro futuro vero *ἐξιῆσθαι* libri septem. In Voss. *μηδὲ νούσου — μὴ γιγνώσκειν* omissum est.

ταῦτα μὲν οὖν — ἃ οὐ χρή.] *ἐστι* E. H. θ., Littr. Marcianus, vulgo *εἰσί*, quod V. etiam fert. — Ionice *χειρουργίην* etiam Marc. — Praepositionem ante *ἕλκει* omm. θ. H., sed in hoc al. m. rest. — Cod. θ. habet *ἐπεπτωκότα* i. e. *ἐκπεπτ.* — Littréus *κατά* ante *κεφ.* e solo cod. θ. — Idem liber *ἐνεόντος ἐν κ.* — Marc. etiam *ἐλλείπειν* pro vulg. *ἐκλ.* — Unus J. *ἢ τέμνειν τε καὶ καίειν.*

οὐ χρή. Καὶ ταῦτα μὲν οὐκ ὀρθῶς· ὀρθῶς δὲ, τά τε νοσήματα γιγνώσκειν ἅ τέ ἐστι καὶ ἀφ᾽ ὅτων, καὶ τὰ μακρὰ αὐτῶν καὶ τὰ βραχέα, καὶ τὰ θανάσιμα καὶ τὰ μὴ θανάσιμα, καὶ τὰ μεταπίπτοντα, καὶ τὰ αὐξανόμενα καὶ τὰ μαραινόμενα, καὶ τὰ μεγάλα καὶ τὰ σμικρὰ, καὶ θεραπεύοντα τὰ μὲν ἀνυστὰ ἐκθεραπεύειν, τὰ δὲ μὴ ἀνυστὰ εἰδέναι, [1] διότι οὐκ ἀνυστὰ, καὶ θεραπεύοντα τοὺς τὰ τοιαῦτα ἔχοντας ὠφελέειν ἀπὸ τῆς θεραπείης ἐς τὸ ἀνυστόν. Τὰ δὲ προσφερόμενα τοῖσι νοσέουσι ὧδε χρὴ φυλάσσειν τά τε ὀρθῶς καὶ τὰ μὴ ὀρθῶς· ἤν τις ἃ δεῖ ξηραίνειν, ὑγραίνῃ, ἢ ἃ δεῖ ὑγραίνειν ξηραίνῃ, ἢ εἰ παχύνειν δέοι, μὴ προσφέρῃ ἀφ᾽ ὧν δεῖ παχύνειν, ἢ ἃ δεῖ λεπτύνειν, μὴ λεπτύνῃ, ἢ ψύχειν μὴ [2] ψύχῃ, ἢ θερμαίνειν μὴ θερμαίνῃ, ἢ σήπειν μὴ σήπῃ, καὶ τὰ λοιπὰ κατὰ τὸν αὐτὸν λόγον τούτοισι.

quae non oportet. Et haec quidem non recte fiunt, ista autem recte: si quis morbos quinam sint et ex quibus oriantur cognoscat et quinam ex his longi, quinam breves et qui letales, et qui minime letales, qui in alios transeant, qui increscant, quinam emarcescant, qui magni, qui parvi, et inter curandum eos curare, qui curari possunt, eos vero, qui curari non possunt, novisse quare curari nequeant et cum eos curas, qui talibus morbis affecti sint, eos curatione adiuvare quoad eius fieri potest. At quae aegrotantibus offeruntur, ea sic observare oportet rectene an non recte fiant: si quis quae siccari oportet, humectet, vel quae humectare oportet siccet, aut si incrassare oporteat, non exhibeat ea quibus incrassare oportet, aut quae attenuanda non attenuet, aut refrigeranda non refrigeret, aut calefacienda non calefaciat, aut putrefacienda non putrefaciat et reliqua secundum eandem rationem atque haec.

ζ΄. Τὰ δὲ τοιάδε ἀνθρώποισι ἀπὸ [3] ταυτομάτου ἐν τῇσι νούσοισι [4] γίγνεται καὶ ἀγαθὰ καὶ κακά· πυρέσσοντι μὲν καὶ χολῶντι ἐν καιρῷ σκεδασθεῖσα ἔξω ἡ χολὴ, ἀγαθόν· πρὸς ἓν δέ τι τοῦ σώματος προσπεσοῦσα, κακόν. Κοιλίη ταραχθεῖσα ὑπὸ πλειρίτιδος ἐχομένῳ [5] ἢ περιπνευμονίης, ἢ ἐμπύῳ ἐόντι, κακόν· πυρέσσοντι δὲ ἢ τρῶμα τετρωμένῳ κοιλίη ἀποξηρανθεῖσα, κακόν· ὑφύδρῳ καὶ σπληνώδεϊ [6] καὶ ὑπὸ λευκοῦ φλέγματος ἐχο-

7. Haec autem in morbis tum bona tum mala sua sponte hominibus eveniunt. Febricitanti quidem et bilioso, si bilis suo tempore extra dispersa fuerit, bono est; sin in unam aliquam corporis partem incumbat, malo est. In morbo laterali, aut pulmonis inflammatione detento aut suppuratum thoracem habente alvus perturbata malo est. Febricitanti vero aut accepto vulnere alvus resiccata malum denunciat. Subaquoso et lienoso albaque pituita detento

[1] ὅτι. — [2] ψύχων. — [3] τοῦ αὐτομ. — [4] γίνονται τά τε κακὰ καὶ τὰ ἀγ. — [5] ἢ περιπν. om. — [6] καί om.

καὶ ταῦτα μὲν — ἐς τὸ ἀνυστόν.] *ἀφ᾽ ὧν* H. al. m.; *ἀφ᾽ ὧν ἐστι* cod. θ. — Simplex *θεραπεύειν* pro *ἐκθεραπ.* quatuor libri Littréi. Pro *διότι* etiam cod. Serv. Foësii *ὅτι*. — H., Marcianus: *θεραπηΐης*.

τὰ δὲ προσφερόμενα — τὸν αὐτὸν λόγον τούτοισι.] *ἢ — ξηραίνῃ* Mack., Littr. e θ., cett. omm. — Vulgo *ἢ παχύνειν δέῃ*, sed θ. *ἢ ἃ. π. δέῃ*; — hoc exhibuit Littr.; nisi quod *δέοι* ex E. scripsit. quod mihi V. praebet. Sane vero illud *ἃ* in cod. θ. coniectura librarii invectum videtur et malo *εἰ* cum optat. scribere quam *ἃ* sive cum opt. sive cum subiunctivo; quippe melius *εἰ* quadrat cum seqq. — Codd. *ψύχων*, cum Littr. infinitivum dedi. Pro *θερμαίνειν*, *σήπειν* codd. *θερμαίνων σήπων* habere adnotat Littr.; equidem in V. utroque loco infinitivum lego.

7. *τὰ δὲ τοιάδε — προσπεσοῦσα κακόν.*] *ἀπὸ τοῦ αὐτομ.* H. θ. Marc., ut Voss.; — *γίνεται καὶ ἀγ. καὶ κακά* Littr. cum θ., vulgatam e V. notavi, sed in hac ipsa *γίνεται* ferunt H., J., Marc. — Cod. θ. om. *ἐν καιρῷ*. — Iam vero in libris mss. et editis inter *ἀγαθόν* et *πρὸς ἓν δέ τι* intermedia sunt haec: *ὑπὸ τὸ δέρμα* (hic *δέ* habet vulg., sed omisit Littr. cum θ.) *κεχυμένη καὶ ἐσκεδασμένη καὶ* (nempe *καί* h. l. e cod. θ. Littr., sed vulgo abest) *εὐπετεστέρη* (sic θ. Mack., Littr. *εὐπετεστέρα* vulg.) *ἔχειν τε* (*τε* om. Voss.) *τῷ ἔχοντι καὶ τῷ ἰωμένῳ ἰῆσθαι* (*ἰᾶσθαι* θ.) *κεχυμένη δὲ καὶ ἐσκεδασμένη*. Primum dicam postrema *κεχυμένη δὲ καὶ ἐσκεδασμένη* vitiose e superioribus esse repetita, nec quidquam cum seqq. commune habere, nec cum superioribus. Reliqua vero non sunt, nisi scholion ad *σκεδασθεῖσα ἔξω ἡ χολὴ, ἀγαθόν*. Nimirum adposuit aliquis: *ὑπὸ τὸ δέρμα κεχυμένη καὶ ἐσκεδασμένη εὐπετεστέρα ἔχειν τε τῷ ἔχοντι καὶ τῷ ἰωμένῳ ἰᾶσθαι*. Itaque hoc scholio deleto *ἓν δέ τι* scripsi, ceteris *δέ* non habentibus. Nunc demum parallelismus inter utrumque loci membrum elucet.

κοιλίη ταραχθεῖσα — ἀγαθόν.) Pro *τετρωμένῳ* H. al. m. *ἐσχηκότι*, seq. *κοιλίη* om. θ. — Lind. *ὑφύδρῳ δὲ καὶ σπλ.* — E., H. Q.′ Marc., Mack., Littr. *καὶ ὑπὸ λ. φλ.*, vulgo *καί* abest; Lind. [ἢ] suppleverat.

μένῳ ταραχθεῖσα ἡ κοιλίη ἰσχυρῶς, ἀγαθόν. Ἐρυσίπελας ἢν ἔξω κατακεχυμένον ἔσω [1] τράπηται, κακόν· ἢν δ' ἔσω κατακεχυμένον ἔξω τράπηται, ἀγαθόν. Διαρροίῃ δὲ ἐχομένῳ ἰσχυρῇ ἔμετος γενόμενος, ἀγαθόν. Γυναικὶ αἷμα ἐμεούσῃ τὰ καταμήνια [2] ῥαγῆναι, ἀγαθόν· ὑπὸ ῥόου δὲ πιεζομένῃ ἐς τὰς ῥῖνας, ἢ ἐς τὸ στόμα μεταπεσεῖν τὸν ῥόον, ἀγαθόν. Γυναικὶ ὑπὸ σπασμοῦ [3] ἐχομένῃ ἐκ τόκου πυρετὸν ἐπιγενέσθαι, ἀγαθόν· καὶ τετάνου ἔχοντος καὶ σπασμοῦ, πῦρ ἐπιγενέσθαι, ἀγαθόν. Τὰ τοιαῦτα δι' οὐδεμίαν οὔτε ἀμαθίην, οὔτε σοφίην ἰητρῶν γίγνεταί τε καὶ οὐ γίγνεται, ἀλλ' ἀπὸ τοῦ αὐτομάτου καὶ ἐπιτυχίῃ, [4] καὶ γενόμενά τε ὠφελέει, ἢ βλάπτει, καὶ οὐ γενόμενα ὠφελέει, ἢ βλάπτει κατὰ τὸν αὐτὸν λόγον.

alvus vehementer perturbata bono est. Si erysipelas foras diffusum intro vertatur, malum, si vero intus effusum foras vertatur, bonum. Vehementi alvi profluvio detento succedens vomitus bono est. Mulieri sanguinem vomenti profluvium menstruum erumpere, bonum. Ei autem, quae fluore muliebri urgetur, ad nares aut os fluorem transire bono est. Mulieri ex partu convulsione detentae si febris succedat bono est; et distentio aut convulsio si detineat febrem supervenire bonum. Haec eiusmodi ex nulla medicorum inscitia, neque scientia fiunt, sed cum sponte et bona fortuna accidunt iuvant aut nocent, et cum non fiunt eadem ratione iuvant, aut nocent.

η'. Ἐπιτυχίῃ δὲ τὰ τοιάδε οἱ ἰητροὶ ποιέουσι ἐν τῇ θεραπείῃ ἀγαθά· ἄνω φάρμακον δόντες καθαίρουσι καὶ ἄνω καὶ κάτω καλῶς· καὶ [5] γυναικὶ φάρμακον δόντες κάτω χολῆς ἢ φλέγματος, ἐπιμήνια οὐ γενόμενα κατέρρηξαν· καὶ σπλῆνα ἔμπυον ἔχοντι κάτω φάρμακον δόντες, ὥστε χολὴν καὶ φλέγμα καθῆραι, πῦον κάτω ἐκάθηραν [6] ἐκ τοῦ σπληνὸς καὶ ἀπήλλαξαν τῆς νούσου· καὶ λιθιῶντι φάρμακον δόντες, τὸν λίθον ἐς τὸν οὐρητῆρα προέωσαν ὑπὸ βίης τοῦ φαρμάκου, ὥστε ἐξουρηθῆναι· καὶ πῦον ἔχοντι ἐν τῇ ἄνω κοιλίῃ

8. Haec autem medicis inter curandum bene feliciterque succedunt: si medicamento per superiora purgante exhibito, purgatio per superiora et inferiora recte procedat. Et mulieri si medicamento exhibito, quod bilem aut pituitam deorsum educat, menses retardati erumpant. Et si cui lienem suppuratum habenti medicamento exhibito, quod bilem et pituitam educat, pus ex liene per inferiora expurgarunt et morbo liberarunt. Sique calculum habenti exhibito medicamento purgante calculum in meatum urinarium medicamenti vi protruserunt,

[1] τράπηται ἀγαθόν omissis intermediis, ita ut pergat γυναικί. — [2] ῥαγῆσαι. — [3] πιεζομένῃ. — [4] καί om., et tum καὶ βλάπτει κατὰ τὸν α. λ. omissis ceteris. — [5] γυναιξί. — [6] ἀπό.

ἢν δ' ἔσω κατακεχ. ἔξω τραπ. ἀγ.] Cod. θ. fert: ἔσω δὲ κατακεχ. ἔξω τραπῆναι ἀγ.
γυναικὶ αἷμα — τὸν ῥόον, ἀγαθόν.] In his αιμευσῃ cod. θ. — Pro πιεζομένῃ Lind. h. l. ἐχομένῃ, non infra, ubi vide.
γυναικὶ ὑπὸ σπ. — ἐπιγενέσθαι ἀγαθόν.] In his vulgo ὑπὸ σπ. πιεζομένη, uti e V. notavi, sed ἐχομένῃ E., H., P., θ. Marc., Littr.
τὰ τοιαῦτα — τὸν αὐτὸν λόγον.] Cett. τὰ γὰρ τοιαῦτα, sed cum θ. omisi γάρ. Idem καὶ ἀπὸ ἐπιτυχίης pro vulgato καὶ ἐπιτυχίης, J. καὶ ἀπὸ τύχης; mihi ἐπιτυχίῃ scriptum fuisse videtur, quod in genitivum mutaverint librarii propter antecedentia; nisi malis forte ὑπὸ ἐπιτυχίης. Copulam ante γενόμενα e θ. adscripsit Littréus, cett. omm. —; Littréus ἢ βλάπτει priore loco e cod. θ., vulgo καὶ βλ. — Verba καὶ οὐ γενόμενα ὠφελέει ἢ βλάπτει Littréus supplevit e θ., vulgo absunt.
8. ἐπιτυχίῃ — τοῦ ἐμέτου.] Ad φάρμακον κάτω χολῆς ἢ φλέγματος, cuiusmodi formula infra in hoc capitulo recurrit, cf. adnn. ad extremam § 6., libri de nat. hominis; — πῦον E. θ. Mack., πύος vulgo; — ἐκ τοῦ σπληνός E., H., Q.' θ. Marc., Littr., vulgatam e V. notavi; — προέωσαν E. „emendatum al. m." inquit Littr., H. θ., vulgo προσέωσαν; equidem illud prae vulg. praefero. Porro ἐξ οὖν ἤμεσε e θ. Marc. scripsi, cett. ἐξ οὖν omm.: ἔμεσε E. cf. lectt. V., ἐξήμεσε H. al. m.; — ἀπὸ τοῦ αὐτομάτου θ.; — ὑγιέα ἐπ. τοῦ ἐμ. H. θ. Marc. Littr., ita tamen ut H. Marc. ὑγιᾶ habeant, cod. θ. vero ὑγιαία, unde Ionismum effecit Littr.; vulgatam e V. notavi. — Sed redeo ad illud ἐξ οὖν ἤμεσε, quod h. l. ferunt cod. θ. et Marc.; nimirum haec tmesis cum interposito οὖν saepius recurrit in cod. θ., ter in Marciano, e libris ceteris evanuit, sed duo loci sunt ubi vestigia istius lectionis in vulgata deprehenduntur. En loci, ubi occurrit: in hac § 8va ἐξ οὖν ἤμεσε θ. Marc.; § 14. δι' οὖν ἐφθαρησαν solus θ., § 15. et § 18. δι' οὖν ἐφθάρη cod. θ. et Marc., superest autem huius scripturae vestigium in vulgato δι' οὗ ἐφθάρη. § 20. μετ' οὖν ἔστη cod. θ. et Marc., rursus vestigium illius lectionis agnosco in vulg. μετανέστη, nam compositio cum ἀνά in hoc verbo non congruit eo loco.

ἐν φύματι οὐκ εἰδότες ὅτι ἔχει δόντες ἄνω φάρμακον ὅ τι φλέγμα καθαίρει, ἐξ οὖν [1]ἤμεσε τὸ πῦον καὶ ἐγένετο ὑγιής· καὶ ἐκ φαρμάκου ὑπερκαθαιρόμενον ἄνω θεραπεύοντες, καταρραγείσης τῆς κοιλίης ἀπὸ ταυτομάτου, [2]ὑγιέα ἐποίησαν τοῦ ἐμέτου. Κακὰ δὲ [3]τάδε ἀπεργάζονται [4]ὑπὸ ἀτυχίης· φάρμακον δόντες ἄνω χολῆς, ἢ φλέγματος, φλέβα ἐν τοῖσι στήθεσι ἔρρηξαν ὑπὸ τοῦ ἐμέτου οὐδὲν ἔχοντος πρόσθεν ἄλγημα ἐν τῷ στήθεϊ φανερὸν, καὶ ἐγένετο νοῦσος· καὶ γυναικὶ ἐν γαστρὶ ἐχούσῃ ἄνω φάρμακον δόντες, κάτω ῥαγεῖσα ἡ κοιλίη ἐξέτρωσε τὸ ἔμβρυον· καὶ ἔμπυον θεραπεύοντι ἡ κοιλίη ῥυεῖσα διαφθείρει· καὶ ὀφθαλμοὺς θεραπεύοντι καὶ ὑπαλείψαντι ὀδύναι ἐνέπεσον ὀξύτεραι, κὴν [5]οὕτως τύχῃ, ῥήγνυνται οἱ ὀφθαλμοὶ καὶ ἀμαυροῦνται καὶ αἰτιῶνται τὸν ἰητρὸν, ὅτι ὑπήλειψε· καὶ λεχοῖ ἐπὶ γαστρὸς ὀδύνῃ, ἢν [6]δῷ τι ὁ ἰητρὸς καὶ κακῶς σχῇ, ἢ καὶ [7]ἀπόληται, ὁ ἰητρὸς αἴτιος. Σχεδὸν δὲ [8]ὅσα ἀνάγκας ἔχει ὥστε γίγνεσθαι ἐν τοῖσι νοσήμασι καὶ [9]τρώμασι, κακὰ ἐπὶ κακοῖσι, τὸν ἰητρὸν αἰτιῶνται τούτων [10]γενομένων, καὶ τὴν ἀνάγκην τὴν ἀναγκάζουσαν γίγνεσθαι οὐ γιγνώσκουσι. Καὶ ἢν ἐπὶ πυρέσσοντι ἢ τρῶμα ἔχοντι ἐσελθὼν καὶ προσενέγκας τὸ πρῶτον μὴ ὠφελήσῃ, ἀλλὰ τῇ ὑστεραίῃ κάκιον ἔχῃ,

ita ut cum urina exeat. Et si ei, qui pus in superiore ventre ex tuberculo collectum habet, id ipsum ignorantes medicamentum, quod pituitam sursum educat, exhibuerint, isque pus vomitione reiecerit, sanusque evaserit. Et cum curando eum, qui ex medicamento per superiora purgante supra modum purgetur, alvo sponte erumpente a vomitu sanum reddunt. At mala haec adversa fortuna perpetrant medici, si exhibito medicamine, quod bilem aut pituitam sursum educat, venam in pectore prae vomitione ruperint, cum nullus antea ibi manifestus dolor exsisteret, et morbus contrahatur. Si mulieri utero gerenti exhibito medicamento sursum purgante, alvus affatim deorsum erumpens foetum abortione eiecit. Sique dum oculos curat et ungit, vehementiores dolores incidunt, ac forte fortuito oculi rumpuntur et obscurantur, idque medico crimini dant, qui oculos subleverit. Et si puerperae in ventris dolore quid medicus exhibuerit, et male habeat, aut etiam pereat, medicus in culpa esse dicitur. Ac fere in morbis et vulneribus ubi mala malis ex causis necessariis succedunt, cum illa acciderint in medicum causam conferunt, neque illa ex necessitate fieri agnoscunt. Et si ad febricitantem, aut vulneratum ingressus sit et oblatum quam primum remedium non iuvet, sed

[1] ἔμεσε. — [2] τοῦ ἐμ. ὑγιᾶ ἐπ. — [3] τάδε om. — [4] ἀπό. — [5] οὕτω. — [6] δοίη. — [7] ἀπόλλυται. — [8] ὅσας. — [9] τρώμασι κακὰ ἐπὶ κακοῖσι τὸν ἰητρὸν κ. τ. λ. — [10] γινομένων.

§ 21. 22. δι' οὖν ἔφθειρε cod. θ. solus et § 30. δι' οὖν ἐκίνησε solus cod. θ. Littréus hanc tmesin non recepit, equidem puto eam evanuisse et igitur restituendam esse; docent me loci ubi in vulgata vestigia veteris scripturae supersunt. Ceterum in prolegomenis de eadem re aliquid dicam, locis singulis iam indicatis videndum erit, quid congruat, quid non. — Est autem eadem illa tmesis cum interposito οὖν frequens apud Herodotum. Ubi ἀν' ὧν ἐφάνη III. 82.; ἀπ' ὧν ἔβαψε II. 47.; ἀπ' ὧν ἔδωκαν II. 87. 38., et sic passim.

κακὰ δὲ τάδε — ὁ ἰητρὸς αἴτιος.] ἔρρηξαν ἀπὸ τοῦ ἐμ. E. P. Q.' Pro καὶ ἐγ. νοῦσος J. καὶ ἐγ. οὕτως. L. καταρραγεῖσα ἡ κ. — Cod. θ. ἐξέτρωται ἔμβρ. — Articulum ante κοιλίη ῥυεῖσα om. θ. —; idem cod. καὶ ἤν et ῥήγνυται τε ὁ ὀφθαλμός; — H. ἀμαυροῦται, sed ῥοῦν al. m. — In lect. καὶ λεχοῖ γαστρὸς ὀδύνης, quam alii et Marc. ferunt, puto ἐούσης excidisse. — Vulgo δοίη, cod. θ. δοι, Littr. δῷ. — In καὶ ἢν κακῶς σχῇ, uti legunt E., P.', Marc., vulgo ἤν abest; — καὶ κακῶς ἔχῃ θ. Copulam ante ἀπόληται om. θ.; ἀπόληται vero H. θ. Marc., Littr. pro vulg., quam e Voss. enotavi.

σχεδὸν δὲ — οὐ γιγνώσκουσι.] τούτων γενομένων scripsi cum I., in quo ipso vulgatum γινομένων reponitur al. m. — Vulgo τὴν τὰ τοιαῦτα ἀναγκάζουσαν, sed E. P.' omm. τὰ τοιαῦτα, quos sequor.

καὶ ἢν — ὥστε γίγνεσθαι.] ἐπὶ πυρέσσοντα, ἢ τρῶμα ἔχοντα θ. Mack.; — ἢ δ' ὠφελ. E. H. θ. Mack. — Vulgo τοῦτο δὲ οὐχ ὁμ. ἐπαινέουσι, in quo pro δέ Lind. δή scripsit; Littréus δέ servandum putat. mihi vero e superiore δέ vitiose repetitum videtur, ita ut omittam. Pro ὁμαλῶς θ. ὁμοίως. Littr. dein χρεών cum θ., χρήν vulg., χρῆναι Lind., χρῆν Mack., 'χρή Ald., septem Parr., Marc.; τὰ δ' ἕλκεα θ. φλεγμαίνειν θ. Mack., Littr., vulgatam e V. notavi. — Verum haec et seqq. e vulgata primum describam, dein varr. lectt. praecipuas in altera librorum lectione cum hac ipsa adponam, et quid mutaverim dicam. — Vulgo igitur: τὰ δὲ ἕλκεα φλεγμαίνει καὶ ἐν τῇσι νούσοισι ἔστιν ὀδύνας ἧσι χρὴ γίνεσθαι αὐτοῖσι, οὐδὲ τὰ τοιάδε ὥστε μὴ γίνεσθαι· νεῦρον διακοπὲν οὐ συμφύει, οὐδὲ κύστις, οὐδὲ τῶν ἐντέρων τι τῶν λεπτῶν, οὐδὲ φλὲψ αἱμόρροους, οὐδὲ γνάθου τὸ λεπτὸν, οὐδὲ τὸ ἐπὶ τοῦ αἰδοίου δέρμα. Haec vulgata igitur lectio est ;* in cod. θ. in verbis τὰ δὲ ἕλκεα — ὥστε

τὸν ἰητρὸν αἰτιῶνται· ἢν δὲ ὠφελήσῃ, τοῦτο [1] οὐχ ὁμαλῶς ἐπαινέουσι· [2] χρεὼν γὰρ πεπονθέναι αὐτὸν δοκέουσι· τὰ δὲ ἕλκεα [3] φλεγμαίνειν καὶ ἐν τῇσι νούσοισι ἔστι [4] ᾗσι ὀδύνας γίγνεσθαι, οὐ δοκέουσι χρεὼν εἶναι· οὐδὲ τὰ τοιάδε· νεῦρον, ἢν διακοπῇ μὴ ξυμφῦναι, μηδὲ κύστιν, μηδὲ τῶν ἐντέρων τι τῶν λεπτῶν, μηδὲ φλέβα αἱμόρροον, μηδὲ γνάθου τὸ λεπτὸν, μηδὲ τὸ ἐπὶ τοῦ αἰδοίου δέρμα.

postridie aeger peius habeat, in medicum culpam reiiciunt. Quod si prosit, id tamen non perinde laudant, cum id ei contingere oportere existimant. Vulnera vero inflammari et in morbis quibusdam dolores fieri, ex necessitate non opinantur: neque talia: nervum, si praecisus fuerit, non coalescere, neque vesicam, neque intestinum aliquod tenue, neque venam sanguinem fundentem, neque tenuem genae partem, neque praeputium.

θ'. Ἀρχὴ δὲ ἰήσιος ἀποδεδειγμένη μὲν οὐκ ἔστι, ἥτις ὀρθῶς ἀρχή ἐστι ἀποδεδειγμένη πάσης τῆς τέχνης, οὐδὲ δεύτερον οὐδὲν, οὐδὲ μέσον, οὐδὲ τελευτή· ἀλλὰ ἀρχόμεθά τε αὐτῆς ἄλλο τε λέγοντες, ἄλλο τε ἐργαζόμενοι καὶ τελευτῶμεν ὡσαύτως· καὶ οὔτε λέγοντες ἀρχόμεθα ἐκ τῶν αὐτῶν λόγων, οὐδ' ἢν περὶ τῶν αὐτῶν λέγωμεν, οὐδὲ ἐς τοὺς αὐτοὺς τελευτῶμεν· καὶ ἐργαζόμενοι κατὰ τὸν αὐτὸν λόγον οὔτε ἀρχόμεθα ἐκ τῶν αὐτῶν ἔργων, οὔτε τελευτῶμεν ἐς τὰ αὐτά.

9. Principium autem medicationis nullum est demonstratum, quod rite demonstratum sit universae artis principium esse, nec secundum aliquod, nec medium, nec finis: sed eius initium facimus aliud quid dicentes et aliud quid facientes, similique modo finem facimus. Nec verba facientes ab iisdem sermonibus initium facimus, ne tunc quidem cum de iisdem rebus loquimur, neque in iisdem desinimus et in opere ipso eodem modo versamur, neque ab iisdem operibus incipimus, neque in iisdem cessamus.

ι'. Εὐχειρίη δέ ἐστι τὰ τοιάδε· ὅταν τις [5] τάμνῃ ἢ καίῃ, μήτε νεῦρον [6] τάμνειν ἢ καίειν, μήτε φλέβα· καὶ ἢν ἔμπυον καίῃ, [7] ἐπιτυγχάνειν τοῦ πύου, καὶ τάμνοντα δὲ κατὰ τὸν αὐτὸν λόγον· καὶ [8] τὰ κατήγματα ξυντιθέναι ὀρθῶς· καὶ ὅ τι ἂν τοῦ σώματος ἐκπέσῃ ἐκ τῆς φύσιος, ὀρθῶς ἐς τὴν φύσιν τοῦτο [9] ἀπῶσαι· λαβῶν τε ἃ δεῖ ἰσχυρῶς, καὶ [10] λαβόντα πιέζειν καὶ ὅσα ἀτρέμα λαβεῖν, καὶ λαβόντα μὴ πιέζειν· καὶ ἐπιδέοντα

10. Apta vero manuum tractatio in his est: si quis secet aut urat, neque nervum secare aut urere, neque venam et si purulentum curat ad pus devenire, et in secando eadem ratione. Fracturas rite componere, et quaecumque corporis pars e naturali loco exciderit, eam recte in suum locum compellere. Quae vehementer prehendere oportet, prehensa premere et quae leviter prehendenda sunt, prehensa non premere. Quae deliganda sunt e recto habitu non

[1] δὲ οὐχ. — [2] χρὴν. — [3] φλεγμαίνει. — [4] ᾗσι post δδ. — et tum χρὴ γιν. — [5] τάμνων ἢ καίων. — [6] τάμῃ ἢ καύσῃ. — [7] ἐπιτυγχάνῃ. — [8] τά om. [9] ἀπώσαιεν. — [10] λαμβάνοντα μὴ π. omissis intermediis.

μὴ γίνεσθαι, et in θ. E. H. Marciano in seqq. ad δέρμα usque habemus aliam lect., quae sic ibi describitur: τὰ δὲ ἕλκεα φλεγμαίνειν καὶ ἐν τῇσι νούσοισι ἔστιν ᾗσιν ὀδύνας γίνεσθαι, ταῦτα δὲ οὐ δοκέουσι χρεὼν εἶναι γίνεσθαι αὐτοῖσιν οὐδὲ τὰ τοιάδε ὥστε γίνεσθαι· νεῦρον ἢν διακοπῇ μὴ συμφῦναι μηδὲ κύστιν, μηδὲ ἔντερον (μὴ δ' ἔντερα θ.) ἢν ᾖ (ἢν μὴ E. H. Marc.) τῶν λεπτῶν μηδὲ φλέβα αἱμόρροον μηδὲ γνάθου τὸ λεπτὸν μηδὲ τὸ ἐπὶ τοῦ αἰδοίου δέρμα. — Hanc lectionem fere dedit Littréus, nisi quod pro ἢν διακοπῇ vulgatum διακοπέν servavit. Verum in utraque lectione, in vulgata et ea, quam Littréus fere sequitur, non concoquo ταῦτα δὲ οὐ δοκέουσι χρεὼν εἶναι γίνεσθαι αὐτοῖσι, οὐδὲ τὰ τοιάδε ὥστε γίνεσθαι et in vulgata his respondentia, quae vel peius corrupta sunt. E textu descripto quid reiiciendum putaverim patebit. In ceteris ex utraque lect. recepi, quod praestare videbatur. In fine loci fortasse μηδὲ ἀκροποσθίην fuit scriptum, cuius nominis glossa, extrusa voce primaria, iam in textu supersit.

9. ἀρχὴ δὲ ἰήσιος — ἐς τὰ αὐτά.] ἀποδεδειγμένη ante πάσης e solo θ. recepi, cett. non habent. Scripsi ἄλλο τε cum E. J.; vulgatum ἄλλοτε non quadrat. — Littr. περὶ τῶν αὐτῶν ex Aldo et mss. quinque; vulgo περί abest. Etiam Marc. ἐς τοὺς αὐτούς, ubi εἰς vulg. — In fine loci θ. fert ταῦτα, i. e. ταὐτά.

10. εὐχειρίη — ἐκ περισσοῦ.] Cod. θ. ὅταν τις τάμνῃ, ἢ καῇ (sic) μήτε νεῦρον τάμῃ μήτε φλεβα, vulgatam e V. notavi, nisi quod vulgo τάμνῃ, ubi Voss., 3 codd. Littréi τάμῃ, quod in ea lect. praestat. Iam vero pro vulg. ἐπιτυγχάνῃ cod. θ. τυγχάνειν, itaque Littr. infinitivi praesente descripsit vulgatum τάμνῃ ἢ καύσῃ, quem sequor. Cod. θ. om. δέ ante τοῦ αὐτοῦ λόγου. Articulum ante κατηγμ. e θ. Mack., Littr.; cett. omn. — Pro ἐκπέσῃ simplex πέσῃ

στρεβλὰ μὴ ποιέειν ἐξ εὐθέων, μηδὲ πιέζειν ἃ μὴ δεῖ· καὶ ψαύοντα ὅτου ἂν ψαύῃ, μὴ ὀδύνην παρέχειν ἐκ περισσοῦ. Ταῦτα μὲν οὖν ἐστι εὐχειρίη· τὸ δὲ τοῖσι δακτύλοισι εὐσχημόνως λαμβάνειν, ἢ καλῶς, ἢ μὴ καλῶς, ἢ μακροῖσι, ἢ βραχέσι, ἢ καλῶς ἐπιδεῖν καὶ ἐπιδέσιας παντοίας, οὐ πρὸς τῇ τέχνῃ κρίνεται εὐχειρίης πέρι, ἀλλὰ χωρίς.

detorquere et quidquid attingat, in contactu nullum supervacaneum dolorem exhibere. Haec igitur ad aptam manuum tractationem pertinent. At digitis decenter aut non decenter, aut longis aut brevibus aliquid apprehendere, aut probe deligare et cuiusque modi deligaturas facere non in arte ad promptam manuum tractationem pertinere iudicandum, sed separatim tractandum.

ΠΕΡΙ ΕΜΠΤΩΝ.

ια'. Ὁκόσοι ἔμπυοι γίγνονται τὸν πνεύμονα, ἢ τὴν ἄνω, ἢ τὴν κάτω κοιλίην, ἢ φύματα ἴσχουσι εἴτε ἐν τῇ ἄνω κοιλίῃ, εἴτε ἐν τῇ κάτω, ἢ ἐν τῷ πνεύμονι, ἢ ἕλκεα ἔνδοθεν, ἢ αἷμα ἐμέουσι ἢ πτύουσι, ἢ ἄλγημά τι ἔχουσι [1] εἴτε ἐν τοῖσι στήθεσι, [2] εἴτε ἐν τῷ νώτῳ, ταῦτα πάντα [3] ἴσχουσι τῶν μὲν ἐν τῷ σώματι ἐνεόντων ἀπὸ χολῆς καὶ φλέγματος, τῶν δὲ ἔξωθεν ἀπὸ τοῦ ἠέρος ἐπιμιγνυμένου τῷ ξυμφύτῳ θερμῷ, ἀτὰρ καὶ ἀπὸ πόνων καὶ [4] τρωμάτων.

ιβ'. [5] Καὶ ὁκόσοι μὲν τὸν πνεύμονα ἔμπυοι γίγνονται, ἀπὸ τῶνδε γίγνονται· ἢν περιπνευμονίῃ ληφθεὶς μὴ καθαρθῇ ἐν τῇσι κυρίῃσι ἡμέρῃσι ἀλλ' ὑπολειφθῇ ἐν τῷ πνεύμονι πτύαλόν τε καὶ φλέγμα, ἔμπυος γίγνεται· καὶ [6] ἢν μὲν αὐτίκα θεραπευθῇ, διαφεύγει ὡς τὰ πολλά· ἢν δὲ ἀμεληθῇ, [7] διαφθείρεται· διαφθείρεται δὲ ὧδε· τοῦ φλέγματος ἐν τῷ πνεύμονι ἐνισταμένου τε καὶ

DE SUPPURATIS.

11. Qui pulmone aut superiore aut inferiore ventre pus colligunt, aut tubercula sive in superiore sive inferiore ventre aut pulmone habent, aut ulceribus interioribus laborant, aut sanguinem vomitione aut sputo reiiciunt, aut dolore aliquo sive in pectore, sive in dorso conflictantur, haec omnia illis accidunt ex his quidem, quae corpori insunt, a bile et pituita, ex his vero, quae corpus extra afficiunt, ab aëre insito calori commixto, quin etiam a laboribus et vulneribus.

12. Atque ab his quidem causis pus in pulmone colligitur. Si pulmonis inflammatione detentus diebus, qui talia decernere creduntur, non purgetur, sed sputum et pituita in pulmone remaneat, suppuratus fit. Qui si confestim curetur, plerumque evadit, sin neglectus fuerit, perit, perit autem hac ratione: pituita in pulmone collectâ et putrefactâ ulceratur pulmo et pus colligit, neque amplius intro ad

[1] ἢ. — [2] ἤ. — [3] ἔχουσι. — [4] τραυμ. — [5] καὶ — γίγνονται abest, sed legitur inscriptio πῶς ὑπὸ τῆς περιπλευμονίης ἀποθνήσκει ὁ ἄνθρωπος. — [6] εἰ. [7] ἐν τῷ πνεύμονι διαφθείρεται ἐνισταμένου κ. τ. λ.

θ. Dein ἀπώσαιεν· λαβεῖν τε ἃ vulg.; ἄπωσαι ἐμβάλλειν δὲ α cod. θ. —; καὶ λαβόντα πιέζειν Littr., ubi λαμβάνοντα δὲ π. vulg., illud δέ vulgatae fortasse e δεῖ ortum; — ἃ καὶ ὅσα ἀτρέμα Ald., multi codd. Parr., Marc. — Tum λαβεῖν τε δεῖ vulg.; sed τε δεῖ om. H., ubi rest. al. m., Littréus; puto γε δεῖ fuisse, potest autem recipi, maxime si supra pro δέ legas δεῖ, ubi hoc ex illo ortum videri dixi, potest omitti, sententia salva. Vulgo ὅπου, E. H. θ. Marc. ὅτου.

ταῦτα μὲν οὖν — χωρίς.] οὖν om. θ.; — idem πρὸς τῆς τέχνης κρ.; — H. εὐχερίης.

11. ὁκόσος — τρωμάτων.] ἕλκεα εἴσω θ., — ἴσχουσιν E. I.; — εἴτε (εἴτ' θ. Marc.) ἐν τοῖσι στήθεσι εἴτ' E. H. θ. Marc., vulgo ἤ pro εἴτε. — Iam vero e θ. recepit Littr. ἐν τοῖσι ὄπισθεν ἐν τῷ νώτῳ, ceteris ἐν τοῖσι ὄπ. non habentibus. Equidem non recipio, quia manifesta dittographia est in illo cod. — Porro simplex ἐόντων θ. Quod autem idem τοῦ — ἀπό omittit, manifesto librarii σφάλμα est.

12. καὶ ὁκόσα — καὶ ἀποθνήσκει.] πῦον pro πτύαλον θ. ἢν μὲν αὐτίκα L. sine καί praemisso; ὡς τὰ πολλά etiam Marc. In ἢν δὲ ἀμελ. — ἐνισταμένου cum Littréo exhibeo lect. cod. θ., nisi quod hic δαμεληθῇ habet pro δὲ ἀμ. vulgatae, reliquam lect. vulgatam e V. notavi. Littr. οὔτε ἔτι et οὔτ' ἔτι e θ., vulgatam e V. notavi. Vulgo δυσπνοιεῖ, etiam Voss., Marc., sed Littr. δυσπνοεῖ ex E. K. θ., cum quo consentio, licet viderim qui δυσπνοιεῖ Ionismum esse

σηπομένου, ἑλκοῦταί [1] τε ὁ πνεύμων καὶ διάπυος γίγνεται καὶ [2] οὔτε ἔτι ἔσω ἕλκει ἐς ἑωυτὸν ὅ τι καὶ ἄξιον λόγου τῆς τροφῆς, [3] οὔτ' ἔτι ἀποκαθαίρεται ἀπ' αὐτοῦ ἄνω οὐδὲν, ἀλλὰ πνιγεταί [4] τε καὶ δυσπνοεῖ ἀεὶ ἐπὶ μᾶλλον καὶ ῥέγχει ἀναπνέων καὶ ἀναπνέει αὐτόθεν ἄνωθεν ἐκ τῶν στηθέων, τέλος δὲ ἀποφράσσεται πάντα ὑπὸ τοῦ πτύσματος καὶ ἀποθνήσκει.

ιγ'. [5] Γίγνεται δ' ἔμπυος καὶ ἢν ἐκ τῆς κεφαλῆς φλέγμα οἱ καταρρυῇ ἐς τὸν πνεύμονα· καὶ τὸ μὲν πρῶτον ὡς τὰ πολλὰ λανθάνει καταρρέον καὶ βῆχά τε παρέχει λεπτὴν καὶ τὸ σίαλον [6] πυκνότερον ὀλίγῳ τοῦ ἐωθότος [7] καὶ ἄλλοτε καὶ ἄλλοτε θέρμη λεπτή· ὁκόταν δὲ ὁ χρόνος προΐῃ, τρηχύνεταί τε ὁ πνεύμων καὶ ἑλκοῦται ἔνδοθεν ὑπὸ τοῦ φλέγματος ἐνισταμένου καὶ [8] ἐνσηπομένου καὶ βάρος [9] τε παρέχει τοῖσι στήθεσι καὶ ὀδύνην ὀξέαν καὶ ἔμπροσθεν καὶ ὄπισθεν, θέρμαι τε ὀξύτεραι ἐμπίπτουσι ἐς τὸ σῶμα· καὶ ὁ πνεύμων [10] ὑπὸ τῆς θερμασίης ἄγει ἐς ἑωυτὸν [11] ἐκ παντὸς τοῦ σώματος φλέγμα καὶ μάλιστα ἐκ τῆς κεφαλῆς· ἡ δὲ κεφαλὴ θερμαινομένη ἐκ τοῦ σώματος· καὶ τοῦτο σηπόμενον πτύει ὑπόπαχυ· ὅσῳ δ' ἂν ὁ χρόνος προΐῃ εἰλικρινέστερον πτύει πῦον· καὶ οἱ πυρετοὶ ὀξύτεροι γίγνονται καὶ ἡ βὴξ πυκνοτέρη τε καὶ ἰσχυροτέρη, καὶ ἡ ἀσιτίη μᾶλλον διακναίει· καὶ τέλος ἡ κοιλίη ἡ κάτω

se attrahit quod operae pretium sit alimenti, neque amplius ab eo quidquam sursum educitur, sed cum suffocatur, tum semper maiore spirandi difficultate premitur et inter respirandum stertit, indeque superiore pectore respirat, tandem vero obturatis a sputo meatibus omnibus perit.

13. Fit quoque suppuratus, si ipsi pituita ex capite in pulmonem defluxerit, ac primum quidem ut plurimum latenter defluit tenuemque tussim exhibet sputumque paulo frequentius solito exsistit et subinde calor adest tenuis. Progressu vero temporis tum pulmo exasperatur, tum intus a pituita inhaerescente et in eo putrescente exulceratur, pondusque in pectore et dolorem acutum ante et retro exhibet, et corpus vehementer incalescit et pulmo prae calore ad se pituitam ex toto corpore praecipueque ex capite attrahit, caput vero calefactum e corpore, eamque putrescentem, subcrassam exspuit. Quanto vero longius tempus processerit tanto magis sincerum pus exspuit et febres acutiores fiunt, tussisque crebrior et vehementior et inedia magis vexat et ad extremum inferior alvus conturbatur; turbatur autem a pituita, pituita vero e capite descendit. Hic cum eo pervenerit perit; perit vero quemadmodum in superioribus dictum est, ubi pulmo

[1] τε om. — [2] οὐκέτι. — [3] οὔτε τι. — [4] τε om. — [5] γίνεται δὲ καὶ ἔμπ. ἢν. — [6] πυκότερον. — [7] καὶ ἄλλοτε θέρμη. — [8] σηπομένου. — [9] τε om. [10] ἀπό. — [11] ἐκ παντὸς σ.

affirment. Vid. infra adn. in principium § 14. Idem θ. legit καί pro ἀεί, ubi Lind. αἰεί, fortasse de suo; idem cod. ῥέγκει et ἀναπνεῖ. De meo ἀποφράσσεται πάντα scripsi, ceteris πάντα non habentibus, sed nisi adscribas ἀποφράσσεται subiecto caret. Adscripsi autem ad similit. loci § 32. infra τέλος δὲ ἀποφράσσεται πάντα καὶ ἀποθνήσκει.

13. γίγνεται — σηπόμενον πτύει ὑπόπαχυ.] Vulgo γίνεται δὲ καὶ ἔμπ. καὶ ἤν, in qua lect. multi codd. apud Littr. et Lind. omm. alterum καί, ut Voss.; cum Littréo cod. θ. sequor. Idem liber ἀπὸ τῆς κεφ. — Dein vulgo καὶ τὸ σίαλον πικρότερον ὀλίγῳ τοῦ ἐωθότος, sed cod. θ. σίελον μικρότερον, unde σίελον recepit Littr.; at L. πυκνότερον, quod latet etiam in V. lect. et h. l. voluit auctor, saltem πικρότερον τοῦ ἐωθότος manifesto falsum est, quum τὸ σίαλον non soleat esse amarum. Porro vulgo καὶ ἄλλοτε θέρμη λεπτή omnes, quod item manifesto falsum, sed solita in Cnidiorum libris formula ἄλλοτε καὶ ἄλλοτε hic scripta fuit, quam revocavi. — Marc. ὁκόταν δὲ χρόνος πρ. —; θ. ἑλκοῦται ἔσωθεν —: Littr. ἐνσηπομ. e θ., vulgatam e V. notavi —; βάρος τε cod. θ., Littr., cett. τε omm. ἐν τοῖσι στήθεσι idem liber. Tum ex eo καὶ ἔμπρ. καὶ ὄπισθεν scripsi, vulgo πρόσω καὶ ὀπίσω sine priore καί, sed vel sic tamen E. H. Marc. ὄπισθεν, licet πρόσω servent. Vulgo καὶ πλεύμων ἀπὸ τῆς θερμ., articulum Littréo praebuerunt multa mss., mihi Marc., ὑπό vero Mack., Littr. e θ. — Vulgo ἐκ παντὸς σώματος, ut V., sed ἐκ τοῦ σώματος θ., Mack.; Littr.; praestat utramque lect. coniungere. Cod. θ. τὸ σηπόμενον πτύει ὑπόπαχυ.

ὅσῳ δ' ἂν ὁ χρ. — τῆς κάτω.] Vulgo εἰλικρινές et πυκνὴ καὶ (τε καί θ. Mark.) ἰσχυρὴ καὶ ἡ ἀσιτίη διακναίει. De meo e positivis comparativos effeci et μᾶλλον adposui: nimirum ὅσῳ δ' ἂν principio sententiae requirit comparationem, cuius reliquias habemus in ὀξύτεροι superstites, tum vero in eiusmodi locis saepe brevitatis studium describentium fecit ut

ταράσσεται, ταράσσεται δὲ ὑπὸ τοῦ φλέγματος· τὸ δὲ φλέγμα [1] ἐκ τῆς κεφαλῆς καταβαίνει· οὗτος ὅταν ἐς τοῦτο ἀφίκηται, ἀπόλλυται· ἀπόλλυται δὲ ᾗ εἴρηται ἐν τοῖσι ἔμπροσθεν, διαπύου τοῦ πνεύμονος καὶ σαπροῦ [2] γενομένου, ἢ τῆς γαστρὸς ῥυείσης τῆς κάτω.

ιδʹ. Γίγνεται δὲ καὶ ἀπὸ τῶνδε ἔμπυος ὁ πνεύμων, — ὁκόταν τι τῶν ἐν αὐτῷ φλεβίων ῥαγῇ· ῥήγνυται δὲ ὑπὸ πόνων, καὶ ὅταν ῥαγῇ, αἱμορροεῖ τὸ φλέβιον· κὴν μὲν παχύτερον ἔῃ, μᾶλλον, ἢν δὲ λεπτότερον, ἧσσον· καὶ τὸ μὲν παραυτίκα τοῦ αἵματος πτύει· τὸ δὲ, ἢν [3] μὴ στεγνωθῇ ἡ φλὲψ, ἐκχεῖταί τε ἐς τὸν πνεύμονα καὶ σήπεται ἐν αὐτῷ, καὶ ὅταν σαπῇ, πῦον [4] πτύει· προϊόντος δὲ τοῦ χρόνου, [5] ἄλλοτε πῦον εἰλικρινὲς, ἄλλοτε πῦον ὕφαιμον, ἄλλοτε δὲ αἷμα· καὶ ἢν μᾶλλον πληρωθῇ τὸ φλέβιον, ἀπεμεῖ τὸ πλήρωμα ἀπὸ ἑωυτοῦ ἁλὲς τοῦ αἵματος, τό τε πῦον πτύεται παχὺ ὑπὸ τοῦ προσγιγνομένου καὶ ἐνσηπομένου φλέγματος. Οὗτος ἢν καταληφθῇ ἀρχομένου τοῦ νοσήματος πρὶν ἢ τὴν φλέβα αἱμορροεῖν καὶ χαλᾶν ἰσχυρῶς καὶ πρὶν ἢ λεπτυνθῆναί τε καὶ κλινοπετέα γενέσθαι καὶ τὴν κεφαλὴν ἄρξασθαι φθίνειν καὶ τὸ ἄλλο σῶμα τήκεσθαι, ἐξάντης γίγνεται· ἢν δ' ἀμεληθῇ καὶ ταῦτα καταλάβῃ, ὥστε παθέειν ἢ πάντα, ἢ τὰ πλεῖστα, ἀπόλλυται· ἀπόλλυται δὲ ἢ ὑπὸ τῶν αὐτῶν,

purulentus et putridus exstiterit aut venter inferior fluxerit.

λίῃ μὴ ὑποχωρέῃ, ὑποκλύσαι αὐτὸν καὶ πιπίσκοντα τῶν οὐρητικῶν μελίκρητα διδόναι ἐπιπίνειν ὑδαρέα· καὶ θαλπέσθω ὡς μάλιστα· ῥυμφανέτω δὲ τὸν χυλὸν τῆς πτισάνης λεπτόν. Ἢν δὲ ἡ γαστὴρ μὴ ὑποχωρέῃ, λινόζωστιν ἕψησας ἐν ὕδατι, [1] τρίβων, διηθέων τὸν χυλὸν, [2] ξυμμίσγειν ἴσον τοῦ ἀπὸ τῆς πτισάνης χυλοῦ καὶ [3] τοῦ ἀπὸ τῆς λινοζώστιος καὶ μέλι ὀλίγον [4] παραμίσγειν ἐς τὸν χυλόν· τοῦτον ῥυμφάνειν τρὶς τῆς ἡμέρης καὶ ἐπιπίνειν οἶνον μελιχρὸν, ὑδαρέα, λευκὸν, ὀλίγον ἐπὶ τῷ [5] ῥυφήματι. Ἐπὴν δὲ οἱ ῥαγῇ κατὰ τὰς ῥῖνας τὰ βλεννώδεα καὶ οὐρέῃ παχὺ καὶ τῆς ὀδύνης ἀπηλλαγμένος ἔῃ τῆς κεφαλῆς τῷ ἀσκῷ μηκέτι χρήσθω, ἀλλὰ λουόμενος πολλῷ [6] καὶ θερμῷ πινέτω [7] τὰ διουρητικὰ καὶ μελίκρητα ὑδαρέα· καὶ τὰς μὲν πρώτας ἡμέρας κέγχρον λειχέτω καὶ κολοκύντην ἐσθιέτω ἢ σεῦτλα τρεῖς ἡμέρας· ἔπειτα σιτίοισι χρήσθω ὡς [8] μαλθακωτάτοισι καὶ διαχωρητικωτάτοισι, προστιθεὶς ὀλίγον ἀεὶ τῶν σιτίων. Ἐπὴν δὲ τεσσεράκοντα ἡμέραι διέλθωσι, καθίσταται γὰρ μάλιστα ἡ νοῦσος ἐν τοσούτῳ χρόνῳ, καθήρας αὐτοῦ τὴν κεφαλὴν πρότερον [9] οἱ φάρμακον δοὺς κάτω κάθηρον· [10] ἔπειτα ἢν ὥρη ἔῃ τοῦ ἔτεος, ὀρρὸν μεταπῖσαι ἑπτὰ ἡμέρας· ἢν δὲ ἀσθενήσῃ, ἐλάσσονας· ἢν δὲ ὑποστρέψῃ ἡ νοῦσος, πυριάσας αὐτὸν ὅλον, ἐς αὔριον [11] δοῦναι ἐλλέβορον πίνειν· κἄπειτα διαλείπειν ὅσον ἄν σοι δοκέῃ χρόνον καὶ τότε τὴν κεφαλὴν καθήρας, κατωτερικὸν δοὺς φάρμακον, καῦσον τὴν κεφαλὴν ἐσχάρας ὀκτὼ, δύο μὲν παρὰ τὰ ὦτα, [12] δύο δ' ἐν τοῖσι κροτάφοισι,

colato, eiusque parem portionem cum ptisanae succo permisceto et pauco melle succo admixto hunc ter die sorbeat, vinumque mulsum, aquosum modicum post sorbitionem propinato. At postquam ei per nares mucosa eruperint, et urinam crassam reddiderit, doloreque capitis liberatus fuerit, utre ne amplius utatur, sed multa calida lotus urinam moventia et aquam mulsam aquosam bibat. Et primis quidem diebus milium lingat et cucurbitam aut betas tribus diebus edat, deinde cibis quam mollissimis et alvum maxime subducentibus utatur, exiguo semper cibo addito. Diebus vero quadraginta elapsis, tanto enim tempore morbus praecipue circumscribitur, ubi ipsius caput repurgaveris, primum medicamentum deorsum purgans exhibebis, deinde, si anni tempus permiserit, serum septem diebus propinabis, aut si debilis exsistat, paucioribus. Quodsi revertatur morbus, toti corpori fomento adhibito, postridie veratrum potui exhibeto, deinde quantum videbitur intermissione facta, tuncque ad caput repurgandum exhibito medicamento deorsum purgante, caput octo crustis inurito, duabus quidem ad aures, duabus in temporibus, duabus vero ad posteriorem capitis partem hinc atque hinc ad cervicis initium, duabus in naribus iuxta oculorum angulos. Venas autem iuxta aures quoad pulsare cessent urito, ferramentis vero, quae cuneolos faciant, eas transversas perurito. Atque haec ubi feceris sanitas continget.

[1] τρίβων om. — [2] συσμίγειν ἴσως. — [3] τῷ. — [4] παρασυσμίγειν. — [5] ῥυφίματι. — [6] καὶ θ. — [7] τά om. — [8] μαλακοῖσι καὶ μαλθακωτάτοισι προστ. [9] ἤ. — [10] ἔπειτα ante ὀρρόν infertur. — [11] δίδου. — [12] δύο δ' ἐν τοῖσι κροτ. om.

πιπλῶντα vulg.; — ἐγχέειν Mack., Littr., ex θ., vulgatam e V. notavi; — αὖτις H. Marc., αὖθις vulg.; ῥυμφανέτω Aldus, multi Parr., Marc. ῥοφανέτω vulg.

ἢν δὲ ἡ γαστὴρ — ῥυφήματι.] ἢν δὲ οἱ ἡ γ. cod. θ.; — ἴσου Ald., quinque Parr., θ., Marc.; — ῥυμφάνειν E. H. Marc., ῥοφάνειν vulg., ῥυφάνειν Ald. F. G. I., ῥυφαίνειν J., ῥοφᾶν H. — Galenum μελίχρουν legisse putat Littr. propter locum glossarii in voce μελινδέα, ubi vide; — ῥυφήματι Ald., quinque Parr., Marc., ῥοφ. vulgata.

ἐπὴν δὲ οἱ ῥαγῇ — τῶν σιτίων.] Copulam ante οὐρέῃ omm. I. J. K. et tum vulgo οὐρέει habent, οὐρέῃ cod. θ., Lind., Mack., Littr.; — ἔῃ e multis Parr. et θ. Littr., iam Mack. e θ. dederat idem pro vulg. ἐκ; — καὶ θερμῷ E. H. I. J. K., Marc., Mack., vulgo καί om.; — οὐρητικά E. H., κολοκύνθην iidem; — σεῦτλα de meo scripsi pro vulg. τεῦτλα. Lectionem Vossiani ad μαλθακ. adnotatam etiam in pluribus Parr. vidit Littr., itemque Marciani διαφορητικωτάτοισι pro διαχωρ.

ἐπὴν δὲ — ἐγγίγνεται.] τεσσερακ. e Marc. dedi, τεσσαρακ. cett., sed δὲ αἱ τεσσαρακ. cod. θ.; — ἐξέλθωσι pro διέλθ. H. θ. Marc. Ad ἔπειτα notavi e V. vulgatam lect., loci emendatio Lindano debetur, quem sequitur Littr. Vulgo

δύο δὲ ὄπισθεν τῆς κεφαλῆς ἔνθεν καὶ ἔνθεν ἐν τῇ κοτίδι, δύο ἐν τῇ ῥινὶ παρὰ τοὺς κανθούς· τὰς φλέβας καίειν δὲ τὰς μὲν παρὰ τὰ ὦτα, ἔστ' ἂν [1] παύσωνται σφύζουσαι· τοῖσι δὲ σιδηρίοισι σφηνίσκους ποιησάμενος διακαίειν πλαγίας τὰς φλέβας. Ταῦτα ποιήσαντι ὑγίεια ἐγγίγνεται.

ιγ'. Ἄλλη νοῦσος. Ἑλκέων καταπίμπλαται τὴν κεφαλὴν καὶ τὰ σκέλεα οἰδίσκεται ὥσπερ ἀπὸ [2] ὕδατος καὶ ἐν τῇσι κνήμῃσι ἐμπλάσσεται καὶ ἢν πιέσῃς ἡ χροιὴ ἰκτερώδης καὶ [3] ἐκθύει ἕλκεα ἄλλοτε ἄλλῃ, μάλιστα δὲ περὶ τὰς κνήμας καὶ φαίνεται πονηρὰ προσιδέειν, ἀποφλεγμήναντα δὲ ταχέως ὑγιέα γίγνονται καὶ πυρετὸς ἄλλοτε καὶ ἄλλοτε λαμβάνει· ἡ δὲ κεφαλὴ ἀεὶ θερμὴ γίγνεται καὶ ἐκ τῶν ὤτων ὕδωρ ῥέει. Ὅταν οὕτως ἔχῃ, φάρμακόν οἱ δοῦναι, ὑφ' οὗ φλέγμα καὶ [4] χολὴ καθαρεῖται ἄνω· ἢν μὲν ψῦχος ἔῃ, [5] προπυριήσας καὶ λούσας θερμῷ· ἔπειτα διαλιπὼν ἡμέρας τρεῖς τὴν κεφαλὴν καθῆραι, μετὰ δὲ κάτω φάρμακον πῖσαι· ἢν δὲ ὥρη ἔῃ, καὶ ὀρρὸν μεταπιέτω· εἰ δὲ μή, γάλα ὄνου· μετὰ δὲ τὰς καθάρσιας σιτίοισι ὡς ἐλαχίστοισι χρήσθω καὶ διαχωρητικωτάτοισι, καὶ ἀλουτεέτω. Ἢν δὲ ἡ κεφαλὴ [6] ἑλκῶται, τρύγα κατακαίων οἰνηρήν, σμῆγμα ποιέων, ξύμμισγε τῆς βαλάνου [7] τὸ ἔκλεμμα λεῖον τρίβων, νίτρον ξυμμίσγων ἴσον, ἀποσμήξας τούτοισι, λούσθω πολλῷ θερμῷ. Χριέσθω δὲ τὴν κεφαλὴν δαφνίδας τρίψας καὶ κηκίδας καὶ σμύρναν καὶ λιβανωτὸν καὶ ἀργύρου ἄν-

13. Alius morbus. Ulceribus circa caput repletur et crura intumescunt, velut ex hydrope et in tibias tumor infarcitur, ac si premas color est auriginosus, ulceraque alias alia corporis parte, praecipueque in tibiis pullulant et maligna adspectu apparent, deposita vero inflammatione celeriter sanantur, febrisque subinde corripit, caput perpetuo calet et ex auribus aqua effluit. Cum sic habet, medicamentum ei exhibeto, quod pituitam et bilem sursum purget, si quidem frigus fuerit, ubi prius foveris et calida laveris. Deinde trium dierum intermissione facta caput purgato, posteaque medicamentum deorsum purgans bibendum dato, et si anni tempus opportunum fuerit, serum deinceps propinato, sin minus, lac asininum; post purgationem autem cibis quam paucissimis maximeque alvum subducentibus utatur, neque lavet. Quodsi caput ulceretur, smegmate ex vini faece usta parato, glandis putamen leviter tritum admisceto, nitri pari portione admixta, quibus defrictus multa calida lavetur. Caput autem inungatur baccis lauri tritis, gallis, myrrha, thure, argenti flore, adipe suillo et oleo laurino, quibus commixtis illinito. Post haec

[1] παύσονται. — [2] ὑδροποσίης. — [3] ἐκφύει. — [4] χολὴν καθαιρεῖται. — [5] προπυριάσας. — [6] ἕλκωται. — [7] τὸ ἔκλεγμα.

ἢν καὶ ἀσθεν., sed δέ pro καί edd. antt. et libri multi, unde Littr. revocavit; — ἢν δ' ὑποστρ. E. H.; — δοῦναι Littr. ex E. H. Q.' θ., idem fert Marc., vulg. e V. notavi; — ὁπόσον E. H. θ. Marc. — In δύο δ' ἐν τοῖσι κροτάφ. cum Littréo cod. θ. sequor, vulgatam e V. notavi. De meo ὑγίεια scripsi pro vulg. ὑγιείη.

13. ἄλλη νοῦσος — ὕδωρ ῥέει.] ἑτέρη ν. cod. θ.: — vulgo ὑδροποσίης, sed E., in quo vulg. rest. al. m., H. θ. Marc. ὕδατος, quod recepi cum Littr., cf. § 15. initio ὕδωρ eodem sensu; ὑδροποσίης ex ὕδρωπος natum esse videtur; — πιέσῃς Littr. e pluribus codd., idem fert Marc. pro vulg. πέσῃς; — ἐκθύει cod. H., in quo vulg., quam e V. notavi, al. m. rest., et Marc.; — περί om. H., sed rest. al. m., ἐς pro περί cod. θ. — καὶ ἀποφλ. δέ cod. E.

ὅταν — ἀλουτεέτω.] ἔχῃ Littr. e libris tribus, idem fert Marc., ἔχει vulg.; — χολήν G. H. I. J. K., καθαιρεῖται vulg., καθαρεῖται Lind., Littr.; est hoc futurum huic scriptori perfamiliare. — ψύχη Marc.; — προπυριήσας cod. θ. Littr., προπυριάσας vulg.; copulam ante λούσας om. H., ubi rest. al. m., θ. Marc.; διαλιπών cum Mack. scripsi pro vulg. διαλείπων; — cod. K. ἢν δὲ μή.

ἢν δὲ ἡ κεφ. — θερμῷ.] ἢν δ' ἡ E. H.; — ἑλκῶται Marc. ἥλκωται vulg., ἕλκωται edd. antt. E. I. J. K.: ποιέων e pluribus codd. Littr., Marc. eundem Ionismum fert, ποιῶν vulg.; — τοῦ βαλάνου vulg., sed τῆς β. Ald., Parr. quinque, Mack., Littr.; — νίτρον E. J., λίτρον vulg.; πολλῷ omm. K., in quo rest., Marc.

χριέσθω — θερμολουτεέτω.] κηκῖδας E. κηκίδας Marc., Littr., κικίδας vulg.; ἀργύρου cod. θ. Mack., ἀργυρίου cett.; ἄλειφαρ E. Lind., Mack., δάφνινον Ald., Parr. multi,

θος καὶ ὕειον ἄλειφα καὶ δάφνινον ἔλαιον· ταῦτα μίξας χρίειν. Τὸν δὲ μετὰ ταῦτα χρόνον ἐμέτοισι χρήσθω τρὶς τοῦ μηνὸς καὶ γυμναζέσθω καὶ θερμολουτεέτω. Ἢν δέ σοι τάδε ποιέοντι ἐκ μὲν τοῦ ἄλλου σώματος ἡ νοῦσος ἐξεληλύθῃ, ἐν δὲ τῇ κεφαλῇ ἔτι ἕλκεά οἱ [1] γίγνηται, καθήρας τὴν κεφαλὴν αὖτις, φάρμακον κάτω μεταπῖσαι· ἔπειτα ξυρήσας τὴν κεφαλὴν, καταταμέειν τομὰς ἀραιὰς, καὶ ἐπὴν ἀπορρυῇ τὸ αἷμα, ἀνατρῖψαι· ἔπειτα εἴρια πινοέντα οἴνῳ ῥαίνων ἐπιδεῖν καὶ ἐπὴν ἀπολύσῃς, περισπογγίζειν καὶ μὴ βρέχειν· ἔπειτα κύπαρισσον [2] ἐπιπάσσειν ἐλαίῳ ὑποχρίων· τοῖσι δὲ εἰρίοισι ἐπιδέσμοισι χρήσθω, ἔστ' ἂν ὑγιὴς γένηται.

autem vomitionibus ter in mense utatur, exerceat se et calida lavetur. Quodsi cum haec feceris, morbus quidem ex reliquo corpore discesserit, in capite autem adhuc ipsi ulcera oriantur, rursus capite purgato, medicamentum deorsum purgans postea propinato, deinde caput derasum raris incisuris incidito, cumque sanguis effluxerit, confricato, mox lanas succidas vino madidas obvolvito, cumque solveris, spongia detergito, nec madefacito. Deinde insparso cyparissi pulvere, oleo sublinito; laneis autem vinculis, quoad sanus evadat, utatur.

ιδʹ. Ἄλλη νοῦσος. Περιωδυνίη λαμβάνει τὴν κεφαλὴν καὶ ἐπὴν κινήσῃ τις ἧσσον, ἐμέει χολήν· ἐνίοτε δὲ καὶ δυσουρέει καὶ παραφρονέει· ἐπὴν δ' ἑβδομαῖος γένηται, ἐνίοτε ἀποθνήσκει· ἢν δὲ ταύτην ἐκφύγῃ, [3] ἐναταῖος ἢ ἑνδεκαταῖος, [4] ἢν μή οἱ ῥαγῇ κατὰ τὰς ῥῖνας, ἢ κατὰ τὰ [5] ὦτα. Ἢν δὲ ῥαγῇ, ὑπεκφυγγάνει· ῥεῖ δὲ ὑπόχολον ὕδωρ, ἔπειτα τῷ χρόνῳ πύον γίγνεται ἐκσαπέν. Ὅταν οὖν [6] οὕτως ἔχῃ, ἕως μὲν ἂν ἡ περιωδυνίη ἔχῃ κατ' ἀρχὰς, πρὶν ῥαγῆναι ἐκ τῶν ῥινῶν καὶ τῶν ὤτων, σπόγγους ἐν ὕδατι θερμῷ βρέχων, ἆσσον προστιθέναι πρὸς τὴν κεφαλήν· ἢν δὲ μὴ [7] τούτοισι χαλᾷ, τῷ ἀσκῷ χρῆσθαι [8] τὸν αὐτὸν τρόπον, ὅνπερ ἐπὶ τῆς προτέρης· πινέτω [9] δὲ μελίκρητα ὑδαρέα· ἢν δὲ [10] μηδ' ἀπὸ τοῦ μελικρήτου, τὸ ἀπὸ τῶν κρίμνων ὕδωρ πινέτω· ῥυμφανέτω δὲ τὸν χυλὸν

14. Alius morbus. Caput dolor vehemens prehendit et ubi quis eum vel paululum moveat, bilem vomit, interdum vero difficulter urinam reddit et mente alienatur, cumque ad septimum diem pervenerit, quandoque moritur. Quod si hunc effugerit, etiam nono aut undecimo die, nisi ei per nares vel aures fluxio acciderit; sin eruperit, evadit: effluit autem aqua aliquantum biliosa, deinde tractu temporis putredine in pus vertitur. Cum igitur ita se habuerit, quoad quidem dolor vehemens detinuerit, per initia, antequam ex naribus et auribus erumpat, spongias calida madefactas capiti propius admoveto. Si vero his minime remittat, utre eo modo, quo in superiore morbo, utitor. Aquam mulsam aquosam bibat, sin neque post mulsam, aquam, in qua farina hordei crassior macerata fuerit; ptisanae vero

[1] γίνεται. — [2] ἐπιπάττειν. — [3] καὶ ἐννατ. — [4] ἢ ἢν μή. — [5] ὦτα καὶ οὕτω θνήσκει· ἤν. — [6] οὕτω. — [7] τοιούτοισι. — [8] τῷ τρόπῳ, ὥσπερ. — [9] δὲ καὶ μ. — [10] μή.

δάφνιον vulg.; — τὸν δ' ἔπειτα χρ. E. H. θ. Marc.; χρῆσθαι solus G.

ἢν δέ σοι — γένηται.] τοι Lind., ἔτι omm. E., in quo rest. al. m., H. θ. Marc.; γίνεται G. K.; καθήρας edd. antt., Parr. quatuor, Lind., Mack., καθάρας vulg.; αὖτις Marc.; ἐπιπάσσειν E. H. Marc., Mack., Littr., vulg. per ττ scriptum fert; — τοῖσι δ' εἰρ. E. H.

14. ἄλλη ν. — τὰ ὦτα.] ἑτέρη ν. cod. θ. — Mackii cod. Corn. κινήσηται, sed nec mihi emendatione opus esse videtur. Vulg. ἧττον: cum Mack., Littr., dedi ἧσσον, sed hic subiunxit [ἢ πλέον], quod sensum flagitare putat; at res secus habet, comparativus eiusmodi omnino significat *vel parum tantum*. Pro ἐπήν G. I. J. ἐπεί; — ante ἀποθν. fert καί cod. θ.: — ἢν δὲ τ. ἐκφ. scripsi cum E. H. θ. Marc. pro vulg. ἢν δὲ τὴν ἑβδόμην διέξ, nempe illam lect. antiquiorem esse puto; non est dictio nostro usitata ἡμέρην τινὰ διϊέναι; — ἐναταῖος H. Marc.; ἐνναт. E. θ. Hi omnes omm. καί ante numerale, quod vulg. fert; cum Littréo eos sequor. Post ἑνδεκ., uti V., L. Lind. ἤ, sed I. γένηται, non ἤ addit. Ex L. Littréus eadem post ὦτα adnotat, quae e V. excerpsi.

ἢν δὲ ῥαγῇ — ἐκσαπέν.] δ' ὑποχ. E.; — γίνεται ἐπὴν σαπῇ E. H. θ. Marc.

ὅταν οὖν — οἶνον ὑδαρέα.] οὖν omm. E. H. θ. Marc.; — τούτοισι χαλᾷ cum E. H. Marc. scripsi, vulg. e V. notavi; — τὸν αὐτὸν τρ., ὅνπερ cum Littr. ex θ. Marc. dedi τῷ αὐτῷ τρόπῳ. ᾧπερ vulg.; — ὑδαρέα ὀλίγον cod. θ. solus; —

τῆς πτισάνης καὶ ἐπιπινέτω λευκὸν οἶνον ὑδαρέα. Ἐπὴν δὲ ῥαγῇ κατὰ τὰ ὦτα καὶ ὁ πυρετὸς ἀνῇ καὶ ἡ ὀδύνη, σιτίοισι χρήσθω διαχωρητικοῖσι ἀρξάμενος ἐξ ὀλίγων, προστιθεὶς αἰεὶ, καὶ λούσθω θερμῷ κατὰ κεφαλῆς καὶ τὰ ὦτα διακλύζειν ὕδατι καθαρῷ καὶ ἐντιθέτω σπόγγια μέλιτι ἐμβάπτων. Ἢν [1]δέ σοι μὴ ξηραίνηται οὕτως, ἀλλὰ χρόνιον γένηται τὸ ῥεῦμα, διακλύσας ἐμβάλλειν ἀργύρου ἄνθος, σανδαράχην, ψιμύθιον, ἴσον ἑκάστου, λεῖα τρίβων καὶ ἐμπιπλεὶς τὸ οὖς σάσσειν, καὶ, ἢν παραρρέῃ, ἐπεμβάλλειν τοῦ φαρμάκου· ἐπὴν δὲ ξηρὸν γένηται τὸ οὖς ἐκκαθήρας [2]ἐκκλύσαι τὸ φάρμακον· ἔπειτα, — κωφὸν γὰρ γίγνεται τὸ πρῶτον ἀποξηρανθὲν, — πυριᾶν [3]αὐτῷ βληχρῇσι πυρίῃσι τὰ ὦτα· καταστήσεται γὰρ οὕτω [4]χρόνῳ. Ἀποθνήσκουσι δὲ καὶ ἢν ἐς τὸ οὖς περιωδυνίης [5]γενομένης μὴ ῥαγῇ ἐν τῇσι ἑπτὰ ἡμέρῃσι. [6]Τοῦτον λούειν πολλῷ θερμῷ καὶ σπόγγους ἐν ὕδατι θερμῷ βρέχων, ἐκμάσσων, χλιαροὺς προστιθέναι πρὸς τὸ οὖς. Ἢν δὲ μηδ' οὕτω ῥηγνύηται, πυριᾶν αὐτῷ τὸ οὖς· [7]ῥυφήμασι δὲ καὶ πόμασι τοῖσι αὐτοῖσι χρῆσθαι, οἷσί περ ἐπὶ τοῖσι πρόσθεν.

ιε'. Ἑτέρη νοῦσος· Ἢν ὕδωρ ἐπὶ τῷ ἐγκεφάλῳ γένηται, ὀδύνη ὀξεῖα ἴσχει διὰ τοῦ βρέγματος καὶ τῶν κροτάφων ἄλλοτε ἄλλῃ καὶ ῥῖγος καὶ [8]πυρετὸς ἄλλοτε καὶ ἄλλοτε καὶ τὰς χώρας τῶν ὀφθαλμῶν ἀλγέει, καὶ ἀμβλυώσσει καὶ ἡ κόρη σχίζεται καὶ δοκέει ἐκ τοῦ ἑνὸς δύο ὁρᾶν καὶ ἢν ἀναστῇ, σκοτοδινίη μιν λαμβάνει καὶ τὸν ἄνεμον οὐκ

succum sorbeat et vinum album aquosum superbibat. Ubi autem per aures eruperit, febrisque et dolor remiserit, cibis utatur alvum subducentibus a paucis initio ducto, semper aliquid addendo; ac caput calida lavet et aures aqua limpida proluat, spongiamque melle imbutam imponat. Quodsi ne sic quidem resiccetur, verum diuturna fluxio evadat, post colluvionem factam argenti florem, sandaracham, cerussam, singula pari portione tenuiter trita immittito, et his aures impleto ac refercito, et si quid superfluat, aliquid de medicamento superiniicito. Cum vero auris resiccata fuerit, ubi expurgaveris medicamentum, abluito, deinde cum primum auris resiccata obsurdescat, lenibus fomentis aures foveto; sic enim temporis tractu malum conquiescet. Moriuntur quoque si vehemens dolor aurem occupet, neque intra septem dies eruperit. Hunc calida multa lavato et spongias aqua calida maceratas, tepidas, expressas ad aurem apponito. Quodsi ne sic quidem rumpatur, ei fomentum ad aurem admoveto; sorbitionibus autem et potionibus iisdem, quibus in superioribus, utitor.

15. Alius morbus. Aqua si in cerebro suborta fuerit, dolor acutus sinciput et tempora alio tempore alia ex parte pervadit, subindeque rigor ac febris detinent, oculorum regiones dolor occupat, iique caligant, et pupilla scinditur et ex uno duo cernere sibi videtur et si surrexerit, ipsum tenebricosa vertigo prehendit, neque ventum, neque solem sustinet, aures tinniunt, au-

[1] δέ τι. — [2] ἐκλύσαι. — [3] αὐτόν. — [4] μόλις καὶ ἐν χρ. — [5] γινομένη. — [6] ἢ τοῦτον λ. θ. π. — [7] ῥυήμασι. — [8] πυρετός τε.

μηδ' ex E. H. θ. Littr., vulg. e V. notavi; — ῥυμφανέτω multi Parr., Marc., Ald. ῥοφ. vulg.

ἐπὴν δὲ ῥαγῇ — ἐμβάπτων.] καὶ ὁ πυρετός, quod alii et Littr. e libris pluribus dederunt, etiam Marc. fert; e vulg. ὁ excidit; — αἰεί Mack., Littr. e θ., ἀεί vulg.; — κατὰ τῆς κεφ. Lind., Mack.; — σπογγιάν Littr., σπογγίαν vulg., σπόγγια, quod huic loco adaptatum, Ald. E. H. I. J. K. Marc.

ἢν δέ σοι — χρόνῳ.] δέ τοι vulgo, δέ τι E. J., uti V.; — γίνηται I., γίνεται E. J. K. — Pro λεῖα τρίβων, cod. θ., quem imprudens sequitur Mack., διατρίβων; — copulam ante ἐμπιπλείς de meo interposui; — ἐκκλύσαι cum J. K. Littr., vulgatam e V. notavi; — πυριᾶν αὐτῷ E. θ. Lind., Littr., π. αὐτόν vulg., sed E. πυριῆσαι βλ. — Cod. θ. οἱ τῷ χρ. pro οὕτω χρ.; quae vulgata hic habet, et e V. notavi, omisi cum Littr. fide codd. H., ubi rest. al. m., θ. Marc.

ἀποθν. — ἡμέρῃσι.] In περιωδυνίης γενομένης genitivum de meo dedi. ceteris nominativum habentibus; — γενομένη Littr. ex E., γινομένη cett.

τοῦτον — οὖς.] ἢ τοῦτον vulg., sed alii et Littr. cum θ. omittunt ἤ; — θερμῷ πολλῷ quinque Parr., Marc.; — καὶ ἐκμάσσων Lind., Mack.

ἢν δὲ — πρόσθεν.] μηδέ vulg., sequor E. H. Marc.; — ῥηγνύηται E. H. Marc., Littr., ῥήγνυται vulg.; ῥοφήμασι vulg., sed aliorum lectt. ῥυμφήμασι, ῥύμμασι, quarum hanc etiam Marc. habet, faciunt ut ῥυφήμασι scribam. In Marc. ῥύμμασι m. pr. etiam in m.; „quod facere solet, inquit Cobetus, ubi occurrit vocabulum insolens."

15. ἑτέρη νοῦσος — ψανόμενος.] ἄλλη ν. I. J.; — ἂν

ἀνέχεται οὐδὲ τὸν ἥλιον καὶ τὰ ὦτα τέτριγε καὶ τῷ ψόφῳ ἄχθεται ἀκούων καὶ ἐμέει σίαλα καὶ λάπην, ἐνίοτε δὲ καὶ τὰ σιτία, καὶ τὸ δέρμα λεπτύνεται τῆς κεφαλῆς καὶ ἥδεται ψαυόμενος. Ὅταν οὕτως ἔχῃ, πρῶτον μὲν δοῦναί οἱ [1] πιέειν φάρμακον ἄνω, ὅ τι φλέγμα ἄξει καὶ μετὰ τοῦτο τὴν κεφαλὴν καθῆραι· ἔπειτα διαλιπὼν φάρμακον πῖσαι κάτω· ἔπειτα σιτίοισι ἀνακομίζειν [2] αὐτὸν ὡς ὑποχωρητικωτάτοισι, ὀλίγα ἀεὶ προστιθείς· ἐπὴν δὲ κατεσθίῃ ἤδη τὰ σιτία ἀρκοῦντα, ἐμέτοισι χρήσθω νῆστις, τῷ [3] φακίῳ ξυμμίσγων μέλι καὶ ὄξος, λάχανα προτρώγων, καὶ [4] τῇ ἡμέρῃ ταύτῃ, [5] ᾗ ἂν ἐμέσῃ, πρῶτον μὲν κυκεῶνα πινέτω λεπτόν· ἔπειτα ἐς ἑσπέρην σιτίοισι ὀλίγοισι χρήσθω καὶ ἀλουτεέτω καὶ περιπατείτω ἀπὸ τῶν σιτίων καὶ ὄρθρου, φυλασσόμενος [6] τὸν ἄνεμον καὶ τὸν ἥλιον καὶ πρὸς πῦρ μὴ προσίτω. Καὶ ἤν μέν σοι ταῦτα ποιήσαντι ὑγιὴς γένηται· εἰ δὲ μή, προκαθήρας αὐτὸν [7] ἄνω πρῶτον μὲν ἐλλεβόρῳ, ἔπειτα [8] ἐς τὰς ῥῖνας ἐγχέαι φάρμακον καὶ διαλιπὼν ὀλίγον χρόνον κάτω καθῆραι· ἔπειτα [9] ἀνακομίσας σιτίοισι, εἶτα ταμὼν τὴν κεφαλὴν κατὰ τὸ βρέγμα [10] τρυπῆσαι πρὸς τὸν ἐγκέφαλον καὶ ἰῆσθαι ὡς πρίσμα.

ιϛʹ. Ἄλλη νοῦσος. [11] Ῥῖγος καὶ πυρετὸς καὶ ὀδύνη διὰ τῆς κεφαλῆς, μάλιστα [12] δὲ ἐς τὸ οὖς καὶ ἐς τοὺς κροτάφους καὶ ἐς τὸ βρέγμα καὶ τὰς χώρας τῶν ὀφθαλμῶν· καὶ αἱ ὀφρύες

ditumque strepitum aegre fert salivamque et pituitam vomitione refundit, quandoque vero etiam cibos, capitis cutis extenuatur et contactu gaudet. Cum ita se habet, primum quidem medicamentum sursum purgans, quod pituitam educat, exhibeto, post haec caput purgato, deinde intermissione facta medicamentum deorsum purgans propinato; mox eum cibis quam maxime alvum subducentibus reficito, sensim semper adiiciendo. Ubi vero iam satis ciborum comederit, ieiunus vomitionibus utatur, lenticulae melle et aceto admixto, olera comedens, eoque die, quo vomuerit, primum quidem cyceonem liquidum bibat, deinde sub vesperam paucis cibis utatur neque lavet, post cibos deambulet et mane, ventum et solem devitans, neque ad ignem accedat. Quodsi cum haec feceris, sanus evadat, sat est; sin minus, ubi eum primum sursum quidem veratro purgaveris, dein etiam in nares medicamentum infundito et parvo tempore intermisso deorsum purgato. Deinde postquam cibis eum refeceris, demum secto iuxta sinciput capite, ad cerebrum usque perforato et velut sectionem per terebram curato.

16. Alius morbus. Rigor et febris vexat et dolor capitis, praecipue vero ad aurem et tempora et sinciput ot oculorum regiones, et supercilia velut pondus incumbere videntur et

[1] ποιέειν. — [2] αὐτῷ. — [3] φακείῳ. — [4] ἐν τῇ. — [5] ᾗ om. — [6] τὸν ἥλ. καὶ τὸν ἄν. — [7] τοῦ ἦρος pro ἄνω. — [8] καὶ εἰς τὰς ῥ. — [9] ἀνακομίσαι. — [10] τρυπῆσαί τε. — [11] ῥ. ὀδ. καὶ π. διὰ τ. κ. — [12] δὲ καὶ ἐς.

ὕδωρ ῥ. E.; — ὀξείῃ cett.; — καὶ ῥῖγος — καὶ ἄλλοτε om. K.; — ἀκούων om. θ.; — σίαλα E., in quo vulg. σίελον rest., H. J. K. Marc.

ὅταν — προσίτω.] οἱ πιέειν φ. δοῦναι E. H. θ. Marc.; — ὅ τι ἄνω Lind., Mack.; — διαλείπων vulg. διαλειπὼν (sic) Marc., itaque aor. dedi; — τὰ σίτια ἤδη E.; — φακίῳ Littr., vulg. e V. notavi; — ᾗ ἂν ἡμέρῃ Lind., cod. θ., Mack., Littr., vulgo ᾗ om.; — πιέτω H., ubi vulg. rest., et Marc.; — καὶ περιπατείτω om. θ.; — προσίτω de meo scripsi. προσιέτω cett., etiam Marc.

καὶ ἢν μέν σοι — πρίσμα.] Vulgo τοιαῦτα, sed E. ταῦτα, cod. vero θ. fert τοι ταῦτα, in quo latet quod exhibui. Littr. de suo προκαθήρας αὐτὸν ἄνω comparans locum supra obvium; rem acu tetigit, vulgatam e V. notavi. — Vulgo ἔπειτα καὶ ἐς τὰς ῥ., sed E. H. Marc. Littr. omm. καί; — ἀνακομίσαι L., ut V.; — καταταμών vulg., sed E. F. H. I. J. K. θ. Marc. ταμών, quamquam in E. compositum vulgatum rest.

16. ἄλλη νοῦσος — ὀδύνης.] ἑτέρη ν. K. Vulgo ῥῖγος ὀδύνη (καὶ ὀδ. E. Q.′ θ. Marc., Lind., Mack., Littr.) καὶ πυρετοὶ (πυρετός J. Voss., Marc.) διὰ τῆς κεφαλῆς; tum μάλιστα δὲ καί, ut V., L. Lind., et omnes ἀλγέει post ὀφθαλμῶν. Ordo verborum in libris turbatus est; miraris editores non vidisse πυρετοὶ διὰ τῆς κεφαλῆς nihil esse. ὀδύνη διὰ τῆς κεφαλῆς recte dici. Itaque ordinem pristinum restitui, πυρετός sing. num. e libris, quos dixi, scribens. Sed ordinis perturbatio emblema progenuit alienum ἀλγέει, quod abieci. — Porro cod. E βάρος ἔχειν. — Iam vero vulgo: καὶ ἥν τίς μιν κινήσῃ, οὐρήσει (οὐρήσῃ Ald. H. Marc.) (tum εἰ addunt multi Parr. θ. Marc.) καὶ οὐρέει (οὐρήσει θ. οὐρέοι Ald. H. Marc.) πουλὺ (πολύ I. J. Marc.) καὶ ῥηϊδίως καὶ τοὺς ὀδόντας ναρκᾷ καὶ αἱμωδίῃ ἔχει. κ. τ. λ. — Littr. οὐρήσει καὶ οὐρέει non ferens dedit ἐμέσει καὶ ἐμέει: „il est, inquit, impossible de lire οὐρέειν, quand il est question ensuite des dents et de leur agacement." Concedo, sed tamen loci vitia non sustulit: primo futurum verbi ἐμέω est ἐμου-

δοκέουσί οἱ ἐπικέεσθαι· καὶ τὴν κεφαλὴν βάρος ἔχει· καὶ ἤν τίς μιν κινήσῃ, [1] ἐμέει· καὶ τοὺς ὀδόντας ναρκᾷ καὶ αἱμωδιᾷ· καὶ οὐρέει πουλὺ καὶ ῥηϊδίως· καὶ αἱ φλέβες αἴρονται καὶ σφύζουσι [2] αἱ ἐν τῇ κεφαλῇ καὶ οὐκ ἀνέχεται ἠρεμέων, ἀλλ' ἀλύει καὶ ἀλλοφρονέει ὑπὸ τῆς ὀδύνης. Τούτῳ ἢν μὲν κατὰ τὰς ῥῖνας ἢ κατὰ τὰ ὦτα ῥαγῇ, ὕδωρ ῥεῖ ὑπόπυον· καὶ [3] ὑγιὴς γίγνεται· ἢν δὲ μὴ, ἀποθνήσκει ἐν ἑπτὰ ἡμέρῃσι ὡς τὰ πολλά. Αὕτη ἡ νοῦσος γίγνεται μάλιστα ἐκ λιπυρίης, ἐπὴν ἀπαλλαγῇ τοῦ πυρὸς ἀκάθαρτος ἐὼν, ἢ σιτίων [4] ἐμπλήσηται ἢ θωρήξηται ἢ ἐν ἡλίῳ κάμῃ. Ὅταν οὕτως ἔχῃ, πρῶτον μὲν [5] ἀφιέναι ἀπὸ τῆς κεφαλῆς τοῦ αἵματος ὁπόθεν ἄν σοι δοκέῃ· ἐπὴν δὲ [6] ἀφῇς, τὴν κεφαλὴν ξυρήσας, ψύγματά οἱ προσφέρειν, καὶ ἢν μὴ ὑποχωρέῃ ἡ γαστὴρ, ὑποκλύσαι· πίνειν δὲ διδόναι τὸν ἀπὸ τῆς πτισάνης χυλὸν ψυχρὸν καὶ ἐπιπίνειν ὕδωρ· ἢν δέ οἱ πρὸς τὰ ψύγματα μὴ χαλᾷ, μεταβαλὼν τῷ ἀσκῷ χρῆσθαι καὶ θερμαίνειν. Ἐπὴν δὲ παύσηται ἡ ὀδύνη, σιτίοισι χρήσθω [7] διαχωρητικοῖσι καὶ μὴ ἐμπιπλάσθω· ἐπὴν δὲ γένηται εἰκοσταῖος πεπαυμένος τῆς ὀδύνης, πυριήσας αὐτοῦ τὴν κεφαλὴν, πρὸς τὰς ῥῖνας φάρμακον προστίθει καὶ διαλιπὼν ἡμέρας τρεῖς φάρμακον πῖσαι κάτω.

caput gravatur, ac si quis eum agitet, vomit et dentes torpor ac stupor detinet et urinam copiose et facile reddit; et venae, quae in capite sunt, attolluntur et pulsant; — quietem ferre nequit, sed anxietudine premitur et prae dolore mente alienatur. Huic si quidem per nares aut aures eruperit, aqua effluit aliquantum purulenta et convalescit; sin minus, intra septem dies ut plurimum moritur. Hic morbus praecipue ex febre lipyria ortum habet, cum nondum purgatus febre liberatur, aut inebriatus fuerit, aut in sole se exercuerit. Cum sic se habuerit, primum quidem sanguinem ex capite quacumque parte visum fuerit, demito eoque detracto raso capite ei refrigerantia admoveto et si venter non subducatur, per infusum subluendus; potui autem ptisanae succus frigidus exhibendus et aqua superbibenda. Quodsi ad refrigerantia ei non remittat morbus, mutatione facta utre utitor et calefacito. Ubi vero dolor sedatus fuerit, cibis alvum subducentibus utatur, neque impleatur; cum autem sedato dolore ad vigesimum diem pervenerit, fomento capiti adhibito, medicamentum ad nares admoveto et intermissione trium dierum facta medicamentum deorsum purgans propinato.

ιζ'. Ἑτέρη νοῦσος. Ἢν [8] ὑπεραιμώσαντα

17. Alius morbus. Si venulae sanguinem

[1] οὐρήσει ἐ καὶ οὐρέει πολύ. — [2] αἱ ἐν om. — [3] γίν. ὑγ. — [4] ἐμπλησθήσηται, ἢ θορίξηται. — [5] ἀφεῖναι. — [6] ἀφεὶς. — [7] διαφορητικοῖσι. — [8] ὑπερεμήσαντα.

μαι, non ἐμέσω, licet aor. sit ἤμεσα, — tum vero πουλὺ καὶ ῥηϊδίως omnino ad οὐρέειν spectat, non ad ἐμέειν, nam quum in superioribus capitulis saepe sermo fuerit de stranguria, nunc narrat aegros in hoc morbo urinam multam facile reddere. Hinc emergit lectio: καὶ ἤν τίς μιν κινήσῃ, ἐμέει καὶ οὐρέει πουλὺ καὶ ῥηϊδίως, quae tamen nondum ab omni parte probanda, quod iam apparebit. Nimirum librariis debetur καὶ αἱμωδίη ἔχει; — auctor scripsit καὶ αἱμωδιᾷ, scribae vero credentes αἱμωδιᾷ esse subst. id Ionice scilicet protulerunt et ἔχει addiderunt; res tibi constabit, ubi Foësii Oecon. inspexeris, nam αἱμωδιᾶν nostro usitatum est, νάρκη καὶ αἱμωδίη ἔχει fortasse scribere potuisset, sed non quod libri ferunt. Sed recte animadvertit Littréus illud ναρκᾷ καὶ αἱμωδιᾷ proxime cohaerere cum vomitu, unde liquet membra transponenda esse, quemadmodum feci, quod item patet e locis in Oecon. a Foësio excerptis. — Iam tandem haec sana et salva sunt. In sequentibus αἱ ἐν, quod vulgo abest, e θ. suppleverunt Mack., Littr.; — ἀλλὰ ἀλύει E. H.

τούτῳ — ὡς τὰ πολλά.] De meo h. l. ὕδωρ scripsi pro vulgato ὕδρωψ; cf. § 14. initio; — tum εἰ δὲ μή I. θ. Mack.

αὕτη — κάμῃ.] λειπυρίης E. Lind.; dein vulg. ἐπὴν ἀπαλλαγεὶς τοῦ πυρὸς ἀκάθαρτος ἐὼν ἢ σιτίων ἐμπλησθήσεται, ἢ θωρήξεται, ἢ ἐν ἡ. κ. In quibus Ald., E. H. θ. Marc. ἀπαλλαγῇ, cod. θ. fert ἐμπίπληται, unde Littr. ἐμπιπλῆται dedit, ἐμπλήσηται legit Marc.; — θωρήσσηται H., in quo al. m. θωρήξηται, θ. Marc., Littr., in aliis θωρήξηται abiit in θωρίξηται, θορίξηται cett. — Iam vero dubium non est, quin ἀπαλλαγῇ sit vera scriptura, non ἀπαλλαγείς, tum certum est aoristos hic fuisse positos, docet enim κάμῃ in quo omnes consentiunt, quin futura orta
σηται
sunt, ut puto, e dittographia ἐμπλησθῇ. Iam patet, quare locum ita descripserim.

ὅταν οὕτως ἔχῃ — θερμαίνειν.] ἀφιέναι Littr. e θ., vulgatam e V. notavi; — πίνειν δὲ διδόναι τὸ ἀπὸ τῶν κριμνῶν ὕδωρ. ῥομφάνειν δὲ διδόναι τὸν ἀπὸ τῆς πτισάνης χυλὸν ψυχρόν κ. τ. λ. cod. θ.; — μεταβάλλων G.

ἐπὴν — κάτω.] διαφορητικοῖσι aliquot Parr.; — vulgo πεπαυμένης, sed πεπαυμένος H. I. K. Marc., quod praefero.

ἑτέρη ν. — ἑκταῖος.] ὑπερεμήσαντα cett.; — cf. adnn.

τὰ φλέβια τὰ [1] ἔναιμα τὰ περὶ τὸν ἐγκέφαλον θερμήνῃ τὸν ἐγκέφαλον, πυρετὸς ἴσχει ἰσχυρὸς καὶ ὀδύνη ἐς τοὺς κροτάφους καὶ τὸ βρέγμα καὶ ἐς τοὔπισθεν τῆς κεφαλῆς καὶ τὰ ὦτα ἠχέει καὶ πνεύματος ἐμπίπλαται καὶ ἀκούει οὐδὲν καὶ ἀλύει καὶ ῥιπτάζει αὐτὸς ἑωυτὸν ὑπὸ τῆς ὀδύνης· οὗτος ἀποθνήσκει πεμπταῖος ἢ ἑκταῖος. Ὅταν οὕτως ἔχῃ, θερμαίνειν αὐτοῦ τὴν κεφαλήν· ἢν γὰρ ῥαγῇ διὰ τῶν ὤτων ἢ διὰ τῶν ῥινῶν ὕδωρ, ἐκφυγγάνει· ἢν [2] δ' ἐκφύγῃ τὰς ἡμέρας τὰς ἕξ, [3] διαιτᾶν ὥσπερ τὴν προτέρην.

vehentes, quae circa cerebrum sunt, sanguine nimis repletae cerebrum calefecerint, febris vehemens detinet et dolor ad tempora, sinciput, et posteriorem capitis partem, aures tinniunt, et flatis implentur, nihilque audit et anxietate vexatur et prae dolore se ipse incontinenter iactat. Hic quinto, aut sexto die moritur. Cum sic se habeat, caput calefacito; nam si per aures, aut nares aqua proruperit, evadit; quodsi sextum diem superaverit, eandem victus rationem, quam in priore morbo instituito.

ιη'. Ἑτέρη νοῦσος. Ἢν [4] ὑπεραιμώσωσι αἱ φλέβες [5] αἱ ἐν τῇ κεφαλῇ, ὀδύνη ἔχει [6] βαρέα τὴν κεφαλὴν πᾶσαν καὶ ἐς τὸν τράχηλον, καὶ μεταβάλλει ἄλλοτε ἄλλῃ τῆς κεφαλῆς καὶ ἐπειδὰν ἀναστῇ, σκοτοδινίη μιν ἴσχει, πυρετὸς δ' οὐ λαμβάνει. Ὅταν οὕτως ἔχῃ, ξυρήσας τὴν κεφαλὴν, ἢν μὴ τοῖσι χλιάσμασι ὑπακούῃ, σχίσαι τὸ μέτωπον, ᾗ ἀπολήγει τὸ δασύ· ἐπὴν δὲ τάμῃς, διαστείλας τὸ δέρμα, ὅταν ἀπορρυῇ τὸ αἷμα, ἁλσὶ λεπτοῖσι διαπάσαι· ἐπὴν δέ σοι τὸ αἷμα ἀπορρυῇ, ξυνθεὶς τὴν τομὴν, κρόκῃ διπλῇ [7] κατειλίξαι πᾶσαν· ἔπειτα περιχρίσας τῇ κηροπίσσῳ σπληνίσκον ὑποθεὶς κάτω ἐπὶ τῷ ἕλκεϊ, εἴριον πινόεν [8] ἐπιθεὶς, καταδῆσαι, καὶ μὴ λῦσαι ἄχρις ἑπτὰ ἡμερέων, ἢν μὴ ὀδύνη ἔχῃ· ἢν δ' ἔχῃ, ἀπολύσασθαι. Διδόναι δὲ, ἔστ' ἂν ὑγιὴς γένηται,

18. Alius morbus. Si venae in capite sanguine nimis repletae sunt, gravis dolor totum caput detinet et versus cervicem pertingit, et alio tempore in aliam capitis partem transmittit, et postquam surrexerit, eum tenebricosa vertigo occupat, sed febris non prehendit. Cum sic habuerit, deraso capite, nisi calefactoriis cessarit, frontem, qua capillus desinit, scindito, sectam cutim deducito, ubi sanguis defluxerit, tenuissimo sale conspergito. Postea vero quam sanguis defluxerit, totam sectionem duplici filo involutam componito, deinde splenium cera et pice illitum ulceri inferiore parte imponito, lana succida apposita deligato et sinito ad dies septem, nisi dolor detineat, aut si detineat, solvito. Aquam autem, in qua farina hordei crassior macerata fuerit, quoad convaluerit, ei bibendam exhibeto, ptisanae vero

[1] αἵματα. — [2] δὲ φύγῃ. — [3] διαιτᾶν αὐτόν ὥσπερ τ. πρ. — [4] ὑπερεμήσωσι. — [5] ἐς τὴν κ. — [6] βραχίη. — [7] κατειλίξας. — [8] ἐπιτιθείς.

ad § 4.; — ἔναιμα Lind., Mack., Littr. e libris scriptis, idemque fert Marc.; vulg. e V. notavi.

ὅταν — προτέρην.] ἢ διὰ τῶν ῥ. scripsi cum E. H. Marc., vulgo διά om. h. l.; — οὗτος ἐκφυγγ. vulg., οὕτως ἐκφυγγ. H. θ. Marc., Mack., Littr., sed solum ἐκφ. F. G. I. J. Voss., quos sequor.; — vulgo ἐκφ. τὸν ὄλεθρον, sed E. H. Marc. τὸν ὄλ. omm.; — ἢν δὲ φύγῃ vulg., sed ἢν δ' ἐκφ. E. H. Q.' θ. Marc., Lind., Mack., Littr.; — διαιτᾶν αὐτόν vulg., sed αὐτόν om. Littr., cum H., in quo al. m. rest., θ., Marciano.

18. ἑτέρη νοῦσος. — λαμβάνει.] ἄλλη ν. E., in multis Parr. om. inscriptio; — ἐς τὴν κεφ. vulg., sed multi Parr., Littr., Marc. ἐν τῇ κεφ., de meo αἱ ἐν τῇ κ. scripsi. Pro vulgato βραχέη Lind. de coniectura, uti videtur, et Mack. eum secutus βαρέη. Mihi probabilis emendatio visa est, nam licet in hoc morbo febris abesse dicatur, at remedia non sunt eiusmodi, ut ad levem dolorem praescribi videantur. Vulg. ἄλλοτε ἄλλα. quod dudum e mss. est emendatum; etiam in Marc., Voss. ἄλλῃ legitur; — δ' οὐ λαμβ. E. H., plene δέ cett.

ὅταν — ἀπολύσασθαι.] ὅταν οὖν vulg., sed οὖν omm. H. I. J. K. θ. Marc.; — ἕξῃ ξυρήσας αὐτοῦ τὴν κ. cod. θ.; — ὑπακούει vulg., ὑπακούῃ H. I. Marc. Littr.; — σχίσαι ἀπὸ τῆς κεφαλῆς τὸ μέτωπον vulgo, ego ἀπὸ τῆς κεφ. delevi; — κατείλιξαι (κατελίξαι in m. m. pr.) πᾶσαν τὴν τομὴν, ἔπειτα Marc.; — e cod. θ. κατέλιξε adn. Littr. et τὴν τομήν ex E. θ. pro αὐτήν, quod vulg. fert post πᾶσαν, solum τομήν ex H., sed cod. Fevr., Foësii, quem Lind. sequitur, αὐτὴν τὴν τομήν fert; ego horum nullum admitto. — σπληνίσκον ὑποθείς de meo dedi, ἐπιθείς cett.: credo autem h. l. ὑποθείς opponi sequenti ἐπιθείς, — πινόεν ἐπιθεὶς καὶ ἀναδῆσαι καὶ μὴ ἐπιλῦσαι ἐπ' ἑπτά cod. θ., — etiam Marc. πινόεν ἐπιθείς pro vulg. π. ἐπιτιθείς, illos sequor: — ἄχρις omm. H., in quo rest. al. m., et Marc.; — ἡμερέων etiam Marc.; — ἢν δ' ἔχῃ E. H., δέ plene cett.

διδόναι — ὕδωρ.] δέ post διδόναι omm. H., in quo rest., Marc.; — κρήμνου Ald. Parr. 4., κρημνοῦ Marc.; — ῥυμφάνειν Ald., Parr. sex., Marc., ῥοφάνειν vulg.

πίνειν μὲν τὸ ἀπὸ τοῦ κρίμνου, ῥυμφάνειν δὲ τὸν χυλὸν τῆς πτισάνης καὶ ἐπιπίνειν ὕδωρ.

ιθ'. Ἑτέρη νοῦσος. Ἢν δὲ χολᾷ ὁ ἐγκέφαλος, πυρετὸς ἴσχει βληχρὸς καὶ ῥῖγος καὶ ὀδύνη διὰ τῆς κεφαλῆς πάσης, μάλιστα δὲ ἐς τοὺς κροτάφους καὶ ἐς τὸ βρέγμα καὶ ἐς τὰς χώρας τῶν ὀφθαλμῶν καὶ αἱ ὀφρύες ἐπικρέμασθαι δοκέουσι καὶ ἐς τὰ ὦτα ὀδύνη [1] ἐσφοιτᾷ καὶ ἐνίοτε καὶ κατὰ τὰς ῥῖνας χολὴ ῥεῖ καὶ ἀμβλυώσσουσι τοῖσι ὀφθαλμοῖσι καὶ τοῖσι μὲν πλείστοισι ἐς τὸ ἥμισυ τῆς κεφαλῆς ἡ ὀδύνη ἐσφοιτᾷ· γίγνεται δὲ καὶ ἐν πάσῃ τῇ κεφαλῇ. Ὅταν οὕτως ἔχῃ, ψύγματά οἱ προστιθέναι πρὸς τὴν κεφαλὴν καὶ ἐπὴν ἥ τε ὀδύνη καὶ τὸ ῥεῦμα παύηται, σελίνου χυλὸν ἐς τὰς ῥῖνας ἐνστάζειν καὶ [2] ἀλουτεέτω ἕως ἂν ἡ ὀδύνη ἔχῃ, καὶ ῥυμφανέτω κέγχρον λεπτὸν, μέλι ὀλίγον παραχέων, καὶ πινέτω ὕδωρ· ἢν δὲ μὴ ὑποχωρέῃ, κράμβας τρωγέτω καὶ τὸν χυλὸν ῥυμφανέτω· εἰ δὲ μὴ, τῆς ἀκτῆς τῶν φύλλων τὸν αὐτὸν τρόπον· καὶ ἐπήν σοι δοκέῃ καιρὸς εἶναι, σιτία οἱ προσφέρειν ὡς ὑποχωρητικώτατα· καὶ ἢν ἀπηλλαγμένου τοῦ ῥεύματος καὶ τῆς ὀδύνης, ὑπὲρ τῆς [3] ὀφρύος αὐτῷ βάρος [4] ἐγγένηται ἢ μύξη παχέα καὶ σαπρὴ, πυριήσας αὐτὸν ὄξεϊ καὶ ὕδατι καὶ ὀριγάνῳ, ἔπειτα θερμῷ λούσας προσθεῖναι τὸ ἄνθος τοῦ χαλκοῦ καὶ τὴν σμύρναν πρὸς τὰς ῥῖνας. Ταῦτα ποιήσαντί σοι ὡς τὰ πολλὰ [5] ὑγιὴς γίγνεται· ἡ δὲ νοῦσος οὐ θανατώδης.

succum sorbendum, aquam etiam superbibendam.

19. Alius morbus. Si cerebrum bilis vexet, febris lenis et rigor detinet, dolorque toto capite, praecipue vero ad tempora, sinciput et oculorum regiones, supercilia suspensa videntur et ad aures dolor pervadit, quandoque etiam per nares bilis effluit, oculi caligant, et plerisque ad dimidiam capitis partem dolor pervenit, quin toto etiam capite oritur. Cum ita se habuerit, refrigerantia ei ad caput admoveto et ubi dolor et fluxio quieverit, apii succum in nares instillato, neque lavet quamdiu dolor detinet et milium tenue pauco melle affuso sorbeat et aquam bibat. Quod si alvus non subducatur, brassicas edat et succum sorbeat; sin minus, foliorum sambuci succum ad eundem modum; cumque tempestivum tibi videbitur, cibos quam maxime alvum subducentes ei porrigito. Ac si propulsata fluxione et dolore ad supercilia iuxta nasum pondus quoddam incumbere ei videatur, aut mucus crassus et putridus oriatur, fomento ex aceto, aqua et origano adhibito, mox calida loto, aeris florem et myrrham ad nares admoveto. Haec ubi feceris, plerumque sanus evadet; morbus autem minime est letalis.

[1] ἐς φυτᾷ καὶ ἐνίοτε. — [2] μὴ λουέτω. — [3] ὀσφύος. — [4] τι γένηται κατὰ τὸν μυξωτῆρα ἢν μύξα παχείη ἢ καὶ σ. — [5] ὑγιῆ δείξεις.

19. ἑτέρη ν. — ἐν πάσῃ τῇ κεφ.] ἑ. ν. om. θ.; — μάλιστα δὲ τοὺς κρ. cod. θ.; — simplex φοιτᾷ idem; καί ante ἐνίοτε omm. E. H. Marc., Mack., Littr. — Omnes ἀμβλυώσσοισι τοῖσι ὀφθαλμοῖσι, cod. θ. ἀμβλυώσσει, Ald. τοῖσιν οἱ ὀφθ.; olim τοῖσι ὀφθ. pro emblemate alieno salutabam, licet ferendum sentirem ὁρᾶν τοῖσι ὀφθαλμοῖσι, quod supra occurrere vidimus; at secus sentire coepi collatis locis aliis. In ἡ ὀδύνη post κεφαλῆς articulum ἡ omm. H., in quo al. m. rest., Marc.; — simplex dein φοιτᾷ E. H. Q.' Lind., Marc. ὅταν — τὰς ῥῖνας.] ἥ τε omm. E. H. Marc., solum τε om. θ.; — ἀλουτεέτω Lind. e P'. Q'.; Littr. insuper ex E. H. θ., idem fert Marc., vulgatam e V. notavi. Cod H. ὡς, sed al. m. ἕως. — ῥυμφ. κέγχρ. Ald., sex Parr., Marc., ῥοφ. κ. vulg.; — τρωγέτω E. H. θ. Marc., Lind., Mack., ἐσθιέτω cett.; — τὸν χ. ῥυμφ. Ald. quinque Parr., Marc., τ. χ. ῥοφ. cett.; — εἰ δὲ μή E. H. Marc. ἢν δὲ μή vulg.; ἀκτῆς, quod dudum restitutum est et in Marc. item legitur et in V., in vulg. in αὐτῆς abierat.; — προσφέρειν οἱ vulg., οἱ πρ. E. H. θ. Marc.; — vitiose ὀσφύος pro ὀφρύος. uti V., Parr. sex. In βάρος ἐγγένηται ἢ μύξα παχεῖα καὶ σαπρή cum Littr. sequor θ., nisi quod in eo ἐγγίνηται et παχέη scribitur; Marc. in vulg., quam e V. notavi, βάρος ἐγγένηται habet, quem aor. Littr. e vulg. servavit. Vulgo λούσας θερμῷ ὕδατι, sed E. H. Marc. θερμῷ λ. ὕδατι, unde ὕδατι expello. ταῦτα ποιήσαντι — θανατώδης.] Vulgo ταῦτα ποιήσας ὑγιῆ δείξεις; I. J. K., ut V., δείξῃς. sed ὑγιὴς γίνεται E. H. Q'. θ. Lind. Mack. Littr., item Marc., quod recepi, sed tum praestat ποιήσαντι, quin fortasse melius ποιήσαντί σοι, ut aliis locis, scribere; nam ποιήσας ad δείξεις refertur, nec bene congruit cum γίνεται.

κ'. Ἑτέρη νοῦσος. Ἢν σφακελίσῃ ὁ ἐγκέφαλος, ὀδύνη [1] λάζεται ἐκ τῆς κοτίδος ἐς τὴν ῥάχιν καὶ ἐπὶ τὴν καρδίην καταφοιτᾷ ψῦχος καὶ ἱδρὼς ἐξαπίνης καὶ ἄπνοος τελέθει καὶ διὰ τῶν ῥινῶν αἷμα ῥεῖ· πολλοὶ δὲ καὶ ἐμέουσι. Οὗτος ἐν τρισὶ ἡμέρῃσι ἀποθνήσκει· ἢν δὲ τὰς ἑπτὰ ἡμέρας ὑπερφύγῃ, οὐχ ὑπερφεύγουσι δὲ οἱ πολλοί, ἢν οὖν τὸ αἷμα ἐμέῃ ἢ ἐκ τῶν ῥινῶν ῥέῃ, μήτε λούειν αὐτὸν θερμῷ, μήτε χλιάσματα προσφέρειν, πίνειν δὲ διδόναι [2] ὄξος λευκὸν ὑδαρὲς κιρνὰς καὶ ἢν ἀσθενέῃ, τῆς πτισάνης ῥυμφάνειν. Ἢν δὲ πλέον σοι δοκέῃ τοῦ δικαίου ἐμέειν τὸ αἷμα ἢ ἐκ τῶν ῥινῶν οἱ ῥέειν, ἀπὸ μὲν τοῦ ἐμέτου πινέτω ἄλητον σητάνιον ἐπὶ ὕδωρ ἐπιπάσσων· ἢν δὲ ἐκ τῶν ῥινῶν ῥέῃ, ἀποδείτω τὰς φλέβας τὰς ἐν τοῖσι βραχίοσι καὶ τὰς ἐν τοῖσι κροτάφοισι, [3] σπλῆνα ὑποθείς. Ἢν δὲ τούτων οἱ μηδέτερον ἔῃ, ἀλγέῃ δὲ τὴν κοτίδα καὶ τὸν τράχηλον καὶ τὴν ῥάχιν καὶ ἐπὶ τὴν καρδίην ἴῃ τὸ ψῦχος, χλιαίνειν [4] τοῖσι ὀρόβοισι τὰ στέρνα καὶ [5] τὸ νῶτον καὶ τὴν κοτίδα καὶ τὸν τράχηλον. Ταῦτα ποιέων μάλιστ' ἂν [6] ὠφελέοις· ἐκφεύγουσι δὲ ὀλίγοι.

20. Alius morbus. Si sideratum cerebrum fuerit, dolor ex occipitio ad spinam tendit et cor frigus permeat et spiratione destituitur et per nares sanguis fluit, plerique etiam vomunt. Hic intra tres dies moritur; quodsi septimum diem superaverit, — plerique vero minime superant, — et si sanguinem vomat, aut ex naribus effluat, neque eum calida lavato, neque calefactoria admoveto, sed acetum album aqua multa temperatum potui exhibeto et si debilis fuerit, ptisanam sorbendam dato. Quodsi plus aequo sanguinem tibi vomitione refundere aut ei ex naribus effluere videatur, a vomitu quidem farinam setaniam aquae inspersam bibat; sin e naribus fluat, brachiorum et temporum venas spleniis suppositis deligato. At si horum neutrum affuerit, occipitium autem et cervicem et spinam dolor vexet et ad cor frigus procedat, ervo pectus, dorsum, occipitium et cervicem calefacito. Haec cum feceris, maxime iuveris; pauci vero evadunt.

κα'. Ἑτέρη νοῦσος. Ἐξαπίνης ὑγιαίνοντα ὀδύνη ἔλαβε τὴν κεφαλὴν καὶ παραχρῆμα ἄφωνος γίγνεται καὶ ῥέγχει καὶ τὸ στόμα κέχηνε, καὶ ἤν τις αὐτὸν [7] καλέῃ ἢ κινήσῃ, στενάζει μοῦνον, ξυνίει δ' οὐδὲν καὶ οὐρέει

21. Alius morbus. Derepente sanum capitis dolor prehendit, confestimque vox eum deficit, stertit et os apertum est, et si quis eum vocet, aut agitet, solum ingemiscit, nihil intelligit, urinam copiosam reddit, eamque se reddere

[1] λάζηται. — [2] ὄξον λευκὸν ὑδαρέα κιρνῶν. — [3] σπλῆνας ὑποτιθείς. — [4] ἐν τοῖσι. — [5] τὸν ν. — [6] ὠφελέοι. — [7] καλέει.

20. ἕτ. ν. — ἐμέουσι.] ἕτ. ν. om. H.; — ἂν σφ. E.; — ἢν δὲ (H. δέ al. m.) Q'. Lind., Mack. — In eiusmodi rebus minutis difficile est iudicium, quid antiquius sit, quid recentius, praecipue quum capitulorum inscriptiones omnes recentiores esse pateat, qua de re in prolegomm. dicam; — ἐξαπίνης καινὸς τελέθει vulg.; — Littréus e cod. θ. emendavit.

οὗτος — ῥυμφάνειν.] οὐχ ὑπεκφεύγουσι cod. θ.; — οὗτος ἢν μὲν τό E. K. P'. θ. Marc., Lind.; ante οὖν Q'. addit μέν. Vulgata fert ὄξος, non οἶνον, et κιρνῶν; iam vero κιρνάς ex θ. Littr. et Marc. item κιρνάς; sed et Marc. et reliqui omnes praeter θ. ὑδαρέα, cod. θ. vero ὑδαρές, quod Mack., Littr. ex eo receperunt. Sine dubio efficias ex ὑδαρέα non ὄξος, sed οἶνον scriptum fuisse, quin primum ita scribere decreveram; at retinuit me frequens mentio aceti albi in his Cnidiorum libris et locus ex § 63. huius libri. ubi vide. — Porro κἢν ἀσθ. cod. θ.; — ῥυμφ. Ald., Parr. quinque, Marc., ῥοφ. vulg.

ἢν δὲ — ὑποθείς.] πλείονος vulg., πλέονος E. Marc., πλεῖον Lind., Mack., Littr.; — οἱ ῥέειν cum L. Lind. scripsi pro ῥέῃ. Littr. adnotat in H. ἀπὸ μέν omitti, sed al. m. restitui, e Marc. excerpsit Cobetus οἱ ῥέῃ τοῦ μὲν ἐμέτου; σητάνιον E. H. σιτάνιον cett.; — καί ante ἀποδείτω vulg., sed omm. Lind., Mack.; consentio.

ἢν δὲ τούτων — τράχηλον.] ἀλγέῃ etiam Marc. recte; ἐν ante τοῖσι, quod vulg. fert, omm. θ. Mack., Marc.; sine dubio, ut sexcentis locis aliis, ἐν librariis debetur.

ταῦτα — ὀλίγοι.] μάλιστ' E. H. Marc., μάλιστα cett.; ὠφελέοις ex θ. Littr., vulg. e V. notavi, — ἐκφεύγουσι τὴν τοιαύτην νοῦσον vulg., sed τ. τ. ν. omm. H., in quo rest. al. m., θ., Marc., quos sequor.

21. ἑτέρη νοῦσος — οὐρέων.] ἄλλη ν. E. H. I. J. Marc.; καλέσῃ Littr. e K. solo; non video causam cur de vulg. decedam; — ξυνίει h. l. per ξ E. H. θ. Marc.; — δ' H. θ. Marc., δέ vulg.; ἐπαΐει Lind., Mack.; — Littr. ex E. θ.. — e Marc. mihi non adnotatum est, adeo ut vulgatam ἐπάγει ibi legi putem.

πουλὺ καὶ οὐκ [1] ἐπαΐει οὐρέων. Οὗτος ἢν [2] μιν μὴ πυρετὸς λάβῃ, ἐν τῇσι ἑπτὰ ἡμέρῃσι ἀποθνήσκει· ἢν δὲ λάβῃ, ὡς τὰ πολλὰ ὑγιὴς γίγνεται· ἡ δὲ [3] νοῦσος πρεσβυτέροισι μᾶλλον γίγνεται ἢ νεωτέροισι. Τοῦτον, ὅταν οὕτως ἔχῃ, λούειν χρὴ πολλῷ [4] καὶ θερμῷ καὶ θάλπειν ὡς μάλιστα καὶ ἐνστάζειν μελίκρητον [5] χλιερὸν ἐς τὸ στόμα. Ἢν δ' ἔμφρων γένηται καὶ ἐκφύγῃ τὴν νοῦσον, ἀνακομίσας αὐτὸν σιτίοισι, ἐπὴν σοι δοκέῃ ἰσχύειν, ἐς τὰς ῥῖνας ἐνθεὶς αὐτῷ φάρμακον καὶ [6] διαλιπὼν ὀλίγας ἡμέρας κατωτερικὸν δὸς πιεῖν· ἢν γὰρ μὴ [7] καθήρῃς, [8] δεῖμα αὖτις τὴν νοῦσον ὑποστρέψαι· ἐκφυγγάνουσι δὲ οὐ μάλα ἐκ τῆς πρώτης.

κβ'. Ἑτέρη νοῦσος. Ἢν δ' ἐκ θωρήξιος ἄφωνος γένηται, ἢν μὲν αὐτίκα καὶ παραχρῆμα λάβῃ μιν πυρετὸς, ὑγιὴς γίγνεται· ἢν δὲ μὴ λάβῃ, τριταῖος ἀποθνήσκει. Ἢν δὲ [9] οὕτως ἔχοντι ἐπιτύχῃς, λούειν πολλῷ [10] καὶ θερμῷ καὶ πρὸς τὴν κεφαλὴν σπόγγους ἐν ὕδατι βάπτων θερμῷ προστιθέναι [11] καὶ ἐς τὰς ῥῖνας κρόμμυα ἀπολέπων ἐντιθέναι. Οὗτος ἢν μὲν ἀνατείνας τοὺς ὀφθαλμοὺς καὶ φθεγξάμενος παρ' ἑωυτῷ γένηται καὶ μὴ φλυηρῇ, τὴν μὲν ἡμέρην ταύτην κεῖται κωμαίνων, τῇ δ' ὑστεραίῃ ὑγιὴς γίγνεται· ἢν δ' ἀνιστάμενος χολὴν ἐμέῃ, μαίνεται καὶ ἀποθνήσκει μάλιστα ἐν πέντε ἡμέρῃσι, ἢν μὴ κατακοιμηθῇ. Τοῦτον οὖν [12] χρὴ τάδε ποιέειν· λούειν πολλῷ [13] καὶ θερμῷ, ἔστ' ἂν

non percipit. Hic nisi eum febris corripiat, intra septem dies moritur; sin corripuerit, plerumque sanus evadit. Morbus autem senioribus magis accidit quam iunioribus. Hic cum sic habeat, multa calida lavandus est et quam maxime fovendus, eique aqua multa tepida in os instillanda. Quodsi ad se redeat et morbum effugiat, cum eum cibis refeceris, et vires valere videbuntur, immisso in nares medicamento paucisque intermissis diebus medicamentum deorsum purgans propinato. Nisi enim purgaveris, metus est ne rursus morbus revertatur. Fere autem ex priore minime evadunt.

22. Alius morbus. At si quis ex temulentia voce deficiat, si quidem iam confestim eum febris corripiat, convalescit, sin minus, intra tertium diem moritur. Cum ita habentem offenderis, multa calida lavato et spongias calida imbutas ad caput admoveto et in nares cepas detracto cortice immittito. Hic quidem si apertis oculis et voce recuperata ad se redeat neque nugas loquatur, eo die sopore detentus iacet, postero vero convalescit; sin surgens bilem vomat, in insaniam agitur, fereque diebus quinque nisi dormiat, moritur. Hunc igitur haec facere oportet, multa calida lavare, donec ad se redeat, deinde copioso oleo illitum, in mollibus stratis vestimentis contectum recumbere, neque apud eum lucernam ardere, neque aliquem lo-

[1] ἐπάγει. — [2] μιν om. — [3] τοιαύτη ν. — [4] καί om. — [5] χλιαίνων. — [6] διαλείπων. — [7] καθάρῃς. — [8] δεῖμα μὴ αὖθις. — [9] μὴ οὕτως. — [10] καὶ abest. — [11] καὶ — ἐντιθέναι om. — [12] χρή om. — [13] καί om.

οὗτος ἢν — νεωτέροισι.] Vulg. om. μιν. quod e θ. dedit Littr. — E Marc. mihi adnotatum est: „οὗτος ἤν μιν πυ- μή m. rec. ρετὸς λάβῃ ὡς τὰ πολλὰ ὑγιὴς γίνεται; in marg. ἐν τῇσι ἑπτὰ ἡμέρῃσι ἀποθνήσκει. ἢν δὲ λάβη add. m. recentior." — Aldus et duo Parr. ἢν δὲ μὴ λάβῃ legunt. Illud τοιαύτη ante νοῦσος, quod vulg. fert, cum E. H. θ. om. Littr. et om. Marc.; — μᾶλλον ex H. J. θ. Littr. pro vulg. μάλιστα. etiam Marc. μᾶλλον.

τοῦτον — στόμα.] πολλῷ θερμῷ K. θ. Vulgo χλιαίνων, sed χλιαρόν L. θ. Lind., Mack., Littr.; — mihi in χλιαίνων Ionicum χλιερόν latere visum est.

ἢν δ' — ἐκ τῆς πρώτης.] ἢν δ' ἔμφρ. E. H., ἢν δὲ ἔμφρ. cett.; — ἐκφεύγῃ F. θ.; — ἐπήν Lind., Littr., quorum hic pluribus Parr. dedit pro vulg. ἐπάν, — item Marc. ἐπήν. Praesens διαλείπων E. H. I. J. K.; — δός om. H., in quo rest., et Marc.; — φάρμακον πιεῖν solus θ., unde Mack., Littr. recipiunt, nolo facere quum nomen φάρμακον brevi ante legatur. Legunt κίνδυνος αὖτις E. H. Marc.; vulgo δεῖμα αὖθις et quod e V. notavi F. G. I. K. ferunt.

22. ἑτέρη νοῦσος — ἀποθνήσκει.] ἑτέρη ν. om. θ.; — ἂν δ' ἐκ E., unde δ' pro vulgato δέ scripsi; — αὐτίκα δή vulg., sed δή omm. E. H. θ. Marc.

ἢν δὲ οὕτως — ἐντιθέναι.] ἢν δὲ μὴ οὕτως ἔχ. vulgo, Foës. voluit ἢν δὲ μὲν ὁ. ἐ., sed praestat μή delere, quod e superiore ἢν δὲ μή huc devenit; — L., Lind. οὖν pro μή. Plurimi Parr. et Marc. κρόμυα.

οὗτος — κατακοιμηθῇ.] φλυηρῇ ex θ. Littr. φλυαρῇ vulgo; — κοιμηθῇ E.

τοῦτον — γίγνεται.] χρή omm. F. G. H., uti V,; — πολλῷ θερμῷ cod. θ.; ἐς ante ἑωυτόν omm. E. H. Marc.; ἔπειτ' I. J. K. Marc.; — καὶ ἢν κοιμηθῇ vulg., sed pro

αὐτὸς ἐς ἑωυτὸν παρῇ· ἔπειτα ἀλείψας ἀλείφατι πολλῷ κατακλῖναι ἐς στρώματα μαλθακῶς καὶ ἐπιβάλλειν ἱμάτια καὶ μήτε λύχνον καίειν παρ' αὐτῷ, μήτε φθέγγεσθαι· ὡς γὰρ ἐπιτοπολὺ ἐκ τοῦ λουτροῦ κατακοιμᾶται καὶ, ἢν τοῦτο ποιήσῃ, ὑγιὴς γίγνεται. Ἐπὴν δὲ παρ' ἑωυτῷ [1] γένηται, τὰς πρώτας ἡμέρας τρεῖς ἢ τέσσαρας τῶν σιτίων ἐρύκειν αὐτὸν, διδόναι δὲ κέγχρον λεπτὸν ῥυμφάνειν ἢ πτισάνης χυλὸν καὶ οἶνον μελιτοειδέα πίνειν· ἔπειτα σιτίοισι χρῆσθαι ὡς [2] μαλθακωτάτοισι καὶ ὀλίγοισι τὸ πρῶτον.

qui. A balneo enim fere somno corripitur, quod si fiat, sanus evadit. At postquam ad se redierit, tribus quatuorve primis diebus a cibis abstineat, milium vero liquidum, aut ptisanae succum sorbendum et vinum mellitum bibendum exhibeto; deinde cibis quam mollissimis primumque paucis utatur.

κγ'. [3] Σφάκελος ἐγκεφάλου. Ἢν σφάκελος λάβῃ, ἡ ὀδύνη ἴσχει μάλιστα ἐκ τοῦ πρόσθεν τῆς [4] κεφαλῆς κατὰ σμικρὸν καὶ ἀνοιδέει καὶ πελιδνὸν γίγνεται καὶ πυρετὸς καὶ ῥῖγος καταλαμβάνει. Ὅταν οὕτως ἔχῃ, [5] ταμόντα χρὴ, ᾗ ἂν ἐξοιδέῃ, καὶ διακαθήραντα, τὸ ὀστέον ξύσαι ἔστ' ἂν ἀπίκῃ πρὸς τὴν διπλοΐδα· ἔπειτα ἰῆσθαι ὡς κάτηγμα.

23. Cerebri sideratio. Cum sideratio corripit, dolor sensim ex anteriore capitis parte fere detinet et intumescit, livescit, febrisque ac rigor prehendit. Quo modo si habuerit, qua parte tumescit, secare oportet et os perpurgatum radere, donec ad duplicatam laminam perveneris, deinde non secus ac fracturam curare.

κδ'. [6] Τερηδών. Ὅταν τερηδὼν γένηται ἐν τῷ ὀστέῳ, ὀδύνη λαμβάνει ἀπὸ τούτου τὸ ὀστέον· τῷ δὲ χρόνῳ λεπτὸν γίγνεται καὶ ἀναφυσᾶται, καὶ γίγνεται [7] ἐν αὐτῷ κάτηγμα, καὶ ἢν [8] οὕτω ἀνατάμῃς, εὑρήσεις ἄναιμον τὸ ὀστέον καὶ τρηχὺ καὶ πυρρὸν, ἐνίοισι δὲ καὶ

24. Caries. Cum caries in osse oborta fuerit, ex ea os dolor corripit, successu vero temporis tenue evadit, inflatur, in eoque fractura accidit. Quodsi tunc secueris, os exsangue, asperum et fulvum reperies, quibusdam vero etiam ad cerebrum usque corrosum. Cum ita habentem

[1] γίνεται τὰς πρώτας ἡμέρας τρεῖς ἢ τέτταρας διδόναι κέγχρον λεπτὸν ῥυμφάνειν ἢ πτ. χ — [2] μαλθακοῖσι καὶ ὀλ. sine τὸ πρῶτον. — [3] ἑτέρη νοῦσος, ἢν κ. τ. λ. — [4] κεφαλῆς ἐκ τοῦ κατὰ μικρόν. — [5] τὰ μεῖν χρή. — [6] τερηδὼν λέγεται ὁ σκώληξ ὁ ξυλοτρώκτης οἰκῶν ἐν τῷ ξυλῷ. — [7] ἐπ' αὐτῷ. — [8] τοῦτο.

κοιμηθῇ E. H., in quibus vulg. rest., L. θ., Marc., τοῦτο ποιήσῃ..

ἐπὴν δὲ — πρῶτον.] παρ' ἑωυτοῦ H., in quo vulgatum παρ' ἑωυτόν restituitur al. m., et Marc.; ego cod. θ. sequor; τὰς πρώτας ἡμ. τρεῖς ἢ τεττ. διδόναι κέγχρον λεπτὸν ῥοφάνειν ἢ πτ. χ. vulg.; Littr. ex θ. dat τὰς πρ. ἡμέρας τῶν σιτίων ἐρύκειν αὐτὸν ἡμέρας τρεῖς ἢ τεσσ., διδόναι δὲ κέγχρον λεπτὸν ῥοφάνειν, ἢ πτ. χ. — Patet sane e vulg. excidisse τῶν σ. ἐρύκειν α. ἡμέρας, sed tamen lectio, qualem θ. fert, non est a manu scriptoris, itaque paululum eam mutavi ad ductum vulgatae, ut oratio facile procederet. Iam vero τέσσαρας E. H. θ. Marc., ῥυμφάνειν multi Parr., Marc. V.; e Marc. vero mihi excerptum est διδόναι λεπτόν sine δέ aut κέγχρον, quorum illud soli H. θ. ferunt; — μελιτοήδεα E. H. K. Marc. μελιηδέα cod. θ. — Superlat. μαλθακωτάτοισι H. θ. Mack., Littr. pro vulg. positivo; — τὸ πρῶτον omm. etiam F. G. J.

23. σφακ. ἐγκ. — καταλαμβάνει.] ἑτέρη νοῦσος· σφακελισμὸς ἐγκεφάλου est inscr. in K.; — ἑτέρη νοῦσος· ἐὰν σφακελίσῃ ὁ ἐγκ. est inscr. in F. G. I. J. Vulgatam ἐκ τοῦ κατὰ μικοόν, uti V. fert, emendavit Littr. ex Ald. E. H., qui ἐκ τοῦ omm., uti Marc.; et ex H. θ., qui item ut Marc. σμικρόν ferunt. Sed illud ἐκ τοῦ sine dubio in vulgata de sede sua aberraverat et olim ad πρόσθεν pertinuit, ita ut fuerit etiam lectio ἡ ὀδύνη ἴσχει ἐκ τοῦ πρόσθεν τῆς κεφ., quam prae vulgata ἡ ὀδύνη ἴσχει τὸ πρόσθεν praefero.

ὅταν — κάτηγμα.] ταμνόντα pro vulg. ταμεῖν H., ubi al. m. inf. rest., θ. Littr. Marc. Pro vulgato ἵν' ferunt ἢν E. H. θ. Marc., ᾗ ἂν Lind., Mack., quos sequor, quia vulgata ἐξοιδέῃ subiunctivo; — ἐξοιδέει I. K. L., quod recepit Littr. Sequens καί omm. E. et Marc., ubi a rec. m. rest., ἔστ' ἂν E. H. θ. Marc. pro vulg. ἕως ἄν. Vulgo ἀφίκηται; sed ἀπίκηται H., in quo φ al. m., Marc.; equidem secundam personam requiro, quare ἀπίκῃ dedi; — ἔπειτα E. H. Q'. Lind., Mack., item Marc., εἶτα vulgo.

24. τερηδών — ἐγκέφαλον.] περὶ τερηδόνος G. H. K. cum scholio, quod e V. excerpsi; — ἑτέρα νοῦσος E pro inscriptione; — ἀπὸ τούτου τοῦ ὀστέου E. H. I. J. K. L. Marc., quam lect. receperunt Lind., Littr.; est autem sine dubio nata e male intellecto loco et falsissima; — τὸ δὲ χρ. vulg., τῷ δὲ χρ. L. θ. Littr.; — τὸ δέρμα λεπτὸν γίνεται cod. θ.; ἐν αὐτῷ E. H. θ. Marc., Littr., vulgatam e V. notavi, οὕτω ἀνατ. E. H. Littr., vulgatam e V. notavi; — ἄναιμον est coniectura Littréi pro vulg. ἀνατεῖνον, quam ille in textum recepit, et quam ipse lubens amplector; contulit

διαβεβρωμένον πρὸς τὸν ἐγκέφαλον. Ὅταν οὕτως ἔχοντι ἐπιτύχῃς, ἢν μὲν ἔῃ πέρην διαβεβρωμένον, ἐᾶν ἄριστον καὶ ἰῆσθαι ὡς τάχιστα τὸ ἕλκος· ἢν δὲ διαβεβρωμένον μὲν μὴ ἔῃ, τρηχὺ δὲ, ξύσας ἐς τὴν διπλοΐδα, ἰῆσθαι ὥσπερ τὸ πρόσθεν.

offenderis, si quidem ultra corrosum fuerit, sinere optimum et quam citissime ulcus curare. Sin vero corrosione non fuerit perforatum, sed asperum, derasum ad duplicatam usque laminam sicuti praecedens curato.

κε΄. Ἑτέρη νοῦσος. [1] Ἢν βλητὸς γένηται, ἀλγέει τὸ πρόσθεν τῆς κεφαλῆς καὶ τοῖσι ὀφθαλμοῖσι οὐ δύναται ὁρᾷν, ἀλλὰ κῶμά μιν ἔχει [2] καὶ αἱ φλέβες αἱ ἐν τοῖσι κροτάφοισι σφύζουσι καὶ πυρετὸς βληχρὸς [3] ἔχει καὶ τοῦ σώματος [4] παντὸς ἀκρασίη καὶ μινύθει. Ὅταν οὕτως [5] ἔχῃ, καὶ λούειν αὐτὸν θερμῷ πολλῷ καὶ χλιάσματα πρὸς τὴν κεφαλὴν προστιθέναι· ἐκ δὲ τῆς πυρίης ἐγχεῖν ἐς τὰς ῥῖνας σμύρναν καὶ ἄνθος χαλκοῦ, ῥυμφάνειν δὲ διδόναι τὸν χυλὸν τῆς πτισάνης καὶ πίνειν ὕδωρ. Καὶ ἢν μὲν ταῦτα ποιέοντι ῥᾴων γένηται, εἰ δὲ μὴ, — ταύτῃ γὰρ μόνη ἐλπὶς, — σχίσαι αὐτοῦ τὸ βρέγμα καὶ ἐπὴν ἀπορρυῇ τὸ αἷμα, ξυνθεὶς τὰ χείλεα ἰῆσθαι καὶ καταδῆσαι· [6] ἢν δὲ μὴ σχίσῃς, ἀποθνήσκει ὀκτωκαιδεκαταῖος, ἢ εἰκοσταῖος ὡς τὰ πολλά.

25. Alius morbus. Si fiat sideratus, dolet anteriore parte capitis oculisque videre non potest, sed sopor ipsum detinet et temporum venae pulsant et levis febris totiusque corporis ad motum impotentia detinet, et contabescit. Cum sic se habeat, tum eum multa calida lavato, tum ad caput calefactoria admoveto; a fomento vero myrrham et aeris florem in nares infundito; ptisanae succum sorbendum et aquam bibendam dato. Et si quidem cum haec feceris melius habeat, sat est; sin minus, — haec enim unica spes est, — ei sinciput dividito, cumque sanguis effluxerit, labra vulneris componito, curato et deligato. Sin non diviseris, decimo-octavo, aut vigesimo die fere moritur.

κϛ΄. [7] Κυνάγχη. Πυρετὸς λαμβάνει καὶ ῥῖγος, καὶ ὀδύνη τὴν κεφαλὴν, καὶ τὰ σιαγόνια οἰδίσκεται, καὶ τὸ πτύαλον χαλεπῶς καταπίνει, ἀποπτύει δὲ καὶ τὰ σίαλα σκληρὰ

26. Angina. Febris et rigor corripit, caput dolet, maxillae intumescunt, aegre sputum deglutit, salivam duram et sensim exspuit et in imis faucibus stertit. Quodsi apprehensa lingua

[1] In marg. ἐὰν βλητὸς γένηται ὁ ἐγκέφαλος. τὸ δὲ βλητὶς ὃ δηλοῖ προσεγράφη. — [2] καὶ ἢν καὶ αἱ φλ. ἐν τ. κρ. σφύζωσι. — [3] ἔχῃ. — [4] ἀκρησίη sine παντός. — [5] ἔχει καὶ λούειν. — [6] ἢν δὲ μὴ — πολλά om. — [7] περὶ κυνάγχης.

Littr. ἔξαιμον e lib. de cap. vuln. p. 389. vol. I. mihi. Copulam ante τρηχύ om. K.; — καί ante διαβεβρ. om. θ.

ὅταν — τὸν πρόσθεν.] ἐᾶν ἄριστον vulgata est lect., αἱρεῖν ἄριστον cod. θ. Mack., Littr., sine dubio contra mentem scriptoris. Vulgo τετρωμένον, J. τρωμένον, K. βεβρωμένον: sine dubio vulgata vitiosa est, requiritur aliquid quod fere τετρημένον significat, itaque putavi διαβεβρωμένον scriptum fuisse, quod librarii oscitantia praecedente δέ in simplex βεβρωμένον, dein in τετρωμένον abierit. H. P′. Q′. Marc. ἐς τὴν διπλοΐδα, quam lect. antiquam esse credo, recentiorem contra vulgatam μέχρι τῆς διπλοΐδος. — De meo τὸ πρ. scripsi pro vulg. τὴν πρόσθεν.

25. ἑτέρη νοῦσος — μινύθει.] ἕτ. ν. om. H. θ., ἄλλη ν. E.; καὶ ἀλγέει vulg., sed καί omm. F. G. J. Littr., καὶ ἀλγέῃ E. H. Marc., nempe librarii in hac lect. tum haec, tum seqq. verba ab ἤν pendere putantes, nec videntes ἀλγέει esse apodosios initium, subiunctivo ea protulerunt et μή pro οὐ scripserunt falso. Vulg. καὶ ἢν αἱ φλ., sed ἤν omm. H., in quo rest., θ., Marc., Mack., Littr.; Vossiani lect. ex I adnotat Littr.; — αἱ ante ἐν de meo adposui; — vulgo σφύζωσι propter causam, quam supra dixi, Littr. recte σφύζουσι; — ἀκρασίη recte E. H. Marc. pro inepto vulgato ἀκρησίη.

ὅταν οὕτως ἔχῃ — ὕδωρ.] Pro καὶ λούειν ferunt καίειν Ald. E. F. G. H. I. J. K. Marc.; recepit Littr., sed falsa lectio est; eadem confusio verborum καίειν et λούειν saepius recurrit. Cod. H. χλιάσματι, voluitne librarius χλίασμά τι? — ἐγχεῖν om. Littr. cum Ald. E. G. H. I. J. K. θ. Marc., equidem verbum e textu excidisse in libris illis credo; ῥυμφάνειν Ald., Parr. sex., Marc., ῥοφάνειν vulg.; διδόναι de meo supplevi.

καὶ ἢν — ὡς τὰ πολλά.] ῥᾷον, J. θ. Mack.; ἤν pro ἐπήν cod. θ.; ἰῆσθαι Littr. e quatuor Parr. et cum Mackio ex θ., idemque fert Marc., vulg. ἰῆσαι. In cod. Serv. Foësii eadem deficiunt, quae in V.; — ἢ εἰκοστ. omm. E., ubi al. m. rest., et H.

26. κυνάγχη — πνίγεται.] Eadem inscr., quae in V. habetur, adnotatur a Littréo e multis Parr.; — καὶ ἀποπτύει τὰ σ. σ. cod. θ., Mack., Marc.; — καὶ ἀποπτύει δὲ καὶ τὰ σ. σ. H.; — καὶ κατ᾽ ὀλίγον L. θ. Lind., Mack., Littr., κατ᾽ ὀλίγα sine καί vulg.; — ἐν τῇ φ. Littr., vulgo ἐν τῷ φ.; — H., in quo rest., et Marc. omm. articulum ante φ.:

καὶ κατ' ὀλίγον, καὶ ἐν [1] τῇ φάρυγγι κάτω ῥέγχει· καὶ ἢν καταλαβὼν τὴν γλῶσσαν σκέπτῃ, ὁ μὲν γαργαρεὼν οὐ μέγας, ἀλλὰ λαπαρός· ἡ δὲ φάρυγξ ἔσωθεν σιάλου γλίσχρου ἔμπλεως καὶ οὐ δύναται [2] ἐκχρέμπτεσθαι καὶ οὐκ ἀνέχεται [3] κείμενος, ἀλλ' ἢν κατακέηται, πνίγεται. Τούτῳ ἢν οὕτως [4] ἔχοντι ἐπιτύχῃς, ποιέειν τάδε· πρῶτον μὲν σικύας [5] προσβάλλειν πρὸς τὸν σπόνδυλον τὸν ἐν τῷ τραχήλῳ τὸν πρῶτον, [6] ἔπειτα παραξυρήσας τῇ κεφαλῇ [7] παρὰ τὸ οὖς ἔνθεν καὶ ἔνθεν· καὶ ἐπὴν ἀποσκίμψῃς τὴν σικύην, ἐᾶν προσκέεσθαι ὡς πλεῖστον χρόνον· ἔπειτα πυριᾶν αὐτὸν ὄξεϊ καὶ νίτρῳ καὶ ὀριγάνῳ καὶ καρδάμου σπέρματι, τρίψας λεῖα, κεράσας τὸ ὄξος ἰσόχοον ὕδατι καὶ ἄλειφα ὀλίγον ἐπιστάξας, διεῖναι τούτῳ· ἔπειτα ἐς χυτρίδα ἐγχέας, ἐπιθεὶς ἐπίθημα, καὶ κατασκεπάσας, τρυπήσας τὸ ἐπίθημα κάλαμον ἐνθεῖναι κοῖλον· ἔπειτα ἐπιθεὶς ἐπ' ἄνθρακας, [8] ἀναζέσαι καὶ ἐπὴν διὰ [9] τοῦ καλάμου ἡ ἀτμὶς ἀνίῃ, περιχάσκων ἑλκέτω ἔσω τὴν ἀτμίδα, φυλασσόμενος μὴ κατακαύσῃ τὴν φάρυγγα· καὶ ἔξωθεν δὲ σπόγγους βάπτων ἐς ὕδωρ θερμὸν προστιθέσθω πρὸς τὰς γνάθους καὶ τὰ σιαγόνια. Ἀναγαργάριστον δ' αὐτῷ ποιέειν ὀρίγανον [10] καὶ πήγανον καὶ θύμβραν καὶ σέλινον καὶ μίνθην καὶ νίτρον ὀλίγον, [11] μελίκρητον κεράσας ὑδαρὲς, ὄξος ὀλίγον ἐπιστά-

consideraveris, gurgulionem quidem non magnum, sed mollem videbis. Fauces interiores saliva viscida implentur, neque exscreare potest, neque decubitum sustinet, sed si decumbat, suffocatur. Cum sic affectum offenderis, haec facito. Inprimis quidem cucurbitulas ad primam cervicis vertebram admoveto, deinde capiti ante raso ad aurem utraque ex parte apponito, et ubi scarificaveris cucurbitulam quam plurimo tempore adhaerere sinito. Deinde suffitum illi ex aceto, nitro, origano et nasturtii semine parato; quae leviter trita pari aquae mensura ad acetum permixta et pauco oleo instillato, macerato, postea in ollam infusa operculo imposito et contecto, perforato operculo immitte arundinem cavam; mox prunis imposita fervefacito et ubi per arundinis fistulam sursum vapor ascenderit, eum aperto ore intro trahat, ea cautione adhibita ne fauces adurat. Exteriore vero parte etiam spongias aqua calida imbutas ad genas et maxillas apponat. Oris autem collutionem ei facito ex origano, ruta, satureia, apio, mentha et pauco nitro; aqua mulsa aquosa admixta, paucum acetum instillato. Foliis laevigatis ac tritis nitroque in ea macerato tepida os colluat. Si vero saliva retinetur, laevigato myrti surculo et summa eius parte tenella inflexa molli lana obvoluta, conspectis faucibus salivam expurgato et si venter non subeat, glan-

[1] τῷ. — [2] ἐγχρεμπτ. — [3] κεῖσθαι. — [4] ἐπὶ τύχης ἔχοντα. — [5] προσβαλέειν. — [6] ἔπειτα παραξ. — [7] καὶ παρά. — [8] ζέσαι. — [9] τοῦ αὐλοῦ τοῦ καλάμου. — [10] καὶ πήγανον om. — [11] μελίκρητόν τε.

ὁ γαργ. sine μέν E., ubi rest. al. m., H. K. θ. Marc.; — ἔσω E. H.; ἀνέχεται κείμενος etiam Marc. pro vulg., quam e V. notavi.

τούτῳ — καὶ τὰ σιαγόνια.] Ceteri τοῦτον ἢν οὕτως ἐπιτύχῃς ἔχοντα, — de meo casum verbo debitum restitui; προσβαλέειν sex Parr. et Marc. — Littréus ex ἔπειτα de suo effecit ἐπὶ τὰ καὶ ἐπὶ τά, quo non opus est, sed quod vulgo ἐν τῇ κεφ. legitur, vitiosum est, quum ἐν abundet; K' προξυρήσας, sed non est vitium in vulgato παραξ. — Verba sic intelligo: ἔπειτα παραξυρήσας (τοὺς τόπους τοὺς παρὰ τὰ ὦτα) τῇ κεφαλῇ (προσβάλλειν σικύας) παρὰ τὸ οὖς ἔνθεν καὶ ἔνθεν, quin ἔνθεν καὶ ἔνθεν etiam ad superius πρὸς τὸν σπόνδυλον referri possit, ita ut ne opus quidem sit emendatione Littréi, quae insuper ideo quoque parum probabilis, quia ἔπειτα non est otiosum. sed necessarium post πρῶτον μέν. — Vulgatum καί ante παρά omm. H., in quo rest. al. m., θ. Marc., Mack., Littr. Copulam ante ἐπήν omm. H., in quo rest. al. m., Marc. — De vulgato ἀποσφίγξῃς vide Foës. in adn. ad h. l. et in Oecon. voce ἀποσκήψεις. Scilicet legendum putat ἀποσκίμψῃς; Littréo nihil movendum videtur; Lind. de suo ἀποσχάσῃς, reliquae lectt. pravae sunt: equidem cum Foësio consentio et ἀποσκίμψῃς, aut ἀποσκήψῃς scriptum fuisse arbitror; — νίτρῳ E. K. λίτρῳ vulg.; καὶ καρδ. σπ. καὶ ὀριγ. cod. θ.; — ἄλειφαρ E. Lind., Mack. Pro vulg. διεῖναι τοῦτο etiam Marc. δ. τούτῳ; — χυτρίδια vulg., χυτρίδιου θ. Mack., Littr., in vulg. latet lectio Marciani χυτρίδα, quam recepi; — καὶ κατασκεπάσας τρυπήσας τὸ ἐπίθημα ex θ. supplevit Littr., vulgo abest. Simplex ζέσαι, ut V., quatuor Parr.; — e vulg. καὶ τοῦ αὐλοῦ τοῦ κ., omm. τοῦ αὐλοῦ H., in quo rest. al. m., θ. Marc., Littr.; — ἡ ἀτμὶς ἀνείῃ vulg., ἡ ἀ. ἔῃ H. Marc., ἀνίῃ alii libri et Littr. — Vulgo ἔξωθεν δέ sine καί. sed καὶ ἔξωθεν sine δέ E. H. θ. Marc., equidem et καί et δέ recepi. προστίθεσθαι E., al. m. vulg. rest.

ἀναγαργάριστον — ἐπιπινέτω.] δ' αὐτῷ E. H. δὲ α. vulg.; — καὶ πήγανον ex θ. Mack., Littr., cett. omm.; — νίτρον E. K. λίτρον vulg., tum h. l. tum paulo post; — μελίκρητόν τε vulg., τε omm. E. H. Marc., Littr. Quae vulg. fert post τὰ φύλλα et e V. notata sunt, omm. H. θ.

ξαι· λεῖα τρίψας [1] τὰ φύλλα καὶ τὸ νίτρον, [2] τούτῳ διείς, χλιήνας ἀναγαργαριζέτω· ἢν δὲ τὸ σίαλον ἴσχηται, μύρτου λαβὼν [3] ῥάβδον, λείην ποιήσας καὶ τὸ ἄκρον αὐτῆς ἐπικάμψας τὸ ἁπαλὸν, κατειλίξας [4] αὐτὸ εἰρίῳ μαλθακῷ, καθορῶν ἐς τὴν φάρυγγα, τὸ σίαλον ἐκκαθαίρειν· καὶ ἢν ἡ γαστὴρ μὴ ὑποχωρέῃ, βάλανον προστιθέναι ἢ ὑποκλύζειν· ῥυμφανέτω δὲ τὸν χυλὸν τῆς πτισάνης καὶ ὕδωρ ἐπιπινέτω. [5] Ἢν δὲ τὸ οἴδημα ἐκθύῃ καὶ οἰδίσκηται πρὸς τὰ στήθεα καὶ ἐρυθρὸν ἔῃ καὶ καίηται, ἐλπίδες πλέονες σωτηρίης· ποιέειν δὲ οἱ τάδε· ἐπὴν ἔξω τράπηται τὸ φλέγμα, σεῦτλα ἐμβάπτων ἐς ὕδωρ ψυχρὸν προστιθέναι· ἀναγαργαριζέτω δὲ χλιαροῖσι καὶ ἀλουτεέτω. Τοῦτο ποιέων μάλιστ᾽ ἂν ἐκφυγγάνοι. Ἡ δὲ νοῦσος θανατώδης καὶ ἐκφυγγάνουσι [6] ὀλίγοι.

dem adhibeto aut infuso subluito. Ptisanae autem succum sorbeat et aquam insuper bibat. Quodsi ei tumor rubicundus enascatur et ad pectus intumescat et ardeat, salutis maior spes est. Haec autem ei facienda sunt: ubi foras inflammatio vertitur, betas frigida imbutas admoveto, tepidis autem os colluat et ne lavet. Quibus factis fere evadet. Morbus autem letalis est et pauci evadunt.

κζ΄. Ἑτέρη κυνάγχη. Πυρετὸς, καὶ ὀδύνη λαμβάνει τὴν κεφαλὴν, καὶ ἡ φάρυγξ φλεγμαίνει καὶ τὰ σιηγόνια καὶ τὸ σίαλον καταπίνειν οὐ δύναται, πτύει δὲ παχὺ καὶ πολλὸν καὶ φθέγγεται χαλεπῶς. Ὅταν οὕτως ἔχῃ, πρῶτον [7] μὲν σικύην [8] προσβάλλειν τὸν αὐτὸν τρόπον ὥσπερ τῷ πρόσθεν· ἔπειτα προσίσχειν σπόγγον βρέχων ἐν ὕδατι θερμῷ πρὸς τὸν τράχηλον [9] καὶ τὰ σιηγόνια· ἀναγαργαρίζειν δὲ διδόναι τὸ ἀπὸ τῶν φύλλων εἱληθερές· πίνειν δὲ διδόναι μελίκρητον ὑδαρές· ῥυμφάνειν δὲ ἀναγκάζειν τὸν χυλὸν τῆς πτισάνης. Ἢν δέ οἱ ταῦτα ποιέοντι [10] τὸ σίαλον μὴ ἐξίῃ, πυριᾶν τὸν αὐτὸν τρόπον ὥσπερ ἐν τῇ πρόσθεν. Ἢν δέ οἱ ἐς τὰ στή-

27. Alia angina. Febris et caput dolor prehendit, fauces et maxillae inflammantur, neque salivam devorare potest, sed crassam et copiosam exspuit et aegre loquitur. Cum sic habuerit, primum quidem eo quo supra memorato modo cucurbitulam admoveto, deinde spongiam calida madidam cervici et maxillis apponito; ad os colluendum exhibeto herbarum odorarum et condimentis usurpatarum infusum in solis luce paratum decoctum, potui vero dato aquam mulsam aquosam et ptisanae succum sorbere cogito. Quodsi, ubi haec feceris, saliva non exeat, suffitum eodem modo velut in superiore (specie anginae) parato. Sin illi ad pectus aut ad cervicem inflammatio vertatur, betas aut

[1] τὰ φύλλα τῶν προειρημένων βοτάνων. — [2] τοῦτο. — [3] κλάδον λείην καί. — [4] αὐτό om. — [5] εἰ δὲ τὸ ὂ. ἐκφύει. — [6] ὀλίγιστοι. — [7] μέν om. — [8] προσβαλέειν. — [9] καί om. — [10] τὸ σίαλον om.

Marc., Littr.; — τούτῳ διείς cod. θ. Lind., Mack.; — ῥάβδον E. H., in quibus κλάδον rest., Marc., Lind., Mack., Littr., ποιήσας omm. 4. Parr., Lind. — Marc.: λείην ποιήσας αὐτὴν ἐπικάμψας τὸ ἄκρον τὸ ἁπαλὸν τῆς ῥάβδου κατειλίξας εἰρίῳ μαλθακῷ, quam lect. ex E. H. θ. adn. Littr.; inde ἐν ante εἰρίῳ abieci e vulgata; — ῥυμφάνειν rursus Ald., sex Parr., Marc., ῥοφ. vulg.

ἢν δέ οἱ — ὀλίγοι.] ἢν H. Marc., εἰ vulg.; — ἐκθύῃ H., ubi alia m. $\overline{\phi}$, Marc., ἐκφύῃ vulg.; — οἰδίσκηται etiam Marc.; — σεῦτλα de meo dedi pro vulg. τεῦτλα; — προστιθέτω cod θ.; — μάλιστ᾽ ἂν E. H. θ. Marc., μάλιστα ἂν vulg.; ἐκφυγγάνοι pro vulg. subiunctivo multi alii et Marc.; — ὀλίγοι E. H. θ. Marc., Littr. pro vulg., quam e V. notavi.

27. ἑτ. κυν. — χαλεπῶς.] σιηγόνια recepi ex E. H. Marc. σιαγόνια cett.

ὅταν δὲ — τῆς πτισάνης.] μέν om. K., ut V.; — προσβαλέειν Parr. sex et Marc.; — τὸν αὐτὸν τρόπον ὥσπερ ἄνωθεν εἴπομεν vulg., equidem dedi lect. codd. E. H. θ. Marc.; — σιηγ. Littr. ex θ.; — τὸ ἀπὸ τῶν φ. — διδόναι suppletum est a Littr. ex θ., ubi τὸ δέον τῶν φ., quod emendavit e similibus § 30. obviis; etiam in Marc. ista deficiunt; — ῥυμφ. Ald., Parr. sex, Marc., ῥοφ. vulg.

ἢν δὲ — πρόσθεν.] τὰ τοιαῦτα vulg., ταῦτα H. I. J. K. θ. Marc., Littr.; — τὸ σίαλον ante ταῦτα E. θ. Marc.; ἔῃ pro ἐξίῃ H. Marc.

ἢν δέ οἱ ἐς τὰ στ. — ἐκφεύγουσι.] κολοκύντη F. G.,

θεα τράπηται ἢ ἐς τὸν τράχηλον τὸ φλέγμα, σεῦτλα ἢ [1] κολοκύντας καταταμὼν, ἐμβαλὼν [2] ἐς ὕδωρ χλιαρὸν ἐπιτιθέσθω καὶ πινέτω ψυχρὸν, ὅκως τὸ σίαλον εὐπετέστερον ἀποχρέμπτηται· ὅταν δ' ἐξοιδήσῃ ἐς τὰ στήθεα, οἱ πλέονες ἐκφεύγουσι. Ἢν δὲ τῆς φάρυγγος καθεστηκυίης καὶ τῶν οἰδημάτων, στραφῇ ἐς τὸν πνεύμονα ἡ νοῦσος, πυρετὸς εὐθὺς ἐπ' οὖν ἔλαβε καὶ ὀδύνη τοῦ πλευροῦ καὶ ὡς ἐπιτοπολὺ ἀπέθανε, ἐπὴν τοῦτο γένηται· [3] ἢν δ' ὑπερφύγῃ ἡμέρας πέντε, ἔμπυος γίγνεται, ἢν μή μιν βὴξ [4] ἐπιλάβῃ αὐτίκα· ἢν δ' ἐπιλάβῃ, ἀποχρεμψάμενος καὶ ἀποκαθαρθεὶς ὑγιὴς γίγνεται. Τούτῳ ἔστ' ἂν [5] μὲν ἡ ὀδύνη τὸ πλευρὸν ἔχῃ, χλιαίνειν τὸ πλευρὸν καὶ προσφέρειν [6] ὅσαπερ εἰ περιπνευμονίῃ ἔχοιτο· ἢν δ' ὑπερφύγῃ τὰς πέντε ἡμέρας καὶ ὁ πυρετὸς ἀνῇ, ἡ δὲ βὴξ ἔχῃ, τὰς μὲν πρώτας ἡμέρας ῥυφήμασι [7] διαχρῆσθαι· ἐπὴν δὲ τῶν σιτίων ἄρξηται, ὡς λιπαρώτατα καὶ ἁλυκώτατα ἐσθίειν· ἢν δέ οἱ ἡ βὴξ μὴ ἔῃ, ἀλλὰ γιγνώσκῃς ἔμπυον γενόμενον, δειπνήσας, ἐπὴν μέλλῃ καθεύδειν, σκόροδα ὠμὰ τρωγέτω ὡς πλεῖστα καὶ [8] ἐπιπινέτω οἶνον οἰνώδεα ἀκρητέστερον· καὶ ἢν μὲν οὕτως οἱ ῥαγῇ [9] τὸ πῦον· ἢν δὲ μὴ, τῇ ὑστεραίῃ λούσας θερμῷ θυμιᾶσαι, καὶ ἢν ῥαγῇ, ἰῆσθαι ὥσπερ ἔμπυον.

cucurbitas concisas in aquam calidam coniectas adponito et frigidam bibat, ut sputum facilius exscreetur; cum vero tumor in pectore extuberat, plures evadunt. At si faucibus et tumoribus sedatis ad pulmonem morbus versus fuerit, confestim febris et lateris dolor insuper corripit, quod ubi acciderit, plerumque moritur. Sin autem dies quinque effugerit, purulentus evadit, nisi ipsum confestim tussis corripuerit, quae si corripuerit, exscreato et repurgato sputo convalescit. Huic, quamdiu lateris dolor detinet, latus calefaciendum et offerenda, quae offerres si pulmonis inflammatione laboraret. Quodsi dies quinque superarit et febris remiserit, tussis vero detineat, primis quidem diebus sorbitionibus utatur. Cum vero cibos sumere occoeperit, quam pinguissimos et maxime salsos edat. At si tussis non adsit, verum purulentum fieri cognoscas, ubi coenaverit, cumque dormire volet, allia quam plurima cruda edat et vinum generosum meracius superbibat. Quodsi sic quidem ei pus eruperit, bene habet, sin minus, postridie, ubi calida laveris, suffitum exhibeto et si eruperit, velut purulentum curato.

κη'. Ἑτέρη κυνάγχη. Φλεγμαίνει τοὔπισθεν τῆς γλώσσης καὶ τὸ [10] κλῇθρον τὸ [11] ὑπὲρ

28. Alia angina. Linguae pars posterior inflammatione tentatur et operculum quod supra

[1] κολοκύντην. — [2] ἐς ὕδωρ χλιαρὸν ἐπιρρυμφανέτω καὶ π. ψ. — [3] ἢν δὲ — ἔμπ. γίν. om. — [4] ἐπιλάβῃ αὐτίκα, ἢν δὲ ὑπολάβῃ ὑποχρ. κ. τ. λ. [5] μέν om. — [6] ὅσα τῇ περιπνευμονίῃ· ἢν δὲ κ. τ. λ. — [7] δεῖ χρῆσθαι. — [8] πινέτω. — [9] τὸ πῦον — ῥαγῇ om. — [10] κλεῖθρον. — [11] ὑπό.

Cf. lect. V.; — (ἐμβαλὼν Marc.) ἐς ὕδωρ χλιαρὸν ἐπιροφανέτω (ἐπιρυμφ. Ald., Parr. sex, Marc.) καὶ πινέτω ψυχρόν vulg., ἐμβάπτων ἐς ὕδωρ ἐπιρριπτέτω καὶ πινέτω K.' — Littréus: ἐς ὕδωρ ψυχρόν de suo scripsit et ἐπιτιθέσθω pro ἐπιροφανέτω conferens postrema capituli antecedentis. Equidem ἐπιτιθέσθω vere eum reponere arbitror, sed vulgatum χλιαρόν tangere non audeo propter seqq. ὅταν δὲ ἐξοιδήσῃ κ. τ. λ., quippe si ab eiusmodi re salutem exspectaverit, vix frigidum epithema commendaverit. Littr. ὅκως ex θ., ὅπως cett.; εὐπετέστατα E. θ. Marc.; — δ' ἐξοιδ. E. H. δὲ ἐ. cett.; — οἱ πλεῦνες E. H. (sine οἱ), Marc.

ἢν δὲ τῆς φ. — ὑγιὴς γίγνεται.] τρεφθῇ E. H., in quo al. m. στραφῇ, Q.' θ. Marc., Lind., Mack.; — εὐθύς omm. H., ubi rest. al. m., Marc.; — ἐπανέλαβε cett., ἐπουνέλαβε Marc.; ἐπήν E. H. Marc., Littr., ἐπάν vulg.; — omittuntur eadem, quae in V., in Parr. quinque; — δ' ἐπιλ. E., δὲ ἐπιλ. H. a correctoris m., P.' θ., — vulgatam e V. notavi; ἀποχρ. de meo dedi pro vulgato, quod e V. adscripsi.

τούτῳ — ἔμπυον.] τούτῳ de meo scripsi, τοῦτον cett.; — μέν E. H. Marc., Littr., cett. omm.; ὅσα τῇ περιπλευμονίῃ vulg., sed ὅσαπερ εἰ sine τῇ cod. θ. Littr., nempe περ εἰ ante περι periit, articulus insiticius est in vulg.; — ἔχοιτο H. θ. Marc., Littr., vulgo abest; — ἢν δ' ὑπερφ. E. H. Marc. δέ plene cett.; — ῥοφήματα vulg. ῥυφ. Marc. Pro διαχρῆσθαι Vossiani lect. fert etiam L., recepit eam Lind.; — ἢν δὲ οἱ ἡ βήξ est lectio cod. θ. pro vulg. ἢν δέ τοι βήξ. Recte δειπνήσας Littr. pro vulgato accusativo. Vulgo ἐσθιέτω ὠμά, sed recepi lect. codd. E. H. Marc.; simplex πινέτω, ut V., quinque Parr.; — καί ante ἢν μέν omm. H., ubi rest., θ. Marc.

28. ἑτέρη κυν. — οἱ ῥέει.] κλῇθρον Gal. in Gloss. θ. Marc., Mack., Littr., vulgata ut V.; — ὑπὸ τῷ βρόγχῳ vulgo, ὑπὸ τὸν βρόγχον F. L. Lind., Littr. — Repudiat hic Weigelii in suppl. ad Lex. Schneid. in voce κλεῖθρον coniecturam, quam

τὸν βρόγχον καὶ οὐ δύναται καταπίνειν τὸ σίαλον, οὐδ' ἄλλο οὐδέν· ἢν δ' ἀναγκασθῇ, διὰ τῶν ῥινῶν οἱ ῥέει. Ὅταν οὕτως ἔχῃ, τρίψας μίνθην χλωρὴν καὶ σέλινον καὶ ὀρίγανον καὶ νίτρον καὶ τῆς ῥόου τῆς ἐρυθρῆς, μέλιτι διεὶς, παχὺ ποιέων, ἐγχρίειν τὴν γλῶσσαν ἔσωθεν, [1] ᾗ ἂν οἰδέῃ· ἔπειτα ἀναζέσας σῦκα, [2] ἀποχέας τὸ ὕδωρ, τρίψας τῆς ῥόου, ὀλίγην διεῖναι τῷ συκίῳ τούτῳ καὶ ἀναγαργαρίζειν, ἐὰν δύνηται· ἢν δὲ μὴ, διακλύζεσθαι· πίνειν δὲ διδόναι τὸ ἀπὸ τῶν κρίμνων ὕδωρ· ἔξωθεν δὲ τὸν αὐχένα καὶ τὰ σιηγόνια καταπλάσσειν ἀλήτῳ ἐν οἴνῳ καὶ ἐλαίῳ ἕψοντα χλιαρῷ καὶ ἄρτους προστιθέναι θερμούς. Ἀποπυΐσκεται γὰρ ὡς τὰ πολλὰ ἐν τῷ [3] κλήθρῳ καὶ ἢν μὲν ῥαγῇ αὐτόματον, ὑγιὴς γίγνεται· ἢν δὲ μὴ ῥηγνύηται, ψηλαφήσας τῷ δακτύλῳ ἢν μαλθακὸν ἔῃ, σιδήριον ὀξὺ προσδησάμενος πρὸς τὸν δάκτυλον τρῆσαι. Ταῦτα ποιήσαντι [4] ὑγιέες γίγνονται· ἡ δὲ νοῦσος αὕτη ἥκιστά ἐστι θανατώδης.

κθ'. Σταφυλή. Ἢν σταφυλὴ ἐν τῇ φάρυγγι γένηται, ἐμπίπλαται ἄκρος ὁ γαργαρεὼν ὕδατος καὶ γίγνεται στρογγύλος τὸ ἄκρον καὶ διαφανὴς καὶ ἐπιλαμβάνει τὴν πνοιὴν, καὶ ἢν φλεγμήνῃ τὰ σιαγόνια ἔνθεν καὶ ἔνθεν, ἀποπνίγεται· ἢν δὲ αὐτὸ ἐφ' ἑωυτοῦ γένηται, τούτων μὴ [5] φλεγμηνάντων, ἧσσον ἀποθνήσκει. Ὅταν οὕτως ἔχῃ, λαβὼν τῷ δακτύλῳ τὸν γαργαρεῶνα, ἄνω ἐς τὴν

bronchum est, neque salivam, neque aliud quidquam devorare potest, sed si cogatur, ei per nares effluit. Cum sic habuerit, mentham viridem, apium, origanum, nitrum et rhois rubri portionem terito, melle subigito, iisque crassioribus redditis linguam interiore parte qua intumescit illinito. Deinde ficus aqua decoquito, rhois triti parvam portionem hoc ficuum decocto macerato, eoque si possit pro gargarismate utatur, sin minus, os eo colluat. Aquam vero, in qua crassiores farinae hordeaceae partes maceratae fuerint, potui exhibeto. Exteriore autem parte collo et maxillis cataplasma ex farina calida in vino et oleo imponito et panes calidos admoveto. Ut plurimum enim suppuratio fit in operculo, quae si sponte eruperit sanus evadit, sin minus, ubi digito immisso contrectaveris an molle sit, acuto ferramento ad digitum alligato perforato. Quo facto convalescunt; morbus autem minimum letalis est.

29. Uva. Si uva in faucibus oriatur, summus gurgulio aqua impletur, eiusque extrema pars rotunda et pellucida redditur, respirationemque intercipit. Quodsi maxillae utraque ex parte inflammatione tentatae fuerint, strangulatur. Sin vero citra harum inflammationem haec affectio per se oriatur, minus perit. Cum sic habuerit, gurgulionem digito apprehensum et sursum ad palatum adpressum extrema parte

[1] οὗ. — [2] καὶ ἀποξέσας ἐς ὕδωρ τρίψας — [3] κλείθρῳ. — [4] πολλοὶ ὑγιαίνουσι. — [5] φλεγμενόντων.

recepi, quum ὑπό vel cum accus. ineptum sit; — οὐδ' ἄλλ' οὐδέν H.; pro οἱ ῥέει Ald. Parr. multi, θ. Marc. οἰδέει.

ὅταν — θερμούς.] νίτρον E. K.; — ἐσχρίειν cod. θ. Mack. ἐγχέειν F. G.; — οὗ ἂν οἰδ. vulg., οὗ omm. H. Marc., ᾗ ἂν οἰδέῃ cod. θ. Mack., Littr. Post σῦκα vulgo καὶ (καί omm. H., ubi rest. al. m., θ., Marc., Mack. Littr.) ἀποζέσας (ἀποξέσας Marc. ἀποχέας cod. θ., Mack., Littr.) ἐς (ἐς omm. E. H., ubi rest., θ. Marc., Mack., Littr.) ὕδωρ. — Hinc Littréi lectionis, quam sequor, origo patet. — Lind. διεῖναι pro vulg. διῆναι; — ἐὰν δύνηται ἀναγ. sine καί E. H. P.' θ. Marc.; σιηγόνια E. H. Marc., Littr., σιαγ. vulg.; — ἔχοντας F. G.

ἀποπυΐσκεται — θανατώδης.] κλήθρῳ θ. Mack., Littr., κληίθρωι Marc., vulg. e V. notavi; — ῥηγνύηται E. H. θ. Marc., Littr., ῥήγνυται vulg.; — μαλακόν Marc. θ.; ᾗ E. H. θ.: — πρὸς δάκτ. Ald. E. G. K. Marc.; — τρῆσαι vulgo, τύψαι cod. θ., τρύψαι al. m. τύψαι H., τρίψαι Marc.; itaque fuit lectio τρῆσαι et altera τύψαι, cuius corruptas formas cernimus in codd.; — mihi quoque illa antiquior esse videtur. Post τρῆσαι addunt τοῖς πλείστοισι E. θ. Marc.; — in ὑγιέες γίνονται habemus lect. ex H. θ. a Littréo receptam, quam Marc. item fert; — ἐστι om. H., in quo rest. al. m., Marc.

29. σταφυλὴ — ἀποθνήσκει.] ἢν σταφυλίς vulg., ἢν σταφυλή E. H., in quo vulg. al. m. rest., J. L. θ. Marc., Voss., Lind., Mack., Littr.; — γένηται ἐν τῇ φ. E. H. θ.; — φλεγμαίνῃ vulgo; φλεγμήνῃ E. H. I. K. Marc., Lind.; — σιηγόνια Mack. de suo, uti videtur; — ἐφ' ἑωυτοῦ pro vulg. ὑφ' ἑ. Parr. quatuor, θ. Marc., Lind., Mack., Littr.; — φλεγμηνάντων e pluribus libris Littr., licet in duobus, sicuti in Marc., φλεγμηνόντων scribatur, φλεγμαινόντων vulg.

ὅταν — λούεσθαι.] ἄνω omm. F. G.; — ἀποπιάσας. ut V., Parr. quinque; — ἀποτεμνέειν vulg., unde liquet διαταμέειν, quod θ. fert et a Mack., Littr. receptum est, olim scriptum fuisse, διατεμέειν Marc.; — τῷ ἀπὸ τ. φ. Lind. — Pro φύλλων fortasse φυλλίων, aut φυλλείων legendum pu-

ὑπερῴην [1] ἀποπιέσας, [2] διαταμέειν ἄκρον· ἔπειτα διδόναι ἀναγαργαρίζειν τὸ ἀπὸ τῶν φύλλων· λείχειν δὲ ἄλητον ψυχρὸν καὶ ὕδωρ ἐπιπίνειν καὶ μὴ λούεσθαι.

λ'. [3] Ἀντιάδες. Ἢν ἀντιάδες γένωνται, ξυνοιδέει ὑπὸ τὴν γνάθον ἔνθεν καὶ ἔνθεν καὶ ψαυόμενον σκληρόν ἐστι ἔξωθεν καὶ ὁ γαργαρεὼν ὅλος φλεγμαίνει. Ὅταν οὕτως ἔχῃ, καθεὶς τὸν δάκτυλον διωθέειν τὰς ἀντιάδας, πρὸς δὲ τὸν γαργαρεῶνα προσχρίειν ἄνθος χαλκοῦ ξηρὸν καὶ ἀναγαργαρίζειν [4] τῷ ἀπὸ τῶν φύλλων εἱληθερέϊ· ἔξωθέν τε καταπλάσσειν, ᾗ ἂν ἀποιδέῃ, ὠμήλυσιν, ἐν οἴνῳ καὶ ἐλαίῳ ἑψῶν, χλιαρήν. Ἐπὴν δέ σοι δοκέωσι τὰ φύματα μαλακὰ εἶναι, ἔσωθεν ἀφασσόμενα ὑποτύψαι μαχαιρίῳ· ἔνια δὲ καὶ αὐτόματα καθίσταται.

λα'. [5] Ὑπογλωσσίς. Ἢν ὑπογλωσσὶς γένηται, ἡ γλῶσσα οἰδίσκεται καὶ τὸ ὑποκάτω καὶ τὸ ἔξω ψαυόμενον σκληρόν ἐστι καὶ τὸ σίαλον καταπίνειν οὐ δύναται. Ὅταν οὕτως ἔχῃ, σπόγγον ἐς ὕδωρ θερμὸν ἐμβάπτων προστιθέναι καὶ τὴν ὠμήλυσιν ἕψων ἐν οἴνῳ καὶ ἐλαίῳ καταπλάσσειν ἔξω, ᾗ ἂν ἀποιδέῃ· ἀναγαργαριζέτω δὲ τῷ συκίῳ, καὶ μὴ λούεσθαι· ἐπὴν δὲ διάπυον γένηται, τάμνειν· ἐνίοτε δὲ αὐτόματον ἐκρήγνυται καὶ καθίσταται οὐ τμηθέν· ἐπὴν δ' ἔξω ἀποπυήσῃ, διακαῦσαι.

λβ'. [6] Φλέγμα ξυστὰν ἐς τὴν ὑπερῴην. Ἢν δὲ φλέγμα ξυστῇ ἐς τὴν ὑπερῴην ἀποιδέει καὶ ἐμπυΐσκεται. Ὅταν οὕτως ἔχῃ, καίειν τὸ φῦμα· [7] ἐπὴν δ' ἐξίῃ τὸ πῦον κλύζειν τὸ λοιπὸν, πρῶτον μὲν νίτρῳ καὶ ὕδατι

praecidito. Deinde herbarum hortensium odorarum et condimentis usurpatarum decoctum pro gargarismate dato et farinam frigidam delingendam aquamque superbibendam, neque lavet.

30. Tonsillae. Si tonsillae oriantur, sub maxillis ex utraque parte tumor fit, qui ad contactum durus est, et totus gurgulio inflammatione vexatur. Cum sic habuerit, immisso digito tonsillas protrudito, ad gurgulionem vero aeris florem siccum illinito et herbarum hortensium odoratarum decoctum insolatum pro gargarismate exhibeto et extra, qua parte tumor est, hordeaceam farinam in vino et oleo coctam in cataplasmate tepidam admoveto. Ubi vero tubercula mollia esse videbuntur, intus contrectata scalpello pertundito. Quaedam tamen etiam sua sponte sedantur.

31. Hypoglossis. Si hypoglossis nascatur, lingua intumescit, parsque sub ipsa et externa ad contactum dura est et salivam devorare non potest. Cum sic habuerit, spongiam calida madefactam apponito et farinam hordeaceam vino et oleo incoctam parte exteriore, qua intumescit, in cataplasmate admoveto, ficuum decoctum pro gargarismate dato, nec lavato. Ubi vero purulentum fuerit, secato. Quandoque autem sua sponte erumpit et citra sectionem considit. Cum vero parte externa suppuraverit, inurito.

32. Pituita in palato consistens. Si vero pituita in palato constiterit, intumescit et suppurat. Cum sic habuerit, tuberculum urito; ubi pus exierit, reliquum eluito, primum quidem nitro et aqua tepida, deinde vino. Postquam

[1] ἀποπιάσας — [2] διατεμνέειν. — [3] περὶ ἀντιάδων. — [4] τό. — [5] ἐὰν ὑπὸ γλωττῆς γίνεται. — [6] εἰ φλέγμα συστῇ εἰς τὴν ὑπερώην. — [7] ἐπὴν — οἴνῳ deëst.

tat Littr. collato Gal. Gl. in φύλλα et φύλλια. Fieri possit, ut olim alius aliud quid scripserit.

30. ἀντιάδες — φλεγμαίνει.] ἀντ. om. θ.; — eandem inscr., quam V. fert, multi Parr. habent.

ὅταν — χλιαρήν.] τῷ ἀπὸ τ. φ. E. H. θ. Marc., Littr. τὸ ἀπό vulg., sed tamen εἱλιθέρει; — ἔξωθεν δέ Lind.; — ὠμῇ λύσει quinque Parr.; — ἑψῆν Ald. ἕψειν F. G. ἐψωεῖ (sic) Voss.

ἐπὴν — καθίσταται.] ἀφασσωμ. vulg., sed E. H. K. θ. Marc. ἀφασσόμενα, quod recte dederant Lind., Mack.; — E. καθίστανται.

31. ὑπογλ. — δύναται.] ὑπ. om. H. θ.; — eadem inscr., quam V., ferunt Parr. quatuor; περὶ ὑπογλ. K.

ὅταν — διακαῦσαι.] ὠμὴν λύσιν H.; — αὐτόματα E.; — ῥήγνυται cod. θ.; δ' ἔξω E. H. δὲ ἔ. cett.

32. φλέγμα — ξυστὰν — ἐμπυΐσκεται.] φῦμα ξυστάν Lind.; — φλέγμα — ὑπερῴην omm. H. θ.: — eadem inscr.: quae in V., in E. I. K., nisi quod ἤν, ἐάν pro εἰ ferunt. Lind.: ἢν δὲ φῦμα ξυστῇ.

ὅταν — ὑγιὴς γένηται.] δ' ἐξίῃ E. H. δέ plene cett.; — νίτρῳ E. K.; — δ' ἐκκλ. cod. θ., δέ plene cett., nisi quod δέ om. G.; ἐκκλύσῃς cum θ. scripsi, ἐκκλύσῃ vulgo; —

χλιαρῷ, ἔπειτα οἴνῳ, ἐπὴν δ' ἐκκλύσῃς, σταφίδα τρίψας λευκὴν, ἐξελὼν τὸ γίγαρτον, ἐντιθέναι ἐς τὸ καῦμα· ἐπὴν δ' ἐκρυῇ, οἴνῳ ἀκρήτῳ χλιαρῷ διακλυζέσθω καὶ ἐπὴν μέλλῃ ἐσθίειν [1] τι ἢ ῥυμφάνειν, σπόγγιον ἐντιθέναι· ταῦτα ποιέειν ἔστ' ἂν ὑγιὴς γένηται.

λγ'. [2] Πώλυπος. Ἢν [3] πώλυπος γένηται ἐν τῇ ῥινὶ, ἐκ μέσου τοῦ χόνδρου κατακρέμαται οἷον γαργαρεὼν καὶ ἐπὴν ὤσῃ τὴν πνοιὴν, [4] προέρχεται ἔξω καὶ ἐστὶ μαλθακὸς, καὶ ἐπὴν ἀναπνεύσῃ, οἴχεται ὀπίσω καὶ φθέγγεται σομφὸν, καὶ ἐπὴν καθεύδῃ, ῥέγχει. Ὅταν οὕτως ἔχῃ, σπόγγιον καταταμὼν στρογγύλον, ποιήσας οἷον σπεῖραν κατειλίξαι λίνῳ αἰγυπτίῳ καὶ ποιῆσαι σκληρόν· εἶναι δὲ δεῖ μέγεθος ὥστε ἐσαρτίζειν ἐς τὸν μυκτῆρα καὶ δῆσαι τὸ σπόγγιον λίνῳ [5] τετραχόθι· μῆκος δ' ἔστω ὅσον πυγονιαῖον ἕκαστον· ἔπειτα ποιήσας αὐτῶν μίαν ἀρχὴν, [6] ῥάβδον λαβὼν κασσιτερίνην λεπτὴν ἐκ τοῦ ἑτέρου κύαρ ἔχουσαν διείρειν ἐς τὸ στόμα τὴν ῥάβδον ἐπὶ τὸ ὀξὺ καὶ ἐπὴν λάβῃς, διέρσας διὰ τοῦ κύαρος [7] τὸ λίνον, ἕλκειν ἔστ' ἂν λάβῃς τὴν ἀρχήν· ἔπειτα χηλὴν ὑποθεὶς ὑπὸ τὸν γαργαρεῶνα ἀντερείδων ἕλκειν ἔστ' ἂν ἐξειρύσῃς τὸν πώλυπον. Ἐπὴν δ' ἐκσπάσῃς καὶ παύσηται τὸ αἷμα ῥέον, περιθεὶς περὶ [8] τὴν μήλην ξηρὸν ὀθόνιον μοτῶσαι καὶ τὸ λοιπὸν ἀναζέσαι τοῦ ἄνθους ἐν μέλιτι καὶ χρίων τὸν μοτὸν [9] ἐντιθέναι ἐς τὴν ῥῖνα· καὶ ἐπὴν ἤδη τὸ ἕλκος ἀλθαίνηται, μόλιβδον

elueris, uvam albam passam exemptis acinis tritam usturae loco imponito, cumque effluxerit, vino meraco tepido colluat et ubi quid edere aut sorbere volet, spongiam immittito, istaque donec convalescat facito.

33. Polypus. Si polypus oriatur in naso ex media cartilagine velut gurgulio dependet et ubi spiritum expellit, foras mollis progreditur, ubi vero attrahit, regreditur, vocem obscuram et inter dormiendum stertorem facit. Cum sic habuerit, spongiam rotundam concisam et in orbem velut spiram contortam lino Aegyptio convolvito et duram reddito. Sit autem ea magnitudine, quae naribus sit adaptata. Spongiam quadruplici lineo filo, quod cubitali sit longitudine unumquodque, deligato. Deinde ea in unum principium coacta sumptaque tenui virga stannea, quae altera parte acus foramen habeat, virgam acuta sui parte in os transmittito et transmisso per foramen lineo filo eam apprehensam trahito, donec filorum principium prehendas. Deinde specillo ad ungulae similitudinem bisulco, gurgulioni subdito, obnixe trahito, donec polypum eduxeris. Cumque extraxeris et sanguis fluere desierit, siccum linamentum specillo obvolutum immittito et de cetero, aeris flore cum melle fervefacto, linamentum illitum in nares imponito. Ulcere iam percurato, plumbum ita efformatum ut ad ulcus pertingat, melle illitum, donec convalescat, apponito.

[1] τι om. — [2] ἐὰν εἰς τὴν ῥίναν πόλυπος γίνεται. — [3] πόλυπος. — [4] προσέρχ. — [5] τετράχοθεν. — [6] λ. ῥ. — [7] τὸν λ. — [8] τήν om. — [9] προστιθέναι.

ἀσταφίδα E. H. θ. Marc., Lind.; — δ' ἐκρυῇ E. H., δέ plene cett.; — διακλυζέσθω E. H. θ. Marc., διακλυζέτω vulgo; — ἐσθίειν E. H. I. J. K. Marc., τι ἐσθ. vulg.; — ῥυμφ. Ald., Parr. sex. Marc., ῥοφ. vulgo.

33. Πώλυπος — ῥέγχει.] πωλ. omm. H. θ.; eadem inscr., quam V. fert, est in Parr. quinque, sed recte scripta ἐὰν εἰς τὴν ῥῖνα πωλ. γένηται; — περὶ πόλυπος ἐν ῥινί K. — Vulgo τῶν χόνδρων, sed sing. num. ferunt E. H. I. Q.' θ. Marc., Lind., eumque dandum esse docent §§ seqq.; — κρεμᾶται L. κάτω κρεμᾶται Lind.; — προσέρχεται cett., de meo emendavi; — ἐστι μαλθακόν cett., ego masculinum dedi, K. utrumque vocabulum om.

Ὅταν — πώλυπον.] Vulgo καὶ ποιήσας, sed copulam omisi cum H., in quo rest. al. m., et θ.; — σπεῖραν E. H. J. K. σπείραν vulg.: — κατελίξαι cod. θ. Mack.; εἶναι δὲ δεῖ de meo scripsi, cett. δεῖ omm., quo hic locus carere non posse videtur. — ὥστ' E. H. ὥστε cett.; — ἐπαρτίζειν L. θ. Mack., Littr., equidem vulg. longe praefero; — δῆσαι τὸν σπόγγον K.; — δ' ἔστιν E. H., δέ plene cett.; — πυγωνιαῖον E. θ. Mack.; — λάβῃς θ. Mack. λάβῃ cett. — Ad κύαρ in H. idem schol. in marg., quod in Marc. a prima m.: κύαρ τὸ τῆς ῥαφίδος τρῆμα καὶ τὸ τῆς κώπης τοῦ μύλου (τῆς μήλης?); — Vulgo τὸν λίνον, sed τὸ λ. H., ubi al. m. τόν, Marc., Littr.; τὸ λίνον om. θ., qui aliis locis αὐτὸν, τοῦτον opportune omittit, et qui fortasse hic veram lect. refert, servavi tamen lectoris gratia vulgatam, quum διείρειν primum de specillo, tum de filis ponatur, — ἔστ' ἂν λάβῃ vulg.; — ἔστ' ἂν ἐξειρύσῃς etiam Marc., e vulg. ἄν exciderat, sed dudum restitutum est.

ἐπὴν — γένηται.] ἐπὴν δὲ αὐτὸν ἐκσπ. vulgo, δ' E. H., αὐτόν omm. E. H., in quo rest. post ἐκσπ., θ. Marc., Mack.; — ἐντιθέναι E. H. θ. Marc., Mack., Littr., προστιθ. vulg.; — μόλυβδον E. I. Marc.; σοι de meo scripsi pro cett. τοι, haec saepius in his libris confunduntur. — καθίκῃ vulg. καθίκει

ποιησάμενος ὥς σοι [1] καθήκῃ πρὸς τὸ ἕλκος, μέλιτι χρίων προστιθέναι ἔστ' ἂν ὑγιὴς γένηται.

λδ'. Ἕτερος [2] πώλυπος. Ἐμπίπλαται ἡ ῥὶς κρέασι καὶ ψαυόμενον τὸ κρέας σκληρὸν φαίνεται καὶ διαπνεῖν οὐ δύναται διὰ τῆς ῥινός. Ὅταν οὕτως ἔχῃ, ἐνθέντα χρὴ σύριγγα καῦσαι σιδηρίοισι ἢ τρισὶ ἢ τέσσαρσι· ἐπὴν δὲ καύσῃς, ἐμβάλλειν τοῦ ἐλλεβόρου τοῦ μέλανος τρίψας καὶ ἐπὴν ἐκσαπῇ καὶ ἐκπέσῃ τὸ κρέας, μοτοὺς τοὺς λινέους χρίων τῷ μέλιτι ξὺν τῷ ἄνθεϊ ἐστιθέναι· ἐπὴν δ' ἀλθαίνηται, τοὺς μολίβδους χρίων τῷ μέλιτι ἐστίθει, ἔστ' ἂν ὑγιὴς γένηται.

34. Alius polypus. Nasus carne impletur, quae ad contactum dura apparet, neque per nares respirare potest. Cum sic habuerit, immissa fistula ferramentis tribus aut quatuor inurere oportet. Post ustionem veratrum nigrum tritum iniicito et ubi caro computruerit et exciderit, penicillum lineum melle cum aeris flore illitum imponito. Cumque ulcus percuratum fuerit, plumbeas laminas melle illitas indito, donec convaluerit.

λε'. Ἕτερος πώλυπος. Ἔσωθεν ἐκ τοῦ χόνδρου προέχει κρέας στρογγύλον· ψαυόμενον δὲ μαλθακόν ἐστι. Ὅταν οὕτως ἔχῃ, χορδὴν λαβὼν νευρίνην, βρόχον αὐτῇ σμικρὸν ποιήσας, κατειλίξαι λίνῳ λεπτῷ, ἔπειτα τὴν ἀρχὴν τὴν ἑτέρην διεῖναι διὰ τοῦ βρόχου, μέζονα ποιήσας τὸν βρόχον· ἔπειτα τὴν ἀρχὴν διεῖραι διὰ τῆς ῥάβδου τῆς κασσιτερίνης· ἔπειτα ἐνθεὶς τὸν βρόχον ἐς τὴν ῥῖνα, τῇ μήλῃ τῇ ἐντετμημένῃ περιτείνας περὶ τὸν πώλυπον τὸν βρόχον, ἐπὴν περικέηται, διείρειν τὴν ῥάβδον ἐς τὸ στόμα καὶ λαβὼν ἕλκειν τὸν αὐτὸν τρόπον, τῆς χηλῆς ὑπερειδούσης· ἐπὴν δ' ἐξελκύσῃς, ἰῆσθαι ὥσπερ τὸν πρόσθεν.

35. Alius polypus. Interiore ex parte caro rotunda ex cartilagine prominet, ad contactum vero mollis est. Cum sic habuerit, nerveo fune accepto parvum laqueum facito, tenui lino convolvito, deinde alterum initium per laqueum transmittito, maiore laqueo facto, mox initium per virgam stanneam traiicito. Postea immissum in nares laqueum per specillum incisum circum polypum extendito, quo obducto, virgam per os traiicito eamque correptam trahito, specillo instar ungulae bisulco ad eundem modum sub gurgulione obfirmato. Ubi vero extraxeris, velut superiorem curato.

λϛ'. Ἕτερος πώλυπος. Ἔσωθεν παρὰ τὸν χόνδρον ἀπό τι σκληρὸν φύεται καὶ δοκέει μὲν εἶναι κρέας· ἢν δὲ ψαύσῃς αὐτοῦ, ψοφέει οἷον λίθος. Ὅταν οὕτως ἔχῃ, σχίσαντα

36. Alius polypus. Interiore ex parte circa cartilaginem durum quid enascitur, quod caro esse videtur, si vero attigeris, sonat veluti lapillus. Cum ita habuerit, nasum per scalpellum

[1] καθίκη. — [2] πόλυπος et sic semper, non amplius noto.

G., καθίκοι E.; — τοῦτον (τοῦτο H.) μέλιτι χρίων vulg., sed cum θ. pronomen omisi.

34. ἕτερος πώλ. — ῥινός.] πούλ. E. L.; σκληρὸν γίνεται H., in quo φαίν. al. m., θ.

Ὅταν οὕτως — ὑγιὴς γένηται.] τρίψας λεῖον solus θ.; λιναίους omnes excepto Littr., qui emendavit ex Lob. ad Phryn. p. 147.; — χρίων τῷ μέλιτι καὶ τῷ ἄνθει ἐστιθέναι E. H. Marc., χρίων τῷ μέλιτι ἐπιτίθει σὺν τῷ ἄνθει vulg.; equidem illam lect. recipio ξύν pro καί e vulgata scribens; — δ' E. H. Marc., δέ vulg.; τὸν μόλιβδον L., τοὺς μολύβδους E. H. I. J.; — ἐντίθει J.; — ἄχρις ἂν vulg. ἔστ' ἂν E. H. θ. Marc.

35. ἕτερος πώλ. — ἐστι.] πούλ. E. πρόσχει J.

ὅταν — τὸν πρόσθεν.] αὐτῆς cod. θ. pro αὐτῇ; — μέζονα e quinque Parr., Littr. et idem fert Marc.; — pro διεῖραι L. P.' Lind. διεῖναι; — κασσιτ. etiam Marc., per ττ. vulg. — In περὶ τὸν π. τὸν βρ. dedi ordinem verborum ex E. Marc., τὸν βρ. περὶ τὸν π. vulgo; — περικέηται. διείρειν etiam Marc.; — τὴν ῥάβδον om. θ.; — τῆς μήλης de suo, uti videtur, Lind.; — δ' E. H. θ. Marc.

36. ἕτερος — λίθος.] πούλ. E., πόλ. alii; miror vulgatum παρὰ τὸν χόνδρον ἀπό τευ σκληρὸν φύεται et integrum esse haud equidem credo; itaque dedi παρὰ τὸν χόνδρον ἀπό τι σκληρὸν φύεται, ita ut ἀπὸ — φύεται tmesis esset, licet huius figurae exempla alia quam in quibus οὖν interponitur et de quibus dixi, non reperiantur. Videant alii num meliora habeant! — καί om. H., in quo rest., θ.; — οἷα Parr. sex.

ὅταν — μολίβδῳ.] πάλιν omm. H., in quo al. m. rest..

τὴν ῥῖνα σμίλῃ ἐκκαθῆραι, ἔπειτα ἐπικαῦσαι· τοῦτο δὲ ποιήσας, ξυρράψαι πάλιν τὴν ῥῖνα καὶ ἰῆσθαι τὸ ἕλκος τῷ χρίσματι ἐναλείφων ῥάκος ἐντιθεὶς, καὶ ἐπὴν περισαπῇ, ἐγχρίειν τὸ ἄνθος τὸ ἐν τῷ μέλιτι· ἀλθήσκειν δὲ τῷ μολίβδῳ.

divisum expurgato, mox inurito, quo facto rursus nasum consuito et penicillo unguine illito imposito ulcus curato, atque ubi circum putruerit, aeris florem cum melle illinito, plumbea vero lamina immissa percurato.

λζ'. [1] Ἄλλος. Φύεται ἐκ πλαγίου τοῦ χόνδρου ἐν ἄκρῳ οἷον καρκίνια· πάντα δὲ ταῦτα καίειν χρή· ὅταν δὲ καύσῃς, ἐπιπάσαι τοῦ ἐλλεβόρου· ἐπὴν δὲ σαπῇ, καθαίρειν τῷ ἄνθεϊ [2] τῷ ξὺν τῷ μέλιτι· ἀλθήσκειν δὲ τῷ μολίβδῳ.

37. Alius. In cartilaginis summa parte ex obliquo velut cancri parvi exoriuntur, quos omnes inurere oportet; inustis veratrum adspergito. Ubi vero putruerint, aeris flore cum melle exterito, plumbea vero lamina percurato.

λη'. Ἴκτερος. Ἡ χροιὴ μέλαινα γίγνεται [3] καὶ τὸ πρόσωπον, μάλιστα δὲ τὰ ἐσκιασμένα καὶ οἱ ὀφθαλμοὶ χλωροὶ καὶ ἡ γλῶσσα κάτωθεν καὶ αἱ φλέβες αἱ ὑπὸ τῇ γλώσσῃ παχεῖαι καὶ μέλαιναι καὶ ἄπυρος γίγνεται καὶ οὐρέει παχὺ χολῶδες. Ὅταν οὕτως ἔχῃ, πρῶτον μὲν τὰς φλέβας τὰς ὑπὸ τῇ γλώσσῃ ἀποσχᾶν, ἔπειτα λούοντα πολλῷ [4] καὶ θερμῷ, διδόναι πίνειν νῆστι τοῦ ἀσφοδέλου τὰς ῥίζας, [5] ἀποκαθαίρων, ἕψων ἐν οἴνῳ ὅσον πέντε ῥίζας καὶ σέλινα ξυμμίξας ὅσον [6] χεῖρα πλήρεα τῶν φύλλων· ἐπιχεῖν δὲ οἴνου γλυκέος τρία [7] ἡμικοτύλια αἰγιναῖα καὶ λείπειν ἡμικοτύλιον· τοῦτο κιρνὰς [8] ἐν τῷ λουτρῷ διδόναι πίνειν· ἐπὴν δὲ οὐρήσῃ, σιτίοισι χρήσθω διαχωρητικοῖσι καὶ μετὰ τὸ σιτίον ἐρεβίνθους λευκοὺς τρωγέτω καὶ πινέτω [9] οἶνον λευκὸν, [10] πολὺν, ὑδαρέα καὶ σέλινα τρωγέτω ἐπὶ τῷ

38. Morbus regius. Corporis superficies nigricat et facies, praecipue vero partes in umbra latentes, oculi ex virore pallescunt, lingua inferiore parte venaeque sub lingua crassae sunt et nigrae, febre caret et urinam crassam biliosamque reddit. Cum sic habuerit, primum quidem venas sub lingua pertundito, dein dum multa calida lavas, asphodeli radices fere quinque repurgatas et vino incoctas, apii foliis admixtis, quantum manus capere possit, ieiuno bibendas exhibeto; vini autem dulcis tres dimidias heminas Aeginenses affusas ad dimidiam heminam coquito, quam aqua mistam in balneo bibendam dato. Postquam vero urinam reddiderit, cibis alvum subducentibus utatur, post cibum cicer album edat, vinum album, copiosum, aquosum bibat, apium et porrum in cibo comedat. Haec septem diebus faciat et si qui-

[1] ἕτερος πόλυπος. — [2] τῷ om. — [3] καί. — [4] καί om. — [5] ἀποκαθ. — ῥίζας om. — [6] χειροπληθέα. — [7] ἡμισυ κοτύλια. — [8] κἀκτῶν. — [9] ὑδαρέα ὃ. λ. — [10] πολὺν ὑδ. om.

θ. Marc., Mack.; μέλιτι K.' pro χρίσματι; ἐντιθέναι vulgo, ἐντιθείς de meo; — ἀλθήσκειν de meo, ἀλθίσκειν cett.; — μολύβδῳ vulg., μολίβδῳ edd. antt. E. G. I. K. Lind., Mack.

37. ἄλλος — μολίβδῳ.] ἕτερος cod. θ., ἄλλος πούλυπος E., ἕτερος πόλυπος J. K.; — πάντα ταῦτα sine δέ E. H. Marc.; — ἐμπάσαι H. Q.' Marc., Lind.; — τῷ ante ξύν e vulg. exciderat, ex E. H. θ. revocavit Littr., mihi praebet Marc.; — ἀλθήσκειν de meo, ἀλθίσκειν cett.; — articulum ante μολίβδῳ om. E., μολύβδῳ H. J.

38. ἴκτερος — χολῶδες.] ἴκτ. om. H.; ἴκτερος μέλας K.' Pro καὶ τὸ πρ. L. Lind., Mack., Littr., κατὰ τὸ πρόσωπον, quae falsa lectio est: nimirum χροιή non significat *colorem*, sed *corporis superficiem*, quo sensu § 52. καὶ ἡ χροιὴ μέλαινα καὶ ὑποιδαλέη, neque enim color *tumidus* dici potest. Licet fere χροιή *color* reddi soleat et eam interpretationem fere retinuerim, satis iam constat codicum καί bene habere.

ὅταν οὕτως ἔχῃ — καὶ πράσα.] πολλῷ τῷ θ. vulg., alii libri τῷ omm., alii et Marc. καί pro τῷ, quos cum Littr. sequor. — Eadem, quae in V., omm. in Parr. quinque. Recte Littr. ὅσον πέντε pro ceterorum ἴσον πέντε. Porro συμμίξαι H. I. J. Marc. — Lind., quem Mack. sequitur, recepit Vossiani χειροπληθέα, quod quum e nullo ms. a Littréo notetur, neque e Marc. excerptum sit, puto indicio esse iterum Lindanum eo codice usum esse. Dein vulgata, τοῦτο κιρνὰς κἀκ τῶν αὐτῶν διδόναι πίνειν sensu prorsus nullo, sed Marc.: τοῦτο κιρνὰς ἕκτον αὐτῶι διδόναι πίνειν, quod item sensu cassum. Marciani lect. ex aliis libris recepit Littr. et Calvus Latine expressit, Foës. vulgatam Latine retulit, Corn. illud ἕκτον s. κἀκ τῶν in Latinis omissit. Observandum tandem κιρνᾶς ferre edd. antt., E. J. H. — Equidem in ΑΥΤΩΙ latere puto ΛΟΥΤΡΩΙ: nempe quum supra dixerit λούοντα πολλῷ καὶ θερμῷ διδόναι πίνειν, nunc descripta potione eamque parandi ratione dicit τοῦτο κιρνὰς

σιτίῳ καὶ πράσα. Ποιεέτω δὲ ταῦτα ἑπτὰ ἡμέρας καὶ ἢν μέν σοι δοκέῃ ἐν ταύτῃσι ἡ χροιὴ κεκαθάρθαι ἐπιεικῶς· ἢν δὲ μὴ, καὶ ἑτέρας τρεῖς ταὐτὰ ποιεέτω μετὰ δὲ, ἐπισχὼν μίαν, ἢ δύο ἡμέρας, πρόσθες φάρμακον πρὸς τὰς ῥῖνας· μετὰ δὲ [1] φάρμακον πῖσον κάτω, ὑφ' οὗ χολὴν καθαρεῖται, καὶ [2] ἢν μὴ σπληνώδης ἔῃ, ὄνου γάλα, ἢ ὀῤῥὸν μετάπισον. Ταῦτα ποιέων [3] ὑγιὴς γίγνεται.

λθ'. Ἕτερος ἴκτερος. Πυρετὸς λαμβάνει βληχρὸς καὶ [4] τὴν κεφαλὴν βάρος ἔχει, καὶ οἱ πυρετοὶ ἐπαύσαντο οὖν ἐνίοισι· αὐτὸς δὲ γίγνεται χλωρὸς, οἵ τε ὀφθαλμοὶ μάλιστα, καὶ ἀσθένεια καὶ ἀκρασίη τοῦ σώματος, καὶ οὐρέει παχὺ καὶ χλωρόν. Τοῦτον θερμῷ λούειν, καὶ διδόναι πίνειν διουρητικά· ἐπὴν δέ σοι δοκέῃ καθαρώτερος εἶναι καὶ ἡ χροιὴ βελτίων γένηται, πρόσθες φάρμακον πρὸς τὰς ῥῖνας καὶ μετάπισον κάτω· σιτίοισι δὲ ὡς μαλθακωτάτοισι χρήσθω· οἶνον δὲ πινέτω λευκὸν, γλυκὺν, ὑδαρέα. Ταῦτα ποιέων ὑγιὴς [5] γίγνεται.

μ'. [6] Πυρετοὶ ἀπὸ χολῆς. Ἢν χολᾷ ὁ ἄνθρωπος, πυρετὸς αὐτὸν λαμβάνει καθ' ἡμέρην καὶ ἀφίει, ἔχει δὲ μάλιστα τὸ μέσον τῆς ἡμέρης καὶ τὸ στόμα πικρὸν καὶ [7] ὁκόταν ἄσιτος ᾖ, λυπέει αὐτόν· ἐπὴν δὲ φάγῃ, πνίγεται καὶ ὑπ' ὀλίγων [8] τινῶν ἐμπίπλαται καὶ βδελύσσεται καὶ ἐμεσίαι μιν λαμβάνουσι καὶ ἐς τὴν ὀσφὺν βάρος ἐμπίπτει καὶ ἐς τὰ σκέλεα καὶ ὑπνώσσει. Τούτου, ἢν μὲν μετὰ τὸ πῦρ ἐξιδρῷ καὶ οἱ ψυχρὸς καὶ πουλὺς ᾖ,

dem in his cutis moderate tibi purgata esse videatur, sat est, sin minus, aliis tribus idem faciat. Postea vero unius aut alterius diei mora interiecta, medicamentum ad nares admoveto, deinde medicamentum deorsum purgans, ex quo bile purgabitur, propinato; et si non lienosus fuerit, lac asininum aut serum postea bibendum dato. Haec faciens, sanus evadet.

39. Alius morbus regius. Febris levis prehendit, caput gravitas detinet, et nonnullis vel cessat febris, ipse vero ex virore pallidus evadit, praecipueque oculi, debilitas adest et corporis ad motionem impotentia et urinam crassam ac cum virore pallidam reddit. Hunc calida lavato et quae urinam ducunt ei bibenda exhibeto. Ubi vero purior esse et color tibi melior videbitur, medicamento naribus admoto etiam medicamentum deorsum purgans postea bibendum dato. Cibis autem quam mollissimis utatur, vinum album, dulce, aquosum bibat; quibus factis sanus fiet.

40. Febres ex bile. Si quis bile vexetur, febris eum quotidie prehendit et dimittit, potissimum vero medio die detinet, et os amarum est et, cum sine cibo est, eum offendit; ubi vero cibos sumpserit, strangulatur et paucis impletur, eosque aversatur et vomituritione tentatur, ad lumbos et crura gravitas decumbit et in somnum proclivis est. Huic si post febrem frigido et copioso sudore exsudarit, neque febre liberatur, diuturnus morbus evadit; sin

[1] φαρμ. om. — [2] εἰ μὲν σπ. — [3] ὑγιῆ ποιέεις. — [4] τὴν κεφ. om. — [5] γίνηται. — [6] περὶ τῶν ἀπὸ χολῆς γινομένων πυρετῶν. — [7] ὅταν. — [8] τιιων σιτίων.

ἐν τῷ λουτρῷ διδόναι πίνειν, vulgata vero orta est e lectione τοῦτο κιρνᾶν κἂν τῷ λουτρῷ διδόναι πίνειν. — Vulgo χρῆσθαι, sed H. θ. Marc., Mack. χρήσθω.

ποιεέτω — ὑγιὴς γίγνεται.] ἐν ἑπτὰ ἡμέρῃσι vulg., cum Littréo sequor lect. librorum quinque, quam Lind., Mack., item receperant: — μέν οἱ E. H. I. J. K. θ. Lind., Mack., Littr.; — εἰ δὲ μή E.; — καί omm. H., ubi rest. al. m., K. θ. Marc., Mack.; — περὶ τὰς ῥῖνας K.; — πῖσαι cod. θ.; — καθαρεῖται H. Marc., Littr., καθαιρεῖται vulg.; — μὲν σπλην. vulg., μὴ σπλ. codd. a Foës. memorati, θ., Mack., Littr.; — ὑγιὴς γίνεται E. H. Q.' θ. Marc., Lind., Mack., Littr., vulgatam e V. notavi.

39. ἕτερος ἴκτ. — χλωρόν.] ἄλλος ἴ. E., ἕτ. ἴκτ. om. H.; — ἔχει omm. H., in quo rest. al. m., Marc. Post ἐπαύσαντο Ald., septem Parr., Marc. οὖν, quod omnino excidit apud reliquos, ut aliis locis in his libris. Vulgo ἀσθενέει, sed alii et Marc. ἀσθενείη. Solus K. recte ἀκρασίη, vulg. ἀκρησίη.

τοῦτον — γίγνεται.] θερμὸν λ. E.; — διουρητικόν K.; — γένηται om. H., in quo rest. al. m., θ. Marc.; — σιτίοισι χρήσθω sine δέ cod. θ., σ. δὲ χρῆσθαι cett.

40. πυρετοὶ — ὑπνώσσει.] H. θ. omm. inscriptionem, in aliis eadem est, quae in V.; — καί ante ὅταν om. E.; — ἐπὴν δὲ καὶ φάγῃ cod. θ.; — ὑπ' E. H. Marc., ὑπό cett.; — τινῶν σιτίων vulg., sed σιτ. omm. H., in quo rest. al. m., θ. Marc., Littr. Post ὑπνώσσει fert πολλά vulg., sed omm. H., in quo rest. al. m., Marc.

τούτου — κρίνεται.] τοῦτον vulg., τούτου cod. θ.,

καὶ τοῦ πυρετοῦ μὴ ἀπαλλάσσηται, ἡ νοῦσος χρονίη γίγνεται· [1] ἢν δὲ μὴ ἱδρῷ, θᾶσσον κρίνεται. Ὅταν οὕτως ἔχῃ, ἐπὴν γένηται ἐναταῖος, φάρμακον δοῦναι· ἢν γὰρ αὐτίκα ἀρχομένου τοῦ πυρετοῦ διδῷς, ἐπὴν καθαρθῇ, ἐπ' οὖν ἔλαβε ὁ πυρετὸς καὶ αὖτις φαρμάκου δεῖται. Ἐπὴν δὲ τὸ μὲν στόμα μὴ πονέῃ, ἐς δὲ τὴν νειαίρην γαστέρα στρόφος ἐμπίπτῃ, φάρμακον πῖσαι κάτω καὶ μεταπῖσαι γάλα ὄνου ἢ ὀρρὸν ἢ τῶν χυλῶν τινά· ἢν δ' ἀσθενὴς ἔῃ, ὑποκλύσαι. Πρὸ δὲ τοῦ φαρμάκου τῆς πόσιος, [2] ἢν πυρεταίνῃ, ἕωθεν μὲν διδόναι μελίκρητον ὑδαρές· τὴν δὲ ἄλλην ἡμέρην, ἐπὴν ὁ πυρετὸς ἔχῃ, ὕδωρ ὁπόσον ἂν θέλῃ διδόναι πίνειν ψυχρόν· ἐπὴν δὲ ἀνῇ ὁ πυρετὸς, ῥυφᾶν διδόναι πτισάνης χυλὸν, ἢ κέγχρον λεπτὸν καὶ ἐπιπίνειν οἶνον λευκὸν, οἰνώδεα, ὑδαρέα. Ἢν δ' [3] ἔμπυρος ἔῃ καὶ μὴ [4] ἀνίῃ μήτε τῆς νυκτὸς, μήτε τῆς ἡμέρης, ψαυόμενος δὲ ἢν τὰ μὲν [5] ἄνω θερμὰ, ἡ κοιλίη δὲ καὶ οἱ πόδες [6] ψυχροὶ καὶ ἡ γλῶσσα τρηχεῖα, τούτῳ μὴ δὸς φάρμακον, ἀλλ' ὑποκλύζειν μαλθακῷ κλύσματι καὶ διδόναι ῥυμφάνειν τὸν χυλὸν τῆς πτισάνης ψυχρὸν δὶς τῆς ἡμέρης καὶ ἐπιπίνειν οἶνον ὑδαρέα, τὸν δ' ἄλλον χρόνον πίνειν ὕδωρ ὡς ψυχρότατον. Οὗτος ἢν μὲν ἑβδομαῖος ἐξιδρώσῃ καὶ τὸ πῦρ αὐτὸν μεθῇ· ἢν δὲ μὴ, τεσσαρεσκαιδεκαταῖος ἀποθνήσκει ὡς τὰ πολλά.

μα'. Ἄλλος πυρετός. *Ἔξωθεν ἀφασσόμενος ἐστὶ βληχρὸς, ἔσωθεν δὲ καίεται καὶ*

minime exsudarit, citius iudicatur. Cum sic se habeat, ubi nonum diem attigerit, medicamentum purgans exhibeto; si enim statim per febris exordia exhibueris, postquam purgatus fuerit, febris repetit, rursusque medicamento indiget. Cum vero os minime laboret, sed ad imum ventrem tormina decumbant, medicamentum deorsum purgans propinato, posteaque lac asininum aut serum aut succum aliquem bibendum dato; sin debilis sit, alvum infuso subluito. At vero ante medicamenti purgantis potionem si quis febre vexetur, mane quidem aquam mulsam aquosam exhibeto, alio vero die, quum febris detineat, frigidam quantam volet bibendam dato. Cum vero febris remiserit, ptisanae succum aut milium liquidum sorbendum et vinum album, generosum, aquosum superbibendum dato. Quodsi febre detineatur, neque de nocte, neque de die remiserit, et ad contactum superiores quidem partes calidas habeat, venter autem et pedes frigidi sint et lingua aspera, huic medicamentum purgans minime exhibeto, sed molli infuso alvum subluito, et ptisanae succum bis die frigidum sorbendum dato, posteaque vinum aquosum propinato, reliquo vero tempore aquam quam frigidissimam bibendam. Hic si quidem septimo die exsudarit, et febris eum dimiserit, bene habet, sin minus, plerumque decimo quarto die moritur.

41. Alia febris. Exteriore parte ad contactum febris levis est, intus vero ardet, lingua

[1] *ἢν δὲ μὴ — γένηται* om. — [2] *ὅς ἂν π.* — [3] *ἐμπύρετος.* — [4] *ἀνῇ.* — [5] *ἄνωθεν.* — [6] *εἰσὶ ψυχροί.*

τούτῳ Lind.; — *ἢν μὲν μετά* E. H. Marc., *μέν* omm. cett.

ὅταν οὕτως — δεῖται.] *ἐνατ.* H. Marc., *ἐννατ.* vulg.; — *δοῦναι* H. θ. Marc., *διδόναι* cett.; — *διδοῖς* vulg., *διδῷς* Littr.; — *ἐπανέλαβε πυρετός* vulg.; *ἐπουνέλαβε πυρετός* Marc., cuius lect. ita recepi, ut articulum ante *πυρετός* adderem; — *αὖτις* H. Marc.

ἐπὴν δὲ — ὑποκλύσαι.] *ἐπὴν δὲ τὸ μὲν στόμα πικρὸν ἦ* cod. θ.; puto correctionem esse non necessariam. Articulum ante *νειαιρὴν γ.* addidit Littr. e cdd. quatuor, fert etiam Marc.; — *ᾖ* pro *ἔῃ* E. H., iidemque supra *πονῇ.*

πρὸ δὲ — ὑδαρέα.] *τοῦ* ante *φ.* e vulg. excidit, Lind., Mack., Littr., adscripserunt et hic quidem e mss. sex, fert etiam Marc.; — *πόσιος ἢν πυρεταίνῃ* est emendatio verissima vulgatae, quae Littréo debetur; — *ἕωθεν διδόναι* K. sine *μέν*; — *ἐπὴν ὁ π. ἔχῃ* ex E. H. θ. Marc. scripsi, nisi quod solum H. θ. *ἔχῃ* ferunt, vulgo *ἐφ' ἣν ὁ π. ἔχει*, eandem lect., quam recepi, sequuntur Lind., Mack.; — *ὕδωρ ὅσ. ἂν θ.* om. cod. θ.; — *ῥυφᾶν* Ald., Parr. quatuor, Marc., *ῥοφᾶν* cett.; — *ὀσμώδεα* pro *οἰνώδεα* Chartierium e Corn. legere adn. Littréus, correctio est otiosa.

ἢν δ' ἔμπ. — ψυχρότατον.] *δ'* E. *δέ* vulgo; — *ἐμπύρετος*, ut V., multi Parr.; — *ᾖ* E. H.; — *ἀνίῃ* Littr. ex E. H. θ., idemque fert Marc., vulg. e V. notavi; — *τὰ μὲν ἄνω* E. H. Q.' Lind., Littr., *μὲν τὰ ἄνωθεν* vulg.; *ἔχῃ θερμά* vulg., sed *ἔχῃ* om. H., ubi rest. al. m., Marc., Littr.; — *καὶ ἡ κοιλίη* H. Marc.; — *δὲ καί* omm. K. Marc.; — *εἰσί* ante *ψυχροί* vulgatae (cf. lect. V.) omm. H., ubi rest., Marc.; — *δός* scripsi pro vulg. *δῷς*; — *ῥυμφ.* Ald., Parr. sex, Marc., *ῥοφ.* vulg.; — *τὸν δ' ἄλλον* E. H.; *δέ* plene cett.; — *πίνειν* post *χρόνον* omm. H., ubi rest., θ. Marc.

41. *ἄλλος π. — καὶ χολῶδες.*] *ἕτερος* K., in θ. inscr. om.; — *ἐστί* om. Marc.; *ἡ γλ. αὐτοῦ τρηχεῖα* vulgo, sed *αὐτοῦ* omm. H., in quo rest. al. m., Marc.; — *καὶ διὰ τοῦ*

ἢ γλῶσσα τρηχεῖα καὶ πνεῖ διὰ τῶν ῥινῶν καὶ διὰ τοῦ στόματος θερμόν· ὅταν δὲ πεμπταῖος γένηται, τὰ ὑποχόνδρια σκληρὰ καὶ ὀδύνη ἔνεστι καὶ ἡ χροιὴ οἷον ὑπὸ ἰκτέρου ἐχομένου φαίνεται καὶ οὐρέει παχὺ καὶ χολῶδες. Τοῦτον ἢν μὲν ἑβδομαῖον ὄντα ῥῖγος λάβῃ καὶ πυρετὸς ἰσχυρὸς καὶ ἐξιδρώσῃ· ἢν δὲ μή, ἀποθνήσκει ἑβδομαῖος ἢ ἐναταῖος· λαμβάνει δὲ μάλιστα, ἢν μὲν τὸ ἔτος αὐχμηρὸν γένηται. Ὅταν οὕτως ἔχῃ, λούειν θερμῷ ἑκάστης ἡμέρης [1] καὶ πίνειν διδόναι μελίκρητον ὑδαρὲς πολλὸν, καὶ ῥυμφάνειν τὸν χυλὸν τῆς πτισάνης ψυχρὸν δὶς τῆς ἡμέρης· ἐπὶ δὲ τῷ ῥυφήματι πίνειν οἶνον ὑδαρέα λευκὸν, ὀλίγον· ἢν δ' ἡ γαστὴρ μὴ ὑποχωρέῃ, ὑποκλύσαι ἢ βάλανον προσθεῖναι· σιτίον δὲ μὴ προσφέρειν, ἔστ' ἂν ὁ πυρετὸς ἀνῇ· [2] ἐπὴν δὲ παύσηται, φάρμακον πῖσαι κάτω· ὑποστρέφει γάρ ἐστι ὅτε ἡ νοῦσος, [3] ἢν ἀκάθαρτος διαφέρηται. Ἡ νοῦσος [4] λαμβάνει, ἢν ὑπερχολήσῃ τὸ [5] σῶμα.

μβ'. [6] Πυρετὸς τριταῖος. Ἢν τριταῖος πυρετὸς ἔχῃ, ἢν μὲν μὴ παρεὶς τρεῖς λήψιας τῇ τετάρτῃ λάβῃ, φάρμακον πῖσαι κάτω· ἢν δέ σοι δοκέῃ φαρμάκου μὴ δεῖσθαι, τρίψας τοῦ πενταφύλλου τῶν ῥιζῶν ὅσον ὀξύβαφον ἐν ὕδατι, [7] δοῦναι πιεῖν. Ἢν δὲ [8] μηδὲ τούτῳ παύηται, λούσας αὐτὸν πολλῷ θερμῷ, πῖσαι τὸ τρίφυλλον καὶ ὀπὸν σιλφίου ἐν οἴνῳ ἰσοκρήτῳ καὶ κατακλίνας ἐπιβαλέειν ἱμάτια πολλὰ ἕως ἂν ἱδρώσῃ· ἐπὴν δ' ἐξιδρώσῃ, ἢν διψῇ, δοῦναι πιεῖν ἄλφιτον [9] καὶ ὕδωρ· ἐς

αὐτόθεν iidem codd. et Littr. pro αὐτόθι vulg.; — ἐν πέμπτῃ, ἢ ἐν ἕκτῃ πόσι cett.; ego utrumque ἐν abieci; — ἢν δὲ μὴ λαμβ., γάλακτι κ. τ. λ. vulg., μή cum J. om. Littr.

ἢν δὲ ἀσθ. — θυμιᾶν.] ἀσθενὴς ᾖ cod. θ. Littr., latet autem idem in vulg. ἀσθενήσῃ, sed non recte se habet ἢν δὲ ἀσθενὴς ᾖ ὥστε πίνειν, itaque emendavi ad exemplum loci e § 66. ἢν δὲ ἀσθενέστερος ᾖ ἢ ὥστε γυμνάζεσθαι; — κεφαλή F. G. J.; — ἢν δὲ μὴ ᾖ τὸ ῥ. Ald., Parr. 6.; πνεύμονα E. G. H. J. K. Voss., πλ. cett.; — ἐπ ἢν ἔχῃ Marc.

σιτίοισι — πηγάνῳ.] χρήσθω Lind. et cod. Serv., Foës., idem Imp. Samb. Mackii; — ὀρνιθείοισι E. J.: — τάριχος E.; — πιότατον etiam Marc.; — ταύτῃ συμμίσγων vulg., sed ταύτῃ omm. H., ubi rest. al. m., Marc., equidem interpretandi causa a recentiore illatum puto; — ῥυμφ. Ald., Parr. sex, Marc., ῥοφ. vulg.; — καὶ ἐσθίειν σισάμῳ vulg., sed καὶ ἐσθίειν omm. H., in quo rest. al. m., Marc., Littr., σησάμῳ alii et Marc.; — πυροῦ omnes excepto Littr., qui vere emendavit τυροῦ; — κοριάννῳ H. J. K. Marc.; — σιλφίῳ δὲ μηδὲν χρῆσθαι cett., de meo μὴ χρ. scripsi; — vulgo μηδέ τινι ἄλλῳ, sed τινι ἄλλῳ omm. H., in quo rest. al. m., et Marc.

51. Φθίσις νωτιάς — ἠχέει.] H. om. inscr.; ἡ omm. E. H.; — καί omm. Parr. 4.; — ἄπυροι etiam Marc.; — ἂν ἐρωτᾷς Lind.; οἱ omm. Parr. 5., alii αὐτῷ, uti V., iique partim οἱ omittentes, partim non; — E. ὁδοιπορέειν δοκεῖ,

ξυγκοιμηθῇ γυναικὶ, κἂν μή· καὶ ὅταν ὁδοιπορήσῃ ἢ δράμῃ, ἄλλως τε καὶ πρὸς αἶπος, ἆσθμά μιν καὶ ἀσθένεια [1] λαμβάνει καὶ τῆς κεφαλῆς βάρος, καὶ τὰ ὦτα ἠχέει. Τοῦτον [2] χρόνῳ ὅταν ἐπιλάβωσι πυρετοὶ ἰσχυροὶ, [3] ἀπ' οὖν ὤλετο ὑπὸ λιπυρίου. Ὅταν οὕτως ἔχῃ, ἣν ἐξ ἀρχῆς μεταχειρίσῃ, πυριήσας αὐτὸν ὅλον, φάρμακον δοῦναι πίνειν ἄνω καὶ μετὰ τοῦτο τὴν κεφαλὴν καθῆραι, μετὰ δὲ πῖσαι κάτω· ἐγχειρέειν δὲ βούλεσθαι μάλιστα τοῦ ἦρος καὶ μεταπῖσαι ὀρρὸν, ἢ γάλα ὄνειον· βόειον δὲ γάλα διδόναι πιέειν τεσσεράκοντα ἡμέρας· ἐς ἑσπέρην δὲ ἕως ἂν γαλακτοποτέῃ, χόνδρον διδόναι ῥυφεῖν· [4] σιτίων δὲ ἀπεχέσθω. Ἐπὴν δὲ παύσηται γαλακτοποτέων, σιτίοισι διακομίζειν αὐτὸν μαλθακοῖσι ἐξ ὀλίγου ἀρχόμενος καὶ [5] παχύνειν ὡς μάλιστα, καὶ ἐνιαυτοῦ θωρηξίων ἀπεχέσθω καὶ ἀφροδισίων καὶ ταλαιπωριέων, ὅ τι μὴ περιπάτοισι, φυλασσόμενος τὰ ψύχεα καὶ τὸν ἥλιον· λούσθω δὲ χλιαρῷ.

νβ'. [6] Πνεύμονος νοῦσος. Τὸ σίαλον παχὺ καὶ λιγνυῶδες βήσσεται, καὶ ἡ χροιὴ μέλαινα καὶ ὑποιδαλέη, καὶ ὀδύναι [7] λεπταὶ ὑπὸ τὸ στῆθος καὶ ὑπὸ τὰς ὠμοπλάτας, καὶ δυσελκέες γίγνονται. Ἧσσον δ' ἐπικίνδυνος τοῦ ἑτέρου οὗτος καὶ ἐκφυγγάνουσι πλέονες. Τοῦτον χρὴ ἐλλέβορον πιπίσκειν καὶ αὐτὸν καὶ τοῖσι φακίοισι μίσγοντα καὶ ἐγχέειν ἐς τὸν πνεύμονα, καὶ θυμιᾶν, καὶ εὐωχέειν ἀπεχόμενον κρεῶν βοείων καὶ οἰείων καὶ χοι-

uxore dormiat, nec ne, veneris ludibria patitur. Cumque alias, tum praecipue cum per locum arduum iter fecerit, aut cucurrerit, anhelosus et imbecillus evadit, caput gravatur et aures sonant. Hic temporis progressu vehementibus febribus correptus perit ex lipyria febre. Cum ita habuerit, si per exordia curandum susceperis, fomento toti corpori admoto medicamentum per superiora purgans bibendum exhibeto. Posteaque caput purgato, deinde vero deorsum purgans propinato. Ad curationem autem praecipue vernali tempore aggredi velis, posteaque serum aut lac asininum propinato. Lac vero bubulum per quadraginta dies bibendum exhibeto. Vesperi, quamdiu lac bibet, alicam sorbendam dato, a cibis autem abstineat. Cum vero a lactis potu cessaverit, mollibus cibis a paucis initio ducto eum reficito et quam maxime incrassato. Per annum crapula, venere et immoderatis exercitationibus abstineat, praeterquam deambulationibus, in quibus frigora et solem vitet; tepida autem lavato.

52. Pulmonis morbus. Sputum crassum et atra fuligine tinctum per tussim reiicitur, corporis superficies nigra est, aliquantum tumida, dolores leves sub pectore et scapulis detinent et ulcera his aegre sanescunt. Hic morbus superiore minus periculosus, pluresque evadunt. Huic veratrum per se aut lentis decocto admixtum propinare oportet, in pulmonem autem infusa immittere et suffitibus uti et liberaliter cibum sumere dum carnibus bubulis, ovillis et

[1] λαμβάνει. — [2] ἐν τῷ χρ. — [3] ἀπ' οὗ ὤετο (sic). — [4] καὶ σιτ. ἀπεχ. — [5] παχῦναι. — [6] πλεύμονος sine νοῦσος. — [7] πολλαί.

H. Marc. solum ὁδοιπ., sed in H. δοκεῖν rest. al. m.; — ὁ θορός J.; — ὀνειριάει E. H. Marc.; ὀνειμάσσει G. Q.', ὀνειριάσει alii Parr. 4.; — καὶ ἣν pro κἂν utroque loco E. H. Marc.; — ἔπος vulg., αἶπος Foës. in adn. Mack., Littr., idemque expresserunt interpretes Latine; — λαμβ. vulg., ἐπιλαμβ. E. P.' Q.' Marc.

τοῦτον — ἀπεχέσθω.] ἐν τῷ ante χρόνῳ vulgatae omm. H., ubi rest. al. m., Marc., Littr.; — ἀπ' οὖν ὤλετο Ald. Parr. 7., Marc., Littr., ἀπώλετο vulg.; — λειπυρίου E.; — πυριήσας E. G. K. Littr. pro πυριάσας; — τεσσερακ. Marc., τεσσαρακ. cett.; — ἐς ante ἑσπ. omm. Ald., Parr. 3.; — ῥυφεῖν Ald., Parr. 6, Marc., ῥοφ. vulg.

ἐπὴν — χλιαρῷ.] παχῦναι Parr. plures et Marc.

52. πνεύμονος νοῦσος. — γίγνονται.] περὶ πλεύμονος E. F. G.; πνεύμονος πάθος K., — idem quod V. codd. I. θ.; — λιγνυῶδες etiam Marc.; — pro δυσελκέες Lind. δυσειδέες, Calvus: „difficulterque spirant," quod iam Foës. in adn. adfert putans eum δύσπνοοι legisse. Primum dicam mirum sane sonare h. l. δυσελκέες, et vix intelligi; sed me cum Littréo nihil tangere, quia res aleae plena est h. l. aliquid de sede sua movere. Lindani coniectura, nam de suo δυσειδέες scripsisse videtur, non facilius intelligitur quam vulgata. Calvi Latina optime intelliguntur, sed non sum certus eum non vulgatam ita reddidisse cogitantem ἕλκειν τὸ πνεῦμα; — falso quidem interpretatus esset δυσελκής, sed non sum certus eum δύσπνοοι sive reperisse in libris, sive coniecisse.

ἧσσον δ' ἐπικίνδ. — εἰρημένοισι.] δ' omm. Parr. 4.; — ἐν τοῖσι φακίοισι Parr. duo pro καὶ τ. φ.; — ἐς etiam Marc.; — πνεύμονα Parr. 4. et V.; — ὑείων pro οἰείων H.;

ρείων καὶ λαχάνων δριμέων, ὅ τι μὴ ὀριγάνῳ, ἢ θύμβρῃ· καὶ περιπάτοισι χρήσθω· ἐξ ἠοῦς [1] δὲ πρὸς αἶπος ὁδοιπορέειν νῆστιν· ἔπειτα πίνειν τῶν φύλλων ἐπ' οἴνῳ ἐπιπάσαντα κεκρημένῳ· τὸ δὲ λοιπὸν σιτίοισι [2] χρήσθω τοῖσι εἰρημένοισι.

νγ'. [3] Ἀρτηρίη τρωθεῖσα. Ἢν τρωθῇ ἡ ἀρτηρίη, βὴξ ἔχει καὶ αἷμα βήσσεται καὶ λανθάνει ἡ φάρυγξ πιμπλαμένη τοῦ αἵματος καὶ ἐκβάλλει θρόμβους, καὶ ὀδύνη γίγνεται ἐκ τοῦ στήθεος ἐς τὸ μετάφρενον ὀξέα, καὶ τὸ σίαλον γλίσχρον καὶ πουλὺ, καὶ ἡ φάρυγξ ξηρὴ, καὶ πυρετὸς καὶ ῥῖγος ἐπιλαμβάνει, καὶ κέρχνεται ἡ φάρυγξ οἷον ὑπὸ λιπαροῦ, καὶ ἔς τε μὲν πεντεκαίδεκα ἡμέρας [4] τοιαῦτα πάσχει· μετὰ δὲ πῦον πτύει καὶ οἷα ἕλκεος [5] κρότωνα, καὶ αὖτις βὴξ, καὶ ἐρράγη οὖν τὸ αἷμα, καὶ μετὰ τὸ πῦον παχύτερον πτύει, καὶ ὁ πυρετὸς ἰσχυρότερος γίγνεται, καὶ τελευτᾷ ἐς πνεύμονα καὶ καλέεται ῥηγματίας πνεύμονος. Ἢν δὲ μετὰ τὸ πρῶτον αἷμα μὴ πτύσῃ πῦον, παυσάμενον χρὴ ταλαιπωρίης καὶ γυμνασίων ἐπ' ὄχημα [6] μὴ ἀναβαίνειν, σιτίων ἀπεχόμενον ἁλμυρῶν καὶ λιπαρῶν καὶ πιόνων καὶ λαχάνων δριμέων· καὶ ἐπὴν αὐτὸς ἑωυτοῦ δοκέῃ ἄριστα τοῦ σώματος ἔχειν, καῦσαι τὰ στήθεα καὶ τὸ μετάφρενον ἐν μοίρῃ ἑκάτερον· καὶ ἐπὴν τὰ ἕλκεα ὑγιὴς γένηται, ἐνιαυτὸν ἀπεχέσθω θωρηξίων,

suillis abstineat et oleribus acribus, praeterquam origano et satureia. Deambulationibus utatur et malutino tempore ieiunus ad arduum locum iter faciat. Deinde folia hortensia condimentis usurpata vino temperato inspersa bibat; ceterum cibis commemoratis utatur.

53. Arteria vulnerata. Si arteria vulnerata fuerit, tussis detinet, sanguis tussi exspuitur, fauces latenter sanguine implentur, sanguinis grumos reiicit, dolor acutus ex pectore ad dorsum permeat, sputum glutinosum est et copiosum, fauces siccae, febris et rigor corripit, fauces creperum et stridulum sonum edunt velut ex pingui aliquo et ad dies quindecim hoc modo afficitur. Postea vero pus exspuit, ac veluti ulceris impuram materiem, ac rursus tussis et sane sanguis erumpit, posteaque pus crassum exspuit, febris vehementior evadit et in pulmonem desinit, vocaturque is cui ex pulmone velut ex rupto abscessu pus erumpit, *ῥηγματίας*. Quodsi post primum sanguinem pus non exspuat, a vehementi labore et exercitatione quiescens in vehiculum ne conscendat, abstinens a salsis, unguinosis, pinguibus et acribus oleribus. Cumque corpus optime habere videbitur, pectus et dorsum vicissim utrumque inurito. Ulceribus curatis per annum ebrietate abstineat, non impleatur supra modum, neque manibus vehementer laboret, neque vehiculum

[1] δέ om. et post ἠοῦς commate distinguitur. — [2] χρῆσθαι. — [3] ἐὰν ἡ ἀρτηρία τρωθῇ. — [4] τοιαῦτα πάσχει. — [5] κρότωνες. — [6] μή om.

in quo οἱ al. m., et Marc., καὶ χοιρείων καὶ ὑείων J.; — πρὸς ἑσπέραν ὁδοιπ. cod. E., πρὸς ἑσπέρην Lind. e cod. Fevr., idem fert Imp. Samb.; — ἐπιπάσαντα e Marc., ἐπιπάσσαντα Edd. antt., Parr. tres, ἐπιπάσσοντα vulg.; — σιτίοισι χρῆσθαι, ut V., cod. Serv. Foësii.

53. Ἀρτ. τρωθ. — πνεύμονος.] H. θ. non habent inscr.; — in Parr. 4. fere ut in V. ἢν ἀρτηρίη τρ.; — ὀξείη vulg.; ὀξέη E. H. Marc.; — πουλύ Edd. antt., libri Parr. tres, Littr., πολύ vulg.; — κέρχεται Marc., Voss., multi codd. Littréi. — Iam vero κρότωνα de meo dedi, κρότωνες vulg. κρότωνας cod. θ., editores alii et Littr., κρότονες J., — Gal. in Gl.: κρότωνας) τὰ ἐν τῷ πνεύμονι χονδρώδη βρόγχια ἐν τῷ πρώτῳ περὶ νούσων. Quid autem iam secundum Galenum, quem omnes sequuntur, significat μετὰ δὲ πῦον πτύει καὶ οἷα ἕλκεος κρότωνας? Equidem rem non intelligo. Nescio quid sint ἕλκεος κρότωνες cum quibus comparari possit id quod educit aeger: multumque vereor ne Galenus parum acute aliquid finxerit, quod non senserit constare non posse. Noster id, quod educitur, comparat cum aliqua re, quae in ulcere quovis adesse possit; at non sunt in quovis ulcere χονδρώδη βρόγχια! Neque Foësius, neque quisquam, quod sciam, interpretum inspexit Pollucem, ubi IV. 190. Νοσήματα ἔξωθεν ἐπιφαινόμενα τοῖς σώμασι, φλεγμονὴ ...... ἀκάθαρτον ἕλκος. ἐσχάρα, ἐφελκὶς, διεφθορὸς ἕλκος. καλεῖται δὲ καὶ κρότων. μελιτηρὰ ὑγρασία. ἐλαιώδης, ὅταν ἕλκος ᾖ περὶ τὰ νεῦρα. καλεῖται δὲ καὶ ῥεῦμα ὕδωρ, ὅ ἐστιν ὑδατώδης ἰχὼρ, ὅταν ἤδη τὰ ἕλκη καθαίρηται κ. τ. λ. Equidem interpretes de interpunctione dubia monere video, sed puto tamen iungendum esse καλεῖται δὲ καὶ κρότων μελιτηρὰ ὑγρασία, ἐλαιώδης, ὅταν ἕλκος ᾖ περὶ τὰ νεῦρα. — Itaque Galenum cum suis cartilaginosis particulis iam valere iubemus, et intelligis L. B. quare κρότωνα scripserim et *materiem impuram ex ulcere* verterim. — Porro αὖτις E. H. Marc. — ἡ βήξ E.; — ἐρράγη οἱ τὸ αἷμα Lind.; — πνεύμονα E. H. K. Voss. et mox πνεύμονος iidem.

ἢν δὲ μετὰ — σῶμα.] καὶ ἐπ' ὄχ. vulg., sed καί iure suppressit Littr.; — μὴ ἀναβ. Mack., Littr. e θ., cett. μή omm.; — καὶ ἁλμ. vulgo, sed E. H. Marc., Mack., Littr. omm. καί. Unus cod. J. τοῦ στόματος ἔχειν; — pro καὶ τὸ μετάφρ. Ald. G. I. Marc. κατὰ τὸ μ.; — E. H. L. μηδ' ἐπ', cett. μηδὲ ἐπ'.

καὶ μὴ ὑπερπίμπλασθαι, μηδὲ τῇσι χερσὶ ταλαιπωρέειν, μηδ' ἐπ' ὄχημα ἀναβαίνειν, ἀλλὰ παχύνειν αὐτὸν ὡς μάλιστα τὸ σῶμα.

νδ'. [1] Ἄορτρα τοῦ πνεύμονος σπασθέντα. Ἐπὴν [2] ἄορτρον σπασθῇ τοῦ πνεύμονος, τὸ πτύσμα [3] λευκὸν λεπτὸν πτύει, ἐνίοτε δὲ αἱματῶδες, ἀφρονέει τε καὶ πυρετὸς ἴσχει καὶ ὀδύνη τὸ στῆθος καὶ τὸ μετάφρενον καὶ τὸ πλευρὸν, καὶ ἢν στραφῇ, βήσσει τε καὶ πτάρνυται. Τούτῳ ᾗ ἂν ἡ ὀδύνη ἔχῃ χλιάσματα προστιθέναι καὶ διδόναι προρυμφάνειν κενταύριον καὶ δαῦκον καὶ ἐλελισφάκου φύλλα τρίβων καὶ μέλι καὶ ὄξος ἐπιχέων, καὶ ὕδωρ διδόναι καταρυμφάνειν· καὶ πτισάνης χυλὸν [4] προρυμφανέτω καὶ ἐπιπινέτω οἶνον ὑδαρέα. Ἐπὴν δὲ τῆς ὀδύνης παύσηται, ἐλελίσφακον κόψας καὶ σήσας καὶ ὑπερικὸν καὶ ἐρύσιμον λεῖα καὶ ἄλφιτον, ἴσον ἑκάστου, ταῦτ' ἐπιβαλὼν ἐπὶ οἶνον κεκρημένον, διδόναι πίνειν νήστι· καὶ ἢν μὴ νῆστις ᾖ, διδόναι ῥυμφάνειν ἔτνος ἄναλτον· ἢν δὲ θάλπος ᾖ, σιτίοισι διαχρῆσθαι ὡς μαλθακωτάτοισι, [5] ἀνάλτοισι καὶ ἀκνίσοισι, ἐπὴν ἤδη ἐπιεικέως ἔχῃ τὸ σῶμα καὶ τὸ στῆθος καὶ τὸ νῶτον. [6] Ἢν δὲ ἀμφότερα σπασθῶσι, βὴξ ἴσχει καὶ τὸ σίαλον πτύεται παχὺ λευκὸν, καὶ ὀδύνη ὀξέα ἴσχει ἐς τὸ στῆθος καὶ ὑπὸ τὰς ὠμοπλάτας καὶ τὸ πλευρὸν, καὶ καῦμα ἔχει καὶ καταπίμπλαται φῴδων, καὶ ξυσμὴ ἔχει καὶ οὐκ ἀνέχεται οὔτε καθήμενος, οὔτε κείμενος, οὔτε ἑστηκὼς, ἀλλὰ [7] δυσθανατέει. Οὗτος τεταρταῖος μάλιστα ἀποθνήσκει· ἢν δὲ ταύτας ὑπερφύγῃ, ἐλπίδες μὲν οὐ πολλαί· κινδυ-

conscendat, sed quam maxime crassum corpus reddatur.

54. Pulmonis utrimque dependentes fibrae convulsae. Si ex pulmone dependens fibra convellatur, sputum candidum tenue interdumque cruentum exspuit, delirio et febre tenetur, dolor pectus, dorsum et latus occupat, et si se convertat, tussi et sternutatione corripitur. Huic qua parte dolor detinet calefactoria admoveto, centaurium, daucum, salviae folia trita, melle et aceto affuso ex aqua ante sorbenda dato. Ptisanae etiam succum ante sorbeat et vinum aquosum superbibat. Cum vero dolor quieverit, salviam tusam et cribratam, hypericum, et erysimum laevigata cum polenta pari singula portione vino temperato admixta ieiuno bibenda exhibe. At si ieiunus non fuerit, leguminis fresi decoctum salis expers sorbendum dato. Si vero aestus fuerit, cibis quam mollissimis, insulsis et minime nidorosis utatur, cum iam moderate corpus et pectus et dorsum se habuerit. Quodsi utrimque dependentes pulmonis fibrae vellicentur, tussis detinet, sputum crassum et album exspuitur, dolor vehemens ad pectus sub scapulis et ad latus occupat, ardor detinet et pustulis velut ex igne rubentibus completur, pruritus vexat, neque sedere, neque iacere, neque stare sustinet, sed cum morte conflictatur. Hic quarto fere die perit, quem si effugerit, ne sic quidem spes multa superest, cum et septimo die periculum subeat, quem si superaverit, convalescit. Hunc cum ita habuerit,

[1] ἐὰν ἄρθρα σπασθῇ τοῦ πνεύμονος. — [2] ἄρθρα. — [3] λευκόν — sine λεπτόν. — [4] προσρυμφ. — [5] ἀναλτ. καὶ ἀκν. om. — [6] h. l. inscr. τὰ ἐκ τοῦ πλευροῦ γενόμενα οἰδήματα οἱ δὲ λέγουσιν ἐς φλύκτους εἶναι. — [7] δυσθανατέει.

54. ἄορτρα — πτάρνυται.] Inscriptionem omm. H. θ., sed E. F. G. I. J. eandem inscriptionem habent ac V. — Vulg. ἄρθρα, cod. Serv. Foësii et Mack. ἄορθρα, Lind. ἄορτρα. Cf. Foësii Oecon. et suppl. Lex Schneid., quod Littr. excitat. — Vulg. ἄρθρα, Lind. ἄορτρα, Littréum secutus ἄορτρον scripsi; — πνεύμ. E. J. K. Pro vulgato λευκόν Ald. F. G. λεπτόν, quod recepit Littr.; conferens infra obvium τὸ πτύσμα πτύεται παχὺ, λευκόν, utrumque recepi; — αἱματώδεα Parr. sex, θ. Marc.; — τε omm. H. θ Marc., Mack.; βήσσεται vulg., sed ortum est e βήσσει τε propter seq. πτάρνυται.

τούτῳ — ὑδαρέα.] τούτῳ de meo dedi, τοῦτον cett.; de meo ᾗ ἂν ἡ ὀδύνη etiam scripsi, ceteris ᾗ ἂν ὀδύνη legentibus; — de compositis προρυμφ., καταρυμφ. moneo me has formas ex optimis Parr. et Marc. dedisse; vulgo προροφ., καταροφ., Littréus eas cum Mack. per duplex ῥῥ scripsit, cuius rei exemplum in mss. J. K. uno loco tantum. Copulam ante μέλι om. θ.

ἐπὴν — νῶτον.] λεῖον H., ubi vulg. rest. al. m., et Marc.; — ἐπιβάλλων I.; — ἐπ' οἶνον E.; διδόναι δέ vulg., διδόναι δή Lind.; equidem redundans δέ abieci; — ῥυμφ. etiam Marc.; τὸν νῶτον vulg., τὸ ν. E.

ἢν δὲ ἀμφ. — δυσθανατέει.] πτύεται cod. Serv., θ., Lind., Mack., Littr. pro vulg. βλέπεται, quod Marc. etiam fert; — καὶ λευκόν vulg., sed καί om. Littr. cum Parr. 5. et θ., et deëst in Marc.; — ὀξείη vulg., ὀξέη E. H. Marc.; — καί

νεύει δὲ καὶ ἐν τῇσι ἑπτά· ἢν δὲ καὶ ταύτας διαφύγῃ, ὑγιάζεται. Τοῦτον, ὅταν οὕτως ἔχῃ, [1] λούειν πολλῷ θερμῷ δὶς τῆς ἡμέρης, καὶ ὅταν ἡ ὀδύνη ἔχῃ, χλιάσματα προστιθέναι καὶ διδόναι πίνειν [2] μέλι καὶ ὄξος, ῥυμφάνειν δὲ χυλὸν πτισάνης καὶ ἐπιπίνειν οἶνον λευκὸν οἰνώδεα. Ἢν δὲ πρὸς τὸ λουτρὸν καὶ τὰ χλιάσματα πονέῃ καὶ μὴ ἀνέχηται, προσφέρειν αὐτῷ ῥάκια ἡμιτυβίου [3] καὶ βάπτων ἐς ὕδωρ ἐπὶ τὰ στήθεα [4] ἐπιτιθέναι καὶ ἐπὶ τὸ νῶτον, καὶ πίνειν διδόναι κηρίον ἐν ὕδατι ἀποβρέχων ὡς ψυχρότατον καὶ τὸν χυλὸν ψυχρὸν καὶ ὕδωρ ἐπιπίνειν καὶ κεῖσθαι πρὸς τὸ ψῦχος. Ταῦτα ποιέειν· ἡ δὲ νοῦσος θανατώδης.

bis die calida multa lavato, cumque dolor detinet, calefactoria admoveto et mel cum aceto propinato, succumque ptisanae sorbendum dato et vinum album generosum superbibendum. Quod si balneo et tepefactoriis vexetur, neque ea ferat, detriti linei panniculi aqua intincti ei sunt admovendi et ad pectus et dorsum adhibendi, favumque ex aqua maceratum frigidissimum propinato et ptisanae succum frigidum aquamque superbibendam dato. Loco frigido decumbere iubeto. Ista quidem facito, verum morbus letalis est.

νε'. [5] Ἐρυσίπελας ἐν πνεύμονι. Ἢν ἐρυσίπελας ἐν πνεύμονι γένηται, βὴξ ἔχει καὶ τὸ σίαλον ἀποπτύει πουλὺ καὶ ὑγρὸν, οἷον ἀπὸ [6] βράγχου, ἔστι δὲ οὐχ αἱματῶδες, καὶ ὀδύνη ἴσχει τὸ μετάφρενον καὶ τοὺς κενεῶνας καὶ τὰς λαπάρας, καὶ τὰ σπλάγχνα μύζει καὶ ἐμέει λάπην οἷον ὄξος, καὶ τοὺς ὀδόντας αἱμωδιᾷ, καὶ πυρετὸς καὶ ῥῖγος καὶ δίψα λαμβάνει, καὶ ὅταν τι φάγῃ ἐπὶ τοῖσι σπλάγχνοισι μύζει, καὶ ἐρεύγεται ὀξὺ καὶ ἡ κοιλίη [7] τρύζει καὶ ναρκᾷ τὸ σῶμα, καὶ ὅταν ἐμέσῃ, [8] δοκέει ῥᾴων εἶναι· ὅταν δὲ μὴ ἐμέσῃ ἀπιούσης τῆς ἡμέρης, στρόφος καὶ ὀδύνη [9] ἐγγίγνεται ἐν τῇ γαστρὶ καὶ ἀπόπατος ὑγρὸς γενόμενος διεχώρησε. Ἡ δὲ νοῦσος μάλιστα γίγνεται ἐκ θωρηξίων καὶ ἐκ κρεηφαγιέων καὶ ἐξ ὕδατος μεταβολῆς· ἴσχει [10] δὲ καὶ ἄλλως. Τοῦτον φάρμακον πιπίσκειν κάτω

55. Erysipelas in pulmone. Si oriatur in pulmone erysipelas, tussis detinet et sputum multum ac liquidum exspuit, velut in raucedine, quod cruentum non est, dolor dorsum et inanes ac molles laterum partes occupat, viscera strepitum edunt, pituitam acidam vomit, dentes obstupescunt, febris, rigor ac sitis corripit, cum quid comederit, in visceribus strepitus editur, acidum eructat, venter stridet et corpus torpescit. Cum vomuerit, melius habere videtur, ubi vero minime vomuerit, decedente die tormina et dolor in ventre suboriuntur et liquidum stercus dimittitur. Hic morbus maxime ex crapula, carnium esu et aquae mutatione accidit atque aliis etiam de causis detinet. Huic medicamentum deorsum purgans propinato posteaque lac asininum bibat, nisi lienosus fuerit natura. Quod si sit, ne succis

[1] λούειν — ἔχῃ om. — [2] μέλι — ἐπιπίνειν om. — [3] καί om. — [4] καὶ τὸν νῶτον ἐπιτιθ. καὶ π. δ. — [5] ἐὰν ἐρυσίπελας ἐν πνεύμονι. — [6] βρόγχου. [7] τρύζει. — [8] δοκέῃ. — [9] γίνεται. — [10] δέ om.

ante καῦμα omm. H., in quo rest. al. m., θ., Mack.; — Φωιδῶν Marc. — Vulg. δυσθενέει, et sic etiam Marc., sed δυσθανατέει, ut V., E. G. H. L. P.′ Q.′, licet in E. G. vulg. restituatur; — δυσθυμέει cod. θ. Lind., Mack. Dedi id, quod unice probo.

Τοῦτον — οἰνώδεα.] καὶ διδόναι πίνειν vulg.; — καὶ π. δ. H., καὶ πίνειν δὲ διδ. E. Marc.; — ὄξος καὶ ῥύφ. χυλόν P.′ Mack.; ὄξος ῥοφάνειν (ῥυμφ. et alii et Marc.) καὶ χυλόν vulg.; cum Littréo Lindani lect. sequor.

ἢν δὲ — θανατώδης.] ψυχρὰ ῥάκκεα cod θ.; qui solus ψυχρά fert; — ῥάκεα H. I. J.; — ἡμιτυμβίου E.; — καί ante βάπτων omm. E. H. I. θ. Marc.; — καὶ τὸν νῶτον ἐπιτιθ. vulg.; — ἐπιτ. καὶ ἐπὶ τὸν ν. E. H. θ., in qua lect. Marc. ἐπί om. ante τὸν ν.

55. ἐρυσίπελας — διεχώρησε.] Inscr. omm. H. θ.; alii quatuor eandem ferunt, quam V., cui γένηται addit E. — πολύ H. J. Marc.; — βρόγχου vulg., βράγχου Littr. e § 6. de intt. aff.; καὶ οἷον ὄξος vulgo, de meo καί suppressi; — τρύζει Ald., Parr. 6., Marc., τρίζει vulg.; — ναρκᾷ τὸ σ. E. H. Marc., τὸ σ. ν. vulgo; — καὶ ὁ ἀπόπ. cod. θ.; — γενόμενος Littr. ex E. H. θ., γιν. vulg.

ἡ δὲ νοῦσος — ἄλλως.] τῶν θωρ. vulg., τῶν omm. E. H. θ. Marc., Littr., κρεηφαγιέων E. H. I. J. K. Marc., Littr., κρεηφαγίων cod. θ., κρεοφαγιέων vulg.; — μεταβολήν J., δέ om. G. J. K.

τοῦτον — σιτίων.] ἢν δὲ ᾖ sine σπληνώδης, ut V., Parr. 5.

καὶ μεταπιπίσκειν γάλα ὄνου, ἢν μὴ σπληνώδης ᾖ φύσι· ἢν δὲ [1] σπληνώδης ᾖ, μὴ καθαίρειν μήτε χυλοῖσι μήτε γάλακτι, μήτε ὀῤῥῷ, ἀλλ' ὅ τι ὀλίγον [2] ἐσελθὸν πολὺ [3] ἐξάξει· ὑποκλύζειν δὲ καὶ βαλάνους προστιθέναι, ἢν μὴ ἡ κοιλίη ὑποχωρέῃ, καὶ ψυχρολουτέειν καὶ γυμνάζεσθαι, ὅταν οἱ πυρετοὶ ἀνῶσι καὶ δοκέῃ ἐπιεικέως ἔχειν τοῦ σώματος· καὶ τοῦ ἦρος καὶ τοῦ μετοπώρου ἔμετον ἐμποιέειν· σκορόδων δὲ κεφαλὰς [4] τρεῖς καὶ ὀριγάνου δραχμίδα, ὅσην [5] τρισὶ δακτύλοισι περιλαβεῖν, ἕψειν ἐπιχέαντα δύο κοτύλας οἴνου γλυκέος καὶ κοτύλην ὄξεος ὡς ὀξυτάτου καὶ μέλιτος ὅσον τεταρτημόριον, ἕψειν δ' ἔστ' ἂν ἡ τρίτη μοῖρα λειφθῇ· κἄπειτα γυμνάσας τὸν ἄνθρωπον καὶ λούσας ὕδατι χλιαρῷ πῖσαι θερμὸν καὶ πιπίσκειν φάκιον, μέλι καὶ ὄξος ξυμμίσγων, ἔστ' ἂν ἐμπλησθῇ· ἔπειτα ἐμεέτω καὶ τὴν ἡμέρην ταύτην πιὼν ἄλφιτον καὶ ὕδωρ ἐκνηστευέτω· ἐς ἑσπέρην δὲ [6] σεῦτλα φαγέτω καὶ μάζης σμικρὸν καὶ πινέτω οἶνον ὑδαρέα· ἀνὰ δὲ τὸν ἄλλον χρόνον ἐμεέτω τοῖσι [7] φακίοισι καὶ ἀπὸ σιτίων. Καὶ *ἢν ἀφίστηται ἡ ὀδύνη ὑπὸ τὰς ὠμοπλάτας, σικύην προσβάλλειν καὶ τὰς φλέβας ἀποτύψαι τὰς ἐν τῇσι χερσί· σιτίοισι δὲ χρῆσθαι ἀνάλτοισι καὶ μὴ λιπαροῖσι μηδὲ πίοσι· δριμέα δὲ καὶ ὀξέα ἐσθιέτω καὶ ψυχρὰ πάντα, καὶ περιπάτοισι χρήσθω.* Ταῦτα *ποιέων ἄριστα ἂν διαιτῷτο καὶ διὰ πλείστου χρόνου ἡ νοῦσος γίγνοιτο· ἔστι δὲ οὐ θανατώδης, ἀλλ' ἀπογηράσκοντας ἀπολείπει.* Εἰ *δὲ βούλοιο νεώτερον ἐόντα θᾶσσον ἀπαλλάξαι τῆς νούσου, καθήρας αὐτὸν καῦσον [8] τά τε στήθεα καὶ τὸ μετάφρενον.*

neque lacte, neque sero purgato, sed eo quod parca copia sumptum plurimum foras educat; ubi alvus non subducitur, eam per infusum subluito, aut glandes supponito; frigidae balneo et exercitatione utendum, ubi febres remiserint et corpus moderate habere videbitur. Vere et auctumno vomitus excitandus. Alliorum capita tria et origani pugillum, quantum tribus digitis comprehenditur, vini dulcis duabus heminis affusis et aceti quam acerrimi hemina una, mellisque quarta parte, coquito donec tertia pars remaneat. Deinde post exercitationes et tepidae balneum homini calidum bibendum exhibeto, lenticulaeque decoctum, melle et aceto admixto dum expleatur propinato, deinde vomat, eoque die polenta ex aqua epota ieiunus permaneat. Sub vesperum vero betas et mazae parum comedat et vinum aquosum bibat. Reliquo tempore ex lenticulae decocto post cibos vomat. Quodsi ad scapulas dolor secesserit, cucurbitulam affigito et manuum venas pertundito. Cibis utatur non salsis, neque unguinosis, neque pinguibus, vescatur acribus et acidis, frigidisque omnibus et deambulationibus utatur. Quae cum fecerit, optimam victus rationem sequetur, morbusque in multum tempus protrahetur. Neque vero letalis est, sed consenescentes deserit. Sed si iuvenem aliquem citius a morbo liberare voles, post purgationem ei pectus et dorsum inurito.

[1] *σπλ.* om. — [2] *ἐπελθόν.* — [3] *ἄξει.* — [4] *τρεῖς* om. — [5] *τοῖσι.* — [6] *τεῦτλα.* — [7] *φαρμακίοισι.* — [8] *τε* sine *τά.*

cod. Serv.; — *ἐσελθόν* etiam Marc.; — *ἄξει* Parr. tres; — *ἡ κοιλίη ὑπάγῃ* cod. θ.; — iam vero omnes *ἢν μὴ ἡ κοιλίη ὑποχωρέῃ ἐν πάσῃσι τῇσι νούσοισι καὶ ψυχρολουτέειν ἐν ταύτῃ τῇ νούσῳ καὶ γ.* —; — sed equidem subnotata illa pro emblematis alienis delevi; — item paulo ante ceteri *ὑποκλύζειν δὲ τὰς κοιλίας*, ubi item duo vocabula postrema eieci; — *ἔμετον ἐμποιέειν* est vulg. lectio, *ἔμ. οἱ ποιέειν* cod. θ., *ἔμ. ποιέειν* Littr. sine *οἱ*. — Numerum *τρεῖς* e θ. Mack., Littr., vulgo om.; — *δραχμίδα* etiam Marc., *δραγμίδα* Parr. 3., Edd. antt.; — *τρισί* Mack., Littr. e θ., *τοῖς* vulg.; — *δὲ ἕως ἂν* vulg., *δ' ἔστ' ἂν* P.' θ. Mack.; — *γυμνάσας* alii et Littr. e codd. pro vulg. *γυμνώσας*; — *πλησθῇ* K.; — *τεῦτλον* vulg., *τεῦτλα* Parr. 5. et θ.; — *σμικρόν* E. H. Marc., Littr., *μικρόν* vulg.; — *φαρμακίοισι* plures alii, ut V.

καὶ ἢν — μετάφρ.] *προσβάλλειν* alii et Littr. e codd., *προβ.* vulg.; — *ἄριστ'* E., Marc.; — *γένοιτο* K.; — *εἰ δὲ βούλει* K.; — *ἐόντα* etiam Marc., *ὄντα* E. H., *ἐόντας* edd. antt.; — *θᾶσσον* E. H. Marc., Littr., per *ττ* vulg.; — *καῦσαι* E. H. I. K. θ. Marc., Mack.; — *τε* omm. H., ubi rest. al. m., Marc., cf. lect. Voss. — *τὸ μετάφρ.* Parr. 5. θ. Mack., Littr., *τὰ μετάφρενα* vulg.

νς'. Νωτιάς. Ῥῖγος καὶ πυρετὸς καὶ βὴξ καὶ δύσπνοια λαμβάνει καὶ τὸ σίαλον πτύει χλωρὸν, ἔστι δ' ὅτε καὶ ὕφαιμον καὶ πονέει μάλιστα τὸ μετάφρενον καὶ τοὺς βουβῶνας, καὶ ἡμέρῃ τρίτῃ ἢ τετάρτῃ οὐρέει αἱματῶδες, καὶ ἀποθνήσκει ἑβδομαῖος· ἐπὴν δὲ τὰς τεσσαρασκαίδεκα ἐκφύγῃ, ὑγιὴς γίγνεται· ἐκφυγγάνει [1]δ' οὐ μάλα. Τούτῳ διδόναι μελίκρητον ἀναζέσας ἐν καινῇ χύτρῃ, ψύχων, σελίνου φλοιὸν ἀποτέγγων ἢ μαράθρου· [2]τοῦτο διδόναι πίνειν καὶ πτισάνης χυλὸν δὶς τῆς ἡμέρης καὶ ἐπιπίνειν οἶνον λευκὸν ὑδαρέα· [3]ἣ δ' ἂν ἡ ὀδύνη προσίστηται, χλιαίνειν καὶ λούειν θερμῷ, ἢν μὴ ὁ πυρετὸς πουλὺς ἔχῃ· ἐπὴν δὲ αἱ τεσσαρεσκαίδεκα ἡμέραι παρέλθωσι ἀριστίζεσθαι μὲν τὸν κέγχρον, ἐς ἑσπέρην δὲ κρέα σκυλακίου ἢ [4]ὀρνίθεια ἑφθὰ ἐσθίειν καὶ τοῦ ζωμοῦ ῥυμφάνειν· σιτίοισι δὲ [5]ὡς ἐλαχίστοισι χρῆσθαι τὰς πρώτας ἡμέρας.

56. Dorsalis morbus. Rigor, febris, tussis, et spirandi difficultas prehendit et sputum cum virore pallidum, interdumque aliquid cruentum exspuit, dolor dorsum praecipue et inguina vexat, tertio aut quarto die urinam cruentam reddit et septimo die moritur; ubi vero decimum quartum effugerit, convalescit, quem fere non effugit. Huic aquam mulsam in olla nova decoctam et refrigeratam, in qua apii aut foeniculi cortex maceratus fuerit, bibendam exhibeto et ptisanae succum bis die, vinumque album aquosum superbibendum. Qua vero dolor instat tepefactoria adhibeto et nisi multa febris detinet, calida lavato. Ubi vero quatuordecim dies praeterierint, milium in prandio quidem sumat, sub vesperam autem carnes catulinas aut volucrium coctas edat et de iusculo sorbeat, sed cibis quam paucissimis primis diebus utatur.

νζ'. [6]Φῦμα ἐν τῷ πνεύμονι. Ἐπὴν φῦμα φυῇ ἐν τῷ πνεύμονι, βὴξ ἔχει καὶ ὀρθόπνοια καὶ ὀδύνη ἐς τὸ στῆθος ὀξέα καὶ ἐς τὰ πλευρὰ, καὶ ἕως μὲν τῶν τεσσαρεσκαίδεκα ἡμερῶν πάσχει· τοῖσι γὰρ πλείστοισι τοσαύτας ἡμέρας μάλιστα φλεγμαίνει· καὶ τὴν κεφαλὴν δὲ ἀλγέει καὶ τὰ βλέφαρα καὶ ὁρᾷν οὐ δύναται, καὶ τὸ σῶμα ὑπόπυρρον γίγνεται καὶ [7]φῴδων ἐμπίπλαται. Τοῦτον λούειν πολλῷ θερμῷ καὶ μελίκρητον διδόναι πίνειν ὑδαρὲς καὶ τῆς πτισάνης τὸν χυλὸν ῥυμφάνειν καὶ οἶνον ὑδαρέα ἐπιπίνειν· ἢν δ' ἡ ὀδύνη πιέζῃ, χλιαίνειν· ἐπὴν δὲ παύσηται,

57. Pulmonis tuberculum. Si in pulmone tuberculum exortum fuerit, tussis detinet, spirandique difficultas, quae non nisi erecta cervice obitur, dolor acutus pectus et latera occupat et ad decimum quidem quartum diem ita afficitur; plerisque enim totidem dies inflammatur; sed et caput et palpebras dolor vexat, videre nequit, corpus subfulvum evadit et pustulis velut ex igne rubentibus completur. Hunc calida multa lavato, aquam mulsam aquosam propinato et ptisanae succum sorbendum vinumque aquosum superbibendum dato, et si dolor premat, tepefactoria admoveto; ubi vero

δ' οὖν. — [2] τούτω. — [3] ἣ τε ἂν ὀδ. — [4] ὄρνιθος. — [5] ὡς om. — [6] ἐὰν φύματα εἰς τὸν πνεύμονα γένηται. — [7] φλεβῶν.

56. νωτιὰς — δ' οὐ μάλα.] περὶ νωτιάδος F. G.; — καί ante ὕφαιμον omm. H., in quo rest. al. m., Marc.; — ὑπερφύγῃ E. H. θ. Marc., Foës. e mss. adfert ὑποφύγῃ; sitne hoc forte errore aliquo pro illo descriptum? nam in codd. nostris nulla lectio eiusmodi habetur; — δὲ οὐ μάλα E.

τούτῳ — ἡμέρας.] μαράθου H. J. Marc.; μαλάθρου E.; — τοῦτο διδόναι H., Littr.; τούτῳ vulg.; — ἣ ἂν ὀδ. vulg.; Mack., Littr. e cod. θ. interposuerunt δ', — ἣ τε ἂν ὀδ. cod. Serv.; de meo articulum ante ὀδύνη adscripsi; πουλύς J. Voss.; — σκυλακείου vulg. σκυλακίου E. θ. Lind., Mack., Littr.; — ὀρνίθια J., ὄρνιθος cod. Serv., θ., Lind., Mack.; — ῥυμφ. Ald., Parr. 6., Marc., ῥοφ. vulg.

57. φῦμα — ἐμπίπλαται.] Inscr. omm. H. θ., quatuor Parr. eandem ferunt inscr., quam V., nisi quod ἐς τὸν πλ. habent. Vulg. φύῃ, sed φυῇ Marc., Littr., ἢ cod. θ. Mack.; — ὀξέη vulg. ὀξείη J.; — καὶ ἔστε μὲν τεσσαρεσκαίδ. ἡμέρας cod. θ., τῶν e vulg. om. E.; — φλεγμαίνει τὸ πάθος τοῦ φύματος vulg., sed H. θ. solum φλ. τὸ φῦμα, licet in H. vulg. restituatur; mihi sic videtur: τὸ πάθος τοῦ φύματος emblema alienum est, quod in cod. θ. paululum accommodatum est ad solitam nostri orationem, sed tamen abiiciendum censui. Littr. διαλγέει ex E. P.' Q.' pro δὲ ἀλγέει, quod Marc. etiam fert et unice verum est. Vulg. φλεβῶν, sed φωδῶν θ., Foës. in adn., Mack., φῴδων Lind., φῴδων Littr.

τοῦτον — χρῆσθαι.] ῥυμφ. Ald., Parr. 6., Marc.; — δ' ἡ E. H., δὲ ἡ cett.

σιτίοισι ὡς μαλθακωτάτοισι χρῆσθαι. Ἢν δ' ἀπηλλαγμένον τῆς νούσου δύσπνοια λαμβάνῃ, ἐπὴν πρὸς ὀρθὸν χωρίον ἴῃ ἢ σπεύσῃ τι ἄλλως, φάρμακον διδόναι, ὑφ' οὗ ἡ κοιλίη ἡ κάτω μὴ [1] κινήσεται· καὶ ἢν ἅμα τῷ ἐμέσματι πῦον ἕπηται, ἢν μὲν τὸ πῦον ᾖ λευκὸν καὶ ἶνες ἐν αὐτῷ ὕφαιμοι ἔωσι, ἐκφυγγάνει· ἢν δὲ πελιδνὸν καὶ χλωρὸν καὶ κάκοδμον, ἀποθνήσκει. Καθαίρονται δ' ἐν τεσσεράκοντα ἡμέρῃσι, ἀφ' ἧς [2] ἂν ῥαγῇ, πολλοῖσι δὲ καὶ ἐνιαυσίη γίγνεται ἡ νοῦσος· ποιέειν δὲ χρὴ τοῦτον ἅπερ τὸν ἔμπυον. Ἢν δὲ μὴ ῥαγῇ, — ἐνίοισι γὰρ τῷ χρόνῳ ἀφίσταται ἐς τὸ πλευρὸν καὶ ἐξοιδίσκεται, — τοῦτον χρή, ἢν τοιοῦτο γένηται, τάμνειν, ἢ καίειν.

νη'. [3] Πνεύμων πλησθείς. Ἢν πλησθῇ ὁ πνεύμων, βὴξ ἴσχει καὶ ὀρθόπνοια καὶ ἆσθμα, καὶ τὴν γλῶσσαν ἐκβάλλει καὶ ὀδύνη ὀξέα ἴσχει ἐς τὸ στῆθος καὶ κατὰ τὰς ὠμοπλάτας, καὶ καταπίμπλαται φῴδων, καὶ ξυσμὸς ἔχει καὶ οὐκ ἀνέχεται οὔτε καθήμενος οὔτ' ἀνακείμενος, οὔθ' ἑστηκώς, ἀλλὰ δυσθανατέει. Οὗτος τεταρταῖος μάλιστα ἀποθνήσκει· ἢν δὲ [4] καὶ ταύτας ὑπερφύγῃ, ἐλπίδες [5] μὲν οὐ πολλαί· κινδυνεύει δὲ [6] καὶ ἐν τῇσι ἑπτά· ἢν δὲ ταύτας [7] ὑπερφύγῃ, ὑγιάζεται. Τοῦτον ὅταν οὕτως ἔχῃ, λούειν [8] πολλῷ καὶ θερμῷ δὶς τῆς ἡμέρης, καὶ ὅταν ὀδύνη ἔχῃ, χλιάσματα προστιθέναι, καὶ [9] πίνειν διδόναι μέλι καὶ ὄξος ἑφθόν, καὶ ῥυμφάνειν χυλὸν πτισάνης καὶ ἐπιπίνειν οἶνον· ἢν δὲ πρὸς τὸ λουτρὸν

quieverit, cibis quam mollissimis utatur. Quodsi morbo liberatum, dum ad locum acclivem pergit vel alioqui festinanter aliquid agit, difficultas spirandi invadat, medicamentum purgans, ex quo alvus inferior minime moveatur, exhibeto. Et si una cum vomitu pus album et in quo fibrae sanguinis insint subsequatur, evadit, si vero lividum, cum virore pallidum et graveolens, perit. Repurgantur autem in quadraginta diebus, ex quo ruptio facta est, multis etiam annuus fit morbus. Huic eadem quae suppurato facito. Quodsi non eruperit, cum quibusdam procedente tempore ad latus abscessum faciat et intumescat, ubi hoc acciderit, hunc secato aut inurito.

58. Pulmo repletus. Si pulmo repleatur, tussis, difficultas spirandi, quae fit erecta cervice et anhelatio detinet, linguam exserit, dolor acutus pectus et scapulas vexat, pustulis velut ex igne rubentibus impletur et pruritus occupat; neque sedere neque recumbere, neque stare potest, sed cum morte conflictatur. Hic quarto fere die moritur, quem si superaverit, ne tum quidem spes magna; sed septimo etiam die periculum subit, quem si effugerit, convalescit. Hunc, cum sic habeat, calida multa bis die lavato, cumque dolor detinuerit, tepefactoria admoveto, mel cum aceto coctum bibendum et ptisanae succum sorbendum vinumque superbibendum praebeto. Quod si balneo et tepefactoriis vexetur, neque ea ferat, refrigerantia ei

[1] κινέεται. — [2] ἄν om. — [3] ἐὰν ὁ πνεύμων πλησθῇ. — [4] καί om. — [5] ὡς τὰ πολλά. — [6] πολλάκις καί. — [7] ὑπεκφύγῃ. — [8] θερμῷ πολλῷ. — [9] ἐπιπίνειν.

ἢν δ' — ἀποθνήσκει.] δ' iidem, qui supra; — τι vulg., sed πῃ cod. θ. Mack., Littr., equidem πῃ otiosam correctionem esse puto, nam quidni recte σπεύδειν τι h. l. dicat? μέντοι τὸ πῦον Mack., cett. μέν.

καθαίρονται — καίειν.] δ' ἐν E. H., δὲ ἐν vulg.; — τεσσερακ. Marc., τεσσαρακ. cett.; — ὡς τὸ πλ. cett., ἐς de meo; — τοιοῦτον J.; — καῦσαι E. H. P.′ Q.′ θ. Marc.

58. πνεύμων πλησθεὶς — δυσθανατέει.] Inscriptionem omm. E. H. θ.; eandem quam V. ferunt Parr. 5., nisi quod πλεύμων habent. Post ἐκβάλλει vulgo καὶ πίμπλαται φωδῶν καὶ ξυσμὸς ἔχει καὶ ὀδύνη ὀξείη ἴσχει ἐς τὸ στῆθος καὶ κατὰ τὰς ὠμοπλάτας καὶ οὐκ ἀνέχ. — Sed alia est horum lectio, nempe καὶ πίμπλαται (πίμπραται cod. θ.) καὶ ὀδύνη ὀξέη ἴσχει ἐς τὸ στῆθος καὶ ὑπὸ (κατά Marc.; et E. al. m.) τὰς ὠμοπλάτας καὶ καταπίμπλαται φωδῶν (φώδων E., φωιδῶν Marc.) καὶ ξυσμὸς (ψυγμός cod. θ.) ἔχει καὶ οὐκ ἀνέχ. E. H. θ. Marc.; — hinc quidem aptiorem rerum ordinem deducere, quam fieri solebat, mihi videor; — οὔτε plene utroque loco E., posteriore H.; δυσθενεῖ vulg., δυσθυμεῖ Lind., Mack., dedi δυσθανατέει, de quo cf. § 54. notam antepenultimam.

οὗτος — ὑγιάζεται.] ἢν δὲ καὶ αὐτάς E. H., unde καί. quod vulgo abest, Littr.; — ἐλπίδες μὲν οὐ πολλαί Littr. e § 54., vulgatam e V. notavi; — κινδυνεύει δὲ καί H., ubi vulg. πολλάκις rest. al. m. (cf. lect. V.) θ. Marc.; — ἢν δὲ καὶ ταύτας ὑπερφ., ὑγιάζ. Marc., ubi cett. καί omm., sed ὑπερεκφύγῃ Littr., ὑπερφύγῃ vulg., ὑπεκφύγῃ cod. Serv., ut V.; mihi quidem ὑπερεκφύγῃ lectio esse videtur e dittographia postremarum orta; — ὑγιὴς γίνεται Lind.

τοῦτον — θανατώδης.] λούειν — ἔχῃ om.; — πολλῷ καί om. θ., καί om. cod. Serv., Lind., cf. lect. V.; — πίνειν H. Marc., Littr., vulgatam e V. notavi; — ῥυμφ. Ald.

καὶ τὰ χλιάσματα πονέῃ καὶ μὴ ἀνέχηται, προσφέρειν αὐτῷ [1] ψύγματα καὶ πίνειν διδόναι κηρίον ἐν ὕδατι ἀποβρέχων, ὡς ψυχρότατον, καὶ κεῖσθαι πρὸς τὸ ψῦχος· ταῦτα ποιέειν· ἡ δὲ νοῦσος χαλεπὴ καὶ θανατώδης.

apponito et favum aqua maceratum quam maxime frigidum bibendum dato et loco frigido decumbat istoque modo curato. Morbus autem aegre curatur et letalis est.

νθ'. [2] Ὁ πνεύμων προσπεσὼν πρὸς τὸ πλευρόν. Ἢν ὁ πνεύμων πρὸς τὸ πλευρὸν προσπέσῃ, βὴξ ἴσχει καὶ ὀρθόπνοια καὶ σίαλον βήσσεται λευκὸν, καὶ ὀδύνη τὸ στῆθος καὶ τὸ μετάφρενον ἴσχει, καὶ ὠθέει προσκείμενος καὶ δοκέει τι ἐγκέεσθαι βαρὺ ἐν τοῖσι στήθεσι, καὶ κεντέουσι ὀδύναι ὀξεῖαι, καὶ [3] τρύζει οἷον μάσθλης, καὶ τὴν πνοιὴν ἐπέχει· καὶ ἐπὶ μὲν τὸ πονέον ἀνέχεται κατακείμενος, ἐπὶ δὲ τὸ ὑγιὲς οὔ, ἀλλὰ δοκέει τι αὐτῷ οἷον ἐκκρέμασθαι βαρὺ ἐκ τοῦ πλευροῦ, καὶ διαπνέειν δοκέει διὰ τοῦ στήθεος. Τοῦτον λούειν [4] θερμῷ πολλῷ δὶς τῆς ἡμέρης καὶ μελίκρητον πιπίσκειν καὶ ἐκ τοῦ λουτροῦ οἶνον λευκὸν κεραννὺς καὶ μέλι ὀλίγον καὶ δαύκου καρπὸν τρίψας καὶ τῆς κενταυρίης, διεὶς τούτοισι, διδόναι χλιαρὸν καταρυμφάνειν, καὶ προστιθέναι πρὸς τὸ πλευρὸν ἐς ἀσκίον ἢ ἐς βοείην κύστιν ὕδωρ χλιαρὸν ἐγχέων καὶ ταινίῃ ξυνδεῖν τὰ στήθεα καὶ κεῖσθαι ἐπὶ τὸ ὑγιὲς, καὶ τὸν χυλὸν διδόναι τῆς πτισάνης χλιαρὸν καὶ ἐπιπίνειν οἶνον ὑδαρέα. Ἢν δ' ἐκ τρώματος τοῦτο γένηται ἢ τμηθέντι ἐμπύῳ, — γίγνεται γὰρ τοῦτο, — κύστιν πρὸς σύριγγα προσδήσας, ἐμπιπλάναι τῆς φύσης καὶ εἰσιέναι ἔσω, [5] καὶ μοτὸν στερεὸν κασσιτέρινον ἐντιθέναι καὶ ἀπωθέειν πρόσω. Οὕτω διαιτῶν τυγχάνοις ἂν μάλιστα.

59. Pulmo in latus procumbens. Si pulmo in latus incubuerit, tussis et erectae cervicis spiratio detinet, sputum album cum tussi exspuitur, dolor pectus et dorsum occupat; pulmo lateri adhaerescens id propellit et pondus quoddam lateri incumbere videtur, dolorque acutus pungit, velut corium stridet et respirationem retinet; in latus quidem affectum decubitum sustinet, in sanum vero minime, verum ei pondus quoddam ex latere dependere et per pectus transspirare videtur. Hunc calida multa bis die lavato et aquam mulsam propinato. A balneo vinum album pauco admixto melle, in quo dauci et centaureae tritum semen maduerit, bis tepidum sorbendum dato, ad latus aquam tepidam in utriculum aut vesicam bubulam infusam admoveto et fascia pectus alligato, ac in latus sanum decumbere iubeto, ptisanae succum tepidum et vinum aquosum superbibendum dato. Quodsi ex vulnere illud accidat, aut cum quis purulentus factus fuerit, — id enim accidere solet, — vesicam fistulae alligatam et flatu impletam huic intro immittito et penicillum stanneum solidum indito et penitissime intrudito. Hac curatione instituta sanationem maxime obtinebis.

ξ'. [6] Τοῦ πλευροῦ φῦμα. Ἐπὴν [7] ἐν πλευρῷ

60. Lateris tuberculum. Ubi tuberculum in

[1] ψύγμα πίνειν. — [2] ἐὰν ὁ πν. προσπέσῃ πρὸς τὸ πλευρόν. — [3] τρίζει τὸ αἷμα οἷον μάσθλης. — [4] πολλῷ θερμῷ. — [5] ἐς. — [6] ἐὰν ἐν τῷ πλευρῷ φῦμα γένηται. — [7] ἐν om.

Parr. 6. Marc., ῥοφ. vulg.; — ψύγματα θ. Littr. ψύγμα vulg.

59. ὁ πνεύμων — στήθεος.] H. θ. non habent inscriptionem; quatuor Parr. eandem ferunt, quam V., nisi quod ἐς pro πρός habent; duo alii huic inscriptioni praemittunt περὶ τοῦ. — Pro ἤν cod. E. ἄν; — τρύζει E., τρίζει vulg.; — vulgata καὶ τρίζει (τρύζει) τὸ αἷμα (δέρμα cod. θ.) οἷον μάσθλης. Littr. apud Gal. in gl. legens μάσθλης· δέρμα pro μάσθλης θέρμης, putat τὸ αἷμα ortum esse e τὸ δέρμα in cod. θ., adeoque glossam esse, quam exemit; consentio. — E. H. θ. Marc. Littr. ἐκ τοῦ πλ., vulg. ἀπὸ τοῦ πλ.

τοῦτον — ὑδαρέα.] Pro πιπίσκειν E. ἐπιπίνειν; — καταροφάνειν vulg., quod Littr. per duplex $\overline{\rho\rho}$ scripsit; Ald. Parr. 4. Marc. καταρυμφάνειν, quod rursus duo Parr. per duplex $\overline{\rho\rho}$ efferunt. — ἀσκεῖον vulg., sed E. H. Marc. ἀσκίον; — simplex πίνειν J. pro ἐπιπ.; — ὑδ. οἶνου H.

ἢν δ' — μάλιστα.] δ' E. H.; — τοῦτο e Voss. et cod. Serv. dedi pro τούτου ceterorum, quae sine dubio falsa lectio. Cod. Marc. ἐμπιμλάναι. Illud ἐκ pro καί, quod e V. notavi, e pluribus Parr. a Littréo adnotatur. In fine capituli aut aliquid deest, v. c. τῆς ὑγιείης, aut re ipsa τυγχάνειν absolute ponitur, quod tamen non certo affirmo.

60. τοῦ πλευροῦ — οἰδέουσι.] H. θ. omm. inscr.; sex Parr. eandem, quam V., habent. Vulgo ἐπὴν (ἐν addunt E. H. θ. Marc., Lind., Mack., Littr.) πλευρῷ φῦμα γένηται (γέν. omm. H., in quo rest. al. m., Marc., φύῃ cod. θ.),

φῦμα γένηται, [1] βὴξ ἴσχει σκληρὴ καὶ ὀδύνη [2] καὶ πυρετὸς, καὶ ἐγκεῖται βαρὺ ἐν τῷ πλευρῷ, καὶ ὀδύνη ὀξέα ἐς τὸ αὐτὸ ἀεὶ χωρίον λαμβάνει, καὶ δίψα ἰσχυρὴ καὶ ἀπερεύγεται τὸ πόμα θερμὸν, καὶ ἐπὶ μὲν τὸ ἀλγέον οὐκ ἀνέχεται κατακείμενος, ἐπὶ δὲ τὸ ὑγιές· ἀλλ' ἐπὴν κατακλίνῃ, δοκέει οἷόν περ λίθος ἐκκρέμασθαι καὶ ἐξοιδέει καὶ ἐξερεύθει, καὶ οἱ πόδες οἰδέουσι. Τοῦτον τάμνειν ἢ καίειν· ἔπειτα ἀφιέναι τὸ πῦον, ἔστ' ἂν γένηται δεκαταῖος καὶ μοτοῦν ὠμολίνῳ· ἐπὴν δὲ γένηται δεκαταῖος, ἐξιεὶς τὸ πῦον πᾶν, ἐσιέναι οἶνον καὶ ἔλαιον χλιήνας, ὡς μὴ ἐξαπίνης ἀποξηρανθῇ καὶ μοτοῦν ὀθονίῳ· ἐξιεὶς δὲ τὸ ἐγκεχυμένον, ἐγχέειν ἕτερον· ποιέειν δὲ ταῦτα πέντε ἡμέρας· ἐπὴν δὲ τὸ πῦον λευκὸν ἀπορρέῃ, οἷον πτισάνης χυλὸς, καὶ ὀλίγον, [3] καὶ κολλῶδες τῇ χειρὶ ψαυόμενον ᾖ, κασσιτέρινον μοτὸν ἐντιθέναι, καὶ ἐπὴν παντάπασι ξηρανθῇ, ἀποτάμνων τοῦ μοτοῦ ὀλίγον ἀεὶ ξυμφύειν τὸ ἕλκος πρὸς τὸν μοτόν.

ξα'. [4] Ὕδερος πνεύμονος. Ἢν ὕδερος ἐν τῷ πνεύμονι γένηται, πυρετὸς καὶ βὴξ ἴσχει καὶ ἀναπνέει ἀθρόον καὶ οἱ πόδες οἰδέουσι, καὶ οἱ ὄνυχες ἕλκονται πάντες καὶ πάσχει οἷάπερ ἔμπυος γενόμενος, βληχρότερον δὲ καὶ πολυχρονιώτερον· καὶ ἢν ἐγχέῃς ἢ πυριᾷς ἢ θυμιᾷς, οὐχ ὁμαρτέει πῦον· καὶ ἢν πολλὸν χρόνον προσέχων τὸ οὖς ἀκουάζῃ πρὸς τὰ πλευρὰ, [5] ζέει ἔσωθεν οἷον ὄξος. Καὶ ἕως μέν τινος ταῦτα πάσχει· ἔπειτα δὲ

latere subortum est, tussis dura detinet et dolor et febris; et pondus in latus incumbit, dolorque acutus eundem locum semper occupat; sitis vehemens vexat et calidum potum reiicit, decubitum in latus affectum non sustinet, sed in sanum. Verum ubi decumbit, velut saxum illi suspensum esse videtur, intumescit ac rubet, pedesque in tumorem sublati sunt. Hunc secato aut inurito, deinde pus ad decimum usque diem emittito et penicillum ex lino crudo imponito. Post decimum diem, ubi totum pus exierit, vinum et oleum, ne derepente siccescat, tepida iniicito et linamento ex linteolo obducito. Ubi quod infuderis emissum fuerit, aliud infundito istaque per dies quinque facito. Cum autem pus album velut ptisanae cremor, paucum, et ad manus contactum viscidum defluxerit, penicillum stanneum immittito. Atque ubi prorsus resiccatus fuerit, paulatim resecto penicillo, ulcus ad linamentum semper ut coalescat curato.

61. Aquae copia in pulmone collecta. Si aquae copia in pulmone collecta fuerit, febris et tussis vexat, confertim respirat, pedes intumescunt, ungues omnes contrahuntur, velut suppuratus afficitur, verum remissius ac diutius. Quodsi infusum, aut fomentum, aut suffitum adhibeas, pus non sequitur; ac si diutius aure ad latera admota auscultaveris, intra velut acetum fervet et aliquantisper ita afficitur, postea in ventrem erumpit, confestimque sanus et

[1] ἢ βήξ. — [2] καὶ — ὀδύνη om. — [3] καὶ κολλ. om., sed ἐν τῇ χ. scribitur. — [4] ἢν ὕδερος ἐν τῷ πνεύμονι γένηται. ἢν δὲ ὕδ. — [5] ὄζει ἔξωθεν.

ἢ (ἢ H. J., ἢ omm. Lind., Mack., Littr.) βὴξ ἴσχει (ἔχῃ E. Marc.) vulg.; unde Littr. ἐπὴν ἐν πλ. φ. ᾖ, — equidem γένηται excidisse puto in codd. illis; docet inscr. Vossiani et codd. consentientium, ἢ vero otiose additum est. Cod. H. βαρύ om., sed rest. al. m.; — ὀξείη vulg., ὀξέη E. H. I. J. Marc.; — αὐτό om. J.; — λαμβ. χ. K.; — ἀπερεύγεται etiam Marc.; — ἐξερύθη vulg. ἐξερύθει I. H. Marc., Lind. ἐξερεύθει E. Littr.

τοῦτον — τὸν μοτόν.] χλιήνας etiam Marc.; — ξηρανθῇ cod. θ.; ἐκκεχ. vulg., ἐγκεχ. E. H. P'. Mack., Littr.; — λευκόν pro vulgato λεπτόν E. P'. Q'. Mack.; est autem unice verum; docet seq. κολλῶδες. quod cum λεπτόν pugnat. — Vulgo καὶ ὀλίγον ἐν τῇ χειρὶ ψαυόμενον ἢ κασσ. Foës. in adn. ἐν abiicit et pro ὀλίγον se γλίσχρον. quod P'. habet, legere malle dicit, sed cod. θ. καὶ κολλῶδες addit, quod cum Littréo recepi. Pro vulg. ἢ dudum alii et Littr. e libris ᾖ. Vulgo ἀποτάμνων τε τοῦ μ., sed cum Voss. τε omisi.

61. ὕδερος πνεύμονος — ὀξύς.] H. θ. omm. inscr.; in sex Parr. eadem, quae in V., nisi quod ἐάν et πλεύμονι legunt. Cod. E.: ἄν; — δέ vulgatae, cf. lect. V., omm. E. H. θ. Littr.; — πνευμ. Parr. 5. et V., πλ. vulg.; — ἢ θυμ., ἢ πυρ. cod. θ. Post οὐχ ὁμαρτέει πῦον omnes legunt τούτῳ ἂν γνοίης ὅτι οὐ πῦον ἀλλὰ ὕδωρ ἐστί, quae verba referunt adnotationem marginalem, quam igitur e textu delevi. Plane similem huic delebimus infra § 63.; — τούτῳ ἂν γν. etiam Marc.; — ζέει est Cornarii emendatio corrupti ὄζει, quam Foës. in adn. adfert, Littréus recepit; ὤζει Lind., ὄψει K.; ἔξωθεν. ut V. cod. Servini.

καὶ — τομῆς.] Vulg. πρὸς τὴν κ., sed ἐς E. H. K'. Q'. Marc., Mack.; — ἐμπίμπραται Marc., ἐμπίπλαται K.; —

ῥήγνυται ἐς τὴν κοιλίην· καὶ αὐτίκα μὲν δοκέει ὑγιὴς εἶναι καὶ τῆς νούσου ἀπηλλάχθαι, τῷ δὲ χρόνῳ ἡ κοιλίη ἐμπίπραται καὶ τά τε αὐτὰ κεῖνα πάσχει καὶ μᾶλλον· ἔνιοι δὲ καὶ οἰδίσκονται τὴν γαστέρα καὶ τὴν ὄσχην καὶ τὸ πρόσωπον, καὶ ἔνιοι δοκέουσι εἶναι ἀπὸ τῆς κοιλίης τῆς κάτω ὁρῶντες τὴν γαστέρα μεγάλην καὶ τοὺς πόδας οἰδέοντας· οἰδίσκεται [1] δὲ ταῦτα, ἢν [2] ὑπερβάλῃς τὸν καιρὸν τῆς τομῆς. Τοῦτον χρή, ἢν μὲν ἀποιδήσῃ ἔξω, ταμόντα διὰ τῶν πλευρέων ἰῆσθαι· ἢν δὲ μὴ ἀποιδέῃ, λούσαντα πολλῷ θερμῷ, καθίσαι ὥσπερ τοὺς ἐμπύους, καὶ ὅπῃ ἂν ψοφέῃ, ταύτῃ τάμνειν· βούλεσθαι δὲ ὡς κατωτάτω, ὅκως [3] σοι εὔροον ἔῃ. Ἐπὴν δὲ τάμῃς, μοτοῦν ὠμολίνῳ, [4] παχὺν καὶ ἔπακρον [5] ποιήσας τὸν μοτὸν καὶ ἀφιέναι τοῦ ὕδατος φειδόμενος ὡς ἐλάχιστα. Καὶ ἢν μέν σοι τῷ μοτῷ πῦον περιγένηται πεμπταίῳ ἐόντι [6] ἢ ἑκταίῳ, ὡς τὰ πολλὰ ἐκφυγγάνει· ἢν δὲ μὴ περιγένηται, ἐπὴν [7] ἐξεράσῃς τὸ ὕδωρ, δίψα ἐπιλαμβάνει καὶ βὴξ, καὶ ἀποθνήσκει.

morbo liberatus esse videtur. Procedente autem tempore venter inflatur eademque illa et maiora patitur. Quibusdam etiam venter et scrotum et facies intumescit. Et nonnulli istud ab inferiore alvo provenire existimant, cum ventrem magnum et pedes intumescere videant. Quae certe intumescunt, si sectionis tempus praeterieris. Hunc quidem si exteriore parte intumescit, inter costas sectione facta curare oportet. Sin vero minime intumescit, post multae calidae balneum velut purulentos in sella collocato et qua parte strepitum edet, ea secato, votumque est, quo tibi facile effluat, ut quam infimo loco id fiat. Post sectionem autem linamentum ex lino crudo crassum et praeacutum imponito et quam paucissimam aquam emittito. Et si quidem quinto aut sexto die linamentum pure obductum fuerit, plerumque evadit, sin vero minime obductum fuerit, postquam aquam eduxeris, sitis corripit et tussis, ac perit.

ξβʹ. [8] Στῆθος ἢ μετάφρενον ῥαγέν. Ἢν τὸ στῆθος ἢ τὸ μετάφρενον ῥαγῇ, ὀδύναι ἴσχουσι τὸ στῆθος καὶ τὸ μετάφρενον διαμπερὲς καὶ θέρμη ἄλλοτε καὶ ἄλλοτε ἐπιλαμβάνει καὶ τὸ σίαλον ὕφαιμον βήσσεται, τὸ δ' οἷον θρὶξ διατρέχει διὰ τοῦ σιάλου αἱματώδης· μάλιστα δὲ ταῦτα πάσχει, ἢν τῇσι χερσί τι [9] πονήσῃ ἢ [10] ἐφ' ἅμαξαν ἐπιβῇ ἢ ἐφ' ἵππον. Τοῦτον καίειν καὶ ἔμπροσθεν καὶ ὄπισθεν μοίρῃ ἴσῃ ἑκάτερον καὶ οὕτως ὑγιὴς γίγνεται· ἐπισχεῖν δὲ [11] τῶν πόνων ἐνιαυτὸν καὶ παχῦναι ἐκ τῆς καύσιος.

62. Pectoris et dorsi ruptio. Si pectus aut dorsum ruptum fuerit, dolores pectus et dorsum per totum detinent, calor subinde invadit et sputum subcruentum tussi reiicit, per quod velut capillus cruentus intercurrit. Eaque maxime accidunt, si manibus laborarit, aut in currum, aut equum conscenderit. Hunc anteriore et posteriore parte inurito aequali utrimque, sicque convalescit. Per annum a laboribus compescito et ab inustione incrassato.

[1] γάρ. — [2] ὑπερβάλλῃς. — [3] τι. — [4] παχύ. — [5] ποιήσασθαι. — [6] ἢ ἑκτ. om. — [7] ἐξεράσῃς. — [8] ἄλλη νοῦσος. — [9] πονέσῃ. — [10] ἐπ' ἅμαξαν. — [11] τὸν πόνον.

οἰδίσκονται J.; — δέ E. H. Marc. Littr., γάρ vulg.; — ὑπερβάλῃς K. Lind., Littr., vulg. e V. notavi.

τοῦτον — εὔροον ἔῃ.] ταύτῃ τέμνειν E.; — σοι pro τοι, seu τι, ut cod. Serv. et V., de meo dedi.

ἐπὴν — ἐλάχιστα.] παχεῖ K.; — παχὺν [δὲ] καὶ Lind.; — ποιήσας E. H. Marc. Littr., vulgatam e V. notavi; — τοῦ αἵματος φειδ. K'. θ. Mack.

καὶ ἢν μὲν — ἀποθνήσκει.] Cett. ἐν τῷ μοτῷ, quo factum puto ut in H. corrigeretur τόπῳ, licet vulg. al. m. restituatur; sed ἐν abundat idque eieci; — ἢ ἑκταίῳ e solo θ. suppleverunt Mack., Littr.; — ἐξαρύσῃς Lind., δ' ἐξαρύσῃς Mack., δὲ ξηράσῃς cod. θ.

62. στῆθος — ἵππον.] In quinque Parr. et θ. inscr. om.; ῥῆγμα στήθεος ἢ μεταφρένου K.; ἐὰν τὸ στ. ἢ τὸ μ. ῥαγῇ E.; cod. Serv., ut V., ἄλλη ν. — Porro καὶ τὸ μετάφρ. cod. θ., ἐπ' ἅμαξαν Edd. antt., Parr. 5., Marc.; —

τοῦτον — καύσιος.] ἐξόπισθεν E. H. θ. Littr., ὄπισθεν vulg.; — μοιρήσῃ vulg., μοιρήσῃι Marc., μήρῃ ἴσῃ Voss., μοίρῃ ἴσῃ θ., quod Mack., Littr. dederunt; — τῶν πόνων E. H. θ. Marc., Mack., Littr., vulgatam e V. notavi.

ξγ'. [1] Πυρετὸς καυσώδης. Πυρετὸς ἴσχει καὶ δίψα ἰσχυρὴ, καὶ ἡ γλῶσσα τρηχεῖα καὶ μέλαινα καὶ χλωρὴ καὶ ξηρὴ [2] ἢ ἐξέρυθρος ἰσχυρῶς, καὶ οἱ ὀφθαλμοὶ χλωροὶ, καὶ ἀποπατέει ἐρυθρὸν καὶ χλωρὸν, καὶ οὐρέει [3] τοιοῦτο, καὶ πτύει πολλόν· πολλάκις δὲ καὶ μεθίσταται [4] ἐς περιπνευμονίην καὶ παρακόπτει. Οὗτος ἢν μὲν γένηται περιπνευμονικὸς [5] καὶ τεσσαρεσκαίδεκα ἡμέρας ὑπερφύγῃ, ὑγιὴς γίγνεται· ἢν δὲ γένηται καὶ ἐν ὀκτωκαίδεκα ἡμέρῃσι [6] μὴ καθαίρηται, ἔμπυος γίγνεται. Τοῦτον χρὴ πίνειν τὸ ἀπὸ τοῦ κρίμνου, καὶ μεταπίνειν [7] ὄξος ὡς εὐωδέστατον λευκὸν καὶ ῥυμφάνειν τὸν χυλὸν τῆς πτισάνης δὶς τῆς ἡμέρης, ἢν δὲ ἀσθενὴς ᾖ, τρὶς, καὶ ἐπιπίνειν οἶνον οἰνώδεα, λευκὸν, ὑδαρέα καὶ λούειν ὡς ἐλάχιστα· ἢν δ' ἔμπυος γένηται, διαιτᾶν ὡς ἔμπυον.

63. Febris ardens. Febris et sitis vehemens detinet, lingua est aspera, nigra, ex virore pallida, sicca aut valde rubra, oculi ex virore pallescunt, alvi excrementum deiicit rubrum et ex virore pallidum, talemque urinam reddit et multum spuit. Saepe etiam ad pulmonis inflammationem transmutatur et delirat. Hic siquidem pulmonis inflammatione laborarit et decimum quartum diem superet, convalescit; sin ad peripneumoniam res deveniat, neque intra octodecim dies purgetur, suppuratus fit. Hunc aquam, in qua farinae hordeaceae crassiora frustula macerata fuerint, bibere oportet, posteaque acetum album quam odoratissimum bibere et ptisanae succum bis die sorbere, ter vero si debilis sit, et vinum generosum album dilutum superbibere et quam minimum lavare. Si vero purulentus fiat, huic purulenti curationem instituito.

ξδ'. [8] Πυρετὸς λυγγώδης. Πυρετὸς ἴσχει σπερχνὸς καὶ ῥῖγος καὶ βὴξ καὶ λὺγξ, καὶ βήσσει ἅμα τῷ σιάλῳ θρόμβους αἵματος, καὶ ἑβδομαῖος ἀποθνήσκει· ἢν δὲ δέκα ἡμέρας ὑπερφύγῃ, ῥάων γίγνεται· εἰκοστῇ δὲ ἡμέρῃ ἐμπυΐσκεται καὶ βήσσει τὰς πρώτας ἡμέρας πῦον ὀλίγον, ἔπειτα ἐπιπλέον· καθαίρεται δὲ ἐν τεσσεράκοντα ἡμέρῃσι. Τοῦτον τὰς μὲν πρώτας ἡμέρας πιπίσκειν τὸ ὄξος καὶ τὸ μέλι ἑφθὸν, καὶ μεταμίσγειν ὄξος καὶ ὕδωρ, ὑδαρὲς ποιέων· ῥυμφάνειν δὲ χυλὸν

64. Febris singultuosa. Febris vehemens detinet, rigor, tussis et vomitus, sanguinis grumos cum tussi reiicit ac septimo die moritur; quodsi decimum diem superaverit, melius habet. Vigesimo autem die suppuratus evadit, primisque diebus pus paucum cum tussi reiicit, deinde copiosius, et intra quadragesimum diem expurgatur. Huic primis quidem diebus acetum cum melle coctum propinato, postea commixto aceto et aqua, quo aquosiorem potionem reddas. Ptisanae succum pauco admixto melle

[1] Solum καυσώδης. — [2] ἤ. — [3] τοιοῦτον. — [4] ὡς π. — [5] καί. — [6] μή. — [7] ὄξος. — [8] Solum λυγγ.

63. πυρετὸς καυσ. — παρακόπτει.] I. J. K. θ. eandem inscr., quam V. habent; H. non habet inscr.; καυσ. πυρ. E.; περὶ πυρετοῦ καυσώδους duo alii Parr.; — καὶ ἐξέρυθρος vulgo; ἢ ἐξερ., ut V., H. θ. Lind., Mack. τοιοῦτον Parr. 4. θ., ut V.; — vulgo ὡς ἐπὶ περιπλευμ., solum ὡς Ald., Parr. aliquot, ut V.; cum Mackio codicem θ. hic sequor; — περιπν. K. — Post παρακόπτει ceteri τούτῳ ἂν γνοίης ὅτι περιπλευμονίη γίνεται, quae referunt adnotationem marginalem, cuiusmodi alteram supra § 61. sustuli, ubi vide.

οὗτος — ἔμπυον.] ἢ τεσσαρεσκαίδ. cod. θ., Littr. pro vulgato καὶ τεσσ.; — ἐκφύγῃ J., ὑπεκφύγῃ K. — Sequentia apud Littr. sic leguntur: ἢν δὲ γένηται ἐν ιη' ἡμέρῃσι, ἢν μὲν ἀκάθαρτος γενόμενος ἔμπυος γένηται, τοῦτον κ. τ. λ. In his ἢν μέν pro vulgato ἢν μή Mack., Littr. e cod. θ.; Littr. pro ἔμπυος γένηται coniecit πῦον πτύηται conferens § 47. — Equidem hunc locum οὗτος — ἔμπυος γένηται corruptum esse video, certam medelam non video; requiritur aliquid quale ἢν δ' ἐν ὀκτωκαίδεκα ἡμέρῃσι μὴ καθαίρηται, ἔμπυος γίγνεται. Τοῦτον κ. τ. λ., nam postremum γένηται in illis verbis indicativum esse debere et pronomine τοῦτον novam periodum esse incipiendam certum est: possis ceterum ἀκάθαρτος servare, si scribas ὀκτωκαίδεκα δ' ἡμέρας ἀκάθαρτος γενόμενος ἔμπυος γίγνεται. Si velis ἢν δὲ γένηται servare, possis dare ἢν δὲ γένηται καὶ ἐν ιη' ἡμέρῃσι μὴ καθαίρηται, ἐμπ. γ. De aceto albo, cf. § 20. cum adnn. Iidem, qui aliis locis ῥυμφ., quod non amplius noto; — ἀσθενήσῃ cod. θ. Pro οἰνώδεα λευκὸν ὑδαρέα E. εὐώδεα, lect. illa tamen rest. al. m.; — ὡς ἐλαχίστῳ cod. θ.; — ἢν δ' ἔμπ. E. H., δέ plene vulg.

64. πυρετὸς λυγγώδης — ἡμέρῃσι.] Inscriptio, quam e V. notavi, in I. J. K. habetur etiam, in H. nulla; — E. λ. π., duo alii περὶ πυρετοῦ λυγγώδους; — δ' ἡμέρῃ E. H.; — τεσσεράκ. e solo Marc. scripsi.

τοῦτον — ἐλάχιστα.] ποιέων H. J. Mack., Littr., πιέων vulg., ποιῶν K.; — ῥοφάνειν μὲν χυλόν vulg., sed δέ codd. multi Parr., θ., Lind., Mack., Littr.; — μέν pro μέλι (cf. lect. V.) e nonnullis Parr. adn. Littr.; — ἢν δ' εἰκοστ. E.

πτισάνης [1] μέλι ὀλίγον παραμίσγων καὶ οἶνον ἐπιπίνειν λευκὸν οἰνώδεα· ἐπὴν δὲ δέκα ἡμέραι παρέλθωσι, ἢν τὸ πῦρ παύσηται καὶ τὸ πτύαλον καθαρὸν ᾖ, τὴν πτισάνην ὅλην ῥυμφανέτω ἢ τὸν κέγχρον· ἢν δ᾽ εἰκοσταῖος τὸ πῦον πτύσῃ, πινέτω, κόψας καὶ σήσας τὸν ἐλελίσφακον καὶ πήγανον καὶ θύμβρην καὶ ὀρίγανον καὶ ὑπερικὸν, ἴσον ἑκάστου ξυμμίσγων, ὅσον σκαφίδα σμικρὴν ξυμπάντων καὶ ἀλφίτων τὸ αὐτὸ ἐπ᾽ οἴνῳ γλυκέϊ κεκρημένῳ, νήστι πίνειν διδόναι· καὶ ῥυμφανέτω ἢν χειμὼν ᾖ ἢ μετόπωρον ἢ ἔαρ· ἢν δὲ θέρος ᾖ, μή· ἀλλ᾽ ἀμυγδάλια τρίβων καὶ σικύου σπέρμα πεφωσμένον καὶ σήσαμον, ἴσον ἑκάστου, τὸ ξύμπαν δὲ ὅσον σκαφίδα, ἐπιχέας ὕδατος ὅσον κοτύλην αἰγιναίαν, ἄλητον ἐπιπάσσων καὶ κηρίον, τοῦτο ῥυμφανέτω μετὰ τὸ πόμα· σιτίοισι δὲ χρήσθω λιπαροῖσι καὶ ἁλμυροῖσι καὶ θαλασσίοισι μᾶλλον ἢ κρέασι· καὶ λούσθω δὲ θερμῷ, τὴν κεφαλὴν δὲ ὡς ἐλάχιστα. Ταῦτα ποιέων ἀπαλλάσσεται τῆς νούσου.

sorbeat et vinum album generosum superbibat. Ubi vero decem dies praeterierint, si febris cesset sputumque purum fuerit, ptisanam integram aut milium sorbeat. Si vero vigesimo die pus exspuat, salviam, rutam, satureiam, origanum et hypericum, singula aequis portionibus admixta, tusa et cribrata, omnium quantum conchae parvae testa capit bibat, et cum pari polentae modo ex vino dulci temperato ieiuno bibenda dato. Sorbitionibus etiam utatur, si hiems aut auctumnus aut ver fuerit, aestate vero minime. Verum amygdalas tritas, cucumeris semen torrefactum, sesamum aequis portionibus, in totum vero quantum conchae testa capit, aqua heminae Aeginensis mensura affusa, adspersa farina et favo, post potionem sorbeat. Cibis autem utatur pinguibus et salsis, et piscibus marinis potius quam carnibus. Calida lavet, caput vero minime. Quae si feceris, morbo liberatur.

ξε΄. [2] Νοῦσος ἡ καλεομένη λήθαργος. Βὴξ ἴσχει καὶ τὸ σίαλον πτύει πουλὺ καὶ ὑγρὸν καὶ φλυηρέει καὶ ὅταν παύσηται φλυηρέων, εὕδει καὶ ἀποπατέει κάκοδμον. Τοῦτον πιπίσκειν τὸ ἀπὸ τοῦ κρίμνου καὶ μεταπιπίσκειν οἶνον [3] λευκὸν οἰνώδεα καὶ ῥυμφάνειν τὸν χυλὸν τῆς πτισάνης, ξυμμίσγειν δὲ σίδης χυλόν· καὶ οἶνον ἐπιπίνειν [4] οἰνώδεα λευκὸν, καὶ μὴ λούειν. Οὗτος ἐν ἑπτὰ ἡμέρῃσι ἀποθνήσκει· ἢν δὲ ταύτας ὑπερφύγῃ, ὑγιὴς γίγνεται.

65. Morbus, qui lethargus appellatur. Tussis detinet et sputum copiosum et liquidum exspuit et delirat, cumque delirium quieverit, dormit et alvi excrementum male olens deiicit. Huic aquam in qua farina hordeacea crassior macerata fuerit propinato, posteaque vinum album generosum bibendum exhibeto, ptisanae succum etiam mali punici succo admixto sorbeat, vinumque album generosum superbibat neque lavet. Hic intra dies septem moritur, quos si effugerit, sanus evadit.

ξϛ΄. [5] Ἑτέρη νοῦσος, ἡ λεγομένη αὐαντή. Οὐκ ἀνέχεται ἄσιτος, οὐδὲ βεβρωκὼς, ἀλλ᾽ ὅταν μὲν ἄσιτος ᾖ, τὰ σπλάγχνα μύζει

66. Alius morbus, Graece *αὐαντή*, i. e. resiccatorius, dictus. Non inediam, non cibum sumptum ferre potest, sed ieiuno quidem vi-

[1] μὲν ὀλ. παραμ. καὶ μέλι καὶ οἶνον ἐ. — [2] Solum λήθαργος. — [3] οἰν. λευκόν. — [4] λ. οἰν. — [5] ἑνοῦσος κ. τ. λ.

H., *δέ* plene cett.; — *συμμίσγειν* quinque Parr.; — *ἐπ᾽ οἴνῳ* E. H., *ἐπὶ ὀ.* vulg.; — *διδόναι* de meo adscripsi; *πεφωγμένον* cod. θ. et Marc., in quo tamen *πεφωσμένον* postea scriptum. *Τό* ante *ξύμπαν* de meo dedi. Vulgo *λούσθω δὲ θερμῷ τὴν κεφ. ὡς ἐλάχιστα*, quod mirum sonat, sed *καὶ λούσθω* sine *δέ* E. H. θ. et *τὴν δὲ κεφ.* solus θ.; itaque hunc codicem cum Mackio sequor; nisi quod prius *δέ* item servo. Corn. et Foës. eam codicis θ. lectionem Latine expresserunt

65. *νοῦσον — κάκοδμον.*] Quinque Parr. et θ. eandem habent capituli inscriptionem, quam V.

τοῦτον — ὑγιὴς γίγνεται.] In epithetis *λευκὸν οἰν.* et dein *οἰν. λ.*, idem ordo, qui in V., in E. H. I. J. K. — Post. *ξυμμίσγειν* I. K. *τε* pro *δέ*.

66. *ἑτέρη νοῦσος — ἀσθενὴς γίγνεται.*] Inscriptionem om. H., *ἑτέρη* omm. I. K., *νόσος ἡ λεγ. ἀβαντή* E. J. — Porro *καὶ χολήν* om. K.; — *σίαλον* fere exspectas pro *σίαλα* librorum; plurale *σίαλα* tamen saepius legitur. — *ἐρυγμαί*

καὶ καρδιώσσει καὶ ἐμέει ἄλλοτε ἀλλοῖα καὶ χολὴν καὶ σίαλα καὶ λάπην καὶ δριμὺ, καὶ ἐπὴν ἐμέσῃ, ῥάων δοκέει εἶναι ἐπ' ὀλίγον· ἐπὴν δὲ φάγῃ, ἐρύγματά οἱ γίγνεται, καὶ φλογιᾷ, καὶ ἀποπατήσειν αἰεὶ οἴεται πουλύ· ἐπὴν δὲ καθίζηται, φῦσα ὑποχωρέει· καὶ τὴν κεφαλὴν ὀδύνη ἔχει καὶ τὸ σῶμα πᾶν ὥσπερ ῥαφὶς κεντέειν δοκέει ἄλλοτε ἄλλῃ καὶ τὰ σκέλεα βαρέα καὶ ἀσθενέα· καὶ μινύθει καὶ ἀσθενὴς γίγνεται. Τοῦτον φάρμακον πιπίσκειν πρῶτον μὲν κάτω, ἔπειτα δὲ ἄνω, καὶ τὴν κεφαλὴν καθαίρειν· καὶ σιτίων ἀπέχεσθαι γλυκέων καὶ ἐλαιηρῶν καὶ πιόνων καὶ θωρηξίων· ἐμέειν δὲ τοῖσι χυλοῖσι καὶ ἀπὸ σιτίων, καὶ τὴν ὥρην ὄνου γάλα ἢ ὀῤῥὸν πιπίσκων, φάρμακον προσπῖσαι, ὁκοτέρου [1] ἂν σοι δοκέῃ μᾶλλον δεῖσθαι, καὶ ψυχρολουτέειν τὸ θέρος καὶ τὸ ἔαρ, τὸ φθινόπωρον δὲ καὶ τὸν χειμῶνα ἀλείμματι χρῆσθαι, καὶ περιπατέειν, καὶ γυμνάζεσθαι ὀλίγα· ἢν δ' ἀσθενέστερος ᾖ [2] ἢ ὥστε γυμνάζεσθαι, ὁδοιπορίῃ χρῆσθαι· καὶ σιτίοισι ψυχροῖσι καὶ διαχωρητικοῖσι χρήσθω· καὶ ἢν ἡ γαστὴρ μὴ ὑποχωρέῃ, ὑποκλύζειν κλύσματι μαλθακῷ. Ἡ δὲ νοῦσος χρονίη καὶ ἀπογηράσκοντας, ἢν μέλλῃ, [3] ἀπολείπει· ἢν δὲ μὴ, ξυναποθνήσκει.

ξζ'. [4] Πυρετὸς ὁ φονώδης λεγόμενος. Πυρετὸς ἴσχει καὶ ῥῖγος καὶ αἱ ὀφρύες ἐπικρέμασθαι δοκέουσι καὶ τὴν κεφαλὴν ἀλγέει καὶ ἐμέει σίαλον θερμὸν καὶ χολὴν πολλήν· [5] καὶ ἐνίοτε καὶ κάτω ὑποχωρέει· καὶ τοὺς ὀφθαλμοὺς αἱ χῶραι οὐ χωρέουσι, καὶ ὀδύνη ἐς τὸν αὐχένα καὶ ἐς τοὺς βουβῶνας ἴσχει· καὶ [6] δυσθανατέει καὶ φλυηρέει. Οὗτος ἑβδομαῖος ἢ καὶ πρότερον ἀποθνήσκει· ἢν δὲ ταύτας

scera rugitum edunt et ventriculi os mordetur, et alio tempore alia vomit, bilem, salivam, pituitam et acre, postque vomitionem aliquantisper melius habere videtur. Ubi autem cibum sumpsit, ructus ei fiunt et cum rubore incenditur, semper se copiosum alvi recrementum deiecturum existimat, cum vero desederit, flatus infra demittitur; caput dolore vexatur, totum corpus huc et illuc velut acu pungi videtur, crura gravantur, debilitantur, et tabescit debilisque evadit. Huic medicamentum primum quidem per inferiora purgans, deinde vero per superiora, propinato et caput purgato. Cibis abstineat dulcibus, oleosis et pinguibus et crapula. Succis post cibum vomitum cieto et, si anni tempus ferat, post exhibitum lac aut serum asininum medicamentum, utro tibi magis opus esse videatur, insuper propinato. Frigidae balneo aestate et vere utatur, auctumno vero et hieme unguento et deambulatione exercitationeque modica. Quodsi debilior sit quam ut exerceri queat, iter conficiat, cibis frigidis et alvum deiicientibus utatur et si venter non infra subeat, molli infuso subluito. Hic morbus diuturnus est, nec nisi consenescentes deserit, alioqui ad mortem usque comitatur.

67. Febris mortifera dicta. Febris et rigor detinet, supercilia suspensa esse videntur, caput dolor vexat, salivam calidam et bilem copiosam vomitione reiicit, interdumque per inferiora demittit, oculorum loca eos capere nequeunt, dolor cervicem et inguina occupat, cum morte conflictatur et delirat. Hic intra septem dies, aut etiam prius moritur, quos si superaverit, plerumque convalescit, morbus autem letalis

[1] σοι δοκέει sine ἄν. — [2] ἢ om. — [3] ἀπολείπειν. — [4] solum φονώδης πυρετός. — [5] καί om. — [6] δυσθετεῖ.

τε καὶ φλογίαι cod. θ.; — οἱ γίνεται omm. E., in quo rest. al. m., sex alii Parr., Marc.; — αἰεί etiam Marc.; — δοκέει etiam Marc.; — καὶ ἀσθ. γ. καὶ μινύθει E.

τοῦτον — μαλθακῷ.] ἐμέειν τοῖσι H. sine δέ; — προσπῖσαι, al. m. προπ. H.; contra προπ., al. m. προσπ. E.; — ὁκοτέρου σοι δοκέῃ vulg., ἄν e θ. supplevit Littr., δοκέει sine ἄν E. I. J. K., ut V. — καὶ ψυχρολ. τὸ θ., ut V., cod. Serv., Mack., in vulg. et καί abest et δέ post ψυχρολ., quod Littr. dedit ex θ. sine καί. — E. H. ἢν δ' ἀσθ., vulg. δέ plene, — ἤ de suo supplevit Littr.; ἀπολείπει θ. Lind., Mack., Littr., ἀπολείπειν vulg.

πυρετὸς — φλυηρέει.] Eadem inscr., quae in V., in Parr. 4., solum φονώδης H. θ.; — ἐπικρέμμασθαι H. Marc.; — καί ante ἐμέει om. Lind.; καί ante ἐνίοτε de meo addidi; — ἐς ante τοὺς βουβῶνας omm. E. H.; — δυσθενεῖ vulgo, sed δυσθετεῖ E. H. I. K., cod. Serv., Voss., Marc., itaque in hoc agnosco vestigium antiquae lect. δυσθανατέει, quam repono, cf. supra § 54. 58.; — φλυαρέει I. J. K. et in H. ita corrigitur.

οὗτος — θανατώδης.] ἢ πρότερον E. H. sine καί; — ὡς ante τὰ πολλά omm. Ald. et permulti codd. Parr.; ἐκφυγγάνει pro vulgato ὑγιαίνει scripsi cum Lind. ex E. H. P.' Q.' Marc., ὑπεκφυγγάνει cod. θ.

ὑπερφύγῃ, ὡς τὰ πολλὰ [1] ἐκφυγγάνει· ἡ δὲ νοῦσος θανατώδης. Τούτῳ ψύγματα χρὴ προσίσχειν πρὸς τὰ σπλάγχνα καὶ πρὸς τὴν κεφαλὴν, καὶ πίνειν διδόναι [2] ἐρείξαντα τὰς κάχρυς ξὺν τοῖσι ἀχύροισι [3] καὶ ἀποβρέχοντα καὶ ἀπηθέοντα τὸ ὕδωρ μελίκρητον ποιέοντα ὑδαρὲς διδόναι· [4] σιτίον δὲ μὴ προσφέρειν μηδὲ ῥύφημα ἑπτὰ ἡμερέων, ἢν μὴ ἀσθενὴς σοι δοκέῃ εἶναι· ἢν δὲ ᾖ, χυλὸν πτισάνης ψυχρὸν καὶ λεπτὸν ὀλίγον διδόναι δὶς τῆς ἡμέρης καὶ ἐπιπίνειν ὕδωρ· ἐπὴν δὲ ἑπτὰ ἡμέραι παρέλθωσι καὶ τὸ πῦρ μεθῇ, κέγχρον λείχειν· ἐς ἑσπέρην δὲ [5] κολοκύνθην ἢ σεῦτλα διδόναι ὀλίγα καὶ οἶνον λευκὸν ὑδαρέα ἐπιπίνειν, ἔστ' ἂν γένηται ἐναταῖος· ἔπειτα σιτίῳ ὡς ἐλαχίστῳ [6] διαχρήσθω, ἀριστιζόμενος κέγχρον· λουτρῷ δὲ, ἔστ' ἂν μὲν ἡ ὀδύνη ἔχῃ καὶ ὁ πυρετὸς, μὴ χρήσθω· ἐπὴν δὲ παύσηται, λούσθω πολλῷ· ἢν δὲ ἡ γαστὴρ μὴ ὑποχωρέῃ, ὑποκλύζειν κλύσματι μαλθακῷ ἢ βαλάνους προστιθέναι. Ἐπὴν δ' ἰσχύσῃ, προσθεὶς πρὸς τὰς ῥῖνας φάρμακον μαλθακὸν, τὴν κοιλίην κάτω κάθηρον· ἔπειτα γάλα ὄνου μετάπισον.

est. Huic refrigerantia ad viscera et caput admovere oportet, et hordea torrefacta una cum paleis confracta bibenda exhibere et ex aqua, in qua macerata fuerint, excolata mulsam conficere eamque dilutam propinare. Cibus autem neque sorbitio ante septimum diem offerenda, nisi ubi debilis videatur. Quodsi sit, ptisanae succus frigidus et liquidus paucus bis die exhibendus et aqua superbibenda. At ubi septimum diem praeterierit, et febris dimiserit, milium delingendum. Sub vesperum cucurbita aut betae paucae exhibendae, vinumque album aquosum superbibendum, quoad nonum attingat diem. Deinde quam minimo cibo utatur, milio in prandio sumpto. Balneo, quamdiu dolor et febris detinet, ne utatur. Ubi vero quieverit, multa lavet. Quodsi venter non demittat, eum molli infuso subluito, aut glandes subdito. At ubi vires valuerint, molli medicamento ad nares admoto alvum per inferiora purgato, deinde lac asininum propinato.

ξη'. Πελίη νοῦσος. Πυρετὸς [7] ἴσχει καὶ βρυγμὸς ἄλλοτε καὶ ἄλλοτε, καὶ τὴν κεφαλὴν ἀλγέει, καὶ τὰ σπλάγχνα ὀδύνη ἔχει, καὶ ἐμέει χολὴν, καὶ ὅταν [8] ἡ ὀδύνη ἔχῃ, οὐ δύναται ἐνορᾷν, ἀλλὰ βαρύνεται· καὶ ἡ γαστὴρ σκληρὴ γίγνεται καὶ ἡ χροιὴ πελιδνὴ καὶ τὰ χείλεα καὶ τῶν ὀφθαλμῶν τὰ λευκὰ

68. Lividus morbus. Febris detinet et interdum dentium stridor, et caput dolet et viscera dolor occupat, et bilem evomit, cumque dolor detinet, intueri nequit, sed gravatur, venter indurescit, color lividus redditur, labra et oculorum candida livescunt et oculi prominent velut strangulato, interdum etiam colorem

[1] ὑγιαίνει. — [2] ἐριύξαντας κάγχρυς. — [3] τὰ φύλλα ἀποβρ. — [4] σιτίων. — [5] κολοκύντην. — [6] χρήσθω. — [7] ἴσχει ξηρὸς καὶ φρὶξ ἄλλοτε κ. ἄ. καὶ τὴν κεφ. — [8] ἡ om.

τούτῳ — προστιθέναι.] ἐρρήξαντα vulg., ἐρρύξαντας G. Ald.; H. I. uti V., ἐρύξαντας E., ἐρυίξαντας K., ἐρίξαντας Marc., ἐρίξαντα cod. θ.; dudum perspexerunt in his ἐρείξαντα latere. Articulum ante κάχρυς omm. Ald., Parr. 4.; κάγχρυς cod. Serv., Voss., sic κέγχρους uti in F. G. ortum est; σύν ante τοῖσι ἀχύροισι om. Ald., ἐπί pro σύν Lind. — Vulgo καὶ ἀποβρέχοντα, Littr. καί sustulit; — illud τὰ φύλλα pro καί, cf. lect. V., e multis Parr. adnotat Littréus et Marc. habet; — καὶ ἀπηθέαντα vulg., sed ἀπηθέοντα sine καί multi codd. et Littr. cum edd. antt. — Vulgo ἐν τούτῳ μελίκρ. et dein ὑδαρὲς τοῦτο διδόναι; equidem subnotata illa pro emblematis alienis repudio; — μελίκρητα F. G.; ἄχρις, ἢν μὴ κ. τ. λ. edi solet, sed ἄχρις om. in H., licet restituatur; ego facile eo careo; — τοι pro σοι Mack. — Porro ἢν δ' (δέ Q.' θ.) ἀσθενὴς ᾖ E. H, K. Q.' θ. — In καὶ ἐπιπίνειν ὕδωρ copulam omm. Ald., Parr. 5.; — ἐπὴν δὲ αἱ ἕπτα ἡμ. Parr. 5., Ald.; — μεθῇ omm. E. P., κολοκύντην, ut V., edd. antt., Parr. 6., Lind.; — ὀλίγα διδόναι cod. θ.; — ἐναταῖος H. K., vulg. per duplex νν; — διαχρήσθω E. H. P.' Q.' θ. Mack., Littr.; vulgatam e V. notavi; — ἔστ' ἂν μὲν ἡ ὀδ. scripsi e Marc., cett. omm. μέν; cod. θ. fert λούσθω μὴ πολλῷ.

ἐπὴν — μετάπισον.] δ' E. H., δέ vulg.; — ἰσχύῃ J.

68. πελίη νοῦσος — ὑποχλ. γίγν.] H. inscr. om.; πελίη solum θ. In seqq. vulgatam e V. descripsi, locum autem emendavi e sententiarum Cnidiarum verbis apud Gal. XVII[a] p. 888., ubi πελιὰς πυρετὸς ἴσχει καὶ βρεγμὸς ἄλλοτε καὶ ἄλλοτε καὶ τὴν κεφ. ἀλγέει. Porro ὀδύνην Parr. 4.; — καὶ ἐμ. χολ. om. θ.; — ἀνορᾷν vulg., ἐνορᾷν Ald., Parr. duo, cod. Serv., sent. Cnid., Littr.; — γαστὴρ ξηρή Sent. Cn., unde fortasse πυρετὸς ξηρός in vulg. loci principio natum, nisi in ξηρός lateat ἰσχυρός.

πελιδνὰ καὶ ἐξορᾷ ὡς ἀγχόμενος· ἐνίοτε καὶ τὴν χροιὴν μεταβάλλει καὶ ἐκ πελιδνοῦ ὑπόχλωρος γίγνεται. Τοῦτον φάρμακον πιπίσκειν καὶ ἄνω καὶ κάτω, καὶ ὑποκλύζειν καὶ ἀπὸ τῆς κεφαλῆς ἀποκαθαίρειν, καὶ θερμῷ ὡς ἥκιστα λούειν, [1] ἀλλ' ἐπὴν λούηται, εἱληθερεῖν καὶ ὀρρὸν τὴν ὥρην καὶ γάλα ὄνου πιπίσκειν καὶ σιτίοισι ὡς μαλθακωτάτοισι χρῆσθαι καὶ ψυχροῖσι, ἀπεχόμενον τῶν δριμέων καὶ [2] τῶν ἁλμυρῶν· λιπαρωτέροισι δὲ καὶ γλυκυτέροισι καὶ πιοτέροισι χρήσθω. Ἡ δὲ νοῦσος ὡς τὰ πολλὰ ξυναποθνήσκει.

ξθ'. [3] Νοῦσος ἐρυγματώδης. Ὀδύνη λάζεται ὀξέα καὶ πονέει ἰσχυρῶς καὶ ῥιπτάζει αὐτὸς ἑωυτὸν, καὶ βοᾷ, καὶ ἐρεύγεται θαμινὰ, καὶ [4] ἐπὴν ἀπερύγῃ, δοκέει ῥάων [5] εἶναι· πολλάκις δὲ καὶ χολὴν ἀπεμέει ὀλίγην ὅσον βρόχθον· καὶ ὀδύνη λαμβάνει ἀπὸ τῶν σπλάγχνων ἐς τὴν νειαίρην γαστέρα καὶ τὴν λαπάρην, καὶ ἐπὴν τοῦτο γένηται, ῥάων δοκέει εἶναι καὶ ἡ γαστὴρ φυσᾶται καὶ σκληρὴ γίγνεται καὶ ψοφέει, καὶ ἡ φῦσα οὐ διαχωρέει, οὐδὲ ὁ ἀπόπατος. Τοῦτον ἐπὴν ἡ ὀδύνη ἔχῃ, λούειν πολλῷ θερμῷ, καὶ χλιάσματα προστιθέναι· ὅταν δ' ἐν τῇ γαστρὶ ἡ ὀδύνη ᾖ καὶ ἡ φῦσα, ὑποκλύζειν, καὶ [6] τῆς λινοζώστιος ἕψων τὸν χυλὸν ξυμμίσγειν τῆς πτισάνης τῷ χυλῷ, καὶ ἐπιπίνειν οἶνον γλυκὺν ὑδαρέα· σιτίον δὲ μὴ προσφέρειν ἔστ' ἂν ἡ ὀδύνη χαλάσῃ· πινέτω δὲ ἓξ ἡμέρας, ἐκ νυκτὸς στέμφυλα βρέχων γλυκέα, τὸ ὕδωρ τὸ ἀπὸ τούτων· ἢν δὲ μὴ [7] ἔχῃς στέμφυλα, μέλι καὶ ὄξος ἑφθόν· ἐπὴν δὲ τῆς ὀδύνης [8] ἀποκινήσῃ, φαρμάκῳ κάτω τὴν κοιλίην καθαίρειν· σιτίοισι δὲ χρήσθω μαλθακοῖσι καὶ ὑποχωρητικοῖσι καὶ

mutat et ex livido cum virore aliquo pallescit. Huic medicamentum cum supra tum deorsum purgans propinato, alvum subluito et ex capite purgato. Calida quam minimum lavet, verum ubi laverit, insoletur, serum et lac asininum, si anni tempus ferat, bibat; cibis quam mollissimis et frigidis utatur; acribus et salsis abstineat, unguinosa vero et dulcia pinguiaque assumat. Hic autem morbus aegrum plerumque ad mortem usque comitatur.

69. Morbus ructus ciens. Dolor acutus prehendit vehementerque laborat, se ipsum huc illuc reiicit, vociferatur, frequenter eructat, ac ubi eructaverit, melius habere videtur. Plerumque vero paucam bilem vomitione reiicit, quantum poculi parvi mensura, dolor ex visceribus ad imum ventrem et laterum mollitudinem pertingit, cumque id acciderit, melius habere videtur, venter inflatur et indurescit, sonitum edit, neque flatus, neque stercus demittitur. Hunc si dolor detinet, calida multa lavato et tepefactoria admoveto. Cum vero in ventre dolor et flatus exstiterit, per infusum subluito et mercurialis succum coctum ad ptisanae succum admisceto et vinum dulce aquosum superbibendum dato. Cibum, quoad dolor remiserit, ne porrigito, aquam autem ex vinaceis dulcibus per noctem maceratis sex diebus bibat. Quodsi vinacea non habeas, mel cum aceto coctum bibat. At cum dolore vacuus fuerit, medicamento alvum per inferiora purgato. Cibis utatur mollibus et alvum subducentibus et marinis potius quam carnibus. Car-

[1] ἀλλὰ καὶ ἐ. — [2] τῶν om. — [3] Solum ἐρυγμ. — [4] ἂν ἀπερ. — [5] εἶναι καὶ ἡ γαστήρ· πολλ. — [6] καὶ τῆς πτισ. τῷ χ. omissis intermediis. — [7] ἔχῃ. — [8] ἀποκινήσῃ.

τοῦτον — χρήσθω.] Copulam ante ὑποκλ. omm. E. P.' Q.' θ. Mack.; — ἀλλ' ἐπήν cod. θ., Mack., ἀλλὰ ἐπήν E. H., vulgatam e V. notavi; — ἐλιθερεῖν H., εἰλιθερεῖν E. K., εἰλειθερεῖν θ. Mack.; — ὥρην etiam Marc.; — καὶ ἁλμ., ut V., Parr. quatuor.

ἡ δὲ νοῦσος — ξυναποθνήσκει.] δέ omm. E. H.; — vulgo ξυναποθνήσκει τῷ κάμνοντι, sed τῷ κάμνοντι omm. E. H. θ. Marc.

69. νοῦσος ἐρυγμ. — ὁ ἀπόπατος.] Eadem inscr., quae in V., in Parr. 4. et θ., ἐρ. ν. K.; — ὀξείη vulg., ὀξέη Ald., alii libri plures, Lind., Littr.; — ἐὰν ἀπερύγῃ E. H. Marc., ἂν tres Parr., ut V., ἢν vulg., ἐπήν cod. θ. Littr. Articulum ante ἀπόπατος om. H., in quo rest. al. m., J.

Τοῦτον — ἀπέρχεσθαι.] ἐπὴν ἡ ὀδ. ἐ. est codicis V lectio, ἢν ὀδ. ἐ. vulg.; — δ' ἐν E. H., δέ plene cett.; ξυμμίσγειν vulg., συμμ. E. H. I. J. K. Ceteri ἔχῃ στεμφ., sed ἔχῃς dedit auctor, σ periit propter σ vocabuli sequentis. Pro ἀποκινήσῃ Foës. malle se dicit ἀποκενώσηται, quod Mack. recepit, Littr. recte repudiat vulgatam integram esse monens. Non latuit Foësium Suidae locus, ubi ἀποκινεῖν

θαλασσίοισι μᾶλλον ἢ κρέασι, κρέασι δὲ ὀρνιθείοισι καὶ μηλείοισι ἑφθοῖσι, καὶ σεῦτλα καὶ κολοκύνθην ἐσθιέτω, τῶν δ' ἄλλων ἀπέχεσθαι. Ἡ δὲ νοῦσος ὅταν μὲν νέον λάβῃ, χρόνῳ ἐξέρχεται· ἢν δὲ πρεσβύτερον, ξυναποθνήσκει.

nibus autem avicularum et ovium coctis, betas etiam et cucurbitam assumat, reliquis vero abstineat. Hic autem morbus si iuvenem invaserit, progressu temporis decedit, senem vero ad mortem comitatur.

ο'. [1]Νοῦσος φλεγματώδης. Λάζεται μὲν καὶ ἄνδρα, μᾶλλον δὲ γυναῖκα· καὶ παχεῖα μέν ἐστι καὶ εὔχρως, ὁδοιπορέουσα δὲ ἀσθενέει, μάλιστα δὲ ἐπὴν πρὸς αἶπος ἴῃ· καὶ πυρετὸς λεπτὸς λαμβάνει [2]καὶ ἐνίοτε καὶ πνίγμα· καὶ ἀπεμέει [3]μὲν ὅταν ἄσιτος ᾖ, χολὴν, καὶ σίαλα πολλὰ, πολλάκις δὲ καὶ ὅταν φάγῃ, τοῦ δὲ σιτίου οὐδέν· καὶ ὅταν πονήσῃ, ὀδυνᾶται ἄλλοτε ἄλλῃ τὸ στῆθος καὶ τὸ μετάφρενον, καὶ καταπίμπλαται [4]πομφῶν ὡς ὑπὸ κνίδης. Τοῦτον φάρμακον πιπίσκειν καὶ ὀρρὸν καὶ γάλα ὄνου πινέτω· ἢν δὲ ὀρροποτέῃ, προπῖσαι φάρμακον κάτω ὡς πλείστας ἡμέρας· καὶ ἢν ἀπολήγῃ τῆς ὀρροποτίης, μεταπιέτω γάλα ὄνειον· ἐπὴν δὲ πίνῃ, σιτίων μὲν ἀπεχέσθω· οἶνον δὲ πινέτω ὡς ἥδιστον, ἐπὴν παύσηται καθαιρόμενος· ἐπὴν δὲ ἀπολήξῃ τῆς πόσιος, [5]ἀριστιζέσθω μὲν κέγχρον, [6]ἐς ἑσπέρην δὲ σιτίῳ ὡς μαλθακωτάτῳ χρήσθω καὶ ἐλαχίστῳ· ἀπεχέσθω δὲ πιόνων καὶ γλυκέων καὶ ἐλαιηρῶν· καὶ ἄλλοτε καὶ ἄλλοτε, μάλιστα τοῦ χειμῶνος, ἀπεμεέτω τῷ φακίῳ, λάχανα προτρώγων· καὶ θερμῷ ὡς ἥκιστα λούσθω, ἀλλὰ εἱληθερεέτω. [7]Ἡ δὲ νοῦσος ξυναποθνήσκει.

70. Morbus pituitosus. Virum quidem etiam, mulierem tamen magis invadit et haec quidem crassa est et bene colorata, iter autem faciens imbecilla est, praesertim vero ubi ad arduum aut acclivem locum contendit. Febris tenuis interdumque suffocatio prehendit et ieiuna quidem bilem salivamque copiosam vomitione reiicit et plerumque ubi cibum sumpsit, cibi tamen nihil. Cum laborarit, dolor modo pectus, modo dorsum occupat et tumidis ac rubicundis cutis eminentiis, velut ab urtica inustis, completur. Huic medicamentum purgans propinato, serum et lac asininum bibat. Quodsi serum bibat, multis ante diebus medicamentum per inferiora purgans bibendum exhibeto, cumque serum bibere desierit, lac asininum postea bibat et ubi biberit, cibis quidem abstineat, vinum autem quam suavissimum bibat, ubi purgare desierit. Cum vero a potione cessaverit, milium in prandio sumat, sub vesperum autem cibo quam mollissimo et paucissimo utatur et pinguibus, dulcibus et oleosis abstineat, subindeque, praesertim hieme, ubi olera ante comederit, ex lenticulae decocto vomat, calida quam minimum lavet, sed ad solem calefiat. Hic vero morbus ad mortem usque comitatur.

οα'. Φλέγμα λευκόν. Οἰδέει ἅπαν τὸ σῶμα λευκῷ οἰδήματι καὶ ἡ γαστὴρ παχέα

71. Pituita alba. Totum corpus albo tumore intumescit, venter ad contactum crassus est,

[1] Νοῦσος om. — [2] καί om. — [3] μέν om. — [4] πολφῶν. — [5] ἀριστιζέτω. — [6] ἐς om. — [7] ἡ — ξυναποθνήσκει om.

exponit, cuius partem in Oecon. citat. En integrum: ἀποκινεῖν. τὸ ἀπέρχεσθαι καὶ ἀποτρέχειν. λέγεται καὶ ἐπὶ πλοίων καταγομένων καὶ ὁρμιζομένων ἀποκινεῖν ταῖς κώπαις. Porro διαχωρητικοῖσι cod. θ.; — κολοκύντην edd. antt., Parr. sex, Lind. De meo ἐσθιέτω dedi.

70. ν. φλεγμ. — κνίδης.] νοῦσος, ut V., omm. Parr. 5., θ.; — τὸν ἄνδρα pro καὶ ἄνδρα E., unus K. ἄνδρα sine καί. E. θ. αἶπος recte scriptum ferunt, ἔπος vulg.; — ἀπεμέειν cod. θ., sed hic om. μέν, quod item omm. H. I. J. K., ut V.; — χολὴν πολλήν cod. θ., χολὴν, πολλάκις δὲ καὶ ὅταν φάγῃ, σίαλα πολλά Lind., qua innovatione nec mihi opus esse videtur. Copulam ante ὅταν πονήσῃ omm. Parr. 3.; — ὀδυνᾶται καὶ ἄλλοτε vulgo, sed καί omm. libri quatuor. Etiam Marc. πολφῶν; Littr. monet nullum librum scriptum πομφῶν ferre, at πομφοί Gal. in Gl., reputa πόμφολυξ.

τοῦτον — εἱληθερεέτω.] ὀρόν H., ὀροποτέῃ idem et Marc., iidemque ὀροποτίης. in H. tamen duplex ρρ singulis locis restituitur; — ἔστ' ἂν παύσηται K.'; — ἐπὴν ἀπολ. H., sed δέ, rest. al. m.; — ἀριστιζέτω vulg., ἀριστιζέσθω E. H. θ. Marc., Littr.; — ἐς ante ἑσπέρην e solo θ. Littr.; — ἀλλὰ καὶ εἱληθ. vulg., sed καί omm. H. θ. Marc., Littr.; εἱλιθερείτω E. H. Marc.

ἡ — ξυναποθν.] haec om. cod. Serv., ut V.

71. Φλ. λ. — ἴσχει.] Φλ. λ. om. K.; — ὁτὲ μὲν ὁτὲ

ψαυομένη καὶ οἱ πόδες καὶ οἱ μηροὶ οἰδέουσι καὶ αἱ κνῆμαι καὶ ἡ ὄσχη, καὶ ἀναπνεῖ ἀθρόον, καὶ τὸ πρόσωπον ἐνερευθὲς, καὶ τὸ στόμα ξηρὸν, καὶ δίψα ἴσχει, καὶ ἐπὴν φάγῃ, τὸ πνεῦμα πυκνὸν ἐπιπίπτει· οὗτος τῆς αὐτῆς ἡμέρης [1] τοτὲ μὲν ῥάων γίγνεται, τοτὲ δὲ κάκιον ἴσχει. Τούτῳ ἢν μὲν ἡ γαστὴρ ταραχθῇ αὐτομάτη ἀρχομένης τῆς νούσου, ἐγγυτάτω ὑγιὴς γίγνεται· ἢν δὲ μὴ ταραχθῇ, φάρμακον διδόναι κάτω, ὑφ' οὗ ὕδωρ καθαρεῖται, καὶ θερμῷ μὴ λούειν καὶ πρὸς τὴν αἰθρίην κομίζειν καὶ τὴν ὄσχην ἀποτύπτειν ἐπὴν πίμπρηται· σιτίοισι δὲ χρήσθω ἄρτῳ καθαρῷ ψυχρῷ καὶ [2] σεύτλοισι [3] καὶ ἰχθύσι, σκορπίοισι ἑφθοῖσι [4] καὶ σελάχεσι, καὶ κρέασι τετριμμένοισι μηλείοισι ἑφθοῖσι, τῷ δὲ ζωμῷ ὡς ἐλαχίστῳ· καὶ ψυχρὰ πάντα καὶ μὴ [5] γλυκέα, μηδὲ λιπαρὰ, ἀλλὰ τετριμμένα καὶ ὀξέα καὶ δριμέα, πλὴν σκορόδου, ἢ κρομμύου, ἢ πράσου· ὀρίγανον δὲ καὶ θύμβρην πολλὴν ἐσθίειν καὶ οἶνον ἐπιπίνειν οἰνώδεα καὶ ὁδοιπορέειν πρὸ τοῦ σιτίου. Ἢν δ' ὑπὸ τῶν φαρμάκων οἰδίσκηται, κλύζειν καὶ τῷ σιτίῳ πιέζειν καὶ περιπάτοισι καὶ ἀλουσίῃ· φάρμακα δὲ ὡς ἐλάχιστα δοῦναι, ἄνω δὲ μηδ' ἔμπροσθεν ἢ τὰ οἰδήματα κατέλθῃ ἐς τὸ κάτω· ἢν δὲ ἰσχνοῦ ἤδη ἐόντος πνίγμα ἐν τοῖσι στήθεσι ἐγγίγνηται, ἐλλέβορον δὸς πιέειν καὶ τὴν κεφαλὴν καθῆραι, κἄπειτα κάτω πῖσαι. Ἡ δὲ νοῦσος μάλιστα διακρίνει ἐν οὐδενί.

οβ'. [6] Φροντίς. Δοκέει ἐν τοῖσι σπλάγχνοισι εἶναι [7] οἷον ἄκανθα καὶ κεντέειν, καὶ ἄση αὐτὸν λάζεται, καὶ τὸ φῶς φεύγει, καὶ τοὺς ἀνθρώπους, καὶ τὸ σκότος φιλέει, καὶ

pedes, coxae, tibiae et scrotum intumescunt, respiratio coacervata est, vultus rubicundus est, os aridum et sitis detinet, cumque comedit, spiratio crebra incidit. Hic eodem die interdum quidem melius, interdum vero peius habet. Huic si venter per morbi initia sua quidem sponte conturbatus fuerit, sanitati est proximus; sin non turbetur, medicamentum, ex quo deorsum aqua purgetur, exhibeto; calida ne lavet, aëri exponito, et scrotum, ubi inflatum fuerit, pertundito. In cibo pane puro frigido utatur et betis, piscibusque scorpiis coctis et mollibus ac cartilagineis piscibus et carnibus agninis tritis, iure autem quam modico. Frigida omnia sumat, nec dulcia, neque pinguia, sed contrita et acida et acria, allio excepto, cepa et porro. Origanum autem et satureiam copiosam edat, vinumque aquosum superbibat et ante cibum iter faciat. At si a medicamento intumescat, infuso per clysterem utitor, cibo premito, deambulationibus et illuvie; medicamenta autem purgantia quam paucissima exhibeto, minime vero sursum purgans, priusquam tumores ad inferiora descenderint. Si vero extenuato iam exsistente in pectore suffocatio oboriatur, veratrum bibendum dato, caput purgato, deinde medicamentum deorsum purgans propinato. Hic vero morbus nullum fere deserit.

72. Cura. Viscera velut spinarum aculeis pungi videntur, anxietudo ipsum invadit, lucem et homines refugit, tenebras amat, metus corripit, septum transversum exteriore parte intu-

[1] τὸ μὲν — τὸ δέ. — [2] τεύτλοις. — [3] καὶ ἰχθύσι καὶ σκ. — [4] καὶ — ἑφθοῖσι om. — [5] ἀλυκέα. — [6] Φρ. νοῦσος χαλεπή. δοκ. — [7] οἵη.

δέ E. H. K. Q.' Lind., sed idem, quod V., F. G. I. J.; — ῥᾷον H., fueritne lectio, in qua γίνεται defuerit?

τούτῳ — πρὸ τοῦ σιτίου.] τούτω Parr. 4., H., cod. Serv.; Lind., Mack., Littr., τούτων vulg.; καθαρεῖται E. H. I. Marc., Littr., καθαιρεῖται vulg.; — ἀποτέμνειν ἐπὴν πίμπληται K., sunt vero otiosae et pravae correctiones; — σιτίοισι δὲ χρῆσθαι H. J. K.; — τεύτλοις, ut V., L. Q.' Lind., Mack., τεύτλοισι E. H. K. θ., τεύτλῳ vulg.; — ἰχθύσι σκορπ. vulg., cf. lect. V., sed ἰχθύσι omm. E. H. K. θ. Lind., Littr. Quae in V. deësse notavi, e solo θ. supplevit Littr.; — μή ante γλυκέα om. θ., in G. I. J. eadem lect., quae in V., pro γλ.; — τετρυμμένα E. H. Marc.; — κρομμύου E. Mack., per simplex μ vulg.

ἢν δ' — πῖσαι.] τοῦ φ. vulg., τῶν φ. H. K. Q.' θ. Lind., Mack., Littr.: — οἰδίσκηται Littr. e Parr. quatuor, οἰδίσκεται vulg.; — ἀλουσίῃσι cod. θ.; — vulg. κατέλθοι, subiunctivum dedit Littr. ex 3. Parr.; — ἤδη omm. E. K.

72. Φροντὶς — τοῦ ἦρος.] Inscriptionem vulg. e V. adposui; ex ea νοῦσος χαλεπή omm. H., ubi rest. al. m., θ., κακή fert E. Facile intelligis quid factum sit, nescio quis librarius aerumnis et curis oppressus, Φροντίς legens et describens, νοῦσος χαλεπή! queribundus adiecit. — οἷον E. H.

φόβος [1] λάζυται, καὶ αἱ φρένες οἰδέουσι ἐκτὸς, καὶ ἀλγέει ψαυόμενος, καὶ φοβεῖται καὶ δείματα ὁρᾷ καὶ ὀνείρατα φοβερὰ καὶ τοὺς τεθνηκότας ἐνίοτε· καὶ ἡ νοῦσος τοὺς πλείστους λαμβάνει τοῦ ἦρος. Τοῦτον πιπίσκειν ἐλλέβορον καὶ τὴν κεφαλὴν καθαίρειν, καὶ μετὰ τὴν κάθαρσιν τῆς κεφαλῆς κάτω πῖσαι φάρμακον, καὶ μετὰ ταῦτα πίνειν γάλα ὄνου· σιτίοισι δὲ χρῆσθαι ὡς ἐλαχίστοισι, ἢν μὴ ἀσθενὴς ᾖ, καὶ ψυχροῖσι καὶ διαχωρητικοῖσι [2] καὶ μὴ δριμέσι, μηδ' ἁλμυροῖσι, μηδὲ λιπαροῖσι, μηδὲ γλυκέσι· μηδὲ [3] θερμῷ λούσθω, μηδὲ οἶνον πινέτω, ἀλλὰ μάλιστα μὲν ὕδωρ· εἰ δὲ μὴ, οἶνον ὑδαρέα· μηδὲ γυμναζέσθω, μηδὲ περιπατείτω. Ταῦτα ποιέων ἀπαλλάσσεται τῆς νούσου χρόνῳ· ἢν δὲ μὴ ἐπιμελήσῃ, ξυναποθνήσκει.

mescit, ad contactum dolet, expavescit, in somnis terriculamenta et formidanda cernit, quandoque et mortuos. Morbus hic plurimos vere prehendit. Veratrum huic propinato et caput purgato, post capitis purgationem medicamentum per inferiora purgans bibendum exhibeto et postea lac asininum. Cibis quam paucissimis, nisi infirmis fuerit viribus, utatur et frigidis ac alvum subducentibus, non acribus, non salsis, non pinguibus, neque dulcibus. Calida ne lavet, neque vinum bibat, sed aquam quidem maxime, alioqui vinum dilutum, neque se exercitet, neque deambulet. Quae cum feceris, temporis successu morbo liberabitur; at nisi diligentem curam adhibueris, ad mortem usque comitatur.

ογ'. Μέλαινα νοῦσος. [4] Μέλαν ἐμέει οἷον τρύγα, τοτὲ δὲ αἱματῶδες, τοτὲ δὲ [5] οἷον οἶνον τὸν δεύτερον, τοτὲ δὲ οἷον πολύπου θολὸν, τοτὲ δὲ δριμὺ οἷον ὄξος, τοτὲ δὲ σίαλον καὶ λάπην, τοτὲ δὲ χολὴν χλωρήν· καὶ [6] ὅταν μὲν τὸ μέλαν καὶ αἱματῶδες ἐμέῃ, δοκέει οἷον φόνου ὄζειν, καὶ ἡ φάρυγξ καὶ τὸ στόμα καίεται ὑπὸ τοῦ ἐμέσματος, καὶ τοὺς ὀδόντας αἱμωδιᾷ, καὶ τὸ ἔμεσμα τὴν γῆν αἴρει, καὶ ἐπὴν ἀπεμέσῃ, δοκέει ῥάων εἶναι ἐπ' ὀλίγον· καὶ [7] οὐκ ἀνέχεται οὔτ' ἄσιτος ὢν οὔτε πλέον βεβρωκὼς, ἀλλ' ὁκόταν μὲν ἄσιτος ᾖ, τὰ σπλάγχνα μύζει καὶ τὰ σίαλα ὀξέα· ὅταν δέ τι φάγῃ, βάρος ἐπὶ τοῖσι σπλάγχνοισι καὶ τὸ στῆθος καὶ τὸ μετάφρενον· δοκέει οἷον γραφείοισι κεντεῖσθαι

73. Morbus niger. Nigram materiem vomit tanquam faecem vini, interdum sanguinolentam, interdum velut vinum secundarium, quandoque etiam velut polypi atramentum, quandoque acidum tanquam acetum, nonnumquam vero salivam et pituitam tenuem, nonnumquam bilem ex viridi pallidam. Et cum nigrum quidem et cruentum vomuerit, caedem olere videtur, fauces et os ex vomitu incenduntur, dentes obstupescunt et quod vomitione reiectum est terram attollit, cumque vomuerit, paulo melius habere videtur, neque sine cibo esse, neque copiosiorem cibum ingestum ferre potest. Verum cum ieiunus fuerit, viscera strepitum edunt et saliva acescit; ubi vero cibum sumpsit, pondus in visceribus percipitur, pectus et

[1] λάζηται. — [2] καί om. — [3] θερμολούσθω. — [4] μέλαιναν. — [5] οἷον om. — [6] καὶ τὸ ὅταν. — [7] οὐκ ἄχθηται.

K. θ. Mack., Littr., vulg. e V. notavi; — καὶ φόβος λάζυται H., al. m. ε, Marc., Littr., vulg. λάζεται. Ceteri καὶ ἐνίοτε τοὺς πλείστους, sed ἐνίοτε errore librariorum e superiore repetitum est, quod iam vidit Littr., licet delere noluerit; — λαμβ. τοὺς πλ. E.

τοῦτον — περιπατείτω.] Copulam ante ψυχρ. et ante διαχωρητ. om. θ.; — ante μὴ δριμ. eam om. G., ut V.; — θερμῷ λούσθω cod. θ., Mack., Littr., λούσθω θερμῷ E. H. K. Q.', vulgatum e V. notavi, Lind. θερμολουτεέτω de suo, uti videtur, quemadmodum etiam περιπατεέτω.

73. μέλαινα νοῦσος — καὶ μινύθει.] In inscr. omm. νοῦσος H., ubi al. m. rest., θ. E. Galeni glossa a Littréo etiam citata efficias hunc quoque μέλαινα, non μελ. ν. legisse, sed locus glossarii tamen non recte scriptus est. Operae pretium est conferre § 68., ubi πελίη νοῦσος, sed ubi locus sentt. Cnidiarum solum πελίας habet. Itaque ibi nude πελίας, hic nude μέλαινα antiquitus scriptum fuisse non est veri absimile. — Dein μέλαν ἐμέει H. Marc., Littr., in H. vulg. rest., quam e V. notavi. Vulgo ὁτὲ μὲν αἱματ., dedi lect. Marciani, e qua etiam singulis deinceps locis τοτέ pro vulg. ὁτέ scripsi. — Ad θολόν cf. Oecon. Foësii in ὀλόν et ὀλερόν. — τὸ μέλαν καὶ τὸ αἱματ. E. H. I. J. K., cod. Serv., Marc., Voss., Lind., vulgo καί om., equidem καί servandum, τό repudiandum censeo; — ἀνέχεται θ. Lind., Mack., Littr., ἄχθεται vulg.; — ὢν post ἄσιτος omm. E. H. K. θ. Marc., dein οὔθ' ὁπόταν πλέον βεβρώκῃ Marc.; in qua lect. ὁκόταν P.' θ., βεβρωκὼς ᾖ al. m. E., licet prima m. βεβρώκῃ, ut Marc., et βεβρωκὼς ἔῃ P.' Q.' —

καὶ τὰ πλευρὰ ἔχει ὀδύνη καὶ πυρετὸς βληχρὸς καὶ τὴν κεφαλὴν ἀλγέει, καὶ τοῖσι ὀφθαλμοῖσι οὐχ ὁρᾷ, καὶ τὰ σκέλεα βαρέα, καὶ ἡ χροιὴ μέλαινα καὶ μινύθει. Τοῦτον φάρμακον πιπίσκειν θαμὰ καὶ ὀρρὸν καὶ γάλα τὴν ὥρην, καὶ σιτίων ἀπέχειν γλυκέων καὶ ἐλαιηρῶν καὶ πιόνων, καὶ χρῆσθαι ὡς ψυχροτάτοισι καὶ ὑποχωρητικωτάτοισι, καὶ τὴν κεφαλὴν καθαίρειν, καὶ μετὰ τὰς φαρμακοποσίας τὰς ἄνω ἀπὸ τῶν χειρῶν τοῦ αἵματος ἀφιέναι, ἢν μὴ ἀσθενὴς ᾖ· ἢν δ' ἡ κοιλίη μὴ ὑποχωρέῃ, ὑποκλύζειν μαλθακῷ κλύσματι καὶ θωρηξίων ἀπέχεσθαι καὶ λαγνείης· ἢν δὲ λαγνεύῃ, νῆστις πυριᾶσθαι· καὶ τοῦ ἡλίου ἀπέχεσθαι μηδὲ γυμνάζεσθαι πολλὰ, μηδὲ περιπατέειν, μηδὲ θερμολουτέειν, μηδὲ δριμέα ἐσθίειν μηδὲ ἁλυκά. Ταῦτα ποιέειν καὶ ἅμα τῇ ἡλικίῃ ἀποφεύγει καὶ ἡ νοῦσος [1]καὶ καταγηράσκει ξὺν τῷ σώματι· [2]ἢν δὲ μὴ μελεδανθῇ, ξυναποθνήσκει.

dorsum tanquam stilis pungi videntur, latera dolor detinet, febris levis est, caput dolet, oculis non videt, crura gravantur, color nigricat et tabescit. Huic medicamentum purgans crebro propinato et serum et lac, si anni tempus ferat, et cibis abstineat dulcibus, oleosis et pinguibus, utaturque quam maxime frigidis et alvum subducentibus; caput purgato et post potiones medicamentorum per superiora purgantium, nisi debilis fuerit, sanguinem ex brachiis detrahito. Quodsi alvus non deiiciat, molli infuso subluito. Crapula et venere abstineat, sed si venere utatur, ieiunus foveatur, et sole abstineat neque multum exerceatur, neque deambulet, calida ne lavet, acria ne edat, neque salsa. Haec facere oportet et cum aetate, si feceris, morbus fugit et cum corpore consenescit, sin non curetur, ad mortem usque comitatur.

οδ'. Ἄλλη μέλαινα νοῦσος. Ὑπόπυρρος καὶ ἰσχνὸς καὶ τοὺς ὀφθαλμοὺς ὑπόχλωρος γίγνεται, καὶ λεπτόδερμος καὶ ἀσθενὴς τελέθει· ὅσῳ δ' ἂν χρόνος πλείων ᾖ, μᾶλλον πονέει· καὶ ἐμέει πᾶσαν ὥρην οἷον σταλαγμὸν ὀλίγον κατὰ δύο βρόχθους καὶ τὸ σιτίον θαμινὰ, καὶ ξὺν τῷ σιτίῳ χολὴν καὶ φλέγμα, καὶ μετὰ τὴν ἔμεσιν ἀλγέει τὸ σῶμα πᾶν, ἔστι δ' ὅτε καὶ πρὶν ἐμέσαι· καὶ φρῖκαι λεπταὶ, καὶ πυρετὸς ἴσχει, καὶ πρὸς τὰ γλυκέα καὶ ἐλαιώδεα μάλιστα ἐμέει. Τοῦτον καθαίρειν χρὴ φαρμάκοισι [3]καὶ ἄνω καὶ κάτω, καὶ μεταπιπίσκειν γάλα ὄνου, καὶ σιτίοισι χρῆσθαι ὡς μαλθακωτάτοισι καὶ ψυχροῖσι, [4]ἰχθύσι

74. Alius niger morbus. Subfulvo colore, gracilis et oculis ex virore pallescentibus evadit, tenui est cute et debilis, et quo diutius morbus affligit, eo magis laborat et quovis tempore velut stillam modicam vomit ad duo parva pocula cibumque frequenter et cum cibo bilem et pituitam. Post vomitum totum corpus dolet, interdumque etiam prius quam vomat, horrores leves et febris detinet, sumptisque dulcibus et oleosis praecipue vomit. Hunc medicamentis per superiora et inferiora purgato, posteaque lac asininum bibendum exhibeto. Cibis utatur quam mollissimis et frigidis piscibusque littoralibus et cartilagineis, betis, cucurbitis et car-

[1] εἰ καὶ καταγ. — [2] ἢν δὲ μελανθῇ συναποθν. — [3] καὶ ἄνω καὶ κάτω — [4] καὶ ἰχθ.

Vulg. γραφείοισι, sed ῥαφείοισι F. G., γραφίοισι cod. θ., Littr. ῥαφίοισι. Non video causam cur vulgatam, quam Marc. etiam fert, repudiem. — Marc. etiam recte κεντεῖσθαι, K. ἔχει ὀδύνην.

τοῦτον — ἁλυκά.] ὀρόν, al. m. per ρρ, H.; — ἀσθενήσῃ cod. θ.: — ἢν δ' E. H. K., δέ plene vulg.

ταῦτα — ξυναποθν.] ποιέων θ., non Marc., qui ποιέειν; — ἅμα sine praecedente καί H. θ., in illo tamen καί rest., et Marcianus; — νοῦσος εἰ καὶ κ. vulg. sed εἰ solum Ald. om., εἰ καί non habent H. θ., sed in illo rest. al. m.; — ἐν τῷ σώματι cod. θ.; — ἢν δὲ μελανθῇ vulg., sed ἢν δὲ μὴ μελανθῇ H. Marc., quod recipiens Littréus μελεδανθῇ correxit; recte, ut opinor.

74. Ἄλλη μελ. ν. — ἐμέει.] ἄλλη μέλαινα H., in quo νοῦσος rest. al. m., et θ.; ὑπόπυρος vulg., sed correxit dudum Foës.; cod. θ. veram lect. re ipsa fert, quam dederunt Mack., Littr. — Ceteri ὅσῳ δ' ἂν ὁ χρόνος πλείων. ἡ νοῦσος μᾶλλον πονέει, equidem otiosum ἡ νοῦσος abieci. — Cod. J. καὶ σιτίον; — ἐλαιώδεα Ionice pro ἐλαιώδη quinque Parr., Littr.

τούτῳ — ξυγκαταγηράσκει δέ.] καὶ κάτω καὶ ἄνω vulg. prius καί om. θ.; dedi verborum ordinem quem V. fert, — καὶ ἰχθύσιν vulg., sed καί om. Littr. cum Ald., Parr. 7., θ.; — κολοκύντῃσι vulg., sed κολοκύντη H.: τετρυμμέ-

ἀκταίοισι καὶ σελάχεσι, καὶ σεύτλοισι καὶ κολοκύντῃ, καὶ κρέασι [1]τετριμμένοισι· οἶνον δὲ πίνειν λευκὸν οἰνώδεα ὑδαρέστερον· ταλαιπωρίῃ δὲ περιπάτοισι χρῆσθαι καὶ μὴ θερμολουτέειν καὶ τοῦ ἡλίου ἀπέχεσθαι. Ταῦτα ποιέειν, ἡ δὲ νοῦσος θανατώδης μὲν οὔ, ξυγκαταγηράσκει δέ.

οε'. Σφακελώδης. Τὰ μὲν ἄλλα τὰ αὐτὰ πάσχει, ἐμέει δὲ θρόμβους πεπηγότας χολῆς, καὶ κάτω ὁμοίως, ἐπὴν τὰ σιτία ἀποπατήσῃ. Δρᾶν δὲ χρὴ τὰ αὐτὰ ἅπερ ἐπὶ τῆς προτέρης καὶ ὑποκλύζειν.

nibus contritis. Vinum album, generosum, paulo dilutius bibat. Exercitationis loco deambulationibus utatur, neque calida lavet, ac sole abstineat. Quibus factis letalis quidem morbus non est, sed ad senium usque comitatur.

75. Morbus siderationem faciens. In reliquis quidem eadem patitur, verum bilis grumos concretos vomit, eodemque modo per inferiora deiicit, ubi ciborum recrementa excreverit. Eadem autem, quae in superiore morbo, facienda sunt et alvus per infusum subluenda.

[1] τετρυμμένοισι.

νοισι ed. Bas., E. H. — Vulgo ἐν περιπάτοισι, cum H. omisi ἐν, licet in eo libro restituatur.

75. Σφακ. κ. τ. λ.] τὰ μὲν ἄλλα F. H. I. θ. cod. Serv. et Voss., τὰ ἄλλα μέν vulg.; — καὶ κάτω ὁμοιοῦται Marc; — ἐπὶ τῆς προτέρης ἐλέχθη vulgo; cum H., in quo rest. al. m., θ. et Marc. omitto ἐλέχθη.

ΠΕΡΙ ΝΟΥΣΩΝ ΤΟ ΤΡΙΤΟΝ.

ΚΝΙΔΙΟΥ ΜΕΝ ΙΑΤΡΟΥ ΣΥΓΓΡΑΜΜΑ ΤΟ ΔΕ ΤΕΛΕΥΤΑΙΟΝ ΚΕΦΑΛΑΙΟΝ ΕΣΤΙΝ ΑΠΟΣΠΑΣΜΑ ΦΑΡΜΑΚΙΤΙΔΟΣ ΤΙΝΟΣ.

DE MORBIS LIBER TERTIUS.

SCRIPTUM EST MEDICI CNIDII, SED CAPUT POSTREMUM REFERT PARTEM FORMULARII MEDICI.

ΠΕΡΙ ΝΟΥΣΩΝ

ΤΟ ΤΡΙΤΟΝ.

α′. Περὶ μὲν [1] οὖν πυρετῶν ἁπάντων μοι εἴρηται· ἀμφὶ δὲ τῶν λοιπῶν ἐρέω ἤδη.

[2] Οἴδημα ἐγκεφάλου. Ὁκόταν ὁ ἐγκέφαλος οἰδήσῃ ὑπὸ φλεγμασίης, ὀδύνη ἴσχει ἅπασαν τὴν κεφαλὴν, μάλιστα δὲ [3] ὅπῃ σταίη ἡ φλεγμασίη· ἵσταται δὲ ἐν τῷ κροτάφῳ· [4] καὶ τά τε οὔατα ἠχῆς πλήρεα γίγνεται καὶ [5] ἀμβλὺ ἀκούει καὶ [6] αἱ φλέβες τέτανται καὶ σφύζουσι, πυρετός τε καὶ ῥῖγος ἐνίοτε ἐπιλαμβάνει ἥ τε ὀδύνη ἐκλείπει οὐδέποτε, ἀλλὰ ποτὲ μὲν ἀνίησι, ποτὲ δὲ μᾶλλον πιέζει καὶ βοᾷ τε καὶ [7] ἀναΐσσει ὑπὸ τῆς ὀδύνης καὶ ὁκόταν ἀναστῇ, αὖθις σπεύδει ἐπὶ τὴν κλίνην καταπεσεῖν, καὶ ῥιπτάζει ἑωυτόν. Οὗτος ἔστι μὲν θανατώδης, ὁκόσων δὲ ἡμερέων ἀποθανεῖται, οὐκ ἔχει κρίσιν· ἄλλοι γὰρ ἄλλως ἀπόλλυνται· ὡς μέντοι ἐπιτοπολὺ ἐν τῇσι ἑπτὰ ἡμέρῃσι τελευτῶσι· εἴκοσι δὲ καὶ μίαν διαφυγόντες ὑγιέες γίγνονται. Χρὴ δὲ ὁκόταν περιωδυνέῃ, ψύχειν τὴν κεφαλὴν μάλιστα μὲν ξύραντα, καὶ ἐς κύστιν ἢ ἐς ἔντερα ἐγχέαντα τῶν ψυκτικῶν τι, οἷον χυλὸν στρύχνου καὶ γῆν κεραμίτιδα,

DE MORBIS

LIBER TERTIUS.

1. Ac de febribus quidem omnibus cum a me dictum sit, de reliquis iam dicam.

Cerebri tumor. Cum cerebrum ex inflammatione intumuerit, dolor totum caput potissimumque qua parte inflammatio contrahitur detinet; contrahitur autem in auribus et aures sono implentur, auditio hebescit, venae intenduntur ac pulsant, febris et rigor interdum invadit, neque unquam dolor dimittit, sed quandoque quidem remittit, quandoque etiam magis urget, et prae dolore vociferatur sursumque prosilit, cumque surrexerit, confestim rursus ad lectum delabitur seque disiicit. Hic quidem letaliter affligitur, quot vero diebus intereat, iudicari non potest; alii enim alio tempore pereunt, plerumque autem intra septem dies moriuntur, primum autem et vigesimum ubi effugerint, convalescunt. Cum vero dolor vehemens detinuerit, caput potissimum quidem derasum refrigerare oportet, et ex his, quae refrigerant, aliquid in vesicam aut intestina infusum, velut solani succum et cretam figulinam modo quidem admovere, modo etiam prius quam intepescat,

[1] οὖν om. — [2] οἰδ. ἐγκ. om. — [3] ὅπη — ἵσταται δέ om. — [4] καὶ τά τε δ. — [5] ἀμλύει ἡ ἀκοή. — [6] αἱ om. — [7] ἀίσσει.

1. περὶ — ἤδη.] μὲν οὖν om. cod. Serv., Foësii, μέν om. E., in quo rest. al. m.; — νῦν pro οὖν G. J. Marc., μοι εἴρηται E. H. K. Marc. εἴρ. μοι vulg.

οἴδημα — ἑωυτόν.] Inscriptionem omm. quinque Parr., ut V., περὶ οἰδήσαντος ἐγκεφάλου E., περὶ οἰδήσεως ἐγκεφάλου J. — Ὁπόταν Ald., Parr. 5. Voss.; ἐπὴν ὁ ἐγκ. cod. θ. — Eadem, quae in V., omittuntur in cod. Serv. Foësii; — ἵσταται δὲ εἰς τοὺς κροτάφους P.′ θ. — καὶ τά τε οὔατα vulg., sed tres Parr., θ., Marc., Litt. omm. καί, cod. θ. fert τὰ δ᾽ οὔατα; — πλήρη G. I. J., πλέα E. H. K. P.′ Q.′ Marc., Lind.; — ἀμβλὺ ἀκούει ab aliis ex aliis libris receptum est et a Littréo, fertque idem Marc. pro vulg., quam e V. notavi. Articulum ante φλέβες e θ. addidit Littr.; — πιέζει μᾶλλον E. H.; — καὶ βοᾷ τε scripsi ex E. H. K., ceteris καί omittentibus; — ἐς τὴν κλίνην E. H. K. θ. Marc.

οὗτος — γίγνονται.] ἄλλοι δὲ ἄλλως E., sed al. m. γάρ quod ipsum unus K. om.; εἴκοσι δὲ μίαν cod. θ.; — γίνονται om. H., sed rest. al. m.

χρὴ δὲ — λύειν] Advertit ξύραντα, quum potius ξυρήσαντα exspectaveram, sed ξύρομαι, ἐξυράμην nota sunt, itaque nihil tango; — ἢ ἐς κύστιν ἢ vulg., quod om. θ., sed non abundat, verum prius illud ἢ in καί mutandum erat, nam ad caput detonsum adhibita cupit illa ψυκτικά: — ψυκτικῶν sine τι cod. idem; — χλιαρὸν εἶναι E., sed vulg.

τὸ μὲν προστιθέναι, τὸ δὲ ἀφαιρέειν, πρὶν ἢ χλιαρὸν γένηται καὶ τοῦ αἵματος ἀφαιρέειν καὶ τὴν κεφαλὴν καθαίρειν σελίνου χυλοῖσι μιγνύντα εὐώδεα· ἀοινέειν δὲ τὸ πάμπαν, ῥοφεῖν δὲ πτισάνης χυλὸν [1]ψυχρὸν καὶ τὴν κάτω κοιλίην λύειν.

auferre. Quin et sanguinem detrahere convenit et caput purgare odoratis ad apii succos admixtis. Vino in totum abstineat, ptisanae succum frigidum sorbeat et inferiorem alvum solvat.

β′. [2]Πληρῶμα ὀδυνῶδες ἐγκεφάλου. Ὁκόταν δὲ περιωδυνέῃ ἡ κεφαλὴ ὑπὸ πληρώσιος τοῦ ἐγκεφάλου, ἀκαθαρσίην σημαίνει, καὶ τὴν κεφαλὴν ὅλην περιωδυνίαι ἴσχουσι καὶ παραφρονέει καὶ ἀποθνήσκει ἑβδομαῖος, καὶ οὐκ ἂν [3]ἐκφύγοι, εἰ μὴ ῥαγείῃ τὸ ὑγρὸν ἑβδομαίῳ κατὰ τὰ οὔατα· οὕτω [4]δὲ ἥ τε ὀδύνη παύεται καὶ ἔμφρων γίγνεται· ῥεῖ δὲ πολλὸν καὶ ἄνοδμον. Τούτου μάλιστα μὲν μὴ θεραπεύειν τὰ οὔατα, πρὶν [5]ἂν ἐρρωγὸς ἴδῃς τὸ πῦον· ἢν δὲ βούλῃ καθῆραι τὴν ἄνω καὶ τὴν κάτω κοιλίην, λῦσον χωρὶς ἑκατέρην· ἔπειτα πυριᾶν μὲν τὴν κεφαλὴν ὡς μάλιστα ὅλην τε καὶ διὰ τῶν οὐάτων καὶ διὰ τῶν ῥινῶν, ῥοφεῖν δὲ πτισάνης χυλὸν καὶ ἀοινέειν τὸ πάμπαν. Ἐπὴν δὲ ῥαγῇ τὸ πῦον, ἐπίσχειν ἔστ' ἂν ἡ πολλὴ τῆς ῥύσιος παύσηται· ἔπειτα κλύζειν τὰ οὔατα οἴνῳ γλυκέϊ ἢ γάλακτι γυναικείῳ, ἢ ἐλαίῳ παλαιῷ, χλιαροῖσι δὲ κλύζειν· καὶ πυριᾶν τὴν κεφαλὴν θαμινὰ [6]μαλθακῇσι πυρίῃσι καὶ εὐόδμοισι, [7]ἵνα θᾶσσον καθαρεῖται ὁ ἐγκέφαλος. Οὗτος [8]τὰ μὲν πρῶτα οὐκ ἀΐει. προϊόντος δὲ τοῦ χρόνου ἥ τε ῥύσις ἥσσων ἐστὶ καὶ ἡ ἀκοὴ ἅμα τῇ ῥύσι παντελῶς παυομένῃ παραγίγνεται καὶ ὁμοιοῦται μάλιστα ἑωυτῷ. Φυλάσσεσθαι

2. Cerebri plenitudo dolorem inferens. Cum vero caput ex cerebri plenitudine vehementer doluerit, vitiosorum humorum illuviem indicat; totum caput vehementes dolores occupant, delirat et intra septimum diem moritur, neque evadit, nisi humor ad aures septimo die erumpat. Sic enim tum dolor sedatur, tum ad mentem redit. Copiosus autem et sine odore effluit. Huius aures ne prius quidem quam pus erupisse videris curato. Quod si superiorem et inferiorem ventrem purgare voles, seorsum utrumque solvito. Deinde inprimis capiti universo et per aures et nares fomentum admoveto. Ptisanae succum sorbeat et vino in totum abstineat. Ubi vero pus eruperit, quoad fluxionis copia quieverit, subsistito. Postea vino dulci aut lacte muliebri, aut oleo vetere iisque tepidis aures colluito. Caput crebro mollibus fomentis et odoratis, quo cerebrum citius purgetur, foveto. Hic primis quidem diebus non audit, procedente vero tempore tum fluxio minuitur, tum, simul ac prorsus quiescit, auditus redit et sibi ipse maxime similis redditur. Vitare autem oportet solem, ventos, ignem, fumum ac res odoras aliaque id genus et quiete ac molli victus ratione uti. Ven-

[1] ψυχρόν om. — [2] πληρ. — ἐγκεφ. om. — [3] ἐκφύγῃ, ἢν μή. — [4] τε. — [5] ἀνερρωγός. — [6] ἐν μαλθ. — [7] ὡς. — [8] μὲν τά γε πρ.

restituitur. — Num verba σελίνου χυλοῖσι μιγνύντα εὐώδεα recte habeant, dubito; quare σελίνου χυλοῖσι, quum paulo ante χυλὸν στρύχνου sing. num.? tum vero ipsum apium ad τὰ εὐώδεα refertur? Nolo suspicionem reticere, licet nihil tangam; — ῥομφεῖν Ald., Parr. 3.; — ψυχρόν e solo θ. addidit Littréus.

2. πλήρωμα — ἄνοδμον.] Inscriptionem, ut V., omm. Parr. 4., θ., περὶ περιωδυνίας κεφαλῆς libri alii et Lind., nisi quod περιωδυνίης scripsit. — Cod. H. περιωδυνίαι ἴσχουσαι, sed σι al. m. — Post ἴσχουσι cod. θ. addit καὶ παρακοπαί. Etiam Marc. ἐκφύγοι, sed ἐκφύγῃ Edd. antt. G. I. J. K. Lind., Mack., Littr.; εἰ μή Littr. ex E. K. θ.; vulg. e V. notavi; — ῥαγεῖ cod. θ. et πῦον pro ὑγρόν; — τε, ut V., edd. antt., Parr. 5., θ.; — ἥ τε ὀδύνη I. Lind., τε omm. cett.; — ἄνοδμον de meo, ἄνοσμον cett., vid. infra εὐόδμοισι.

τούτου — τὸ πάμπαν.] — μάλιστα E. H. K. θ. Marc., Littr., μᾶλλον vulg.; — τὰ οὔατα om. θ., qui si τούτου initio periodi legit, omissio est fortuita. Uti V. ἀνερρωγός duo Parr.; τήν ante κάτω omm. G. J.; — πυριᾶν sine μέν F. I. J. K. θ. Littr.; ὅλην δέ vulg., sed τε Edd. antt., Parr. 6., Mack., Littr.; — ῥομφεῖν Ald. G.

ἐπὴν — ὁ ἐγκέφαλος.] ἐν μαλθ. vulg., sed ἐν omm. Ald., H., θ., Littr.; ὡς θᾶσσον καθαιρῆται vulg., καθαιρεῖται Edd. antt. E. G. J., καθαρεῖται Lind., quod latet in vulg., ἵνα θᾶσσον καθαίρηται cod. θ., Mack., Littr.

οὗτος — ἑωυτῷ.] principio cum Mack., Littr. dedi lect., quam praebent E. H. K. Q.′ θ. Marc., vulgatam e V. notavi; — οὐκ ἐσακούει E. H. K. Marc., οὐδὲν ἀκούει cod. θ.; — ὅτε ἡ ῥύσις Lind.; — ἥσσων E. K. Lind., Littr., ἧσσον vulg.; — ὁμοιοῦταί τε μ. sine καί E. H. K. θ., γε Lind.

Φυλάσσεσθαι — ἡ κάτω.] Φυλασσ. etiam Marc.; καὶ αὐτά, ut V., Ald., Parr. 7.; θ.; — χρώμενος Parr. 5.; — καί

δὲ χρὴ [1] ἡλίους, ἀνέμους, πῦρ, καπνὸν, δριμέων ὀδμὰς [2] καὶ τὰ τοιαῦτα καὶ ἡσυχάζειν διαίτῃ μαλθακῇ [3] χρώμενον καὶ ὑπὸ [4] κενεαγγειῶν εὔλυτος ἔστω ἡ κοιλίη ἡ κάτω.

ter inferior ex vasorum inanitione lubricus esse debet.

γ'. [5] Βλητοί. Οἱ δὲ βλητοὶ λεγόμενοι εἶναι· — ὁκόταν ὁ ἐγκέφαλος πλησθῇ πολλῆς ἀκαθαρσίης, ὀδύνην παρέχει τὸ πρόσθεν τῆς κεφαλῆς πρῶτον καὶ ἀναβλέπειν οὐ δύνανται, οἱ μὲν ἀμφοῖν τοῖν ὀφθαλμοῖν, οἱ δὲ θατέρῳ, καὶ κῶμά μιν ἔχει, καὶ ἔκφρονές εἰσι, καὶ οἱ κρόταφοι πηδῶσι, καὶ πυρετὸς λεπτὸς ἴσχει, καὶ τοῦ σώματος ἀκρασίη. Οὗτος ἀποθνήσκει τριταῖος ἢ πεμπταῖος· ἐς δὲ τὰς ἑπτὰ οὐκ [6] ἀφικνέεται· ἢν δ' ἄρα ἀφίκηται, ἐξάντης γίγνεται. Τοῦτον [7] ἢν βούλῃ θεραπεύειν, πυριᾶν τὴν κεφαλὴν καὶ ταμὼν ἀνάπνευσιν ποιέειν· [8] ἢν δὲ ὀδύνη ἐστηριγμένη ᾖ, καὶ πταρμοὺς ἐμποιέειν χρὴ καὶ τὴν κεφαλὴν καθαίρειν κούφοισι καὶ εὐώδεσι, καὶ τὴν κάτω κοιλίην καθαίρειν, ἀοινέειν δὲ τὸ πάμπαν, πτισάνης δὲ χυλῷ χρῆσθαι.

3. Sidere icti. Illis, qui sidere icti esse dicuntur, cum multa vitiosorum humorum illuvie cerebrum oppletum fuerit, inprimis capitis pars anterior dolorem exhibet et aliqui quidem ambobus oculis, aliqui vero altero intueri nequeunt; sopor ipsos detinet, mente alienantur, tempora saliunt, febris levis et corporis ad motum impotentia occupat. Hic intra tertium aut quintum diem moritur, neque ad septimum pervenit, sed si pervenerit, incolumis sane evadit. Huic si curationem adhibere voles, capiti fomentum admoveto et ut transpiret sectionem facito. Sed si dolor inhaereat, etiam sternutationes movere oportet et caput levibus et odoratis ventremque inferiorem purgare, vino in totum abstinere et ptisanae succo uti.

δ'. [9] Σφακελισμὸς ἐγκεφάλου. Ἢν δὲ σφακελίσῃ ὁ ἐγκέφαλος, ὀδύνη ἴσχει τὴν κεφαλὴν καὶ διὰ τοῦ τραχήλου φοιτᾷ ἐς τὴν ῥάχιν, καὶ αὐτὸν ἐπιλαμβάνει ἀνηκουσίη, καὶ ψῦχος ἐπέρχεται ἐπὶ τὴν κεφαλὴν, καὶ [10] ἰδίει ὅλος, καὶ ἐξαίφνης ἄφωνος γίγνεται, καὶ ἐκ τῶν ῥινῶν αἷμα ῥεῖ, καὶ πελιδνὸς γίγνεται. Τοῦτον ἢν μὲν ἡ νοῦσος χαλαρῶς λάβῃ, τοῦ αἵματος ἀπελθόντος, ῥαΐζει· ἢν δὲ σφόδρα [11] εἰλημμένος ᾖ, ἀποθνήσκει τάχα. Τούτῳ πταρμούς τε ἐμποιέειν διὰ τῶν εὐω-

4. Cerebri sideratio. Quodsi cerebrum sideratum fuerit, caput dolor occupat et per cervicem ad spinam pervadit, ipse nihil audit, frigus in caput irruit, totus sudat, ac derepente voce defectus videtur, ex naribus sanguis fluit et lividus evadit. Hunc si morbus leviter corripuerit, cum sanguis abierit melius habet; si vero vehementer correptus fuerit, cito moritur. Huic sternutationes per odorata movendae et alvus utraque per vices purganda, odoratorum leves odores naribus admovendi, sorbitioque

[1] ἡλίου. — [2] καὶ αὐτά. — [3] χρώμενος. — [4] κεναγκέων. — [5] περὶ βλητῶν. — [6] ἀπικνέεται· ἢν δ' ἄρα. — [7] εἰ. — [8] ἢν δὲ ὀδύνην ἔχῃ καὶ πταρμοὺς κ. τ. λ. — [9] ἢν σφακελίσῃ ὁ ἐγκέφαλος. — [10] οἰδέει. — [11] εἰλημμένος ᾖ θνήσκει. τούτῳ κ. τ. λ.

ante ὑπό om. H., sed rest. al. m.; — ὑπὸ κενεαγγειῶν corrupte in libris et Edd. scribitur, recte scriptum est a Littr.; latetne in κενεαγγέων fortasse κενεαγγιέων?

3. βλητοί — ἀκρασίη.] Cod. θ. om. inscriptionem; eadem vero, quae in V., est in Parr. 7. — Cod. θ. om. εἶναι et ἀμφοτέροισι τοῖσι ὀφθαλμοῖσι habet, et ἀλλὰ κῶμα μιν ἔχει legit, et ἄφρονες; — ἴσχει ex E. scripsi, ἔχει cett.

οὗτος — γίγνεται.] ἀπικνέεται, ut V., cod. Serv. apud Foës.; — ἢν δὲ ἄρα vulg., sed E. H. K., ut V., id quod dedi, εἰ δ' ἄρα Ald., Parr. 3.

Τοῦτον — χρῆσθαι.] Vulgo ἢν δὲ ὀδύνη ἔχῃ, Vossiani lect. item in cod. Serv.; cum Littréo recepi codicis θ. lect.; — χρή om. θ.; — χρῆσθαι χυλῷ E. H. K.

4. σφακ. — γίγνεται.] H. θ. omm. inscriptionem; eadem vero, quae in V., habetur in Parr. 6.; — ἢν σφακελ. sine δέ E.; — ἔχει τὴν κεφ. cod. θ.; — ἰδίει est lectio cod. θ. a Littr. recepta pro vulg. οἰδέει, collata § 5. lib. II. de morbis, unde puto emendationem suam hausisse libri illius descriptorem; — ἄφωνος γίνεται E. H. K. ἄ. δείκνυται cett.

τοῦτον — τάχα.] cod. θ. ἀπειλημένος ᾖ, ἀποθνήσκει, vulgatam e V. notavi; Littr. ex θ. dedit ἀπειλημμένος, equidem vulgatam in hoc participio antiquam lect. referre puto, propter antecedens ἢν — χαλαρῶς λάβῃ, — certum puto ἀπειλημμένος esse alienum ab h. l., codicis θ. descriptorem omnino ἀπειλημένος voluisse. Quod ad τάχα attinet, omm. Parr. 4., ut V.; ταχέως E. H. K. Q.' Lind., Mack.

τούτῳ — τὸ πάμπαν.] ἐν μέρει ἢ ἑκατέρην vulg., sed

δέων καὶ τὰς κοιλίας ἄμφω καθαίρειν [1] ἐν μέρεϊ ἑκατέρην, καὶ τῶν εὐωδέων κούφας δὲ ὀδμὰς ἐχόντων τῇσι ῥισὶ ἀείρειν, καὶ ῥόφημα λεπτόν τε καὶ χλιαρὸν διδόναι· ἀοινέειν δὲ τὸ πάμπαν.

ε'. [2] Λήθαργοι. Οἱ δὲ λήθαργοι, — κατάστασις μὲν ἡ αὐτὴ τοῦ κακοῦ τῇ περιπνευμονίῃ, χαλεπωτέρη δὲ καὶ οὐ πάμπαν ἀπήλλακται ὑγρῆς περιπνευμονίης· βραδυτέρη δὲ πουλὺ ἡ νοῦσος. Πάσχει δὲ τάδε· βὴξ καὶ κῶμά μιν ἔχει καὶ τὸ σίαλον ὑγρὸν καὶ πολὺ ἀνάγει, καὶ ἀδυνατέει σφόδρα καὶ ὁκόταν μέλλῃ ἀποθανεῖσθαι κάτω ὑποχωρέει ἐπὶ πολὺ καὶ ὑγρόν. Τούτῳ ἐλπὶς μὲν πάνυ βραχέα περιγενέσθαι· ὅμως δὲ πτύειν τε ποιέειν ὡς πλεῖστον καὶ θερμαίνειν καὶ ἀοινέειν· ἢν δὲ ἐκφύγῃ, ἔμπυος γίγνεται.

ϛ'. [3] Καυσώδης. Ἡ δὲ καυσώδης λεγομένη, — δίψα τε ἔχει πολλὴ καὶ ἡ γλῶσσα πέφρικε, τὸ δὲ χρῶμα αὐτῆς τὸν μὲν πρῶτον χρόνον οἷόν περ εἴωθε, ξηρὴ δὲ σφόδρα· προϊόντος δὲ τοῦ χρόνου σκληρύνεται καὶ τρηχύνεται καὶ παχύνεται καὶ ἐπιμελαίνεται. Ἢν [4] μὲν οὖν ἐν ἀρχῇ ταῦτα πάθῃ, θάσσους αἱ κρίσιες γίγνονται· ἢν δὲ ὕστερον, χρονιώτεραι· τῆς δὲ ἀφέσιος ταὐτὰ πάντα ἡ γλῶσσα σημαίνει, ἅπερ ἐν τῇ περιπνευμονίῃ· καὶ τὰ οὖρα, χολώδεα μὲν ἢ αἱματώδεα ἐόντα, ἐπίπονα· ξανθὰ δὲ, ἀπονώτερα· καὶ τὸ πτύσμα ὑπὸ θερμασίης καὶ ξηρασίης ξυγκεκαυμένον καὶ

tenuis et tepida exhibenda, in totum vero vino abstinendum.

5. Lethargi. Lethargi quidem morbi constitutio eadem, quae et inflammationis pulmonis, gravior tamen, neque omnino liber est ab humida peripneumonia, sed longe tardior morbus est, in quo haec aegro accidunt. Tussis et sopor eum detinet, sputum humidum et copiosum reiicit, infirmis admodum est viribus et morti proximus copiosum et liquidum per inferiora demittit, et huic quidem admodum exigua vitae spes est. Efficiendum tamen ut plurimum spuat et calefiat vinoque abstineat. Quodsi evaserit, purulentus efficitur.

exhibendae aut ptisana, aut milium, aut farina, aut alica. Ex his, quae ad alvi deiectionem exhibueris, tenuia et cocta magis dulcioraque dato quam salsiora, aut calidiora. Quae vero ad robur et virium refectionem, crassiora, pinguiora et moderate cocta. Potionibus autem utendum, si quidem alvum et vesicam subducere velis, vino dulci, aut aqua mulsa, sin vero adstringere, austero, albo, tenui, aquoso, sin roborare, austero nigro. Qui vinum cum cruciatu bibunt, iis potiones praeparatae et in medicamentorum tractatione scriptae exhibendae.

μα'. Τοῖσι φαρμακοποτέουσι διδόναι μετὰ τὴν κάθαρσιν, τοῖσι μὲν πυρέσσουσι, ἢ φακὸν ἢ κέγχρον [2] λεπτὸν, ἢ πτισάνης χυλόν· διδόναι δὲ πτισάνην μὲν καὶ κέγχρον ὡς κοῦφα ἐόντα, χόνδρον δὲ ὡς [3] ἰσχυρότερον τούτων καὶ ἄλητον ὡς ἰσχυρότατον πάντων· φακὸν δὲ εὐώδεα σκευάσαι καὶ ὀλίγον δεύτερον διδόναι, ὡς καὶ κοῦφον ὂν ῥόφημα καὶ εὐκάρδιον ἄνω· παραμίσγειν [4] δὲ ἢ ἅλας ἢ μέλι καὶ κύμινον καὶ ἔλαιον τῷ φακῷ, ἢ χλόης γλήχωνος καὶ [5] ὄξους ὀλίγον· τοῖσι δὲ ἀπύροισι ἄρτου καθαροῦ τὸ ἔσωθεν ἐνθρύψας ἐν ζωμῷ, ἢ μᾶζαν καὶ τέμαχος ἑφθὸν, ἢ κρέας οἰὸς ὡς νεωτάτης, ἢ ὄρνιθος, ἢ σκύλακος ἑφθὸν, καὶ σεῦτλον ἢ κολοκύντην, ἢ βλῆτον· καὶ μετὰ τὸ σιτίον πίνειν οἶνον [6] εὐώδεα παλαιὸν, λευκὸν, ὑδαρέα.

41. His qui medicamentum biberunt, post purgationem exhibeto febricitantibus quidem aut lenticulam, aut milium tenue, aut ptisanae cremorem. Ptisana autem danda quidem et milium, quippe quae levia sunt; alica vero, quae sit valentior, et farina, quasi quae omnium sit valentissima. Lenticula autem odorata paranda et pauca secundo loco exhibenda, cum levis sit sorbitio, et ori ventriculi superiore parte grata. Admisceatur autem aut sal aut mel aut cuminum et oleum, aut pulegii herbae et aceti parum. Febre vero vacuis panis puri medullam in iusculo comminutam dato, aut mazam, aut piscis cocti et sale conditi frustulum, aut oviculae tenerrimae carnem, vel gallinae vel catuli coctam, et betam, aut cucurbitam, aut blitum, et post cibum vinum generosum vetus, album dilutum propinato.

[1] καί om. — [2] λεπτὸν — κέγχρον om. — [3] ἰσχυρόντατον πάντων καὶ ἄλητον ὡς ἰσχυρότατον τούτων. — [4] δὲ — φακῷ om. — [5] ὄξος. — [6] οἰνώδεα.

θ.; — δ' E. H. K. δέ vulg.; — ἤ singulis locis deinceps om. cod. θ., usque ad χόνδρον; — δίδως om. idem; — καί ante λιπαρώτερα E. H. K. θ., Lind., Mack., καί om. vulg.

ποτοῖσι — σκευαζόμενα.] ἐθέλοις cod. θ.; — λεπτὸν, λευκόν idem; — ἢν δὲ ἐς ἰσχύν idem et Littr., ἢν δὲ ἰσχύειν vulg. — Advertit ὁκόσοι δὲ (nempe δέ cum Voss. lego), τὸν οἶνον πίνουσι ἀνηλεῶς: — nimirum πίνειν ἀνηλεῶς aliud non esse potest quam *cum cruciatu* i. e. *difficulter bibere.* Alii alio modo reddunt: Corn. „bibunt citra affectionem erga ipsum." Foës. „timide bibunt." Littr. „qui ne boivent pas volontiers le vin." — Cornarius putavit significari eos, qui vinum bibentes nullum ex potione effectum sentiunt, quod scriptorem voluisse non credo. Foësius in adnotatione Hesychium excitat, quem hunc locum in voce ἀνηλεῶς exponere putat.

41. τοῖσι — ὑδαρέα.] λεπτόν om. cod. θ.; — χόνδρον δὲ ὡς ἰσχυρότατον πάντων καὶ ἀλ. ὡς ἰσχυρότερον (ἰσχυρότατον G. H. eadem m., ἰσχυρότερον, cod. θ.) τούτων codd. lect. est; καὶ ἄλητον ὡς ἰσχυρότερον τούτων, χόνδρον δὲ ὡς ἰσχυρότατον πάντων. Lind.; Littréus locum emendavit, quemadmodum ex eius ed. eum descripsi. — Porro φακὸν δὲ ὡς εὐώδεα cod. θ.; — κοῦφον sine ὄν idem; — τῷ δὲ φακῷ παραμίσγειν (παραμ. om. H., sed rest. al. m.) ἤ vulg.; — τῷ φακῷ ἤ cod. θ. Littr.; — γλήχωνος χλόην E. χλόης H.; — ὄξους Littr. ὄξος codd.; — ἐνθρύψας e codd. revocavit Littr.; ἐντρίψας vulg.; — τεμάχιον P.' Mack.. Post ἢ σκύλακος ἑφθόν enumerari cibos eiusmodi, ut potius febricitantibus quam τοῖσι ἀπύροισι destinati videantur, non fugit Foësium. qui in Latinis „et febricitantibus" eo loco interponit. Mihi solum ἢ τεῦτλον in καὶ σεῦτλον mutandum videtur, collato principio § 43; nempe cum carnibus coniunctim edere praecipit σεῦτλον, ἢ κολοκύντην, ἢ βλῆτον; — τεῦτλα cod. θ., de meo per σ̄ scripsi; — ἢ μετὰ τὸ σ. cod. θ.; — εὐώδεα E., al. m. οἰνώδεα, Q.' θ. Littr., vulgo

μβ'. Οἷσι λούεσθαι μὴ ξυμφέρει, ἀλείφειν οἴνῳ καὶ ἐλαίῳ θερμῷ καὶ ἐκμάσσειν διὰ τρίτης.

42. Quibus lavari non confert, eos vino et oleo calido inungito et tertio quoque die detergito.

μγ'. Ὅταν κοιλίην ὑγραίνειν ἀπὸ σιτίων ἀσθενέοντος ἐθέλῃς, διδόναι μᾶζαν καὶ ὄψα, θαλασσίων μὲν τεμάχεα ἑφθὰ ἐν ὑποτρίμματι, κρέα δὲ ὀϊὸς ὡς νεωτάτης ἢ ἐρίφου, ἢ σκύλακος, ἢ ὄρνιθος ἑφθὰ, καὶ σεῦτλα ἢ [1] βλῆτον ἢ λάπαθον ἢ κολοκύντην, [2] ἣν ὥρη ᾖ· λάχανα δὲ, σέλινον καὶ ἄνηθον καὶ ὤκιμον· καὶ τὸν οἶνον μελιχρὸν, παλαιὸν, λευκὸν, ὑδαρέα. Ὅταν δὲ ξηραίνῃς τὸ σῶμα, διδόναι ἄρτον, καὶ ὄψα ὀπτὰ καὶ ξηρὰ καὶ θερμότερα ταῦτα πάντα καὶ κρεῶν τὰ μέλεα, ὅσα σαρκώδεα, ἰχθύων τοὺς πετραίους, λάχανα, πήγανον ἢ θύμον, ἢ ὀρίγανον, τὸν δὲ οἶνον μέλανα αὐστηρόν· σκευάζειν δὲ τὰ ὄψα ἁλσὶ καὶ κυμίνῳ καὶ τοῖσι ἄλλοισι ἀρτύμασι ὡς ἐλαχίστοισι χρῆσθαι. Ὅταν δ' ἀνακομίσαι ἐκ νούσου ἐθέλῃς, διδόναι [3] τὰ μὲν ἄλλα ταὐτὰ, ἃ καὶ ὅταν διυγραίνῃς τὴν κοιλίην, τὰ δὲ κρέα ἀντὶ τῶν γαλαθηνῶν ἰσχυρότερα, καὶ ἀντὶ τῶν κυνείων ὀρνίθεια καὶ λαγῷα καὶ τούτων ἔνια ὀπτὰ καὶ τῶν κρεῶν καὶ τῶν ἰχθύων καὶ ἐσκευασμένα ὡς ἄριστα. Ὁκόσοισι τῶν νοσημάτων ξηρασίη ξυμφέρει, [4] μονοσιτίη ξυμφέρει καὶ τὰ σιτία καὶ τὰ ποτὰ ἐλάσσω τελέειν [5] ἢ ὥστε πλήρη εἶναι καὶ ταῦτα ἐκπονέειν καὶ περιπατεῖν καὶ κοιμᾶσθαι ὡς ἐλάχιστα. Ὁκόσοισι δ' αὖ ὑγρασίη ξυμφέρει, μὴ ἀσιτέειν καὶ τοῦ σιτίου καὶ τοῦ ποτοῦ μὴ ἐνδεᾶ εἶναι, μηδὲ πονέειν καὶ κοιμᾶσθαι ὁκόσα ἂν ἐθέλῃ.

43. Cum laborantis alvum cibis humectare voles, mazam et opsonia exhibeto, marinorum quidem piscium frustula cocta ex intrito, ovis quam tenerrimae carnes aut hoedi, aut catelli, aut volucris coctas et betam, vel blitum, vel rumicem, vel cucurbitam, si anni tempus tulerit. Olera vero apium et mentham et ocimum et vinum mellitum, vetus, album, aquosum. Cum autem corpus exsiccare voles, panem exhibeto et opsonia assa et sicca, eaque omnia calidiora et carnium partes carnosas, pisces saxatiles, olera, rutam, aut thymum, aut origanum. Vinum autem nigrum austerum. Opsonia vero sale et cumino condito, reliquis vero condimentis quam minimum utitor. At cum ex morbo vires reficere voles, alia quidem eadem quae dum alvum humectas exhibeto; sed lactantium loco carnes validiores et catulinarum loco volucrium et leporinas et ex his assas quasdam tum carnes tum pisces et quam optime conditos. Quibus morbis siccitas confert, semel die cibum capere conducit, et cibos ac potus pauciores quam ut repleantur insumere, eosque laboribus et deambulatione conficere et quam minimum dormire. At quibus humiditas confert, inedia non est ferenda, neque cibo aut potu indigere debent, neque laborare et dormire quantum volent.

μδ'. Ὁκόσων ἐπιθυμέουσι οἱ κάμνοντες ἢ

44. Quoscumque cibos aut opsonia aut poti-

[1] βλῆτα ἢ λάπαθα. — [2] ἢ ὥρη ᾖ. — [3] τά om. — [4] μονοσ. ξυμφ. om. — [5] ἤ om.

οἰνώδεα. Vulgo ὡς ὑδαρέα, Lind. ὑδαρέστατον dedit, sed ὡς omm. E. H. K. θ. Littr.

42. οἷσι — τρίτης.] ὅσοις cod. θ.

43. Ὅταν — ὑδαρέα.] τεμάχια vulg., τεμάχη cod. θ., τεμάχεα H. Littr., in H. tamen χια al. m.; — ἢ τεῦτλα cod. θ., καὶ τεῦτλα cett.; — ἣν ἡ ὥρη ᾖ E. H. K. Littr., ἡ om. vulg., quam sequi malo. Ante σέλινα (nempe de meo h. l. sing. num. σέλινον, ἄνηθον, ὤκιμον scripsi) cod. θ. σοι ειν ε, unde σοι εἶναι vere elicit Littr., nec tamen recipit, quod neque ego facio; — μελίχροον H.

ὅταν δὲ — χρῆσθαι.] καί ante κρεῶν omm. H. θ.; — μέλανα δ' αὐστηρόν E. Q.' θ. Lind.; — χρέεσθαι Lind.

ὅταν δ' ἀνακ. — ἄριστα.] δ' E. θ., δέ vulg.; — νούσου E. Lind., Littr., νόσου vulg.; — θελης cod. θ.; — τὰ αὐτά E. H. K. θ., ἃ om. H., sed rest. al. m.; — λαγεῖα vulgo, de meo dedi formam, quae infra etiam occurrit et probata antiqua est; — copulam ante ἐσκευασμένα om. θ.

ὁκόσοισι — ἐλάχιστα.] ὁκ. [δὲ] τῶν Lind.; — μονοσ. ξυμφ., uti V., omm. Parr. 4.; — ἤ ante ὥστε, uti V., omm. Parr. 6.

ὁκόσοισι — ἐθέλῃ.] ὅσοις cod. θ.; — δὲ αὖ E. H. K. θ.; ξυμφ. om. θ.; — ὅσ' ἂν ἐθέλῃ idem.

44. ὁκόσων — ἔσεσθαι.] ὅσων cod. θ.; — τι ex eodem libro Littr., cett. omm.; — βάρος H., sed al. m. vulg. rest.

σιτίων [1] ἢ ὄψων ἢ ποτῶν, ὑπαρχέτω ταῦτα, ἢν μή [2] τι μέλλῃ τῷ σώματι βλάβος ἔσεσθαι. Ὁκόταν ἢ σιτίων ἢ ποτῶν προστιθέναι ἄρξῃ ἢ ἀφαιρέειν, κατ' ὀλίγον χρὴ καὶ τὰς προσθέσιας ποιέεσθαι καὶ τὰς ἀφαιρέσιας. Ὁκόσοι σιτία ἱκανὰ οἷοί τέ εἰσι τελέειν, ῥοφήματα μὴ διδόναι· ἀποκλείει γὰρ τοῦ σιτίου· ὁκόσοι δὲ μὴ οἷοί τε, τούτοισι διδόναι. Ἐὰν δέ τι διδόναι θέλῃς ἀνακομιδῆς ἕνεκα, διδόναι χόνδρον ἢ πτισάνην πυρίνην· ταῦτα γὰρ τῶν ῥυφημάτων [3] τὰ ἰσχυρότερα· διδόναι δὲ μετὰ δεῖπνον.

ones aegrotantes expetunt, ea suppetant, si nullum corpori nocumentum sit adfuturum. Cum cibos aut potiones addere vel detrahere coeperis, paulatim et additiones et detractiones faciendae. Qui sufficientes cibos conficere queunt, iis sorbitiones ne exhibueris, cibum enim prohibent, iis vero, qui non possunt, dato. Si quid dare voles virium reficiendarum gratia, alicam vel ptisanam triticeam exhibeto. Hae namque sorbitiones valentiores sunt; post coenam autem exhibendae.

με'. Τὰ φάρμακα ὅσα ποτὰ καὶ ὅσα πρὸς τὰ τρώματα προσφέρεται, μανθάνειν χρή· ἄξιον γὰρ ἅπαντος· οὐ γὰρ ἀπὸ γνώμης ταῦτα εὑρίσκουσι οἱ ἄνθρωποι, ἀλλὰ μᾶλλον ἀπὸ τύχης, οὐδέ τι οἱ χειροτέχναι μᾶλλον [4] ἢ οἱ ἰδιῶται· ὅσα δ' ἐν τῇ τέχνῃ τῇ ἰητρικῇ γνώμῃ μανθάνεται καὶ εὑρίσκεται ἢ περὶ σιτίων ἢ περὶ φαρμάκων, παρὰ τῶν οἵων [5] τε διαγιγνώσκειν τὰ ἐν τῇ τέχνῃ μανθάνειν χρή, ἤν τι θέλῃς μανθάνειν.

45. Quae potu exhibentur medicamenta et ad vulnera adhibentur, ea perdiscenda idque plurimi aestimandum. Neque enim haec homines ex consilio, sed potius ex fortuna inveniunt, neque artifices magis quam plebeii. Quae vero in arte medica intelligentia discuntur et inveniuntur, vel circa cibos, vel medicamenta, ab iis, qui nosse possunt quae in arte sunt, perdiscenda, si quid perdiscere voles.

μϛ'. Μετὰ τὰ ῥυφήματα διδόναι τὸ σιτίον τοῖσι ἀσθενέουσι· [6] ἐπιπίνειν δὲ οἶνον εὐώδεα· πρὸ δὲ τῶν σιτίων καὶ ποτῶν ἢ ῥοφημάτων, ὅ τι ἂν σοι δοκέῃ· τοῖσι δ' ἀσθενέουσι ἐσορῶν τὸ σῶμα καὶ τὴν ψυχὴν προσφέρειν καὶ τὸ σιτίον καὶ τὸ ποτόν· μάλιστα γὰρ ἂν οὕτως ὠφελέοις.

46. Imbecillis post sorbitiones cibum exhibeto et vinum odorum superbibendum dato. Ante cibos et potiones, quodcumque tandem tibi videbitur. At cibus et potus imbecillis offerendus, ita ut ad corpus et animum attendas. Sic enim plurimum iuveris.

μζ'. Τῶν σιτίων ἣν δύναμιν ἕκαστα ἔχει, τεκμαίρεσθαι χρὴ ἀπὸ τῶν φανερὴν τὴν δύναμιν [7] παρεχομένων, ὁκόσα ἢ φῦσαν ἢ δῆξιν

47. Quam ciborum quisque facultatem habeat, ex his qui manifestam facultatem possident, coniicere oportet; qui vel flatum, vel

[1] ἤ om. — [2] τι om. — [3] τὰ ἰσχυρότερα. — [4] ἤ om. — [5] τε om. — [6] ἐπιπίνειν — ἀσθενέουσι om. — [7] παρεχομένων.

ὁκόταν — ἀφαιρέσιας.] ὅτ' ἂν cod. θ.
ὁκόσοι — διδόναι.] ὅσοι cod. θ., etiam paulo post; — σίτου idem; — τε omm. F. G. J.
ἐὰν — δεῖπνον.] ἢν cod. θ. Littr., — ἐὰν δέ τι δ. om. H., sed rest. al. m.; — cett. κομιδῆς, sed ἀνακομιδή § 40., ἀνακομίσαι § 43., itaque ἀνακομιδῆς dedi; — ἐθέλῃς E. θ.; — εἵνεκα H. K.; — τὰ ἰσχυρότερα vulg., alii libri τὰ ἰσχυρότατα, sed τά omm. H. θ. Littr.; — καὶ διδόναι H. θ. sine δέ.
45. τὰ φ. — μανθάνειν.] μανθάνειν ἄξιον παρὰ παντός cod. θ., Mack.; — οὐδ' ὅτι οἱ cod. θ.; — δ' ἐν H. K., δὲ ἐν vulg.; — μανθάνεται καί omm. H., ubi rest. al. m., θ., Littr.., — ego non video caussam cur emblema alienum esse putem. Tum ἢ περ (sic) σίτων ἢ φαρμάκων ἢ παρα τῶν οιων ται cod. θ.; — σιτίων ἢ φαρμάκων H.; — τε omm. Parr. 4.; — διαγιγνώσκειν H., διαγιν. vulg.
46. μετὰ τὰ ῥ. — ὠφελέοις.] τὸν σῖτον τοῖσι ἀσθενεστέροισι cod. θ.; — ἐπιπίνειν — ἀσθενέοντι, uti V., om. J.; — εὐώδεα ex θ. Littr., οἰνώδεα vulg.; — ἢ ῥοφημάτων vulg., apud Littr. etiam lectio καὶ ῥοφ. adnotatur; — ῥοφήματα καὶ μετὰ ταῦτα vulg., sed μετὰ ταῦτα omm. H. θ. Littr., in H. rest. al. m.; — δοκέῃ τοῖσι ἀσθενέουσι vulg., de meo mutavi; — ἐσορῆν cod. J.; — copulam ante τὸ σιτίον om. K.; — ὠφελέοις Littr. e Coraïs emendatione, ὠφελέῃς vulg. — ἀφελέονται sine ἂν cod. θ., etiam H. ὠφελέονται al. m., nec deleto ἄν.
47. τῶν σίτων — ἀμυδρότερα.] καὶ τῶν σ. cod. θ.; — pro ἃ δύναμιν Mack., ἣν δύναμιν, quod non recepit Littr.; — mihi Mackius vere emendare est visus, ita ut eum sequerer; — cod. θ. Littr. ἐχόντων pro vulg. παρεχομένων, sed correctio est arbitraria in cod. Vienn., nam § 36. supra τὴν δύναμιν παρέχεσθαι δεῖ, ita ut appareat dictionem nostro esse usitatam; — affinis est locutio ἀσθενέας τὰς ὠφελείας

ἢ πλησμονὴν ἢ ἐρευγμὸν παρέχει ἢ στρόφον, ἢ διαχωρέει, ἢ μὴ διαχωρέει, καὶ φανερά [1] ἐστι ὅτι ταῦτα ἐργάζεται καὶ ἀπὸ τούτων χρὴ [2] τὰ ἄλλα σκοπεῖν· ἔχει γὰρ ἕκαστα τῶν ἐδεσμάτων διότι καὶ ὠφελέει καὶ βλάπτει· ἀλλὰ [3] τὰ μὲν φανερώτερά ἐστι ἐργαζόμενα ἃ ἐργάζεται, τὰ δὲ ἀμυδρότερα. Τὰ σιτία καὶ τὰ ὄψα [4] σκευάζειν καὶ διδόναι τοῖσι ἀσθενέουσι ὑφ' ὧν μήτε φῦσα ἔσται, μήτε ὀξυρεγμίη, μήτε στρόφος, μήτε λίην διαχωρέει, μήτε [5] λίην ξηραίνεται· ταῦτα δὲ γίγνεται ὧδε· ὅσα μὲν ἡ κοιλίη κρατέει καὶ τὸ σῶμα αὐτὰ ἀναδέχεται, ταῦτα μὲν οὔτε φῦσαν [6] παρέχεται οὔτε στρόφον· ἢν δὲ μὴ ἡ κοιλίη κρατέῃ, ἀπὸ τούτων καὶ φῦσα καὶ στρόφος καὶ τἄλλα τὰ τοιαῦτα γίγνεται. Κουφότατα τῶν σιτίων καὶ τῶν ὄψων καὶ τῶν ποτῶν, ὅσα μέτρια ἐσιόντα ἐς τὸ σῶμα ἢ ὀλίγῳ [7] πλέω τῶν μετρίων, μήτε πλήρωσιν παρέχει, μήτε στρόφον, μήτε φῦσαν, μήτε ἄλλο τῶν τοιούτων μηδὲν καὶ πέσσεταί τε τάχιστα καὶ πεσσόμενα διαχωρέει καὶ ἀνὰ πᾶσάν [8] τε ἡμέρην ἐσιόντα ἐς τὴν κοιλίην ἀλυπότατά ἐστι καὶ ὅταν διὰ παλαιοῦ ἐσέλθῃ. Βαρέα δὲ ὅσα μέτρια τελεύμενα ἢ ἐλάσσω τοῦ μετρίου, πλήρωσιν καὶ πόνον παρέχει, [9] καὶ μὴ τελέειν ..... μηδὲ οἷόν τε ἐσθίειν αὐτὰ [10] μηδὲ πίνειν, ἀλλὰ πόνον παρέχει· διὰ χρόνου δὲ ἄν τις αὐτὰ ἢ πίνῃ ἢ ἐσθίῃ, καὶ οὕτω πόνον παρέχει, καὶ

morsum, vel plenitudinem, vel ructum excitant, vel tormina, vel per alvum demittuntur, vel non demittuntur, cumque haec manifesto efficiant, ex his etiam reliquos considerare oportet. Singula enim edulia quae iuvent et noceant habent; sed alia quidem quae efficiunt apertissime efficiunt, alia vero obscurius. Imbecillis cibaria et opsonia conficito et exhibeto, ex quibus neque flatus sit, neque ructus acidus, neque tormina, et quae neque admodum per alvum demittantur, neque admodum exsiccentur. Haec autem ad hunc modum accidunt. Quae quidem ventriculus superat, quaeque corpus recipit, ea neque flatum, neque tormina excitant. At si ventriculus non superet, ab his et flatus et tormina ceteraque id genus accidunt. Ex cibis, opsoniis et potibus levissimi sunt qui modice aut paulo supra modum in corpus ingesti neque plenitudinem, neque tormina neque horum quidquam excitant et celerrime concoquuntur et concocti per alvum demittuntur et qui cum quotidie ventrem subierint nullam molestiam exhibent, cumque ex longo tempore ingesti sunt. Graves vero, qui modice aut infra modum sumpti plenitudinem et dolorem exhibent, neque conficere .... neque fieri potest ut eos comedant aut bibant, sed dolorem inferunt; quin si ex longis temporis intervallis quis eos aut bibat, aut comedat, vel sic dolorem excitant, neque pro ratione per

[1] ἐστί om. — [2] τά τε ἄλλα. — [3] τἄλλα τὰ μὲν φανερώτατα. — [4] σκευάσαι. — [5] λίην om. — [6] παρέχεσθαι. — [7] πλέον. — [8] τήν. — [9] καὶ μήτε λέειν, μήτε οἷόντε. — [10] μήτε.

παρέχει, § 61.; — ὅσα cod. θ.; — ἢ μὴ διαχ. om. E. H., in quo rest. al. m., K.'; — ἐστί post φανερά Littr. ex θ. solo; — καί ante ἀπὸ τούτων om. θ.; — τά τε ἄλλα vulg., sed τε om. H., ubi rest. al. m., θ., Littr.; — τὰ ἕκαστα e solo θ. Littr., praefero vulgatam; — καί ante ὠφελέει om. E. — illud τἄλλα post ἄλλα (cf. lect. V.), quod vulgata fert, cum θ. om. Littr.; — φανερώτερα ex θ. Littr., vulgo superlativus datur.

τὰ σιτία — γίνεται.] σίτα cod. θ.; — σκύτος pro στρόφος idem; — τὰ ἄλλα E.

κουφότατα — ἐσέλθῃ.] κουφα cod. θ.; — ἐς τὴν κοιλίην ἐς τὸ σῶμα H., ἐς τὴν κοιλίην pro ἐς τὸ σῶμα, sed hoc in marg., F.; Foës. e libris Vaticanis item ἐς τὴν κοιλίην adfert in adn.; — τε ante τάχιστα om. cod. θ.; — πᾶσαν τε τὴν ἡμέρην vulg., τήν om. Littr. cum cod. θ; — ἀλυπότατα ἔσται idem.

βαρέα — κατὰ λόγον.] τῶν μετρίων cett. omnes; — de meo τοῦ μετρίου scripsi. Vulgata καὶ μὴ τελέειν μηδὲ οἷόν τε sine lacunae signis; vitium latere probe perspexit Littr., qui pro καὶ μὴ τελέειν substituit καθ' ἡμέρην δέ sperans se ita loci sensum saltem, non tamen ipsa verba restituere. — Mihi καὶ μὴ τελέειν integrum videtur, sed credo lacunam esse inter τελέειν et μηδέ. Profecto καθ' ἡμέρην δέ non latet in καὶ μὴ τελέειν. Lacunam ita explere ut alius id alia ratione probabiliter facere non possit mihi non contingit, fortasse eiusmodi quid scribi potuit: Βαρέα δὲ ὁκόσα μέτρια τελεύμενα ἢ ἐλάσσω τοῦ μετρίου πλήρωσιν καὶ πόνον παρέχει καὶ μὴ τελέειν αὐτὰ ἱκανὰ δύνανται· καὶ καθ' ἡμέρην δὲ μηδὲ οἷόν τε ἐσθίειν αὐτὰ μηδὲ πίνειν, ἀλλὰ πόνον παρέχει· διὰ χρόνου δὲ ἄν τις αὐτὰ ἢ πίνῃ ἢ ἐσθίῃ, καὶ οὕτω πόνον παρέχει καὶ οὐ διαχωρέει κατὰ λόγον. — In seqq. μήτε πίνειν I.; — διὰ χρόνου — παρέχει omm. F. I.; — ἄν τις cod. θ.; Mack., Kühn., Littr., αὖθις vulg.; — πίνῃ ἢ ἐσθίῃ cod. θ.; — πίνει ἢ ἐσθιέι vulg.; —

οὐ διαχωρέει [1] κατὰ λόγον. Ἐς ὑγίειαν δ᾽ ἄριστα, ὅσα ὀλίγιστα ἐσιόντα αὐτάρκεά ἐστι καὶ λιμοῦ καὶ δίψης ἄκος εἶναι καὶ πλεῖστον χρόνον τὸ σῶμα αὐτὰ δέχεται, καὶ διαχωρέει κατὰ λόγον. Ἐς ἰσχὺν δὲ ἄριστα, ὅσα σάρκα φύει πλείστην καὶ πυκνοτάτην καὶ τὸ αἷμα παχύνει καὶ διαχωρέει κατὰ λόγον τῶν ἐσιόντων καὶ τὸ σῶμα πλεῖστον χρόνον ἀναδέχεται. [2] Τὰ λιπαρὰ καὶ πίονα καὶ τὰ τυρώδεα καὶ τὰ μελιτώδεα καὶ σησαμόεντα ὀξυρεγμίην μάλιστα παρέχει καὶ χολέρην καὶ στρόφον καὶ φῦσαν καὶ πλησμονήν· [3] ποιέει δὲ τοῦτο αὐτὸ καὶ ὅταν πλείω τις φάγῃ ἢ πίῃ ἢ ὅσα οἵη τε πέψαι ἡ κοιλίη. Τοῖσι ἀσθενέουσι ἣν μὲν κατὰ λόγον τῆς νούσου καὶ τοῦ σώματος διδῷς ἃ [4] ἂν διδῷς, ἀπαναλίσκει τὸ σῶμα καὶ οὔτε ἐνδεές ἐστι, οὔτε πλῆρες· ἣν δὲ ἁμαρτάνῃς τοῦ καιροῦ [5] ἢ ἐπὶ τὰ, ἢ ἐπὶ τὰ, βλάβος ἐπ᾽ ἀμφότερα. Ὅσα τῶν σιτίων ἢ τῶν ὄψων ἢ τῶν ποτῶν τὸ σῶμα ἀναδέχεται μάλιστα, ἀπὸ τούτων οὔτε στρόφος γίγνεται, οὔτε φῦσα, οὔτε ὀξυρεγμίη· ὅταν γὰρ ἐς τὴν κοιλίην ἐσέλθῃ, ἀπ᾽ αὐτῶν σπᾷ τὸ σῶμα τὸ ἑωυτῷ ἐπιτήδειον ἐὸν καὶ ἀσθενέστερον ἤδη τὸ λοιπὸν ἀνάγκη εἶναι, ὥστε στρόφον, ἢ φῦσαν ἢ ἄλλο τι τῶν τοιούτων ἐν τῇ κοιλίῃ μὴ ποιῆσαι.

μη'. Τῶν οἴνων καὶ οἱ γλυκέες [6] καὶ οἱ αὐστηροὶ καὶ οἱ μελιχροὶ παλαιοὶ τὴν κοιλίην [7] ὑπάγουσι μάλιστα καὶ διουρέονται καὶ τρέφουσι καὶ οὔτε φῦσαν παρέχουσι, οὔτε στρόφον, οὔτε πλησμονήν.

alvum secedunt. Ad sanitatem optimi sunt qui paucissimi ingesti, satis sunt ut fami et siti medelam afferant et longo tempore in corpus recepti etiam pro ratione per alvum secedunt. Ad robur autem comparandum optimi qui plurimam et densissimam carnem gignunt, sanguinem crassiorem reddunt et pro ingestorum ratione per alvum secedunt, plurimoque tempore in corpore continentur. Pinguia atque unguinosa, et caseosa, et melle ac sesamo condita ructum acidum fere cient et bilis sursum ac deorsum refusionem et tormina et flatum ac repletionem. Idem etiam evenit cum quis plura comederit aut biberit quam ventriculus concoquere queat. Imbecillis quaecumque pro morbi et corporis ratione dederis, ea corpus absumit, et neque indigum est, neque plenum; sin in temporis occasione in alterutram partem aberraveris, ad utrumque noxa consequitur. Cibi, opsonia, aut potus, quos corpus recipit, ex iis fere neque tormina, neque flatus, neque ructus acidus fit. Ubi enim ventrem subierint, ex iis corpus quod sibi accommodatum est trahit et quod relictum est iam imbecillius esse necesse est, ita ut tormina aut flatum, aut aliud quid eiusmodi in ventre excitare non possit.

48. Vina dulcia et austera et mellita vetera ventrem subducunt maxime et urinam movent et nutriunt et neque flatum, neque tormina, neque plenitudinem excitant.

[1] ἀνὰ λόγον. — [2] τὰ λίεντα ὀξυρεμίην ὡς μάλιστα omissis intermediis. — [3] ποιέειν. — [4] ἂν om. — [5] ἢ ἔπειτα βλάβης ἐπαμφ. — [6] καὶ οἱ αἰστηροί om. — [7] ὑπάγουσι μάλιστά τε δ.

πίνειν ἢ ἐσθίειν E. K. Tandem vulgo ἀνὰ λόγον, cod. θ. ἀνάλογον, sed κατά pro ἀνά H. al. m. supra lineam, Q.', Lind., quos sequor, idque faciendum esse vicina docent.

ἐς ὑγίειαν — κατὰ λόγον.] δ᾽ ἄριστα scripsi ex E. H. K., δέ cod. θ., δέ om. vulg.; — ὀλίγα J. θ.; δίψους H. θ.; — κατολίγον cod. θ. pro κατὰ λόγον.

ἐς ἰσχὺν — ἀναδέχεται.] φύει om. θ.; — πυκνότατα J.; — αὐτὰ δέχεται K.'

τὰ λιπαρὰ — ἡ κοιλίη.] Vulgo τὰ πίονα, sed τά om. θ., qui etiam τυρώδη sine articulo; — vulgo dein καὶ μελιτώδεα καὶ τὰ σησαμ., sed malui τά ante μελιτώδεα inferre: nempe τὰ λιπαρὰ καὶ πίονα unum genus sunt, me iudice, τὰ τυρώδεα alterum, τὰ μελιτώδεα καὶ σησαμόεντα tertium. De postremo genere cf. Gal. VI. p. 547 : ἐσθίουσι δὲ αὐτὸ (τὸ τῶν σησάμων σπέρμα) μόνον μὲν οὐ πάνυ τι, σὺν μέλιτι δὲ ἀπέφθῳ τὰς καλουμένας ὑπὸ τῶν πολλῶν σησαμίδας ἀναπλάττοντες. — Porro ὡς μάλιστα vulg., sed ὡς omm. E. H. K. θ.; — τοῦτο τὸ αὐτό H. θ.; — τις πλείω cod. θ.; — καταφάγῃ idem; — οἷα τε vulg., οἵη τε cod. θ., Littr.

τοῖσι — ἀμφότερα.] ὑπαναλίσκει ταῦτα τὸ σῶμα vulg., sed ταῦτα omm. H. θ.; — ἀπαναλ. de meo; — καιροῦ ἢ ἔπειτα est lect. vulgata, Littr. recepit Coraïs emendationem, quae mihi quoque certa videtur.

ὅσα — ποιῆσαι.] τῶν ὄψ. ἢ τῶν σίτ. cod. θ.; — τὰ ἀπ᾽ αὐτοῦ idem, vulgo τά abest, ἀπ᾽ αὐτῶν K.' Mack; — vulgatum αὐτῷ om. H. sed rest. al. m.; — ἐπιτήδειον vulg., sed ἐπιτήδειον ὄν E. H. K. Q.' Lind., unde ἐπιτ. ἐόν dedi.

48. τῶν οἴνων — πλησμονήν.] τῶν οἴνων οἱ γλ. καὶ αὐστ. καὶ μέλιχροι (sic) καὶ παλαιοί cod. θ.; — μάλιστα

μθ'. Κρεῶν τὰ δίεφθα καὶ τὰ ἔξοπτα ἀσθενέα μὲν πρὸς τὴν ἰσχὺν ἀμφότερα, ἐς δὲ τὴν διαχώρησιν τὰ μὲν δίεφθα ἐπιτήδεια, τὰ δὲ ὀπτὰ στασιμώτερα· τὰ δὲ [1] μετρίως ἔχοντα καὶ ἑψήσιος καὶ ὀπτήσιος μετρίως καὶ ἐς τὴν ἰσχὺν ἔχει καὶ ἐς τὴν διαχώρησιν, τὰ δὲ ἐνωμότερα πρὸς [2] μὲν τὴν ἰσχὺν ἐπιτήδεια, πρὸς δὲ τὴν διαχώρησιν οὔ.

49. Carnes excoctae et valde assatae imbecilles quidem utraeque ad robur firmandum. Ad alvi secessum excoctae quidem accommodatae, assae vero tardiores. Quae autem modice coctae sunt et assatae, eae et ad robur et ad alvi secessum moderate se habent. Crudiores vero ad robur quidem accommodatae, ad secessum vero minime.

ν'. Τῶν σιτίων καὶ τῶν ποτῶν [3] ἃ προσφορώτατα τῷ σώματι καὶ μάλιστα αὐτάρκεα καὶ ἐς τροφὴν καὶ ἐς ὑγίειαν, ἀπὸ τούτων αὐτῶν, ὅταν τις αὐτοῖσι μὴ ἐν καιρῷ χρῆται ἢ πλέοσι τοῦ καιροῦ, αἵ τε νοῦσοι καὶ ἐκ νούσων οἱ θάνατοι γίγνονται· τὰ δ' ἄλλα σιτία καὶ ποτὰ, ὅσα μὴ τοιαύτην δύναμιν ἔχει, σμικρὸν μέν [4] τι ὠφελέει, ἤν τις καὶ τὰ πάντα αὐτοῖσι ἐν καιρῷ χρέηται, σμικρὰ δὲ καὶ βλάπτει, ἐπ' ἀμφότερα δέ ἐστι ἀσθενέα, ὥστε ἀγαθόν τι [5] ποιῆσαι καὶ ὥστε κακόν· ἔστι δὲ τῶν σιτίων καὶ τῶν ποτῶν ἃ [6] ταύτην τὴν δύναμιν ἔχει τάδε, ἄρτος, μᾶζα, κρέα, ἰχθύες, οἶνος, τούτων μέντοι τὰ μὲν μᾶλλον, τὰ δὲ ἧσσον.

50. Ex cibis ac potibus, qui corpori maxime conveniunt et maxime sufficiunt et ad nutritionem et ad sanitatem, ex his ipsis cum quis non opportune aut iusto pluribus utitur, tum morbi, tum ex morbis mors accidit. Reliqui autem cibi ac potus qui eiusmodi facultatem non habent, parum quidem iuvant, etiamsi quis his opportune utatur, parum vero etiam nocent, imbecilli autem in utramque partem sunt tum ut boni tum ut mali aliquid efficiant. Cibi vero et potus, qui hanc vim habent, sunt panis, maza, carnes, pisces, vinum et ex his quidem alii magis, alii minus.

να'. Ὁκόσοι ξηρὴν δίαιταν διαιτῶνται, τούτοισι μὴ ξὺν τῷ σιτίῳ τὸ ποτὸν διδόναι, ἀλλὰ μετὰ τὸ σιτίον, διαλιπὼν πουλὺν χρόνον· καὶ οὕτω μὲν ξηρὴ ἡ ἰκμὰς ἀπὸ ξηρῶν τῶν σιτίων γενομένη [7] τὸ σῶμα ξηραίνει· ἢν δὲ ἅμα τῷ σιτίῳ πίνῃ, νοτερωτέρη ἡ τροφὴ ἐοῦσα ὑγρότερον τὸ σῶμα ποιέει. Ἄρτος ὁ θερμὸς καὶ τὰ κρέα τὰ θερμὰ αὐτὰ ἐφ' ἑωυτῶν ἐσθιόμενα ξηραίνει· [8] ἢν δὲ ἢ ξὺν ὑγρῷ διδῷς ἢ ἐπιπίνειν παραχρῆμα ἐπὶ τῷ σιτίῳ, οὐ ξηραίνει.

51. Qui siccam victus rationem instituunt, his cum cibo potum ne exhibeto, sed longo post cibum intervallo. Et ad hunc quidem modum cum siccus humor ex siccis cibis provenerit, is corpus siccat. Sin una cum cibo bibat, alimentum quum sit humidius corpus humidius reddit. Panis calidus et carnes calidae, si per se edantur, siccant. Quodsi aut cum liquore aut confestim a cibo insuper potum exhibueris, non siccant.

[1] μετρίως — ὀπτήσιος om. — [2] μόνην. — [3] τά. — [4] τοι. — [5] ἐκποιῆσαι. — [6] καὶ τὴν δ. ταύτην ἔ. — [7] τῷ σιτίῳ. — [8] ἢν — ξηραίνει om.

τε διουρ. vulg., μάλιστα καὶ διουρ. E. H. K. θ. Littr., quem sequor. Cod. θ. οὐ διουρέονται.

49. κρεῶν — οὔ.] Articulum ante ἔξοπτα om. θ.; — ἀσθενέστερα idem. Pro οὔ in fine loci E. H. K. Q.' οὐκ ἐπιτήδεια. — Cod. θ. bis h. l. ἐπιτήδια, quod debetur solitae permutationi inter ει et ι, non Ionismo ἐπιτήδεα.

50. τῶν σιτίων — ἧσσον.] ἃ Littr. ex F. G. H. J., τά vulg.; — καὶ ἀπὸ τούτων vulg., sed καί omm. F. G. J. θ. Littr.; — τούτων τῶν αὐτῶν cod. θ.; — ἐν τῷ καιρῷ E. H. K. θ. Littr., ego vulgatam servo; paulo post in eodem hoc capitulo ἐν καιρῷ, quae solita Graeca formula, non altera: — ἐκ τῶν νούσων E. H. Q.' θ. Lind., Mack., Littr., rursus equidem vulgatam praefero; — τὰ δὲ ἄλλα E. H. K. θ.; — μέν τι Parr. 4. θ. Littr., vulg. e V. notavi; — εἴ τις E.; — καὶ πάντα Littr. affirmans codd. τά non habere, licet ferat vulgata, at ego in V. lego et addendum esse contendo; — χρέηται cod. θ. Littr., χρῆται vulg.; — ὥστε καὶ ἀγαθόν τι ποιῆσαι καὶ ὥστε καὶ κακόν cod. θ.; — ὥστε ante κακόν om. H.; — καὶ ποτῶν cod. θ.; — τὴν δ. ἔχει ταύτην vulg., dedi ordinem verborum, qualis in E. H. K. θ.; — [καὶ] τούτων Lind.

51. Ὁκόσοι — ποιέει.] ὅσοι cod. θ.; — σίτω idem; — ξηρῶν τῶν σ. E. H. K. Q.' θ. Lind., Mack., Littr., τῶν om. vulg.; pro τὸ σῶμα vulgo id, quod e V. notavi, sed quod a Cornario inde emendarunt; — ἐοῦσα E. H. K. Q.' θ., γινομένη vulg. * ἄρτος — ξηραίνει.] ἢν δὲ ἢ ξὺν ὑγρῷ latere in lect. cod. θ. ἢν δεηι ξὺν ὑγρῷ, vulgata solum δέ ferente, recte vidit Littréus; equidem recipiendum putavi.

νβ'. Ἄρτος καθαρὸς ἐς ἰσχὺν καὶ κομιδὴν [1] ξυμφορώτερος ἢ ἀνέρεικτος, καὶ πρόσφατος ἢ ἕωλος, καὶ τῶν ἀλεύρων προσφάτων ἢ [2] παλαιοτέρων. Τὰ ἄλφιτα [3] ἀβρόχων τῶν κριθέων περίχυδα ἐπτισμένων ἰσχυρότερα ἢ βεβρεγμένων, καὶ πρόσφατα ἢ παλαιότερα, καὶ ἡ μᾶζα προπεφυρημένη ἰσχυροτέρη ἢ μὴ προπεφυρημένη. Ὁ οἶνος διαχεόμενος καὶ ἀποψυχόμενος καὶ διηθεόμενος λεπτότερος γίγνεται καὶ ἀσθενέστερος. Τὰ κρέα τὰ μὲν ἑφθὰ, ἢν μὲν δίεφθα ποιήσῃς, ἀσθενέστερα καὶ ἐλαφρότερα, τὰ δὲ ὀπτὰ, ἢν ἔξοπτα γένωνται, καὶ [4] τὰ παλαιὰ ἐξ ὄξους ἢ ἁλῶν, ἀσθενέστερα καὶ ἐλαφρότερα τῶν προσφάτων. Τὰ ἀσθενέα τῶν σιτίων καὶ τὰ κοῦφα τὴν μὲν κοιλίην οὐ [5] λυπέει, οὐδὲ τὸ σῶμα, [6] διότι οὐκ ἀνοιδέει θερμαινόμενα οὐδὲ πληροῖ, ἀλλὰ πέσσεται ταχὺ καὶ πεσσόμενα διαχωρέει· ἡ δὲ ἰκμὰς ἀπ' αὐτῶν τῷ σώματι ἀσθενὴς γίγνεται καὶ οὔτε [7] αὔξην, οὔτε ἰσχὺν [8] ἀξίην λόγου παρέχει. Τὰ δὲ ἰσχυρὰ τῶν σιτίων ἀνοιδέει τε ὅταν ἐς τὴν κοιλίην ἐσέλθῃ καὶ πλήρωσιν παρέχει καὶ πέσσεται μὲν [9] σχολαίτερον καὶ διαχωρέει· ἡ δὲ ἰκμὰς ἀπ' αὐτῶν [10] ἰσχυρὴ καὶ ἀκήρατος προσγενομένη ἰσχύν τε παρέχει τῷ σώματι πολλὴν καὶ αὔξην. Κρεῶν κουφότατα ἐς τὸ σῶμα κύνεια καὶ ὀρνίθεια καὶ [11] λαγῷα ἑφθα· βαρέα

52. Panis purus ad robur et virium refectionem magis confert quam qui non est in corniculo perpurgatus, et recens quam hesternus, et ex farina recenti quam ex vetustiore. Polenta ex hordeo non macerato aqua tamen circumfusa decorticato valentior est quam ex macerato, et recens quam vetustior, et maza longe ante subacta validior est quam non longe ante subacta. Vinum diffusum et refrigeratum ac percolatum tenuius redditur et imbecillius. Carnes coctae, percoctae si sint, imbecilliores sunt et leviores; assae vero si exassatae fuerint, et veteres sale et aceto conditae, recentibus imbecilliores sunt et leviores. Imbecilles cibi et leves neque ventriculum quidem neque corpus molestia afficiunt, quia calefacti non intumescunt, neque implent, sed cito emolliuntur et cocti per alvum secedunt. Humor autem ab ipsis corpori debilis provenit, neque incrementum neque vires effatu dignas exhibet. Valentiores autem cibi cum ventriculum subierint, tum intumescunt, tum plenitudinem excitant et tardius quidem concoquuntur et per alvum secedunt; humor autem ab ipsis valentior et incorruptus proveniens robur multum corpori et incrementum praebet. Carnes corpori levissimae catulinae, volucrium et leporinae coctae, graves vero bubulae, et porcinae; moderatis-

[1] συμφορώτατος. — [2] παλαιοτάτων. — [3] τῶν κριθέων ἀποβρέχων. — [4] τά om. — [5] λιπαίνει. — [6] διότι om. — [7] αὐξάνει. — [8] ἄξιον. — [9] σχολαιότερον. — [10] ἰσχυροτέρη. — [11] λαγῶα ἑφθά.

52. ὁ ἄρτος — παλαιοτέρων.] Ὁ ἄρτος ὁ καθαρῶν τῶν ἀλεύρων ἐς ἰσχὺν καὶ κομ. ξυμφ. ἢ ὁ ἀνερ. Littr. Articulum ante ἄρτος ex E. I. H. θ. dedit Littr.; — articulum ante καθαρῶν om. cod. θ., tum vero καθαρός vulg., sed καθαρῶν cod. θ. Littr. — Ferunt ξυμφορώτατος permulti libri; — ὁ ante ἀνέρεικτος omm. H. θ., sed in H. rest. al. m. — Iam vero καθαρός mihi vera lectio videtur, τῶν ἀλεύρων esse emblema alienum; docet enim sequens ἀνέρεικτος, — hinc mea loci scriptura intelligetur; — ἢ προσφάτων cod. θ.; — παλαιοτέρων plures codd., Lind., Mack.. Littr., vulgo superlativus.

τὰ ἄλφιτα — προπεφυρημένη.] ἀποβρέχων τῶν κριθέων E. H. K., vulg. e V. notavi; Corn. ἀβρόχων correxit, Littr. maluit ἀβρέκτων scribere; mihi vulg. ex ἀβρόχων orta esse videtur, ita ut hoc recipiam; — παλαιοτέρων sine praemisso ἤ cod. θ. Mack.; — ἡ μᾶζα ἡ E. H. K., sed in H. alterum ἡ ab al. m.; — προπεφυρμένη E. utroque loco, sed vulg. rest. al. m.

ὁ οἶνος — ἀσθενέστερος.] ἢ ἀποψυχ. cod. θ.; — διηθεόμενος Ionice ex θ. Littr.; — γίνεται post ἀσθενέστερος E. H. K. θ.

τὰ κρέα — προσφάτων.] κουφότερα E. H. K. Q.' θ. pro ἐλαφρ. itemque paulo post; — τὰ δ' αὐτά cod. θ.; — γένωνται omm. H., ubi rest. al. m., θ., Littr.; non credo insiticium esse.

τὰ ἀσθενέα — παρέχει.] τὰ δὲ ἀσθενῆ cod. θ.; — πέσσεται idem et Littr., λαπάσσεται vulg., K. supra lineam κατεργάζεται. Apertum est, quomodo λαπάσσεται sit natum; — αὔξην cod. θ. Littr., αὐξάνει vulg.

τὰ δὲ ἰσχυρὰ — αὔξην.] σχολαιότερον pauci codd.; — καὶ οὐ διαχωρέει vulg., οὐ omm. E., ubi rest. al. m., H. I. J. K. θ. Littr., mihi quoque οὐ reiiciendum, σχολαίτερον vero tum ad πέσσεται, tum ad διαχωρέει spectare videtur; — ἰσχυρή E. H. K. Q.' θ., Lind., Mack., Littr., ἰσχυροτέρη vulg.; — προσγινομένη vulg., de meo aor. dedi, simplex γιν. E. P.'; — πολλήν om. H., sed rest. al. m.

κρεῶν — ἀσθενέα.] τά ante ἑφθά cod. θ. Littr., vulgo omittitur: — ἑφθά vulgo, sed δίεφθα E. H. θ. Littr.; non credo τὰ δίεφθα esse veram lect., nempe paulo post καὶ ἑφθὰ καὶ ὀπτά. Articulum ante χοίρεια om. H., sed rest. al. m.; — μετριώτατα H. θ. Mack., Littr., δέ subiungunt θ. Lind., Mack.; sed πρὸς δὲ τὴν φῦσιν vulg.. ubi δέ omm.

δὲ τὰ βόεια καὶ τὰ χοίρεια· [1] μετριώτατα δὲ πρὸς τὴν φύσιν καὶ ἑφθὰ καὶ ὀπτὰ [2] καὶ ὑγιαίνουσι καὶ ἀσθενέουσι τὰ μήλεια· τὰ [3] δὲ ὕεια ἐς εὐεξίην μὲν καὶ ἰσχὺν πονέουσι καὶ γυμναζομένοισι ἀγαθὰ, ἀσθενέουσι δὲ καὶ ἰδιώτῃσι ἰσχυρότερα· καὶ τὰ θήρεια τῶν ἡμέρων κουφότερά ἐστι, διότι καρπὸν οὐχ ὁμοῖον ἐσθίει· διαφέρει δὲ τὰ κρέα τῶν κτηνέων καὶ ὁκόσα καρπὸν ἐσθίει καὶ ὁκόσα μὴ ἐσθίει· καὶ ὁ καρπὸς οὐ [4] τωὐτὸ ἅπασι ποιέει, ἀλλὰ [5] τὸ μὲν πυκνήν τε τὴν σάρκα τοῦ ἱερείου παρέχει καὶ ἰσχυρὴν, τὸ δὲ ἀραιήν τε καὶ ὑγρὴν καὶ ἀσθενέα. Ὡς μὲν τὸ ξύμπαν εἰρῆσθαι, ἰχθύες κοῦφον ἔδεσμα καὶ ἑφθοὶ καὶ ὀπτοὶ, καὶ αὐτοὶ ἐφ' ἑωυτῶν καὶ μεθ' ἑτέρων σιτίων· αὐτοὶ δὲ ἑωυτῶν διαφέρουσι ὧδε· [6] οἱ μὲν λιμναῖοι καὶ πίονες καὶ [7] ποτάμιοι βαρύτεροι, οἱ δὲ [8] ἀκταῖοι καὶ θαλάσσιοι κουφότεροι, καὶ [9] ἑφθοὶ ὀπτῶν κουφότεροι. [10] Τούτων τὰ μὲν ἰσχυρὰ διδόναι, [11] ὅταν ἀνακομίσαι τινὰ βούλῃ, τὰ δὲ κουφὰ, ὅταν ἰσχνὸν δέῃ καὶ λεπτὸν ποιῆσαι.

sime vero ad hominis naturam se habent tum coctae tum assae ovillae cum bene valentibus tum imbecillis. Suillae vero et ad bonam quidem corporis habitudinem et robur laborantibus et exercitatis bene conveniunt, imbecillis vero et privatis valentiores. Et ferinae cicuratis leviores sunt, quoniam non similes fructus edunt. Pecorum autem carnes differunt et eorum, quae fruges edunt, et eorum, quae non edunt. Neque fruges idem in omnibus faciunt, sed partim densam et robustam victimae carnem reddunt, partim tum raram tum humidam et imbecillem. Ut omnia comprehendam, pisces et cocti et assati, quique per se et cum ceteris cibis sumpti, leve sunt edulium. Ipsi vero inter se sic differunt: lacustres quidem et pingues, et fluviatiles graviores sunt; littorales vero et marini leviores et cocti assatis leviores. Ex his cibis cum aliquem reficere voles, valentes dato, leves vero, cum gracilem et tenuem reddere opus erit.

νγ'. Τὸ λουτρὸν τὸ θερμὸν, τὸ μὲν μέτριον μαλάσσει τὸ σῶμα καὶ αὔξει· τὸ δὲ πλεῖον τοῦ καιροῦ τὰ μὲν ξηρὰ τοῦ σώματος διυγραίνει, τὰ δὲ ὑγρὰ ἀποξηραίνει καὶ τὰ μὲν ξηρὰ ὑγραινόμενα ἀσθένειαν καὶ λιποθυμίην παρέχει, τὰ δὲ ὑγρὰ ξηραινόμενα ξηρασίην καὶ δίψος.

53. Balneum calidum moderatum quidem corpus emollit et auget, quod vero tempestivum modum excedit, siccas quidem corporis partes madefacit, humidas autem resiccat. Et siccae quidem humectatae imbecillitatem et animi deliquium inducunt, humidae vero exsiccatae siccitatem et sitim.

νδ'. Λαχάνων δὲ τὰ σκόροδα καὶ ἑφθὰ καὶ ὀπτὰ καὶ διουρητικὰ καὶ ὑποχωρητικὰ, καὶ πρὸς τὰ γυναικεῖα ξύμφορα. Κρόμμυα ἐς τὰ οὖρα ἐπιτήδεια, ὁ γὰρ ὀπὸς δριμύτητά

54. Ex oleribus allia cocta et assata et urinam promovent et per alvum secedunt et ad menstrua conferunt. Cepae ad urinam accommodatae, succus enim acrimoniam quamdam

[1] μετριώτερα πρὸς δὲ τὴν φ. — [2] καί om. — [3] δέ om. — [4] τὸ αὐτό. — [5] τό. — [6] καὶ οἱ μέν. — [7] οἱ ποτ. — [8] ἀκτέοι θαλάσσιοι. — [9] δίεφθοι. — [10] ἀπὸ τούτων. — [11] ὅταν — κουφά om.

H. θ. Lind., Mack., Littr., φύσιν E. θ. Littr. — Ante ὑγιαίνουσι Littr. καί e solo θ.; — ὑγιαίνουσι [δέ] Lind.; — δέ ante ὕεια omm. Parr. 3.; — εἰς καὶ εὐεξίην vulg., sed καί omm. Parr. 5. θ., Lind., Mack., Littr.; — ἐς vero dant E. H. θ., Lind., Littr.; — μέν om. K., καὶ ἐς ἰσχύν idem; — τὰ δὲ θήρεια sine καί K.; — διαφέρει δὲ καὶ τὰ κρ. H. K. Q.' Mack.; — τωὐτό E. H. P.' Q.' Littr.; — τὸ μὲν — τὸ δέ vulg., ὁ μὲν — ὁ δέ cod. θ., quem sequitur Littr.; sed non est sermo de diversis καρποῦ speciebus, verum τὸ μὲν — τὸ δέ *partim* — *partim* significat adeoque recte ponitur.

ὡς — κουφότεροι.] δ' E. H. K. Mack.; — αὐταὶ δὲ ἐφ' ἑωυτῶν vulg., αὐτοὶ ἑωυτῶν Parr. 5. θ., Mack., Littr.; — ὧδε omm. H. θ. Mack.; — καὶ οἱ ποτάμιοι vulg.; οἱ omm. θ. Littr.; — ἀκταῖοι θαλάσσιοι vulg., sed θαλ. omm. H. θ. Littr., ego copulam interposui de meo; — ἑφθοί cod. θ. Littr., δίεφθοι vulg.

τούτων — ποιῆσαι.] ἀπὸ τούτων vulg., ἀπό omm. E. H. K. θ. Littr.; — ἢ λεπτόν H. K. θ.

53. τὸ λουτρὸν — καὶ δίψος] λειποθ. vulg., λιποθυμίην cod. θ.

54. λαχάνων — ξύμφορα.] λαχάνων δὲ τὰ ἀπὸ σκορόδων G.; — δὲ τά om. θ. in nostra lect.; — λαχάνων δὲ τὰ μὲν σκ. alia rursus est lectio.

κρόμμυα — προσφέρειν.] κρόμυα G. I. Ald.; δριμύτατα G. Ald., cf. lect. V.

τινα παρέχει, ὥστε διαχωρέειν· τούτοισι [1] *ὧδε χρῆσθαι, ἀλλὰ τοῖσι ἀσθενέουσι μὴ προσφέρειν. Σέλινα καὶ ἑφθὰ καὶ ὠμὰ διουρητικὰ,* [2] *καὶ μᾶλλον τὰ ἕλεια τῶν ἡμέρων, ἃ καὶ πλέονα ἔχει δύναμιν. Κορίανον εὐκάρδιον καὶ διαχωρητικὸν καὶ ἑφθὸν καὶ ὠμόν. Ὤκιμον καὶ ὑγρὸν καὶ ψυχρὸν καὶ εὐκάρδιον. Πράσα τὰ μὲν ἑφθὰ διουρητικὰ καὶ διαχωρητικὰ, τὰ δὲ ὠμὰ καυματώδεα καὶ φλεγματώδεα. Ῥοιὴ κομιστικὸν καὶ φλεγματῶδες καὶ ξὺν μὲν τῷ πυρῆνι στάσιμον, ἄνευ δὲ τοῦ πυρῆνος διαχωρητικόν.*

excitat, adeo ut per alvum demittatur; quibus sic utitor, ut ne tamen imbecillis exhibeas. Apium et coctum et crudum urinam ciet; ac palustre magis quam sativum, quod etiam facultatem habet maiorem. Coriandrum tum coctum tum crudum ori ventriculi gratum est et alvum movet. Ocimum humidum et frigidum est, orique ventriculi gratum. Porra cocta quidem urinam et alvum movent, cruda vero incendium et inflammationem excitant. Malum punicum vires reficit et pituitosum est et cum nucleo quidem alvum firmat, citra nucleum vero movet.

νε'. Τὰ θερμὰ τῶν σιτίων ξηρὰ μὲν ἵστησι, τὸ γὰρ ὑγρὸν τὸ ἐν τῇ κοιλίῃ ἀναξηραίνει, ὑγρὰ [3] *δ' ἐόντα διυγραίνοντα τῇ θερμότητι ὑπάγει· τὰ στρυφνὰ ξηραίνει καὶ ξυνάγει τὸ σῶμα, εἰσὶ δὲ καὶ στάσιμα· τὰ ὀξέα λεπτύνει δῆξιν ἐμποιέοντα· τὰ ἁλμυρὰ διαχωρέει καὶ διουρέεται· τὰ λιπαρὰ καὶ τὰ πίονα καὶ τὰ γλυκέα ὑγρασίην* [4] *μὲν καὶ φλέγμα παρέχει, κομιστικὰ δέ· κολοκύντη καὶ σεῦτλα καὶ βλῆτα καὶ λάπαθα* [5] *τῇ ὑγρότητι διαχωρητικά· κράμβη δ' ἔχει τινὰ δριμύτητα ἐς τὸ διαχωρέειν, καὶ ἅμα εὔχυμος· τυρὸς καὶ σήσαμα καὶ σταφὶς, κομιστικὰ καὶ φλεγματώδεα·* [6] *γλυκεῖς οἶνοι καὶ μελιειδέες καὶ κομιστικοὶ καὶ διουρητικοὶ καὶ φλεγματώδεες· οἱ δὲ αὐστηροὶ ἐς ἰσχὺν καὶ ξηρασίην ἐπιτήδειοι· διουρητικοὶ δὲ* [7] *καὶ τῶν αὐστηρῶν οἱ παλαιοὶ, ὅσοι λευκοί τε καὶ λε-*

55. Cibi calidi sicci quidem sistunt, quod enim in ventre est humidum resiccant, humidi vero calore suo madefacientes subducunt. Acerba corpus siccant et cogunt vimque sistendi habent. Acida extenuant et morsum faciunt. Salsa alvum et urinam cient. Pinguia et unguinosa ac dulcia humiditatem quidem ac pituitam excitant, sed vires reficiunt. Cucurbita, beta, blitum et rumex humiditate alvum deiiciunt. Brassica vero acrimoniam quandam habet, qua alvum movet, simulque boni succi est. Caseus et sesama et uva passa vires reficiunt et pituitosa sunt. Vina dulcia et mellis colorem referentia et vires reficiunt et urinas cient et pituitosa sunt. Austera vero ad robur et siccitatem accommodata. Urinam vero movent etiam ex austeris vetusta, quae sunt alba et tenuia. Oleum et quae oleosa vires reficiunt et pituitosa sunt.

[1] *χρῆσθαι ὧδε.* — [2] *καὶ μᾶλλον τὰ ἕλεια τῶν ἡμέρων αἳ καὶ πλέονα ἔχει δύναμιν.* — [3] *δὲ τὰ ὄντα.* — [4] *μέν* om. — [5] *καὶ τῇ.* — [6] *γλυκὺς οἶνος καὶ μελιειδὴς ἄμφω καὶ κομ.* — [7] *αὐστηροὶ παλαιοί ὅσοι λευκοί τε καὶ λεπτοὶ τυγχάνουσι.*

σέλινα — δύναμιν.] *καί* ante *ἑφθά* omm. E. H. K. θ., qui dein *τῶν σελίνων*, ubi vulg. *μᾶλλον*; — dein *ἃ καὶ πλέονα* vulg., sed *ἃ καί* om. cod. θ., quem Littr. hic secutus est; — equidem non credo de vulgata esse decedendum, cod. θ. recentiores lectt. refert. Porro *πλέω* E. H. K.

κορίανον — ὠμόν.] Haec om. J.; — *καὶ εὐκάρδιον* E. H. K. θ.

ὤκιμον — εὐκάρδιον.] *εὔκαρπον* cod. θ. pro *εὐκάρδιον*.

πράσα — φλεγματώδεα.] *καὶ διουρητικά* cod. θ., *οὐρητικά* E. H. K.; — *τὰ ὠμὰ δέ* vulg.; — *τὰ δὲ ὠμά* E. H. K. Littr.

ῥοιὴ — διαχωρητικόν.] *ἄνευ δὲ πυρῆνος* E. H.

τὰ θερμὰ — λεπτοὶ τυγχάνουσι.] *δ' ἐόντα* effeci ex *δὲ ὄντα*; uti V., *δὲ τὰ ὄντα* Parr. 3.; — *τὰ δὲ στρυφνά* cod. θ.; *ὑπάγει τὸ σῶμα* idem; — *εἰσὶ δέ* om. idem; — *λάπαθον* cod. K.; — *καὶ τῇ ὑγρότητι* E. Ed. Bas., Mack., Kühn.; — *διαχωρητικά ἐστι* K. θ.; — *δ' ἔχει* E. H. K., *δέ* plene vulg.; — pro *εὔχυμος* cod. θ. *ἔγχυλον*: — *ἀσταφίς* E. H. K.; — *γλυκεῖς οἶνοι κ. τ. λ.* est lect. codicis θ., a Littréo recepta, vulgatam e V. notavi; in hac vulgata H. *μελιηδής*, E. K. Lind., Mack., *μελιηδύς*; — tum *ἄμφω* e vulg. omm. H., ubi rest. al. m., et θ.; — *οὐρητικοὶ καὶ φλεγματώδεις* cod. θ.; — dein *οὐρητ. δὲ καὶ* (*καί* omm. G. J.) *αὐστηροὶ παλαιοὶ, ὅσοι λευκοί τε καὶ λεπτοὶ τυγχάνουσι* vulg.; — *οὐρητ.* (*διουρητικοὶ* P.') *δὲ καὶ τῶν αὐστηρῶν παλαιοὶ, ὅσοι λεπτοί τε καὶ λευκοὶ τυγχάνουσι* Q.' Lind., Mack.; — *οὐρ.* (*διουρητικοὶ* E.) *δὲ καὶ τῶν αὐστηρῶν, ὅσοι λεπτοί τε καὶ παλαιοὶ καὶ λευκοί*' E. H., ubi al. m. *τυγχάνουσι* additur, H. θ. — Littréus postremam lect. recepit; equidem lectionem ex his composui, qua quid voluerim textus ipse descriptus docet.

πτοὶ τυγχάνουσι. Ἔλαιον [1] καὶ ὅσα ἐλαιώδη, κομιστικὰ καὶ φλεγματώδεα.

νϛʹ. Λαχάνων τῶν ἑφθῶν διαχωρέει, ὅσα φύσι ὑγρότατά [2] ἐστι, ἢ δριμύτητα ἢ θερμότητα ἔχει· διδόναι δὲ [3] ταῦτα ξύμφορόν ἐστι ἐς ἄφοδον καὶ χλιερώτερα καὶ τακερώτερα.

56. Ex oleribus coctis per alvum secedunt quae natura sunt humidissima, aut acorem aut calorem quemdam habent; prodest autem ad alvum movendam tepidiora dare et coctione maxime emollita.

νζʹ. Σίκυος πέπων καὶ διουρητικὸν καὶ διαχωρητικὸν καὶ κοῦφον· ὁ δὲ ἕτερος πέπων ψύξιν τε παρέχει καὶ δίψαν παύει· τροφὴ δὲ ἀπὸ οὐδετέρου [4] αὐτῶν γίγνεται, εἰ μὴ λεπτή τις, ἀλλ' οὐδὲ φλαῦρον ἀπ' οὐδετέρου οὐδὲν, ὅ τι καὶ ἄξιον λόγου.

57. Cucumis pepo et urinam et alvum movet ac levis est. Alter autem pepo refrigerationem inducit et sitim sedat. Ab horum neutro nutritio nisi tenuis quaedam procedit; sed neque malum aliquod effatu dignum ab horum alterutro.

νηʹ. Τὸ μέλι ξὺν μὲν ἑτέροισι ἐσθιόμενον καὶ τρέφει καὶ εὔχροιαν παρέχει, αὐτὸ δὲ ἐφ' ἑωυτοῦ λεπτύνει μᾶλλον ἢ κομίζει, καὶ γὰρ διουρέεται καὶ διακαθαίρεται μᾶλλον τοῦ μετρίου.

58. Mel cum aliis sumptum et nutrit et bonum colorem efficit, per se autem magis attenuat quam vires reficit. Nam et per urinas fertur et supra modum expurgatur.

νθʹ. Τὰ [5] διαχωρητικὰ ἐν τῇ κοιλίῃ θερμαίνεταί τε ταχὺ καὶ θερμαινόμενα μαραίνεται καὶ τήκεται καὶ τὴν διαχώρησιν διὰ τοῦτο ταχεῖαν παρέχει· ὅσα δὲ στάσιμα τῶν σιτίων, καὶ θερμαίνεται [6] βραδέως, καὶ θερμαινόμενα ξηραίνεται καὶ ξυνίσταται, καὶ διὰ τοῦτο περίσκληρα γενόμενα οὐ διαχωρέει. Τὰ διαχωρητικὰ ἔγχυλά τε ἐστὶ καὶ φύσι θερμὰ, τὰ δὲ οὐ διαχωρητικὰ, ξηρὰ καὶ ψυχρά.

59. Quae alvum movent in ventre cito calefiunt et calefacta marcescunt et contabescunt ideoque celerem habent per alvum deiectionem. Cibi ventrem morantes et tarde calefiunt et calefacta siccantur et consistunt, ideoque circumcirca obdurati per alvum minime secedunt. Quae per alvum secedunt, succi plena sunt et natura calida; quae per alvum non secedunt, sicca et frigida.

ξʹ. Ὁ σῖτος καὶ ὁ οἶνος διαφέρουσι μὲν

60. Frumentum et vinum suapte natura tum

[1] καὶ ἐλαιώδη κομ. — [2] ἢ δριμύτατά ἐστι ἢ θερμότατα ἔχει. — [3] ταῦτα ξύμφορά ἐστιν ἐς ἄμφοδον χλιαρώτερα καὶ τὰ — σίκυος. — [4] τούτων. — [5] τὰ διουρητικὰ θερμαινόμενα ἐν τῇ κοιλίῃ θερμαίνεταί τε ταχὺ καὶ μαραίνεται. — [6] καὶ ταχέως θερμαινόμενα συνίσταται.

ἔλαιον — φλεγματώδεα.] καὶ ὅσα τοιαῦτα E. H., sed hic al. m. supra lineam ἤτοι ἐλαιώδη, et cod. θ., Littr.; — ἐλαιώδη vulg.

56. λαχάνων — τακερώτερα.) In his ὑγρ. ἢ δριμύτατά ἐστιν vulg.; sed Littr. ex K. θ. emendavit et Lind. ante illum. — Dein vulgo: διδόναι δὲ ταῦτα ξύμφορά ἐστι ἐς ἄφοδον χλιαρ. (καὶ χλιερ. cod. θ.) καὶ τακερ. — Lind. dedit διδόναι δὲ ταῦτα χλιαρώτερα καὶ τακερώτερα· [οὕτω γὰρ] ξύμφορά ἐστιν ἐς ἄφοδον, quod e Cornarii Foësiique Latinis exhibere videtur: Littr. abiecit ξύμφορά ἐστιν ἐς ἄφοδον. — Mihi unum tantum vitium facile tollendum in vulg. inesse videtur: ξύμφορα pro ξύμφορον errore librariorum exstitit, tum e θ. recepi καί ante χλιερ.

57. σίκυος — λόγου.] σικυος τι σιτων καὶ διουρητικὸς καὶ διαχωρητικὸς καὶ κοῦφος cod. θ.; — δ' ἕτερος E. H. K. θ., πέπων omm. E. H. θ.; — ψ. τινὰ παρέχει vulg., sed τε pro τινά E. H. K. θ. Voss.; — δίψος H. θ. Dein οὐδετέρου (οὐδετέρων E.) τούτων (αὐτῶν E. H. K. θ) γίνεται vulg.; — descripsi textum consentienter cum Littréo; — ἀλλ' omm. E. H. θ. — Pro οὐδέν in vulgato οὐδὲν ἄξιον λόγου Ald. Parr. 4. οὐδέ, — E. P.′ ὅ τι οὐδὲ καί; — ὅ τι καί H., al. m. οὐδέν; — οὐδὲν ὅ τι καί cod. θ., quod recepi.

58. τὸ μέλι — τοῦ μετρίου.] ἑωυτοῦ e pluribus mss. Littr. pro vitioso vulgato ἑωυτῷ.

59. τὰ διαχωρητ. κ. τ. λ.] τὰ διουρητικὰ (διαχωρητικὰ cod. θ.) θερμαινόμενα ἐν τῇ κ. θερμαίνεταί τε ταχὺ καὶ θερμαινόμενα (θερμαινόμενα om. E., ubi rest. al. m., F. G. I. J. K. Lind.) μαραίνεται codd. est scriptura; locum consentienter cum Littréo descripsi, nisi quod hic τε post θερμαίνεται abiecit. Dein καὶ θερμαίνεται (θερμαινεται τε cod. θ.) βραδέως καὶ θερμαινόμενα H. θ.; — καὶ θερμαίνεται καὶ ταχέως θερμαινόμενα vulg.; — consentienter cum Littréo textum descripsi; — ξηραίνεται καί omm. 4. Parr.; — ἔγχυλά τε cod. θ., cett. τε omm. — Cett. τὰ δὲ οὐρητικά, sed in toto capitulo de urinam moventibus non est sermo, sed de facile per alvum secedentibus; illud autem ortum est ex τὰ δὲ οὐ διαχωρητικά, quod repono; — ψυχρὰ καὶ ξηρά cod. θ.

60. ὁ σῖτος κ. τ. λ.] καὶ πάλιν σκιός cod. θ.; — ξυμ-

καὶ αὐτοὶ ἑωυτῶν φύσι ἐς ἰσχὺν καὶ ἀσθένειαν καὶ κουφότητα καὶ βαρύτητα· διαφέρει δὲ καὶ χώρη χώρης ἐξ ὁκοίης ἂν ᾖ, καὶ εὔυδρος ἐοῦσα καὶ ἄνυδρος, καὶ εὐήλιος καὶ πολύσκιος, καὶ ἀγαθὴ καὶ φλαύρη, ὥστε ἅπαντα ταῦτα ξυμβάλλεσθαι ἐς τὸ ἰσχυρότερά τε ἕκαστα τῶν σιτίων εἶναι καὶ ἀσθενέστερα.

ξα′. Ὁκόσοι ὑγιαίνοντες ἀρτοφαγέειν εἰώθασι, διδόναι τούτοισι καὶ ἐν τῇσι νούσοισι. Ὅταν ἢ σιτία ἢ ποτὰ πλέω τοῦ εἰωθότος τις λάβῃ, [1] ἢ μὴ τὰ εἰωθότα τελέσῃ, ἀπεμέσαι παραχρῆμα ἄριστον. Ὀπώρη καὶ ἀκρόδρυα διὰ τόδε μετὰ τὸ σιτίον ἀλυπότερά ἐστι καὶ ὑγιαίνοντι καὶ ἀσθενέοντι, ὅτι βεβρωκότος μὲν [2] ὀλίγην ἀπ' αὐτῶν ἰκμάδα σπᾷ τὸ σῶμα· ἢν δὲ νῆστις ἐσθίῃ, πλείω. Ὅσα τῶν σιτίων ἢ φῦσαν, ἢ καῦμα, ἢ δῆξιν παρέχει, ἢ πλησμονὴν ἢ στρόφον, οἶνος ἐπιπινόμενος ἄκρητος ἀπαλλάσσει τῶν τοιούτων· τὸ γὰρ σῶμα διαθερμαινόμενον ὑπὸ τοῦ οἴνου ἀπαλλάσσει τὰ ἐνεόντα τῇ θερμότητι. Ἀπὸ τῶν σιτίων τε καὶ τῶν ποτῶν τῶν ὁμοίων ἐνίοτε μὲν διαταράσσεται ἡ κοιλίη, ἐνίοτε δὲ ἵσταται, ἐνιότε δὲ [3] κατὰ λόγον διαχωρέει· διότι δὲ ταῦτα οὕτως ἔχει, — πρῶτον μὲν ἡ κοιλίη ὅταν ὑγροτέρη ἐοῦσα καὶ ὅταν ξηροτέρη ὑποδέχηται τὸ σιτίον, διαφθείρει· ἔπειτα ὅταν μεταβολὴ γένηται εἴτε ἐκ ψύχεος ἐς θάλπος, εἴτε ἐκ θάλπεος ἐς ψῦχος, διαφθείρει· ὥστε ἀνάγκη τὴν κοιλίην ἀπὸ τῶν σιτίων τῶν αὐτῶν καὶ ποτῶν δι' αὐτὰ ταῦτα καὶ μαλακωτέρην γίγνεσθαι καὶ σκληροτέρην.

robore et imbecillitate, tum levitate et gravitate inter se differunt. Differt etiam locus a loco, ex quo illa proveniunt, aquisne irrigetur, an aquis careat, et soline probe sit expositus an multum opacus, et bonus an malus, ita ut haec omnia ad singulorum ciborum tum robur, tum imbecillitatem conferant.

61. Qui sanitatis tempore panem edere consueverunt, his etiam per morbos dandus est. Cum quis cibos, aut potiones plures solito sumpserit, aut solitos non confecerit, statim vomitione reiicere optimum. Fructus auctumnales et arborei ideo post cibum cum bene valenti, tum debili minus molestiae exhibent, quod eius quidem, qui cibum sumpsit, corpus minus humoris ab iis attrahit; sin ieiunus comederit, plus. Cibi, qui aut flatum, aut ardorem aut morsum aut repletionem excitant aut tormina, ab his liberat vinum merum superbibitum; corpus enim vino calefactum calore demittit ea, quae intus sunt. A cibis et potionibus similibus interdum quidem alvus perturbatur, interdum vero sistitur, interdum etiam pro ratione deiicit: — quod hac de causa ita se habet: primum si venter iusto humidior cum sit et cum iusto siccior cibum accepit, hunc corrumpit; deinde cum mutatio facta sit sive ex frigore ad calorem, sive ex calore ad frigus, eum corrumpit, adeo ut alvum ab iisdem cibis propter haec ipsa molliorem et duriorem fieri necesse sit. Ex cibis et potibus et opsoniis, pane excepto et maza et carnibus et piscibus et vino

[1] ἢν μή. — [2] ὀλίγην om. — [3] καὶ κατὰ λ.

βάλλεται cett., de meo infinitivum dedi; — ἰσχυρότερα (ἰσχυρότατα cod. θ.) τε (τε omm. E. H. K. θ.) codd. lectt. sunt; — ἕκαστα post εἶναι infert cod. θ.

61. ὁκόσοι — νούσοισι.] ὅσοι cod. θ.; — εἰώθεσαν vulg., perf. ex H. K. θ. Mack., Littr.; — ceteri ταῦτα διδόναι, equidem ταῦτα pro emblemate alieno abieci.

ὅταν — ἄριστον.] σιτα ἢ πότα πλέω cod. θ.; — τις λάβῃ omm. Ald. Parr. 7., sed in E. λάβη τις rest. al. m., θ.; ἢν μή vulg. emendavit Littréus.

Ὀπώρη — πλείω.] ἀλυπότερα solus θ., λυπηρότερα ceteri, mihi emendatio in θ. obvia necessaria videtur; — μόνον pro μέν P.′; — ὀλίγην e solo θ. Littr.; cett. omm.; — ἰκμάδα E. H. θ. Littr, ἰκμάδας vulg.; — νῆστίς ἐστι E. sine ἐσθίῃ.

ὅσα — θερμότητι.] παρέχει post στρόφον E. H. K.; — ὁ οἶνος E. K., ὁ οἶνος ὁ ἐπιπ. ὁ ἄκρ. cod. θ.; — ἀπαλλάσσεται cett., sed θ. fert ἀπαλλάσσει τε τὰ ἐνεόντα. mihi vulgatum ἀπαλλάσσεται ex ἀπαλλάσσει τά ortum videtur.

ἀπὸ τῶν σιτίων — σκληροτέρη.] τε καί cod. θ., cett. τε omm.; — καὶ τῶν ὁμοίων libri, sed καί iure reiecit Littr.; — δέ pro μέν cod. θ.: καὶ κατὰ λ. vulg., sed καί omm. E. H. θ. Littr.; — οὕτως ταῦτα E. H.; — πρότερον Ald. F. G.; — ξηρότερον F. G.; — ὑποδέξηται E. H. K. — Ante διαφθείρει de suo [οὐ] Littréus, sed fallitur: negatio pessumdat loci sensum; — καὶ διαφθ. E. θ.; εἴτ' ἐκ ψύξεως, εἴτ' ἐκ θάλπιος (sic) ἐς ψῦχος cod. θ.; — ἀπό cod. θ. Mack., Littr., ὑπό vulg.; — τῶν αὐτῶν omm. Ald. Parr. 3., in

Τῶν σιτίων καὶ τῶν ποτῶν καὶ τῶν ὄψων, πλὴν ἄρτου καὶ μάζης καὶ κρεῶν καὶ ἰχθύων καὶ οἴνου καὶ ὕδατος, τἄλλα πάντα λεπτὰς μὲν καὶ ἀσθενέας [1] τὰς ὠφελείας παρέχει ἐς τὴν αὔξησιν καὶ ἐς τὴν ἰσχὺν καὶ ἐς τὴν ὑγίειαν· [2] καὶ λεπτὰ δὲ καὶ ἀσθενέα καὶ τὰ κακὰ ἀπ' αὐτῶν γίγνεται. Ὁκόσους τῶν νοσεόντων μὴ ξυνεχέως οἱ πυρετοὶ ἔχουσι, ἀλλὰ διαλείποντες λαμβάνουσι, τούτοισι τὰ σιτία διδόναι μετὰ τὴν λῆψιν, τεκμαιρόμενος [3] ὅπως μὴ ἔτι νεοβρῶτι ὁ πυρετὸς [4] ἐπιπεσεῖται, ἀλλ' ἤδη πεπεμμένων τῶν σιτίων. Οἶνος καὶ μέλι κάλλιστα κέκριται ἀνθρώποισι, εἰ πρὸς [5] τὴν φύσιν καὶ ὑγιαίνουσι καὶ ἀσθενέουσι ξὺν καιρῷ καὶ μετριότητι προσφέροιντο· καὶ ἀγαθὰ μὲν αὐτὰ ἐφ' ἑωυτῶν, ἀγαθὰ δὲ καὶ ξυμμισγόμενα, τά τε ἄλλα ὅσα γε καὶ ἀξίην λόγου ὠφελείην [6] ἔχει. Ὅσα ὑγιαίνουσι ξύμφορα, ταῦτα καὶ νοσέουσι προσφερόμενα ἰσχυρότερά ἐστι καὶ δεῖ αὐτῶν ἀφαιρέοντα τὴν ἀκμὴν διδόναι, ἢ οὐ φέρει αὐτὰ τὸ σῶμα, ἀλλὰ βλάπτει μᾶλλον ἢ ὠφελέει.

et aqua, reliqua omnia ad incrementum et robur et ad sanitatem parva et imbecilla auxilia conferunt; parva etiam et imbecilla ab his mala accidunt. Quoscumque febres non continenter detinent, sed intermittentes invadunt, his post accessionem cibi exhibendi, coniectura facta, ne quando a recenti cibo, sed iam concoctis cibis febris ingruat. Vinum et mel optima hominibus censentur, si pro natura et sanis et debilibus tempestive et moderate exhibeantur; ac bona quidem sunt cum per se, tum aliis admixta, itemque reliqua, quae effatu dignam utilitatem habent. Quae sanis conferunt, ea aegrotis etiam exhibita valentiora sunt, eaque vi ipsorum detracta exhibenda, quod nisi fiat, corpus ea non fert, sed magis nocent quam iuvant.

[1] καὶ τὰς ὠφ. — [2] καί om. — [3] μή πως ἐπὶ νεοβρ. — [4] ἐπιπέσηται. — [5] τήν om. — [6] παρέχει. — Ad finem libri legis: τέλος περὶ τῶν ἔξω παθῶν. Scilicet quum sequi soleat in mss. liber περὶ τῶν ἐντὸς παθῶν, hunc nostrum illi opponere voluerunt et περὶ τῶν ἔξω παθῶν nominaverunt librarii, sed falso.

quorum uno H. rest. al. m.; — τῶν αὐτῶν σιτίων cod. θ.; — διὰ ταῦτα K.

τῶν σιτίων — γίγνεται.] σίτων cod. θ.; articulum ante ὄψων om. J.; — μέν omm. Parr. 3.; — καὶ τὰς ὠφελείας vulg., sed recte καί abiecit Littr.; — καὶ ἐς τὴν αὔξησιν Lind.; — καὶ τὴν ἰσχύν cod. θ.

η'. Ἢν τὸ στῆθος καὶ τὸ μετάφρενον ἀναρραγῇ, — ἀναρρήγνυνται δὲ μάλιστα ὑπὸ ταλαιπωρίης, — τάδε [7] οὖν πάσχει. Βὴξ ἴσχει ὀξεῖα καὶ τὸ σίαλον ἐνίοτε ἀποπτύει ὕφαιμον καὶ ῥῖγος καὶ πυρετὸς ἐπιλαμβάνει τὰ πολλὰ καὶ ἐν τῷ στήθεϊ καὶ ἐν τῷ μεταφρένῳ ὀδύνη ὀξεῖα ἔνεστι καὶ ἐν τῷ πλευρῷ δοκέει οἷον λίθος ἐγκέεσθαι καὶ κεντέεται ὑπὸ τῆς ὀδύνης διαμπερὲς, ὡς [8] εἰ βελόνη τις κεν-

aqua frigida maceratis et corpori admotis praesertim ad dolorem recens ortum, aut linteas aqua frigida intinctas et expressas admoveto. Et si quidem sic melius habuerit, satis est; — sin minus, terram figulinam frigidam ex cataplasmate imponito et sub dio dormiat. Hoc enim modo curatus crebro septimum diem evadet; cum vero septem dies praeterierint, et perseveraverit dolor, dolentem partem oleo linito, eademque praecipue tepefactoria, quae in morbo laterali, adhibeto et potionem ei ex peplio et grano Cnidio ad purgationem propinato; a purgatione lenticulae acetabulum sorbendum dato et aquam bibat. Postero vero die ipsum multa calida capite excepto lavato, deinde origanum aqua mulsa maceratum propinato, potionibusque quam calidissimis utatur. Cibi autem, qui morbo laterali correpto, exhibeantur, nisi febris detineat. Hic morbus gravis est et ex quo pauci evadunt.

8. Si pectus et dorsum dirupta fuerint, — dirumpuntur autem potissimum ex vehementi labore, — haec patitur: Tussis acuta detinet, interdum subcruentum sputum exspuit, crebro rigor et febris invadit, in pectore et dorso dolor est acutus, lateri lapis incumbere videtur et a dolore usque stimulatur, non secus ac si quis acu pungat. Hunc cum sic habuerit, confestim lacte pinguem redditum in pectore et

[1] *βρέχων.* — [2] *ῥάκια* — [3] *ἤν.* — [4] *εἰ.* — [5] *καί* om. — [6] *μελικρήτῳ.* — [7] *οὖν* om. — [8] *ἡ β.*

ad locum parum firmam traditionem habentem varr. lectt. has: *τεῦτλα τροστίθεται μάλιστα πρὸς πόνον νέον τῷ σώματι* P. Q.'; — *προστιθέναι μάλιστα* pro *καὶ τῷ σ. ἐπιτ. μάλιστα* E. H. K. Post *νέον* fert *μάλιστα* H., sed mutatum al. m. in *τῷ σώματι*, post *νέον* addunt *τῷ σώματι* E. H. K.; — *ἐν ὕδατι ψυχρῷ* iidem, *ἐν ψ. ὕ.* vulgo.

κῆν μὲν — ἡμέρας.] *εἰ δὲ μή*, ut V., Parr. 4.; *οὕτω γὰρ ἂν μάλιστα* E. H.; — *μελεδώμενος* vulgata, *μελετώμενος* Littr. cum Ald. et Parr. 6.; — *πολλάκις* omm. H. K.; — *ἐκφύγῃ* Lind., Mack., pro simplice verbo, quod codd. ferunt, nec mihi placet, adeo ut *διεκφύγοι* de meo dederim.

ὁκόταν δὲ — ὕδωρ.] *χρίειν* (*χρίων ἐν* Ald. Parr. 6.) *ἐλαίῳ τὸ π. μ. ἔσω* (*εἴσω* Mack. *ἔσο* E., H. al. m., I. J. K.) vulg., unde Littr. *χρίων ἐν ἐλαίῳ τὸ πονέον μέρος ἔσο*; et sane aut *χρίειν*, aut *χρίων* — *ἔσο* dandum est, quum *ἔσω* absurdum sit: mira tamen dictio *χρίων ἔσο*, et quum dein vulgata quidem *προστίθει* ferat, sed E. H. K. *προστιθέναι* legant, malui infinitivos dare. Porro *καί* ante *τῇ πλευρίτ.* omm. F. G. J.; — *καὶ τῷδε πῖσαι αὐτόν* H.

τῇ δὲ ὑστεραίῃ — ἐκφυγγάνουσι.] *τὰ αὐτὰ ταῦτα* vulg., unde cum Lind. solum *ταὐτά* dedi.

8. *ἢν τὸ στῆθος — πάσχει.*] *καὶ τάδε πάσχει* vulgo; — *τάδε οὖν πάσχει* Littr. e libris pluribus.

βὴξ — κεντοίη.] Copulam ante *στήθεϊ* om. E.; — *κεντέεσθαι* Ald. Parr. 6. — Omnes *διαμπερέως*, sed hoc loco saltem probabile *διαμπερέως* ex *διαμπερὲς ὡς* esse natum, particula repetita. Operae pretium est rem notare, quia Lexicographi hodierni *διαμπερέως* ex Hipp. adferunt.

τοίῃ. Τοῦτον, ὁκόταν ὧδε ἔχῃ, παραχρῆμα γάλακτι πίῄνας καῦσαι τὰ στήθεα καὶ τὸ μετάφρενον καὶ οὕτω τάχιστα ὑγιὴς ἔσται. Τὸ δὲ λοιπὸν ἡσυχάζων τῷ σώματι μάλιστα διαιτᾶσθαι· ἢν γάρ τι πονήσῃ, ἢ ἐπὶ ἅμαξαν ἀναβὰς ἢ ἐφ' ἵππον, ἢ τοῖσι ὤμοισι ταλαιπωρήσῃ, κινδυνεύει πάλιν ὑποτροπιάσαι ἡ νοῦσος, καὶ ἢν γένηται, κίνδυνος διαφθαρῆναι· τὸ γὰρ νόσημα ὑποστραφὲν μᾶλλον πιέζει ἢ καταρχάς. Ἢν δὲ μὴ καυθῇ, τοῖσι αὐτοῖσι ἰῆσθαι, οἷσι καὶ τὸν ἔμπυον, ῥοφήμασι καὶ ποτοῖσι καὶ σιτίοισι· τὸ δὲ ξύμπαν ἡσυχίην ἔχοντα εὐωχέειν τοῖσι ἐπιτηδείοισι· ἢν γὰρ οὕτω μελετηθῇ, τάχιστα ὑγιὴς ἔσται· ἡ δὲ νοῦσος χαλεπή.

θ'. Ἢν ἐν πλευρῷ φῦμα φύηται καὶ [1] ἔμπυος γένηται, τάδε πάσχει· ῥῖγος ἴσχει καὶ πυρετὸς καὶ βὴξ ξηρὴ πολλὰς ἡμέρας, καὶ ἀλγέει τὸ πλευρὸν καὶ ἐς τὸν τιτθὸν καὶ ἐς τὴν κληῖδα, καὶ ἐς τὰς ὠμοπλάτας ὀδύνη ἴσχει ἀΐσσουσα. Οὗτος ὅταν οὕτως ἔχῃ, ἐν μὲν τῇσι πρώτῃσι ἡμέρῃσι [2] ἕνδεκα ῥυφήμασι χρεέσθω, πτισάνης χυλῷ καθέφθῳ μέλι παραχέων, ὁκόταν ἑφθὸν τὸ ῥύφημα ᾖ· οἴνῳ δὲ χρεέσθω λευκῷ, γλυκέϊ ἢ αὐστηρῷ [3] καὶ ὑδαρέϊ καὶ ῥυμφάνοντα πλεονάκις τοῦ οἴνου ἐκπτύειν κελεύειν, καὶ τοῦ ὕπνου κωλύειν, ἔστ' ἂν αἱ ἕνδεκα ἡμέραι παρέλθωσι, μετὰ δὲ ταύτας τὰς ἡμέρας σιτίοισι ὀλίγοισι ὡς μάλιστα χρεέσθω, κρέασι σκυλακείοισι ἢ ἀλεκτρυονείοισι θερμοῖσι· διεξεζωμεῦσθαι δὲ χρὴ καλῶς καὶ τὸν ζωμὸν ῥυμφανέτω καὶ τοῖσι ῥυφήμασι πρόσθεν χρεέσθω τοῦ σιτίου καὶ μὴ διψήτω, ἕως ἂν ἔμπυον γένηται τὸ

dorso inurito et sic citissime sanus erit; in reliquo vero quieto maxime corpore vivat. Si quid enim laborarit aut in currum, aut in equum adscenderit, aut humeros fatigarit, periculum erit, ne rursus morbus revertatur; quod si accidat, periculum est ne corrumpatur. Morbus enim reversionem faciens magis quam ab initio urget. At si ustus non fuerit, iisdem sorbitionibus, potibus et cibis, quibus purulentum curato. Summatim vero quietem agentem accommodatis cibis enutrias. Sic enim curatus citissime convalescet. Morbus autem gravis est.

9. Si in latere tuberculum oriatur et purulentus evadat aeger, haec patitur. Rigor febris et tussis multos dies detinet, latus dolet dolorque ad mammam, iugulum et scapulas impetu fertur. Hic cum sic habuerit, primis undecim diebus sorbitionibus utatur, ptisanae cremore percocto, affuso melle ubi sorbitio cocta fuerit. Vino vero utatur albo, dulci, aut austero et aquoso et crebro vinum sorbentem exspuere iubeto, somnumque donec undecim dies praeterierint prohibeto. Post quos dies cibis quam maxime paucis utatur, carnibus catulinis aut gallinaceis calidis; iusculum autem probe ex iis parandum idque sorbendum est. Sorbitionibus ante cibum utatur, neque sitiat, quoad latus suppuratum evaserit. Suppuratur autem fere diebus quadraginta aut paulo ante; hac ex re autem scies quando latus fiat suppuratum; neque enim pus exspuitur, neque reiicitur vomi-

[1] ἔμπυον. — [2] δέκα. — [3] καί om.

τὸ δὲ λοιπὸν — καταρχάς.] ἢ τοῖσι ὤμοισι ἐν ἄχθεϊ αὐτὸς ταλαιπωρήσῃ Littr.; — e vulgata αὐτός abest, sed codd. 4. Littréo praebuerunt; at in cod. H. ἐν ἄχθεϊ om., licet αὐτός habeat; mihi autem ἐν ἄχθεϊ αὐτός pro emblemate alieno reiiciendum est visum. Vulg. ἢν γένηται, sed ἢν ὑποτροπιάσῃ E. H. K. P.' Q.'; — ὑποστραφέν om. in H., sed rest. al. m.

ἢν δὲ μὴ — χαλεπή.] τοῖσι αὐτοῖσι αὐτὸν ἰῆσθαι vulg., sed αὐτόν om. prima m. in H.; — καὶ ποτήμασι vulgo, sed manifesto e terminatione superioris ῥοφήμασι natum est, plures enim cod. ποτοῖσι, itaque cum Lind., Mack., ποτοῖσι dedi pro ποτήμασι.

9. ἢν ἐν — ἀΐσσουσα.] καὶ ἔμπ. γεν. om. Lind.; — ἔμπυον, ut V., Parr. 3. P.' Mack.; — ἴσχει post πυρετός E. H. K.

οὗτος — πλευρόν.] ἕνδεκα e codd. 4. Littr., vulg. e V. notavi; — ῥυφήμασι Ald. G. H. ῥοφ. cett.; — ῥύφημα G. Ald., ῥόφημα cett.; — ἢ ὑδαρέϊ vulg., καὶ ὑδ. Corn., Mack., Littr.; — ῥυμφάνοντα Ald. Parr. 3. Voss., ῥοφάνοντα vulg., ῥυφάνοντα E.; — διαζωμεῦσθαι vulg., διαζωμεύεσθαι K., ἐζωμεῦσθαι E. Littr., ἐκδιαζωμεῦσθαι Q.' Lind., Mack., ἐκζωμεύεσθαι P.; ex his effeci διεξεζωμεῦσθαι; — ῥυμφανέτω Ald. Parr. 6. ῥοφ. vulg.; — ῥυφήματα Ald. G., ῥοφ. vulg.

πλευρόν. Πυΐσκεται δὲ μάλιστα ἐν τεσσαράκοντα ἡμέρῃσι, ἢ ὀλίγῳ πρόσθεν· τούτῳ δὲ γνώσῃ, ὁκόταν ἔμπυον γένηται τὸ πλευρὸν, πῦον γὰρ οὐκ ἀποπτύεται, οὐδ' ἀνεμέεται. Τοῦτον, ὁκόταν οὕτως ἔχῃ, ὅκου ἂν ἀποσημήνῃ τὸ οἴδημα, τάμνειν ἢ καίειν· ἔπειτα ἀφιέναι τὸ πῦον [1] κατ' ὀλίγον καὶ ἐπειδὰν ἀπαρύσῃς, μοτὸν καθιέναι ὠμολίνου καὶ αὖτις τῇ ὑστεραίῃ ἐξελὼν, ἀπαρύσαι κατ' ὀλίγον τοῦ πύου· ἔπειτα μοτῶσαι καὶ αὖτις τῇ τρίτῃ καὶ τῇσι ἄλλῃσι ἡμέρῃσι δὶς τῆς ἡμέρης ἀπαρύειν ἕως ἂν ξηρανθῇ. Διδόναι δὲ καὶ τὰ σιτία καὶ τὰ ὄψα, ὁκόταν προσίηται καὶ πινέτω ὀλίγον, μὴ πολλὸν, ἤν τε οἶνον, ἤν τε καὶ ὕδωρ· τρωγέτω δὲ καὶ τῆς ὀριγάνου τῆς ἁπαλῆς ὡς πλεῖστον, ἐς μέλι ἀποβάπτων· ἢν δὲ μὴ ἁπαλὴν [2] ἔχῃς, ἀλλ' αὔην, λεπτὴν ποιήσας, ἐς τὸ [3] μέλι μίξας λείην διδόναι ὡς πλείστην, [4] καὶ λούειν, μὴ ῥιγούτω δὲ τοῖσι λουτροῖσι, καὶ μαλθακῶς κοιμάσθω. Οὕτω ταύτην τὴν νοῦσον θεραπεύων, τάχιστ' ἂν ὑγιέα ποιήσαις· ὁκόταν δὲ ὑγιὴς γένηται, [5] φυλασσέσθω τὸ ψῦχος, τὸ θάλπος, [6] τὸν ἥλιον καὶ τοῖσι περιπάτοισι ὀλίγοισι χρεέσθω μετὰ τὸ σῖτον, ὅκως ἂν μὴ κόπος λάβῃ τὸ σῶμα· ταῦτα ποιέων ὑγιὴς ἔσται. Τούτων τῶν νούσων ἅστινας ἂν καύσῃς, ἐπὶ τὰ καύματα πράσα τρίψας πολλὰ καταπλάσσειν εὐθὺς μετὰ τὴν καῦσιν καὶ καταλιμπάνειν μίαν ἡμέρην.

tione. Hunc cum sic habuerit, quo loco tumor de se significationem praebet, secato, aut inurito, deinde pus paulatim emittito et postquam exhauseris, linamentum ex lino crudo imponito; quo postridie rursus educto pus sensim exhaurito, mox linamento indito, rursus tertio die, ceterisque diebus bis die donec exsiccatum fuerit, extrahito. Et cibos et opsonia cum expetit exhibeto; parumque, non multum bibat, sive vinum sit, sive etiam aqua. Origanum vero tenellum quam plurimum melle intinctum edat. Quodsi tenellum non habeas, sed siccum, tritum melle admisto quam plurimum exhibeto. Lavet etiam, sed ne rigeat ex balneo et molliter dormiat. Hunc morbum si sic curaveris, citissime sanaveris. Cum vero sanus evaserit, frigus, calorem et solem vitet et modicis deambulationibus utatur post cibum, ut ne corpus lassitudine teneatur. Quae cum feceris, convalescet. Ex his morbis quibus ustionem adhibueris, statim post ustionem porrum multum tritum loco inusto ex cataplasmate imponito et diem unum sinito.

ι'. [7] Τρεῖς δέ εἰσι φθίσιες. Πρώτη. Αὕτη μὲν γίγνεται ἀπὸ φλέγματος, ἐπὴν ἡ κεφαλὴ φλέγματος πλησθεῖσα νοσήσῃ καὶ θέρμη ἐγγένηται, ξυσσήπεται τὸ φλέγμα τὸ

10. Tabis tres sunt species. Prima: Haec quidem ex pituita oritur, cum caput pituita plenum morbo affectum fuerit et calor intus subortus, in capite pituita computrescit, ut

[1] κατὰ ὀλ., item paulo post. — [2] ἔχῃ. — [3] μέλι τε μ — [4] καὶ μηδὲ ῥιγούτω καὶ τοῖσι λουτροῖσι λούειν. — [5] φυλάσσεσθαι. — [6] τοῦ ἡλίου. — [7] In marg. φθίσιες τρεῖς, sed τρεῖς — πρώτη abest.

πυΐσκεται — ἀνεμέεται.] τοῦτο vulg., τούτῳ K. Littr.; — οὐ πτύεται E. P.′ Q.′
τοῦτον — ξηρανθῇ.] ἀποσημαίνει E.; — τὸ οἴδ. om. H., sed rest. al. m.; αὖτις ex E. H. bis dedi, αὖθις cett.; — πύους vulg., πύου alii et Littr. e codd. 3.
διδόναι δὲ — κοιμᾶσθαι.] καὶ οἶνον Q.′; — ἤν τε καὶ ὕδωρ E. P.′, cett. καί omm.; — ἔχῃ vulgo, ἔχῃς de meo dedi collatis aliis in hoc libro locis et sensu id flagitante; — ἐς τὸ μέλι τε μίξας vulg., τε omm. E. H. K. Littr.; — ἔς τε τὸ μ. Lind., Mack. Porro καὶ μηδὲ (μή manus prima in H.) ῥιγούτω καὶ τοῖσι λουτροῖσι λούειν vulg. καὶ τοῖσι λουτροῖσι λούειν μηδὲ ῥιγούτω Lind., quod probat et recipit Littr. — Lindanus locum perturbatum non restituit, spero meam rationem probatum iri.
οὕτω — ἔσται.] τάχιστ' E. H. K., τάχιστα vulg.; — καὶ τὸ θάλπος τοῦ ἡλίου et τὸ θάλπος τοῦ ἡλίου aliae sunt codd. lectt.; — ταῦτα ἢν ποιέῃ nonnulli codd. et Lind.
τούτων — ἡμέρην.] ἐᾶν pro καταλιμπάνειν E. H. P.′ Q.′
10. τρεῖς — σαπροῦ.] περὶ φθίσιος pro inscriptione ex F. G. adnotat Littr.; — φθίσιες τρεῖς pro τρεῖς δέ εἰσι φθ. ferunt Parr. 5.; — τρεῖς γάρ εἰσι φθ. F. G.; — πρώτη in multis codd. om.; — [ἡ] πρώτη μὲν γίν. ἀπό Lind.; —

ἐν τῇ κεφαλῇ, ἅτε οὐ δυνάμενον κινέεσθαι, ὥστε ὑποχωρῆσαι· ἔπειτα ὁκόταν παχυνθῇ, καὶ ξυσσαπῇ, καὶ ὑπερπλησθῇ τὰ φλέβια, ῥεῦμα ἐπὶ τὸν πνεύμονα ἐγένετο καὶ ὁ πνεύμων ὁκόταν ἀναλάβῃ, νοσέει παραχρῆμα, ἅτε δακνόμενος ὑπὸ τοῦ φλέγματος, ἁλυκοῦ ἐόντος καὶ σαπροῦ. Τάδε οὖν πάσχει· πυρετὸς ἄρχεται βληχρὸς ἐπιλαμβάνειν καὶ ῥῖγος καὶ πονέει τὰ στήθεα καὶ τὸ μετάφρενον· ἐνίοτε δὲ καὶ βὴξ πιέζει ὀξεῖα καὶ ἀποπτύει τὸ σίαλον πουλὺ καὶ ὑγρὸν καὶ ἁλμυρόν. Ταῦτα μὲν καταρχὰς τῆς νούσου πάσχει· προϊούσης δὲ τό τε γυῖον λεπτύνεται, πλὴν τῶν σκελέων· ταῦτα δὲ οἰδέει καὶ οἱ πόδες· καὶ οἱ ὄνυχες ἕλκονται· ἐκ δὲ τῶν ὤμων λεπτὸς καὶ ἀσθενής· [1] ἡ φάρυγξ ὡς χνόου πίμπλαται καὶ συρίζει ὡς διὰ καλάμου καὶ διψῇ ἰσχυρῶς διὰ παντὸς τοῦ νοσήματος καὶ ἀκρασίη πολλὴ τὸ σῶμα ἔχει. Οὗτος ὁκόταν οὕτως ἔχῃ, ἐνιαυτῷ φθειρόμενος φαύλως θνήσκει. Μελετᾶν δὲ χρὴ ὡς μάλιστα καὶ ἀνακομίζειν· πρῶτον μὲν πῖσαι ἐλλέβορον, κάτω δὲ ὑποκαθῆραι ἐπιθύμῳ ἢ πεπλίῳ, ἢ τῷ κόκκῳ τῷ Κνιδίῳ, ἢ τῇ τιθυμαλίδι· ταῦτα χρὴ τετράκις τοῦ ἐνιαυτοῦ δοῦναι, ἄνω δὶς, κάτω δίς. Διδόναι δὲ καὶ ὄνειον γάλα ἑφθὸν ἐς ὑποκάθαρσιν, ἢ βόειον, ἢ αἴγειον· πινέτω δὲ καὶ ὠμὸν τὸ βόειον γάλα, τρίτον μέρος μελικρήτου ξυμμίσγων, πέντε καὶ τεσσαράκοντα ἡμέρας, ξυμπαραμίσγων καὶ [2] τὸ ὀρίγανον· τὴν δὲ κεφαλὴν πρόσθεν καθαίρειν, πρὸς τὰς ῥῖνας προστιθεὶς φάρμακον. Σιτία δὲ καὶ ὄψα διδόναι μήτε λιπαρὰ, μήτε κνισώδεα, μήτε λίην δριμέα. Τεκμαιρόμενος δὲ πρὸς τὸ νόσημα ταῦτα ποιέειν καὶ περιπάτοισι χρέεσθαι

quae moveri nequeat, ut descendat. Deinde cum crassiores venulae redditae fuerint, computrefactae et supra modum impletae, fluxio in pulmonem fit, quam ubi pulmo susceperit, confestim morbo afficitur, cum a pituita salsa et putrida mordeatur. Haec igitur patitur. Febris lenta initio invadit et rigor et pectoris ac dorsi dolor, interdum vero vehemens tussis urget et sputum copiosum, liquidum et salsum exspuit. Et haec quidem per morbi exordia accidunt, in progressu vero totum corpus extenuatur, exceptis cruribus. Haec autem et pedes intumescunt unguesque contrahuntur, ab humeris extenuatur et debilitatur. Fauces sono implentur et velut per arundinem sibilum edunt, sitis vehemens per totum morbum vexat, multaque movendi impotentia corpus occupat. Hic ubi ad hunc habuerit modum, intra annum mala tabe perit. Quam maxima autem cura adhibenda est, ut vires reficiantur. Primum quidem veratrum propinandum et per inferiora purgandum epithymo aut peplio aut grano Cnidio, aut tithymalide. Eaque quater in anno exhibenda sunt, bis sursum, bis deorsum. Lac etiam bubulum crudum aquae mulsae tertia admixta parte bibat per dies quadraginta quinque, una etiam admixto origano. Eius autem caput admoto ad nares medicamento prius purgato. Cibaria et opsonia neque pinguia neque nidorulenta, neque valde acria exhibeto. Haec autem morbi consideratione adhibita facienda et deambulationibus ciborum ratione habita utendum, adhibita cautione ne frigeat. Per hiemem vero iuxta ignem domi vitam transigat. Vinum bibat austerum, nigrum quam vetustissimum et suavissimum, sed modicum. Quodsi

[1] ὁ φάρυγξ ὅς χν. π. — [2] τὴν ὀριγ.

ἐπὴν γάρ P.′ Lind., Mack.; — τό ante ἐν τῇ κεφ. de meo dedi; — καὶ ὁκόταν ὁ πν. ἀναλ. E. H.; — ἁλυκοῦ edd. antt. Parr. 6., ἁλικοῦ vulg.

τάδε οὖν — ἁλμυρόν.] ἐνίοτε δὲ καὶ βὴξ π. Littr. cum Ald., Mack., Parr. 7.. καί e vulg. excidit.

ταῦτα — ἔχει.] De γυῖον in hoc libro saepius *totum corpus* significante cf. Foës. in Oecon., ubi loci collecti sunt. De meo ἡ φάρυγξ scripsi, vulgo ὁ φάρυγξ; — ὡς om. H., sed rest. al. m.; — διψεῖ K.

μελετᾶν — δίς.] δ᾽ὑποκαθ. E. H.; — ἢ τῷ πεπλ. E. H. Q.′ — articulum ante κόκκῳ om. Lind., ante τιθυμ. om. K.

διδόναι — φάρμακον.] πινέτω καὶ ὠμόν E.; — προσμίσγων E. H. P.′ Q.′: — παραμίσγων pro ξυμπαραμ. E. H.; — τὸν ὀρίγ. P.′, τὴν ὀρίγ. Parr. 5.; — τὴν δὲ κεφαλὴν αὐτοῦ ceteri; ego pronomen otiosum abiicio.

τεκμαιρόμενος δὲ — ποιεέσθω.] πρός de meo interpono; — πάντα pro ταῦτα m. prima in H., sed aliâ reponitur vulg.; — ποιέειν δεῖ vulgo; ποιέειν χρή codd. 4. Lind., Mack., — φυλασσόμενος de coniectura mea infero; — ῥιγώῃ ceteri, subiunctivum de meo dedi; — ποιεέσθαι K.

πρὸς τὰ σιτία τεκμαιρόμενος, φυλασσόμενος μὴ ῥιγᾷ· τοῦ δὲ χειμῶνος παρὰ πῦρὶ τὴν οἴκησιν ποιεέσθω. Οἶνον δὲ πινέτω, αὐστηρὸν, μέλανα, ὡς παλαιότατον καὶ ἥδιστον, ὀλίγον δέ. Κῆν δοκέῃ σοι πρὸ τοῦ φαρμάκου πυριῆσαι, καὶ οὕτω [1] διδόναι τὸ φάρμακον· ἢν δὲ μὴ βούλῃ δοῦναι πυριήσας, ἔμετον ἐκ τῶν σιτίων καταναγκάσαι ποιήσασθαι, ὡς τὸ πρόσθεν γέγραπται. Τούτῳ ἢν ξυμφέρωσι, περιπάτοισι χρεέσθω· ἢν δὲ μὴ ξυμφέρωσι, ἡσυχαζέτω ὡς μάλιστα τῷ σώματι. [2] Οὗτος οὕτω μελετώμενος ῥήϊστ' ἂν διάγοι· ἡ δὲ νοῦσος θανασίμη καὶ παῦροι [3] διαφυγγάνουσι.

tibi videatur, ante medicamentum fomentum admoveto et ad hunc modum medicamentum exhibeto; sin exhibere nolis, post adhibitum fomentum vomitum ex cibis, velut ante scriptum est, promoveto. Deambulationibus si conferant, utatur; sin non conferant, corpus quam maxime quiescat. Hic ad hunc modum curatus facillime deget; morbus autem letalis est, ab eoque pauci evadunt.

ια'. Φθίσις δευτέρη. Γίγνεται μὲν ἀπὸ ταλαιπωρίης· τὰ αὐτὰ δὲ πάσχει, ὡς ἐπιτοπλεῖστον, ἃ καὶ ὁ πρόσθεν· ἡ δὲ νοῦσος [4] διαπαύεται μᾶλλον τῆς προτέρης [5] καὶ τοῦ θέρεος ἀνίησι. Τὸ δὲ σίαλον ἀποπτύει, παχύτερον μὲν τοῦ ἐν τῇ πρόσθεν καὶ βὴξ πιέζει μάλιστα τοὺς [6] γηραιοὺς καὶ ὁ πόνος ἰσχυρότερος ἐν τοῖσι στήθεσι καὶ δοκέει οἷόν περ λίθος ἐν αὐτοῖσι ἐγκέεσθαι· πονέει δὲ καὶ τὸ μετάφρενον· καὶ ἡ χροιὴ [7] δίυγρός ἐστι καὶ ἤν τι πονήσῃ, φυσᾷ καὶ ἆσθμα ἴσχει. Οὗτος ἐκ ταύτης τῆς νούσου ἐν τρισὶ ἔτεσι μάλιστα θνήσκει. Μελετᾶν δὲ χρὴ τοῖσι αὐτοῖσι, οἷσι καὶ τὸν πρόσθεν. Αὕτη ἡ νοῦσος προσέχει τοῖσι πολλοῖσι μέχρι τριῶν ἐτέων, ἀλλ' ἀποθνήσκουσι· ἡ γὰρ νοῦσος χαλεπή.

11. Tabes altera. Oritur quidem ex vehementi labore. Eadem ut plurimum, quae prior, patitur. Hic vero morbus priore magis intermittit et per aestatem remittit. Sputum crassius quidem quam in priore aeger exspuit et tussis sicca praesertim urget et dolor in pectore vehementior, eique velut lapis incumbere videtur. Dolor etiam dorsum occupat, corporisque superficies nimio humore permadescit et, si quid laborarit, efflat et anhelatio detinet. Hic ex hoc morbo in tribus fere annis moritur. Iisdem vero, quibus etiam priorem, curato. Hic morbus multis ad tres annos perseverat, verum moriuntur; est enim morbus gravis.

[1] δοῦναι. — [2] οὕτως οὕτω. — [3] διαφυγγάνουσι· γίνεται δὲ ἀπὸ ταλαιπ. in marg. inscriptio: β'. ἄλλη φθίσις. — [4] διαπαύει αὕτη μᾶλλον. — [5] καί om. — [6] ὀρόους (sic). — [7] δίυγρος.

κῆν δοκέῃ — γέγραπται.] βούλει K.; βούλῃ τὸ φάρμακον E.; — οὕτω δὲ ἔμετον ἀπὸ τῶν σ. E. H.; — καταναγκ. om. H. et prima m. in E.

τούτῳ — σώματι.] ἡσυχίην χρὴ ἔχειν pro ἡσυχαζέτω E. H. P.' Q.' Lind.

οὗτος — διαφυγγάνουσι.] μελεδαινόμενος P.' Mack.; — ῥήϊστ' E. H., ῥήϊστα vulg.; — διάγοι ἐν τῷ νοσήματι vulgo, sed ἐν τῷ νοσ. glossa est; — tum ταύτην διαφυγγ. vulgo, sed ταύτην om. prima m. in H.

11. φθίσις δευτέρη — ἀνίησι.] ἄλλη φθίσις, uti V., et ἑτέρη φθ. sunt inscriptiones e libris mss. a Littréo notatae; — γίνεται μέν ex E. H. K. Littr., γίνεται δέ vulg. — Ceteri διαπαύει αὕτη, sed διαπαύει constare nequit, licet cap. seq. πυρετὸς διαπαύων codd. ferant; — quemadmodum hoc loco διαπαυόμενος repono, ita illo nostro e verbo et pronomine διαπαύεται efficio.

τὸ δὲ σ. — ἴσχει.] παχύτερον μὲν τῆς (τῇ Ald. I. J.) πρόσθεν codd. et edd.; — de meo dedi, quod loci sensus eiusque cum seqq. nexus requirit. Illud ὀρόους, quod e V. excerpsi, in Aldina et Parr. 7. item habetur; latetne in eo ὡραίους? — λίθον multi Parr., Ald., Mack., οἷον περὶ λίθον Voss.. sitne inde ille accusativus mss. illorum explicandus? Pro δίυγρος, quae mss. est lectio, Littr. e Gal. Gl. δίυδρος ad Foësium provocans; sed hic alium locum respexit infra § 26., ubi vide, obvium, ad quem glossam Galeni refert; vid. Oecon. in δίυγρος et δίυδρος; neque in Foësii notulis ad nostra verba quidquam adscriptum est; — equidem nihil tango: χροιή perinde ac χρῶμα subinde corporis superficiem potius quam colorem significat. — Ceteri δίυγρος αὐτέου: — equidem otiosum pronomen repudio. Vulgo φύσῃ καὶ ἆσθμα ἴσχει, sed φύσει E. G. H. I. J. K.; mihi in φύσει latere videtur φυσᾷ et in φύσῃ verbum φυσῇ; hinc mea emendatio loci.

αὕτη ἡ νοῦσος — χαλεπή.] Pro μέχρι E. H. πλήν, sed

ιβʹ. [1] Φθίσις τρίτη. Ὑπὸ ταύτης τάδε πάσχει· ὁ μυελὸς αὐτοῦ ὁ νωτιαῖος αἵματός τε [2] καὶ χολῆς μεστὸς γίγνεται. Φθίνει [3] δὲ ὁμοίως καὶ ἀπὸ τῶν κοίλων φλεβῶν· αὗται δὲ φλέγματος ὑδρωποειδέος ἐμπίπλανται καὶ χολῆς. Πάσχει δὲ τὰ αὐτὰ, ἀφ' ὁκοτέρων ἂν φθίνῃ, καὶ ὁ ἄνθρωπος εὐθὺς μέλας γίγνεται καὶ ὑποιδαλέος καὶ τὰ ὑπώπια [4] ὠχρὰ καὶ αἱ φλέβες αἱ ἐν τῷ σώματι ὠχραὶ διατέτανται, ἔνιαι δὲ σφόδρα ἐρυθραί· μάλιστα δὲ δῆλαι αἱ ὑπὸ τῇσι μασχάλῃσι· καὶ ἀποπτύει ὠχρὰ καὶ ὅταν αὐτῷ ἐπίῃ, πνίγεται καὶ βῆξαι οὐ δύναται ἐνίοτε βουλόμενος· ἐνίοτε [5] δὲ ὑπὸ τοῦ πνίγματος καὶ τῆς προθυμίης τοῦ βήσσειν ἀθρόον ἤμεσε χολὴν, ποτὲ δὲ λάπην, πολλάκις δὲ καὶ τὰ σιτία, ὅταν φάγῃ· καὶ ὁκόταν ἀπεμέσῃ, δοκέει κουφότερος εἶναι· εἶτ' αὖθις ὀλίγον χρόνον διαλιπὼν ἐν τοῖσι αὐτοῖσι πόνοισι κέεται. Οὗτος καὶ φθέγγεται ὀξύτερον ἢ ὑγιαίνων καὶ ῥῖγος καὶ πυρετὸς διαπαυόμενος ἐπιλαμβάνει ἱδρώδης. Τοῦτον, ὁκόταν ὧδε ἔχῃ, βρωτοῖσι καὶ ῥυφήμασι καὶ ποτοῖσι καὶ φαρμάκοισι καὶ τοῖσι ἄλλοισι πᾶσι μελετᾶν, ὥσπερ τοὺς πρόσθεν. Ἡ δὲ νοῦσος ἔχει μάλιστα ἐννέα ἔτεα, ἔπειτα διαφέρει φθειρόμενος· παῦροι δὲ φυγγάνουσι ἐξ αὐτῆς· χαλεπὴ γάρ. Ἢν δὲ βούλῃ, ὧδε ἰῆσθαι· πρῶτα μὲν [6] πυριῆσαι, καὶ ὁκόταν πυριηθῇ, τῇ ὑστεραίῃ δοῦναι αὐτῷ πιεῖν μελικρήτου ἡμίχουν καὶ ὄξος παραχέαι ὀλίγον· τοῦτο δὲ κέλευε ἀμυστὶ ἐκπιεῖν· ἔπειτα τῶν ἱματίων ἀμφιέσαι αὐτὸν

12. Tabes tertia. Ex hac haec patitur. Eius spinalis medulla sanguine et bile repletur. Tabescit autem eodem modo a venis cavis, quae pituita aquae speciem referente et bile implentur. Eadem autem patitur ex quibuscumque tabes contingat. Homo confestim niger et subtumidus evadit, partes sub oculis pallidae sunt, venaeque per corpus distentae pallidae, quaedam vero valde rubrae sunt; praesertim tamen manifestae apparent sub axillis; pallidum exspuit, cumque ei ingruit, suffocatur, interdumque cum tussire vult non potest, interdum vero ex strangulatu et tussiendi cupiditate copiosam bilem evomit, quandoque etiam pituitam, plerumque vero etiam cibos, cum comederit. Cumque vomuerit, levior videtur, deinde rursus pauco interiecto tempore, iisdem affligitur doloribus. Hic acutius quam cum sanus esset, loquitur, rigor et febris cum intermissione et sudore invadit. Hunc cum ad hunc modum habuerit, cibis, sorbitionibus, potionibus, medicamentis, ceterisque omnibus, quibus priores curato. Hic autem morbus fere annos novem perdurat, deinde contabescens degit, pauci vero ex eo evadunt, cum sit gravis morbus. Quodsi voles, eum hunc in modum curato: primum quidem fomentum adhibeto, eoque adhibito, postridie aquae mulsae semicongium, pauco aceto affuso, potui exhibeto, idque uno haustu bibere iubeto. Deinde multis eum stragulis diutissime convolvito. Quodsi non perferat, sed vomere velit, evomat. Si vero post aliquod

[1] ἑτέρη φθίσις. — [2] καὶ χολῆς om. — [3] τε. — [4] ὑπώπια ὠχρά. — [5] δέ om. — [6] πυριῆσθαι.

in H. μέχρι al. m. rest.; — τῶν τριῶν E.; — ἡ δὲ νοῦσος Ald. F. G.

12. φθίσις τρίτη — γίγνεται.] ἑτέρη φθ. et ἄλλη φθ. inscriptiones notantur e mss. a Littr.; — ἀπὸ ταύτης G. J. Ald.; — δὲ τάδε E. K. In codd. omnibus καὶ χολῆς deëst, suppleverunt dudum interpretes.

πάσχει — κέεται.] πάσχουσι vulg., de meo πάσχει, dedi; — καὶ τὰ ὑπὸ τοὺς ὀφθαλμοὺς ὑπώπια ὠχρά mss., cum Lind. probante etiam Littréo ὑπὸ τοὺς ὀφθ. abieci; — fieri tamen possit, ut ne ὑπώπια quidem sit ab auctoris manu, sed ut καὶ τὰ κύλα τῶν ὀφθαλμῶν scriptum fuerit; — διαπέφανται Lind.; — ποτὲ δὲ λάπην H., ὅτε δὲ λ. Ald. F. G.; αὖτις E. H., per θ ceteri.

οὗτος — ἱδρώδης.] διαπαυόμενος de meo dedi pro διαπαύων ceterorum.

τοῦτον — πρόσθεν.] ῥυφημ. Ald., Parr. 6., ῥοφ. cett.; — ὥσπερ τῶν πρόσθεν prima m. in H.

ἡ δὲ νοῦσος — γάρ.] Vulgo: ἡ δε νοῦσος διαφέρει μάλιστα ἐννέα ἔτεα, ubi ἔχει dedi de meo, quum manifesto διαφέρει h. l. a librariis sit datum propter sequens διαφέρει φθειρόμενος. — In fine loci ceteri χαλεπὴ γὰρ ἡ νοῦσος, ubi otiosum ἡ νοῦσος repudiavi.

ἢν δε βούλῃ — ταύτην τὴν ἡμέρην.] ὧδε om. K.; — ἰῆσθαι αὐτόν ceteri, abieci pronomen; — πρῶτον H. et μέν. non nisi ab al. m.; — ὁκόταν δὲ πυριηθῇ H.; — δοῦναι χρὴ πιεῖν αὐτῷ E. H.; — μελικρήτου ex E. Littr., μελίκρητον vulg.; — ὄξος παραχέας E.; — τοῦτο δὲ — ἐκπιεῖν fere lectio est codd. E. H. pro vulg. καὶ κέλευε ἀπνευστὶ τοῦτο πιεῖν. Olim h. l. aliam fuisse lect. ἀμυστί, quae in Gal. Gl. servata est, docuit Foës. in Oecon. voce ἀπνευστί.

πολλὰ καὶ ὡς πλεῖστον χρόνον· ἢν δὲ μὴ ἀνέχηται, ἀλλ' ἐξεμέσαι βούληται, ἐξεμεέτω· ἢν δὲ μὴ [1] ἔμετος ἔχῃ χρόνου ἤδη [2] ἐγγενομένου, ἐπιπιὼν ὕδατος χλιεροῦ μεγάλην κύλικα ἐμεέτω [3] καταμασσόμενος πτερῷ· ὁκόταν δὲ ἀπεμέσῃ ὥστε καλῶς ἔχειν, ἡσυχίην ἐχέτω ταύτην τὴν ἡμέρην. Ὁκόταν δὲ [4] ὥρη δείπνου ᾖ, δειπνεέτω μᾶζαν ὀλίγην καὶ ὄψον ἐχέτω τάριχος καὶ πράσα, ταῦτα δὲ ἐσθιέτω ὡς πλεῖστα, οἶνον δὲ πινέτω γλυκύν. Τὸν δὲ λοιπὸν χρόνον, λουέσθω πᾶσαν ἡμέρην ἅμα ἕωθεν θερμῷ [5] καὶ πολλῷ καὶ μετὰ τὸ λουτρὸν φυλάσσειν χρή, ὡς μὴ ῥιγώσῃ, ἀλλὰ κατακλιθεὶς εὑδέτω [6] ὡς πλεῖστον χρόνον. Ὁκόταν δὲ ἀναστῇ εὕδων, περιελθέτω σταδίους εἴκοσι τὸ βραχύτατον ταύτῃ τῇ ἡμέρῃ· τῇσι δὲ ἄλλῃσι ἡμέρῃσι πέντε σταδίους ἄλλους ὑπερβάλλων βαδιζέτω, ἑκάστης ἡμέρης προστιθεὶς, ἄχρις ἂν ἀφίκηται ἐς τοὺς ἑκατὸν σταδίους. Τὴν δὲ κοιλίην ὑποκαθαίρειν δεῖ ἑκάστης ἡμέρης χυλοῖσι σεύτλων καὶ κράμβης· χωρὶς ἑκάτερα ἑψήσας ἀπηθῆσαι χοέα ἑκατέρου· εἶτα ξυμμίξας ἐς τωὐτὸ ἅμα [7] ξυνέψειν στέαρ ὄϊος τὸ ἀπὸ τῶν νεφρῶν τεταρτημόριον μνᾶς ἀμφοτέροισι διελών· ὁκόταν δὲ μέλλῃ [8] πιεῖσθαι, πρὸς μὲν τῆς κράμβης τὸν χυλὸν ἅλας [9] παραβάλλειν, πρὸς δὲ [10] τὸν τῶν σεύτλων μέλι παραχέειν. [11] ἐξὸν δὲ χωρὶς ἑκάτερον πίνειν, ἢ μέλι [12] παρεγχέας παρὰ τὴν ἑτέρην κύλικα πίνειν, παρὰ δὲ τὴν ἑτέρην ἅλας· ἐκπιεῖν δὲ

tempus vomitus non detineat, aquae tepidae magno calice insuper ebibito ex levi per pennam attrectatione vomat. A vomitu cum bene habuerit, per hunc diem quiescat. Coenae tempore mazam paucam in coena sumat, salsamento et porro pro opsonio utatur, quae quam plurima edat vinumque dulce bibat. Reliquo vero tempore toto die statim prima luce multa calida lavet et post balneum frigus vitet, verum decumbens diutissime dormiat. Expergefactus a somno eo die viginti stadia ut minimum obambulet. Reliquis autem diebus alia quinque adiecta stadia ambulet, quotidie addens, donec ad centum stadia pervenerit. Alvum autem quotidie aliquantum purgare oportet betae et brassicae succis utrisque separatim coctis, ita ut utriusque congio percolato admisceas adipis ovilli qui circa renes est librae quadrantem partitum inter utrumque, et quem cum singulis una coquas. Ubi autem bibere volet, ad brassicae quidem succum sal adiicias, ad betae vero succum mel affundas. Licet autem separatim utrumque bibere, aut melle ad alterum poculum affuso bibere, ad alterum vero sale iniecto; totum autem succum ebibere oportet et haec quidem triginta diebus facere. Mense autem secundo panem edat et carnes suillas pingues coctas, aliud vero nihil. Vinum album austerum bibat et ante coenam non minus quam triginta stadia deambulet, post coenam vero decem, neque frigeat, verum vestibus cooperia-

[1] ἔμετον. — [2] γενομένου. — [3] καταμάττομενος. — [4] δείπνου ὥρη. — [5] καί om. — [6] ὡς om. — [7] συνεψεῖν τὰ ὀστέα οἳ, τὸ ἀπὸ τῶν ν. — [8] ποιεῖσθαι. — [9] παραβαλεῖν. — [10] τόν om. — tum τῶν τευτλίων. — [11] ἦν δέ. — [12] παραχέας.

Observat Littr. cum copia non exigua liquoris bibendi ἀμυστί melius quam ἀπνευστί congruere; non credo, sed quia ἀπνευστί glossa est, ἀμυστί in lectionem codicum E. H. introduxi. Porro ἀμφιέσαι αὐτὸν πολλόν Ald. G.; — ἐγγενομένου ex solo H. Littr., vulgatam e V. notavi; — χλιεροῦ Ionice E. H. Littr.; — καταματτεόμενος H., equidem vulgatam lect. per σσ descripsi.

ὁκόταν δὲ ὥρη — γλυκύν.] δείπνου ὥρη ut V., Parr. 5.; Lind. om. δείπνου ᾖ.

τὸν δὲ λοιπὸν — χρόνον.] λουέσθω τε πᾶσαν E. H.; — θερμῷ πλείστῳ prima m. in H.

ὁκόταν δὲ — σταδίους.] ὑπερβαλλών H., ὑπερβαλών E.; — ἕως ἂν ἀφικ. codd. nonnulli Lind., Mack.

τὴν δὲ κοιλίην — χυλόν.] Ceteri omnes ἐκ τῆς ἡμέρης, quod mihi ex ἑκάστης ἡμέρης ortum est visum, ita ut hoc reponerem; dein enim ταῦτα μὴν ποιέειν χρὴ λ' ἡμέρας. Ceteri καὶ ἀπὸ κράμβης, sed ἀπό otiose a librariis est invectum, paulo post τῆς κράμβης τὸν χυλόν. — Vulgo solum ἅμα συνεψεῖν, sed pro ἅμα E. H. ἐς τωὐτό; — utrumque recepi. Iam vero vulg. συνεψεῖν τὸ στέαρ (τὰ ὀστέα οἱ pro τὸ στέαρ Ald., Parr. 5., δὲ οἱ ὀστέα H., δὲ οἱ στέαρ E., τὸ στέαρ ὄϊος codd. Vatt. Foësii, — Mack. ὀιός, — τὸ στέαρ ὄϊον Lind.) τὸ (τό om. Lind.) ἀπὸ κ. τ. λ. vulg.; hinc Littréus: . . . . χοέα ἑκατέρου· εἶτα ξυμμίξας ἅμα συνεψεῖν· τὸ δὲ ὄϊος στέαρ τὸ ἀπὸ τῶν νεφρῶν τεταρτημόριον μνᾶς ἐν ἀμφοτέροισιν ἑψεῖν διελών κ. τ. λ. affirmans δέ necessario requiri, itaque τὸ δὲ ὄϊος στέαρ se legere. De his nihil dicam, nisi locum ita descriptum intelligi recte non posse; quid de eo sentiam, textus, quem dedi, ostendit. Porro ἅλα παραβαλεῖν H. K. Pro ἐξόν Ald., Parr. 7. ἦν. — Porro παραχέας prima m. in H.; — κοίλικα καὶ πίνειν idem.

χρὴ πάντα τὸν χυλόν. Ταῦτα μὲν ποιέειν χρὴ τριήκοντα ἡμέρας· τῷ δὲ δευτέρῳ μηνὶ ἐσθιέτω ἄρτον καὶ κρέα πίονα ὑὸς ἑφθὰ, ἄλλο δὲ μηδέν· οἶνον δὲ πινέτω λευκὸν, αὐστηρὸν, καὶ ὁδὸν ὁδοιπορεέτω μὴ ἐλάσσω σταδίων τριήκοντα πρὸ τοῦ δείπνου, μετὰ δὲ τὸ δεῖπνον δέκα, καὶ μὴ ῥιγούτω, ἀλλ' ἐσκεπάσθω. Ταῦτα ἢν ποιέῃ, [1] ῥήϊον οἴσει τὴν νοῦσον. Τῷ δὲ τρίτῳ μηνὶ κυκεῶνα ἄνθινον πινέτω· [2] σελίνου ῥίζας καὶ ἄνηθον καὶ πήγανον καὶ μίνθην καὶ κορίανον καὶ μήκωνας ἁπαλὰς καὶ [3] ὤκιμον καὶ Φακὸν καὶ ῥοιῆς γλυκέης καὶ οἰνώδεος χυλόν· εἶναι δὲ χρὴ τὰς γλυκείας διπλασίας· εἶναι δὲ χρὴ τοῦ χυλοῦ ξυναμφοτέρων ἡμικοτύλιον καὶ οἴνου μέλανος ἡδέος αὐστηροῦ ἡμικοτύλιον καὶ ὕδατος κοτύλης ἥμισυ· ἔπειτα ἄνθεα τρίψας λεῖα διῆναι τούτῳ τῷ [4] ξυγκεκρημένῳ καὶ ἐγχέαι ἐς κυλίκα, ἔπειτα ἐπιβαλεῖν ἄλευρα ὀρόβων, ὁκόσον ὀξύβαφον καὶ ἄλφιτον ἴσον, καὶ τυροῦ παλαιοῦ αἰγείου ξέσας τὸ ἴσον τοῖσι ὀρόβοισι· ταῦτα ξυγκυκήσας ἐκπιέτω· ἔπειτα διαλιπὼν ὀλίγον χρόνον ἀριστάτω ἄρτον καὶ ὄψον ἐχέτω τέμαχος νάρκης ἢ ῥίνης ἢ γαλεοῦ ἢ βατίδος, καὶ κρέα ὑὸς ἐσθιέτω ἑφθὰ καὶ παχυνέτω ἑωυτὸν ἡσυχίην ἄγων ὡς μάλιστα, καὶ πυριῆν διὰ δεκάτης ἡμέρης ἑωυτὸν ἡσυχῇ. Τῷ δὲ τετάρτῳ μηνὶ πυριῆν διὰ [5] πέμπτης ἡμέρης ἀτρέμα καὶ ἐσθιέτω ὄψον ὡς πλεῖστον· ὄψῳ δὲ χρεέσθω [6] τυρῷ καὶ κρέασι ὀλίγοισι ὀΐος ἑφθοῖσι. Ὁδοιπορεέτω δὲ καὶ σταδίους, ὡς πρόσθεν εἴρηται, ἀρξάμενος δὲ τοῦ τετάρτου μηνὸς τῇ πρώτῃ ἡμέρῃ ἀπὸ δέκα σταδίων βαδιζέτω καὶ καθ' ἑκάστην προστι-

tur. Quae si fecerit, facilius morbum feret. At tertio mense cyceonem florulentum bibat, apii radices, anethum, rutam, mentham, coriandrum, papaver tenerum, ocimum, lentem et mali punici dulcis ac vinosi succum. Sit autem dulcium duplum et utriusque succi simul heminae dimidium, ac vini nigri suavis, austeri heminae dimidium, aquae etiam hemina dimidia. Deinde flores leviter tritos hoc permixto diluito et in calicem infundito, postea iniecto farinae acetabulo et polenta aequali mensura caseique caprini veteris rasi pari orobis portione, haec simul commixta ebibat. Postea pauco tempore interiecto panem in prandio sumat et pro opsonio torpedinis frustulum, aut squatinae aut galei aut raiae. Et carnes suillas coctas edat et se ipse pinguefaciat, quam maxime quietem agendo, ac decimo quoque die sibi ipse placide fomentum adhibeat. Quarto autem mense quinto quoque die leviter foveatur et quam plurimum opsonium edat. Pro opsonio utatur caseo et paucis carnibus ovillis coctis. Stadia, velut ante dictum est, deambulet; primo vero quarti mensis die decem stadia ambulet, additione quotidie facta, donec ad stadia octoginta perveniat. Et per diem octoginta obambulet: ante coenam triginta, post coenam viginti, mane vero triginta. Reliquo tempore maza et pane victitet, utraque comedens; et pro opsonio habeat pisces cartilaginei generis et carnes omnes praeter bubulam et porcinam edat. Piscibus his abstineat: mugilo, anguilla et melanuro. Torpedinem autem edat, squatinam, raiam, galeum, pastinacam et ranas, prae-

[1] ῥάδιον. — [2] σέλινα. — [3] ὤκιμα. — [4] κεκρημένῳ. — [5] δεκάτης. — [6] πυροῖσι.

ταῦτα μὲν — ἐσκεπάσθω.] ἐσθιέτω ἄρτου Ald., G.; — καὶ αὐστηρόν E., in H. καί alia m.

ταῦτα — νοῦσον.] ῥηΐδιον F. K., cf. lect. V.; ῥᾶον E., ῥῆον H.

τῷ δὲ τρίτῳ — ἡσυχῇ.] ἀνθινήν vulg., ἀνθίνην Lind., ἀνθινόν Mack.; — γλυκέης e K. Littr. γλυκείης vulg.; — τῆς γλυκείης διπλάσιον Lind., tum om. sequens εἶναι δὲ χρή; — vulg.: καὶ τοῦ χυλοῦ ξυναμφ., sed καί om. Littr. cum prima m. in H.; συγκεκρημένῳ ex E. H. P.' Littr., κεκρημ. vulg.; — ξέσαι al. m. H.; — ἀριστάτω ἄρτου Ald. F. G.; — ἢ κρέα K.; — οἰός pro ὑός prima m. in H.; — ἡσυχίην ἔχων J.; — ἐς ἑωυτὸν ἡσυχῇ vulg., sed Marc. om. ἐς, quem sequor. In seq. periodo τυρῷ de meo scripsi, putans τυροῖσι plur. num. ortum esse e seq. κρέασι.

ὁδοιπορεέτω — τριήκοντα.] ὁδ. δὲ σταδίους sine καί E. H.; — οὗτος ὡς E. P.'; οὗτος τῷ τετάρτῳ μηνὶ ἀρξ. sine δέ H., τετάρτῳ μηνὶ ἀρξάμενος sine δέ E.; — προστιθέσθω G. Ald.; — ἕως ἂν Lind.; — ὀγδοήκοντα αὐτῷ E. H.; — στάδ. γέν. E.; — καὶ περιπ. τῆς ἡμέρης vulg., cum Littréo cod. E. sequor; — πρὸ τοῦ δείπνου τριήκοντα e textu in codd. evanuit, sed dudum suppletum est a Corn. inde; — ὄρθρου δέ E. H., vulgo δέ om. Apud Calvum tum h. l. tum paulo post alii numeri: „mane quinquaginta, post coenam triginta." Sitne coniectura, an codicis lectio, nescio.

θέτω μέχρις ἂν [1] αὐτῷ ὀγδοήκοντα γένωνται στάδιοι· [2] περιπατεέτω δὲ τῆς ἡμέρης ὀγδοήκοντα σταδίους, [3] πρὸ τοῦ δείπνου τριήκοντα, [4] μετὰ τὸ δεῖπνον εἴκοσι, ὄρθρου δὲ τριήκοντα. Τὸ δὲ λοιπὸν τοῦ χρόνου διαιτάσθω μᾶζαν καὶ ἄρτον ἐσθίων ἀμφότερα καὶ ὄψον ἐχέτω σελάχια καὶ κρέα δὲ πάντα ἐσθιέτω πλὴν βοείων καὶ χοιρείων· ἰχθύων δὲ τῶνδε ἀπεχέσθω, [5] κεστρέος καὶ ἐγχέλυος καὶ μελανούρου· ἐσθιέτω [6] δὲ νάρκην καὶ ῥίνην καὶ βατίδα καὶ γαλεὸν καὶ [7] τρυγόνα καὶ βατράχους, τῶν δὲ ἄλλων μηδέν· ἢν δὲ δοκέῃ ἀσινέα εἶναι καὶ κυκεῶνα, καὶ ἐπειδὰν θέλῃ [8] καθευδῆσαι, πινέτω οἴνου μέλανος, ἡδέος, παλαιοῦ, δικότυλον κύλικα καὶ μεθ' ἡμέρην τῷ αὐτῷ οἴνῳ χρεέσθω ἐπὶ σιτίῳ· καὶ ὁδοιποιρεέτω τῆς ἡμέρης ἑκατὸν πεντήκοντα σταδίους, [9] πρὸ τοῦ δείπνου ἐννενήκοντα, μετὰ τὸ δεῖπνον εἴκοσι, ὄρθρου δὲ τεσσαράκοντα. Οὗτος οὕτω θεραπευόμενος γίγνεται ἐν ἐνιαυτῷ ὑγιής.

terea nullos. Quodsi haec tibi innoxia videantur, cyceonem etiam bibat, posteaque cum dormiturus est, vini nigri, suavis et veteris duarum heminarum calicem, et per diem eodem vino in cibo utatur. Quotidie centum quinquaginta stadiorum iter conficiat, ante coenam nonaginta, post coenam viginti, mane quadraginta. Hic sic curatus per annum convalescit.

ιγ'. Αὐαίνεται ὁ μυελὸς ὁ κατὰ τὴν ῥάχιν μάλιστα, ὁκόταν τὰ φλέβια ἀποφραχθῇ τὰ [10] ἐς τὸν μυελὸν τείνοντα καὶ ἡ ἐκ τοῦ ἐγκεφάλου [11] ἔφοδος. Διὰ κάκωσιν δὲ τοῦ σώματος τάδε πάσχει καὶ νοσέει· αὐαίνεται δὲ μάλιστα καὶ ἀπὸ λαγνείης· — τάδε οὖν πάσχει. Ὀδύνη ὀξέα ἐμπίπτει ἐς τὴν κεφαλὴν καὶ ἐς τὸν τράχηλον καὶ ἐς τὴν ὀσφὺν καὶ ἐς τοὺς μύας τῆς ὀσφύος καὶ ἐς τὰ ἄρθρα τῶν σκελέων, ὥστε ἐνίοτε οὐ δύναται ξυγκάμπτειν· καὶ [12] ἡ κόπρος οὐ διαχωρέει, ἀλλ' ἵσταται, καὶ δυσουρέει. Οὗτος κατ'

13. Medulla spinalis potissimum resiccatur, cum venulae, quae ad eam tendunt, obstructae fuerint, quique a cerebro est aditus. Ob corporis autem vitium ita afficitur et aegrotat; resiccatur vero maxime etiam ex actu venereo. Haec igitur patitur aeger: Dolor acutus in caput irruit, in cervicem, in lumbos, et lumborum musculos crurumque articulos, ita ut flectere nequeat, stercus per alvum non demittitur, sed sistitur et urinam non nisi aegre reddit. Hic per morbi quidem exordia quietiorem vitam degit, quanto autem longius tempus morbo

[1] αὐτοῦ. — [2] καὶ περιπ. τῆς ἡμ. — [3] πρὸ — τριήκοντα om. — [4] μετὰ δὲ τὸ δ. — [5] κεστρέως. — [6] δὲ καὶ ν. — [7] τρυσην. — [8] καθευδήσειν. — [9] πρὸ — ἐννενήκοντα om. — [10] ἐντὸς μ. — [11] ἔφοδις. — [12] ὁ.

τὸ δὲ λοιπὸν — σιτίῳ.] διαιτᾶσθαι prima m. in H.; — ὄψων J.; — καί ante κρέα δέ omm. Lind., Mack.; — τῶν δὲ λοιπῶν μηδένα E. H.; — καί ante ἐπειδάν de meo dedi; ἐπειδὰν [δὲ] μέλλῃ Lind., μέλλῃ E. H. P.' Q.'; — καθευδήσειν E. H.' J.'; — πινέτω ἀπὸ οἴνου μελ. cett., de meo sine ἀπό scripsi; — ἐπὶ τῷ σιτίῳ K. Mack.

καὶ ὁδοιπορεέτω — ὑγιής.] πρὸ τοῦ δ. ἐννεν. a Corn. inde suppleverunt, quum in codd. desit. Articulum ante δεῖπνον omm. Ald. Parr. 7.: „mane centum, post coenam quinquaginta" Calvus; — ἐν ante ἐνιαυτῷ om. K.; — γίγνεται ὑγιὴς μάλιστα ἐνιαυτῷ οὕτω θεραπευόμενος E. H.

13. Αὐαίνεται — ἔφοδος.] E nonnullis libris Littr. adnotat inscriptionem: ἢν μυελὸς ὁ κατὰ τὴν ῥάχιν αὐαίνηται: notatur vero etiam ex H., in quo dein prima manus αὐαίνεται δὲ μάλιστα ὁκόταν — omissis ceteris, quae ab al. m. post μάλιστα restituuntur; — δὲ μάλιστα ὁ κατὰ τὴν ῥ. μ. E. — Ego de meo ὁ ante μυελός adscripsi.

διὰ κάκωσιν — πάσχει.] αὐαίνεται δὲ μάλιστα ex E. dedi; cett. δέ omm.

ὀδύνη ὀξέα — δυσουρέει.] ὀξέη prima m. in H., ὀξείη vulg.; — αὐτῷ ἐς τὴν κεφ. vulgo, αὐτοῦ K.; — equidem pronomen otiosum abieci; — ἐς ante τὴν ὀσφύν omm. Parr. 3.; δύνανται E. H. — Ceteri καὶ δυσουρέεται, sed scriptum fuit δυσουρέει et terminatio passiva verbi ἵσταται ad δυσουρέει relata fuit a librariis.

οὗτος — παραφύεται.] ἡσυχέστερον vulg. est lectio, alii

ἀρχὰς μὲν τῆς νούσου ἡσυχέστερον διάγει· ὁκόσῳ δ' ἂν ὁ χρόνος τῇ νούσῳ ἀπομηκύνηται, πονέει ἅπαντα μᾶλλον καὶ τὰ σκέλεα οἰδέει ὡς ἀπὸ ὑδέρου καὶ ἕλκεα [1] ἐκφλυνδάνει ἀπὸ τῆς ὀσφύος καὶ τὰ μὲν ἄλλα [2] ὑγιάζεται, τὰ δὲ ἄλλα [3] παραφύεται. Τούτῳ, ὅταν οὕτως ἔχῃ, [4] πυριήσας τὴν κεφαλὴν, τῷ ἱππόφεω ὀπῷ ἢ τῷ Κνιδίῳ κόκκῳ [5] καθῆραι πρῶτον τὸ σῶμα εὖ μάλα· τῆς δ' ἑσπέρης μετὰ τὴν κάθαρσιν πτισάνης δύο τρυβλία ῥοφεέτω μέλι παραχέας· οἶνον δὲ λευκὸν πινέτω μαλθακόν. Τῇ δ' ὑστεραίῃ ὀνείου γάλακτος διδόναι ἑφθοῦ, μέλι παραχέας, [6] ὀκτὼ κοτύλας ἐκπιεῖν· ἢν δὲ μὴ ὄνειον ἔχῃς, βοείου ἢ [7] αἰγείου ἑφθοῦ τρία ἡμιχόεα, παραχέας μέλι· καὶ τὴν ὥρην γαλακτοποτεέτω [8] ὀρρὸν καὶ γάλα πέντε καὶ τεσσαράκοντα ἡμέρας. Σιτίοισι δὲ καὶ ὄψοισι χρεέσθω ὡς διαχωρητικωτάτοισι· οἶνον δὲ πινέτω λευκὸν, μαλθακὸν, [9] Μενδαῖον. Ὁκόταν δὲ παχύτατος ᾖ, καῦσαι ἐς τὴν ὀσφὺν ἑκατέρωθεν τῶν σπονδύλων τέσσαρας ἐσχάρας, καὶ ἐς τὸ μετάφρενον δεκάπεντε ἑκατέρωθεν καὶ ἐς τὸν αὐχένα δύο μεταξὺ τῶν τενόντων· ἢν γὰρ τύχῃς καύσας, ὑγιέα ποιήσεις· ἡ δὲ νοῦσος χαλεπή.

accesserit, tanto maior omnia dolor occupat, et crura velut ab aqua intercute intumescunt, ulcera ex lumbis erumpunt et alia quidem sanescunt, alia vero proveniunt. Huic ita se habenti caput foveto, dein hippophaës succo aut grano Cnidio primum probe corpus purgato. Vesperi vero post purgationem ptisanae duo acetabula melle affuso sorbeat, vinum album, molle bibat. Postridie lactis asinini decocti, melle affuso, heminas octo ei ebibendas porrigito. Quodsi asininum desit, bubuli aut caprini decocti tres semicongias affuso melle. Et si anni tempus ferat, seri et lactis potu utatur per quinque ac quadraginta dies. Cibis et opsoniis quam maxime alvum subducentibus utatur; vinum bibat album, molle, Mendaeum. Cum autem crassissimus evaserit, ad eius lumbos ex utraque vertebrarum parte quatuor crustas inurito, et ad dorsum utraque ex parte quindecim, et in cervice inter magnos nervos duas. Si enim ustio probe tibi cesserit, sanum reddes. Est autem morbus gravis.

ιδ'. [10] Αἱ τέσσαρες νοῦσοι αἱ ἀπὸ τῶν νεφρῶν γενόμεναι. Ἀπὸ τῆς πρώτης τάδε πάσχει· ὀδύνη ὀξεῖα ἐμπίπτει ἐς τὸν νεφρὸν καὶ ἐς τὴν ὀσφὺν [11] καὶ ἐς τὸν κενεῶνα καὶ

14. Quatuor morbi, qui ex renibus nascuntur. In primo sic aeger affligitur: dolor acutus in renem, lumbos et laterum inanitatem et testem a latere renis ingruit, frequenter urinam reddit,

[1] ἐκφυνδάνει. — [2] ὑγιαίνεται. — [3] φύεται. — [4] καθῆραι. — [5] πυριήσας. — [6] ὀκτὼ κοτ. ἐκπ. om. — [7] βόειον ὁ αἴγειον ἑφθόν. — [8] ἐν ὀροβίῳ καὶ γάλακτι. — [9] Μενδήσιον. — [10] pro inscriptione in marg. ἀπὸ τῶν νεφρῶν αἵδε νοῦσοι γίνονται τέσσαρες. — Tum sequitur ἀπὸ τῆς πρ. κ. τ. λ. [11] καὶ ἐς τὸν κενεῶνα om.

non pauci ἡσυχαίτερον, quod Littr. recepit; — καὶ τὰ σκέλεά τε E. H.; — καὶ ἕλκεα δὲ ἐκφ. E., ἐκφυνδάνει multi libri scripti; — ἐκ τῆς ὀσφύος E. H.; — φύεται vulg.; — παραγίνεται prima m. in H., — παραφύεται E. P.' Q.', Lind., Mack., Littr.

τούτῳ — μαλθακόν.] In hac periodo πυριήσας et καθῆραι locum invicem in libris mss. permutarant; Littr. ad pristinum ordinem revocavit; — equidem initio periodi τοῦτον in dativum mutavi. quod nisi facias τὸ σῶμα delendum erit infra; — τῆς δ' ἑσπ. K. δέ plene cett.; — ῥυφεέτω Ald. G.

τῇ δ' ὑστερ. — ἡμέρας.] δ' E. H., δέ cett., διδόναι αὐτῷ cett., omisi pronomen. Eadem quae in V., omm. in Parr. 5. — ἔχῃς omm. F. G.; — βοείου ἢ αἰγείου ἑφθοῦ H., Lind., Littr., vulgo βόειον ἢ αἴγειον ἑφθόν. Tum omnes γαλακτοποτεέτω ἐν ὀροβίῳ καὶ γάλακτι. in quibus tamen pro ὀροβίῳ dudum legerunt ὀρρῷ Calv., Corn.; sed quid quaeso sibi vult ridicula dictio γαλακτοποτέειν ἐν ὀρρῷ καὶ γάλακτι? Librarii otiose ἐν invexerunt, itaque locum ad exemplum similium aliorum in Cnidiorum libris emendavi.

σιτίοισι — Μενδαῖον.] Ceteri Μενδήσιον. sed non est dubium, quin ut aliis locis in hoc libro Μενδαῖον fuerit scriptum. — Cf. Steph. Byz., Athenaeum lib. I. locis pluribus.

ὁκόταν δὲ — χαλεπή.] παχύτατα F. G.; — καῦσαι αὐτοῦ ἐς τὴν ὀσφύν vulgo, reieci otiosum αὐτοῦ; — σφονδύλων K.; — καὶ ὑγιέα ποιήσεις Ald., Parr. 6.

14. Αἱ τέσσαρες — γενόμεναι.] Eandem inscriptionem, quam e V. excerpsi, e Parr. nonnullis adnotat Littr.; — tum in E. additur τίνες νοῦσοι ἀπὸ νεφρῶν γίνονται.

ἀπὸ τῆς πρώτης — τρίβει.] ἐμπ. ὀξ. E.; — καὶ ἐς τὸν κενεῶνα ex E. H. Littréus. cett. omm.; — προσέρχεται codd. non pauci; — αὖτις ex E. H. recepi, per θ cett.

[1] ἐς τὸν ὄρχιν τὸν κατὰ τὸν νεφρὸν καὶ οὐρέει πυκινὰ καὶ [2] στύφει κατ' ὀλίγον τὸ οὖρον, καὶ ἅμα τῷ οὔρῳ προέρχεται ψάμμος καὶ ὁκόταν ἐξίῃ διὰ τῆς οὐρήθρης [3] ἡ ψάμμος, ὀδύνην παρέχει ἰσχυρὴν ἐν τῇ οὐρήθρῃ· ὁκόταν δὲ διεξουρήσῃ, ἡ ὀδύνη ἀνίησι· ἔπειτα αὖτις ἐν τοῖσι αὐτοῖσι ἄλγεσι κέεται· ὁκόταν δὲ οὐρέῃ, καὶ τὸν καυλὸν ὑπὸ τῆς ὀδύνης τρίβει. Πολλοὶ δὲ τῶν ἰητρῶν οἱ μὴ ξυνιέντες τὴν νοῦσον, ὁκόταν ἴδωσι τὴν ψάμμον, δοκέουσι λιθιᾶν τὴν κύστιν, — καὶ ταύτην μὲν οὔ, τὸν δὲ νεφρὸν λιθιᾷ. Αὕτη ἡ νοῦσος γίγνεται ἀπὸ φλέγματος· ὁκόταν ὁ νεφρὸς ἐς ἑωυτὸν ἀναλαβὼν φλέγμα μὴ ἀφίῃ πάλιν, ἀλλ' αὐτοῦ ξυμπωρωθῇ, [4] τοῦτο γίγνεται λίθοι λεπτοὶ οἷον ψάμμος. Τοῦτον, ὁκόταν οὕτως ἔχῃ, τῷ ὀπῷ τῆς σκαμμωνίης ἢ αὐτῇ τῇ ῥίζῃ, [5] πυριήσας πρόσθεν ἅπαν τὸ σῶμα, ὑποκαθῆραι· τῇ δ' ὑστεραίῃ ἐρεβίνθων λευκῶν χυλῷ ὑποκαθῆραι δύο χοεῦσι, [6] ἅλας δὲ παρεμβαλὼν διδόναι πίνειν· μετὰ δὲ ταῦτα ποτοῖσι καὶ βρωτοῖσι καὶ λουτροῖσι [7] μελετᾶν, διδοὺς τὰ αὐτά, [8] ἃ τῷ στραγγουριῶντι [9] δίδοται φάρμακα. Ὁκόταν δὲ ἡ ὀδύνη [10] πιέζῃ, λούειν πολλῷ καὶ θερμῷ καὶ χλιάσματα προστιθέναι [11] ὅπῃ πονέει μάλιστα. Ὁκόταν δὲ ἀποιδήσῃ καὶ ἐξαρθῇ, ὑπὸ τοῦτον τὸν χρόνον τάμνειν κατὰ τὸν νεφρὸν καὶ ἐξελὼν τὴν ψάμμον διουρητικοῖσι ἰῆσθαι· ἢν μὲν γὰρ τμηθῇ, ἐλπὶς ἐκφυγέειν· ἢν δὲ μή, ἡ νοῦσος τῷ ἀνθρώπῳ ξυναποθνήσκει.

quae paulatim supprimitur, simulque cum ea arena egreditur et cum per urinae fistulam arena exit, vehementem in ea dolorem exhibet. Ubi vero cum urina exiit, remittit, deinde rursus iisdem vexatur doloribus. Cum autem urinam reddit colem prae dolore confricat. Plerique vero medici cum morbum non noscant, si arenam videant, vesicam calculo laborare existimant. Haec autem minime, sed ren calculo laborat. Hic morbus ex pituita oritur: cum nempe ren in se susceptam pituitam non dimittit rursus, sed illic indurescit, haec fit calculi parvi velut arena. Huic cum sic habuerit, scammoniae succo aut radice ipsa totum corpus, prius tamen adhibito fomento, per inferiora purgato. Postridie vero ex cicerum alborum decocto, sale iniecto, ad duos congios potui exhibito, aliquantum purgato. Post haec potionibus, eduliis et balneis curato, iisdem datis medicamentis, quae in stranguria administrantur. Cum dolor urget, multa calida lavato et qua parte praecipue dolor est, tepefactoria admoveto. Ubi vero intumuerit et extuberarit, sub hoc tempus iuxta renem secato et extracta arena, medicamentis urinam cientibus curato. Si enim sectus fuerit, evadendi spes est, alioqui morbus hominem ad mortem usque comitatur.

ιε'. [12] Δευτέρη νοῦσος νεφρῶν. Αἱ μὲν ὀδύναι ἰσχυρῶς πιέζουσι ὡς ἐν τῇ πρόσθεν. Γίγνεται δὲ τὸ νόσημα ἀπὸ ταλαιπωρίης,

15. Alter morbus renum. Dolores quidem vehementes velut in priore urgent. Oritur autem morbus cum ex vehementiore labore ve-

[1] ἐς om. — [2] στίφει. — [3] ὁ. — [4] ἢ τούτῳ γίνονται λ. λ. — [5] πυριῆσαι πρόσθεν δὲ ἅπαν. — [6] ἅλα. — [7] μελέτην. — [8] ἃ om. — [9] δίδου αὐτῷ.
[10] πιέσῃ. — [11] ὅποι. — [12] ἄλλη νοῦσος νεφροῦ.

πολλοὶ — λιθιᾷ.] λιθιῆν et λιθιῇ edi solet et codd. longe plurimi ferunt, λιθιᾷ tamen E. H., itaque etiam λιθιᾶν scripsi.

τοῦτον — φάρμακα.] πυριῆσαι πρόσθεν δὲ ἅπαν τὸ σ. ὑποκ. vulg., sed K.' πυριήσας non πυριάσης habere suspicatus emendavit Littr., illud recipiens et δέ abiiciens. Porro τῇ δ' ὑστ. E. H. K., δέ plene cett., τῷ ἀπὸ ἐρεβίνθων λευκῶν χυλῷ vulg., sed τῷ omm. E. H., ego vero etiam ἀπό reiicio, quum ut plurimis aliis locis in hoc libro librariis debeatur. Denique ἅλα, ut V., Parr. 4.

ὁκόταν δὲ ἀποιδήσῃ — ξυναποθνήσκει.] ἐξελὼν τὸ πῦον τὴν ψάμμον διουρητικοῖσι ἰῆσθαι omnes, quod accipiunt quasi pus per incisionem factam eximendum esset, arena vero diureticis esset curanda. Mihi non persuadent: τὸ πῦον τὴν ψάμμον est dittographia, e qua τὸ πῦον abiicio. Porro ἐκφυγέειν E. H. Littr., ἐκφυγεῖν vulg.

15. δευτέρη ν. νεφρῶν.] ἄλλη ν. νεφροῦ, ἑτέρη ν. νεφρου, ἑτέρη νεφροῦ sunt inscriptiones a Littréo e libris excerptae.

αἱ μὲν ὀδ. — πρόσθεν] αἱ μὲν οὖν K.

γίγνεται — ἐμπλησθῇ.] ἔπειτα ἢν ὁ ν. pauci libri et Mack.; — πλησθῇ Ald., Parr. 7.

ὁκόταν ῥαγῇ τὰ φλέβια [1] τὰ ἐς τὸν νεφρὸν τείνοντα, ἔπειτα ὁ νεφρὸς αἵματος ἐμπλησθῇ. Οὗτος ὁκόταν ταῦτα πάθῃ, ἐξουρέει ἅμα τῷ οὔρῳ αἷμα κατ' ἀρχὰς τοῦ νοσήματος, ἔπειτα πύον προϊόντος τοῦ χρόνου. Οὗτος ἢν ἡσυχίην ἔχῃ τῷ σώματι, τάχιστα ὑγιὴς ἔσται· ἢν γάρ τι πονήσῃ, αἱ ὀδύναι πολλῷ μᾶλλον ἕξουσι. Ὁκόταν γοῦν ἔμπυος ᾖ ὁ νεφρὸς, ἀποιδέει παρὰ τὴν ῥάχιν· τοῦτον, ὁκόταν οὕτως ἔχῃ, τάμνειν κατὰ τὸ ἀποιδέον, μάλιστα μὲν βαθεῖαν τομὴν κατὰ τὸν νεφρόν· [2] κἢν μὲν τύχῃς ταμὼν, παραχρῆμα ὑγιέα [3] ποιήσεις· ἢν δ' ἁμάρτῃς, κίνδυνος ἕλκος ἔμμοτον γενέσθαι. Ἢν δὲ ξυμφυῇ τὸ ἕλκος, ἐκπυοῦται εἴσωθεν ἡ κοιλίη ἡ τοῦ νεφροῦ· κἢν μὲν ῥαγῇ ἔσωθεν καὶ χωρήσῃ κατὰ [4] τὸν ἀρχὸν τὰ πύα, ἐλπὶς ἐκφυγέειν· ἢν δὲ ψαύσῃ τοῦ ἑτέρου νεφροῦ, κινδυνεύσει καταφθαρῆναι. Μελετᾶν δὲ φαρμάκοισι καὶ τοῖσι αὐτοῖσι πᾶσι, οἷσι καὶ τὸν πρόσθεν, καὶ τὴν δίαιταν τὴν αὐτὴν ἐχέτω· αὕτη δὲ ἡ νοῦσος χαλεπὴ καὶ πολλοὶ ἐκ ταύτης τῆς νούσου ἐς φθίσιν νεφρῖτιδα κατέστησαν.

ις'. [5] Τρίτη νοῦσος νεφρῶν. Τὸ μὲν οὖρον προέρχεται οἷον [6] κρεῶν βοείων ὀπτῶν χυλός. Γίγνεται δὲ τὸ νόσημα ἀπὸ χολῆς μελαίνης, ὁκόταν χολὴ ἐς τὰ φλέβια ξυρρῇ τὰ τείνοντα ἐς τὸν νεφρὸν, καὶ ὁκόταν στῇ, ἑλκοῖ τὰ φλέβια καὶ τὸν νεφρόν· ὑπὸ οὖν τῆς ἑλκώσιος τοιοῦτον ὑποχωρέει ἅμα τῷ οὔρῳ. Αἱ δὲ ὀδύναι ἔχουσι ἐν τῇ ὀσφύϊ καὶ ἐν τῇ κύστι καὶ ἐν τῷ περιναίῳ καὶ ἐν αὐτῷ τῷ νεφρῷ ἐπ' ὀλίγον χρόνον· ἔπειτα ἀνῆκε ὁ πόνος καὶ αὖτις ἐπέλαβε ὀξὺς δι' ὀλίγου· καὶ ἐς τὸ λεπτὸν τῆς γαστρὸς ἔστι ὅτε

nulae, quae ad renem ferantur, ruptae fuerint, deinde ren sanguine repleatur. Hic cum haec patitur, per initia morbi sanguinem una cum urina reddit, deinde pus progressu temporis. Hic si corpore quieverit, citissime convalescit. Si enim quodammodo laboret, dolores multo magis detinebunt. Ubi igitur ren purulentus fuerit, ad spinam intumescit. Hunc, cum ita habuerit, qua parte tumor est, altissima quidem sectione ad renem secato. Quodsi quidem sectione assecutus fueris, confestim sanum reddes; at si aberraveris, periculum est ne ulcus ea quae fit per linamenta curatione indigeat. Si vero ulcus coaluerit, renis venter intro suppuratur. Et si quidem pus intro rumpatur et ad intestinum rectum devehatur, evadendi spes est. Quodsi alterum renem attingat, periculum est ne pereat. Medicamentis autem et iisdem omnibus, quibus priorem curato, eandemque victus rationem teneat. Hic autem morbus molestus est, ex eoque plures ad renum tabem deveniunt.

16. Tertius morbus renum. Urina bubularum carnium assatarum succo similis redditur. Oritur autem morbus ex atra bile, quae cum ad venulas, quae ad renem feruntur, confluxerit, cumque constiterit, eas renemque exulcerat. Ex ulcere igitur tale quid cum urina prodit. Dolores autem in lumbis, vesica, interfoemineo et in rene ipso pauco tempore detinent; deinde remittit dolor, rursusque ex brevi intervallo acutus invadit et in tenuem ventris partem nonnumquam incidit. Huic cum ita habuerit, ventrem epithymo aut scammoniae radice per infe-

[1] τά om. — [2] ἤν. — [3] ποιήσας. — [4] τὴν ἀρχήν. — [5] ἄλλη ν. νεφροῦ. — [6] ἀπὸ κρεῶν.

ὁκόταν γοῦν — γενέσθαι.] οὖν E. H.; — παρά Parr. 5., codd. Vatt. Foësii, Lind., Littr., περί vulg.; — δ' ἁμαρτ. E., δέ plene cett.

ἢν δὲ — καταφθαρῆναι.] ἐκπυοῦται vulg., ἐμπυοῦται e codd. 5. Littr., mihi quum εἴσωθεν addatur ἐκπυοῦται antiqua lectio videtur. Ceteri ἡ ἀπὸ τοῦ νεφροῦ, et rursus otiosam praepositionem abiicio; — κινδυνεύσῃ vulg., κινδυνεύσει e libris 5. Littr., κινδυνεύει prima m. in H.

μελετᾶν — κατέστησαν.] μ. δὲ χρὴ φ. τοῖσι αὐτοῖσι cod. θ. sine καί; — τοῖσι ἄλλοισι τοῖσι αὐτοῖσι π. E. H.; — ὡς pro οἷσι cod. θ.; — αὕτη ἡ νοῦσος prima m. in H.

16. τρίτη — νεφρῶν.] Eandem inscriptionem, quam e V. excerpsi, e libris nonnullis Parr. Littréus adfert; unus H. ἄλλη νεφροῦ manu prima.

τὸ μὲν οὖρον — χυλός.] οἷος ἀπὸ κρεῶν codd.; otiosum ἀπό abieci.

γίνεται — τῷ οὔρῳ.] τὰ ἐς τὸν ν. τείνοντα E.

αἱ δὲ ὀδ. — ἐμπίπτει.] περινέῳ vulg.; περιναίῳ Parr. plures.

ὀδύνη ἐμπίπτει. Τοῦτον, ὁκόταν οὕτως ἔχῃ, ὑποκαθῆραι τὴν κοιλίην ἐπιθύμῳ ἢ τῇ σκαμμωνίης ῥίζῃ· πίνειν δὲ διδόναι τὰ αὐτὰ, ἃ καὶ τῷ στραγγουριῶντι, καὶ ὁκόταν ἡ ὀδύνη ἔχῃ, λούειν πολλῷ καὶ θερμῷ, χλιάσματα προστιθέντα πρὸς τὸ πονέον μάλιστα, καὶ ῥυφήματι χρεέσθω [1] ἀλεύρῳ ἑφθῷ, μέλι παραχέας, καὶ τῇ ἄλλῃ διαίτῃ χρεέσθω ὡς διαχωρητικωτάτῃ καὶ οἶνον πινέτω λευκὸν Μενδαῖον μελίχρουν, ἢ ἄλλον λευκὸν τὸν ἥδιστον καλῶς κεκρημένον, [2] καὶ τὴν ὥρην ὀρροποτεέτω καὶ γαλακτοποτεέτω, ἐς κάθαρσιν μὲν τὸν ὀρρὸν, τὴν δὲ γαλακτοποσίην ποιεέσθω ἐν ὥρῃ πέντε καὶ τεσσαράκοντα ἡμέρας. Ταῦτ' ἢν οὕτω ποιέῃς, ἐπὶ τὸ κρέσσον διαθήσεις· αὕτη δ' ἡ νοῦσος οὐ μάλα ἐκλείπει.

riora purgato; eadem vero quae stranguria laboranti potui exhibeto cumque dolor detinuerit, tepefactoriis potissimum loco dolenti admotis, copiosa calida lavato et pro sorbitione farinam coctam affuso melle sumat, reliquaque victus ratione quam maxime alvum subducente utatur, vinumque bibat album Mendaeum melle permixtum, aut aliud album suavissimum probe permixtum; ac si anni tempus ferat, serum et lac bibat, serum quidem ad purgationem, lactis autem potione utatur quinque et quadraginta diebus, si anni tempus ferat. Quae si feceris, in meliorem partem rem vertes; hic morbus vero non facile dimittit.

θαίρειν ἢ τοῦ Κνιδίου κόκκου ἢ τοῦ ἱππόφεω· δίδου δὲ πίνειν καὶ γάλα ὄνειον ἑψήσας, ὀκτὼ κοτύλας, μέλι παραχέων· τῇ δ' ὑστεραίῃ μετὰ τὴν κάθαρσιν τὰ αὐτὰ προσφέρειν, ἃ καὶ τοῖσι ἄλλοισι· τὰς δὲ πρώτας ἡμέρας εὐωχεέσθω [1] τὰ αὐτὰ, ἃ καὶ ὅστις ὑπὸ ὑδέρου ἑάλω· καὶ πονεέτω περιόδοισι, ἢν δυνατὸς ᾖ, ἢν δὲ ἀδύνατος ᾖ ὑπὸ τῶν πυρετῶν καὶ ἐσθίειν μὴ δύνηται τὰ σιτία, χρεέσθω ῥυφήματι φακῇ· ποτῷ δὲ οἴνῳ μέλανι ὡς αὐστηροτάτῳ. Αὕτη ἡ νοῦσος ἐπιλαμβάνει μάλιστα μετοπώρου καὶ ὀπώρης ἐούσης. Οὗτος ἢν μὴ ἰηθῇ ἐν τοῖσι ἓξ ἔτεσι, [2] προσίσχει ἡ νοῦσος καὶ ἄχρι τῶν δέκα ἐνιαυτῶν· πολλοῖσι δὲ καὶ ξυναποθνήσκει, ἢν μὴ παραχρῆμα μελετηθῇ.

validus propter febres fuerit, neque cibos comedere possit, lenticulae sorbitione utatur et in potu vino nigro quam maxime austero. Hic morbus auctumno praecipue et auctumnalium fructuum tempore invadit. Hic nisi intra sex annos curatus fuerit, morbus detinere pergit vel ad decimum annum, plerosque vero, nisi confestim curatio adhibita fuerit, ad mortem usque comitatur.

μη'. Ἄλλο παχύ. [3] Γίγνεται μὲν ἀπὸ χολῆς, ὁκόταν ἐπὶ τὸ ἧπαρ ἐπιρρυῇ καὶ κατὰ τὴν [4] κεφαλὴν καταστῇ. Τάδε οὖν πάσχει· τὸ ἧπαρ οἰδέει καὶ ἀναπτύσσεται πρὸς τὰς φρένας ὑπὸ τοῦ οἰδήματος καὶ εὐθὺς ἐς τὴν [5] κεφαλὴν ὀδύνη ἐμπίπτει, μάλιστα δὲ ἐς τοὺς κροτάφους· καὶ τοῖσι ὠσὶ οὐκ ὀξὺ ἀκούει, πολλάκις δὲ καὶ τοῖσι ὀφθαλμοῖσι οὐχ ὁρᾷ· καὶ φρίκη καὶ πυρετὸς ἐπιλαμβάνει. Ταῦτα μὲν καταρχὰς τοῦ νοσήματος γίγνεται, — [6] γίγνεται δὲ διαλιμπάνοντα, [7] ὁτὲ μὲν σφόδρα, ὁτὲ δὲ ἧσσον· ὁκόσῳ δ' ἂν ὁ χρόνος τῇ νούσῳ προΐῃ, ὅ τε πόνος πλείων ἐν τῷ σώματι καὶ αἱ κόραι σκίδνανται τῶν ὀφθαλμῶν καὶ σκιαυγέει, κἢν προσφέρῃς τὸν δάκτυλον πρὸς τοὺς ὀφθαλμοὺς, οὐκ αἰσθήσεται διὰ τὸ μὴ ὁρᾶν· τούτῳ δ' ἂν γνοίης ὅτι οὐχ ὁρᾷ, ὅτι οὐ σκαρδα-

48. Alius morbus crassus. Oritur quidem a bile, cum ad hepar affluxerit et in capite sedem habuerit. Sic igitur afficitur: iecur intumescit et propter tumorem ad septum transversum expanditur, statimque dolor ad caput, praecipue vero ad tempora ingruit, neque auribus acute audit, saepe vero oculis non videt horrorque et febris invadit. Haec quidem per morbi initia accidunt et interdum valde quidem, interdum vero minus, intermittentia; quantoque longius morbus processerit, tanto magis corpus dolet, oculorum pupillae dissipantur et coecutit, sique digitum ad oculos admoveris, non percipit, quod non videat. Inde autem cognosces quod non videat, quod admoto digito non nictatur. Et floccos ex veste stragula, si quos videat, detrahit, pediculos esse ratus. Cumque ad septum transversum hepar magis explicatum

[1] τὰ αὐτά om. — [2] ἢν δὲ μὴ προσέχει καὶ ἄχρι. — [3] τὰ δὲ τοιάδε παχέα τῶν νουσημάτων γίνεται ἀπὸ κ. τ. λ. — [4] κύστιν. — [5] κύστιν, sed in marg. κεφαλήν. — [6] γίγνεται δέ om. — [7] τοτὲ — τοτέ.

E. H., δέ plene cett.; — τὰς δὲ — τὰ αὐτά om. θ.; — ὃς ὑπὸ τοῦ ὑδέρου ἑάλω· πονείτω καὶ περιόδοισι cod. θ.; — ῥυφημ. Ald., Parr. 5., ῥοφ. vulg.; — ὡς ante αὐστηροτ. om. θ.

οὗτος — μελετηθῇ.] οὗτος ἢν μὲν ἰηθῇ ἐν τοῖς (τοῖσιν E. et sec. m. in H.) ἔτεσιν· εἰ δὲ μὴ προσέχει καὶ (προσέχειν sine καί E.) ἄχρι vulg.; — cum Mack., Littréo cod. θ. sum secutus; — ἐνιαυτῶν om. pr. m. in H.; — ἐτέων δέκα cod. θ. Mack. pro τῶν δέκα ἐνιαυτῶν.

48. ἄλλο παχύ. — καταστῇ.] Principium hoc dedit Littr. e cod. θ.; παχέα (hoc omm. Parr. 7. Lind., Mack.) (addunt alii ἄλλο παχύ, aut ἄλλο νούσημα παχύ.) τὰ δὲ τοιάδε (τοιάδε om. pr. m. in H.) (τοιάδε παχέα habent alii) τῶν νουσημάτων γίνεται ἀπὸ χολῆς. vulg. — Alii etiam in postremis his aliud quid, summatim parvi momenti. Porro ὁκόταν χολὴ ἐπί vulgo, sed χολή omisi cum pr. m. in H. et θ.; — ἐς τὴν κεφ. E. H. K. P.′ Q.′ θ. Lind., Mack.

ταῦτα μὲν — δακτύλου.] αὐτῷ γίνεται vulgo, nolui pronomen omittere; — καταρχὰς αὐτοῦ τοῦ νουσήματος γίνεται cod. θ.; — idem dein γίνεται δέ praebuit Littréo, quod ceteri omm., unde factum ut Lind. δέ post διαλιμπ. inferret; — ποτὲ — ποτέ — Lind., τοτὲ — τοτέ — alii; — ἐν τῷ σώματι [γίνεται] Lind.; — κἢν E. H. J. Voss., καὶ ἢν vulg.; — ὁρᾶν cum E. scripsi, ὁρῆν cett.; —

μύσσει προσφερομένου τοῦ δακτύλου. Καὶ τὰς κροκίδας ἀφαιρέει τοῦ ἱματίου, ἤν περ ἴδῃ, δοκέων φθεῖρας εἶναι. Καὶ ὁκόταν τὸ ἧπαρ μᾶλλον ἀναπτυγῇ πρὸς τὰς φρένας, παραφρονέει· καὶ προφαίνεσθαί οἱ δοκέει πρὸ τῶν ὀφθαλμῶν ἑρπετὰ καὶ [1] *ἄλλα παντοδαπὰ θηρία καὶ ὁπλῖται μαχόμενοι, καὶ αὐτὸς ἐν αὐτοῖς δοκέει μάχεσθαι καὶ τοιαῦτα λέγει ὡς ὁρέων μάχας καὶ πολέμους καὶ ἐπέρχεται καὶ ἀπειλέει, ἤν μή τις αὐτὸν ἐᾷ ἐξιέναι· κἢν ἀναστῇ, οὐ δύναται ἀείρειν τὰ σκέλεα, ἀλλὰ καταπίπτει· καὶ οἱ πόδες αἰεὶ ψυχροί· καὶ ὁκόταν καθεύδῃ, ἀναΐσσει ἐκ τοῦ ὕπνου καὶ φοβέεται ὁκόταν ἐνύπνια ἴδῃ φοβερά. Τῷδε δὲ γιγνώσκομεν, ὅτι ἀπὸ ἐνυπνίων ἀΐσσει* [2] *καὶ φοβέεται· ὁκόταν ἔννοος γένηται, ἀφηγεῖται τὰ ἐνύπνια, ὁκοῖα καὶ τῷ σώματι ἐποίεέ τε καὶ τῇ γλώσσῃ ἔλεγε. Ταῦτα μὲν οὕτω πάσχει. Ἔστι δ' ὅτε καὶ κέεται ἄφωνος ὅλην τὴν ἡμέρην καὶ τὴν νύκτα ἀναπνέων πολλὸν τὸ πνεῦμα καὶ ἀθρόον. Ὁκόταν δὲ παύσηται παραφρονέων, εὐθὺς ἔννοος γίγνεται καὶ ἤν ἐρωτᾷ τις αὐτὸν,* [3] *ὀρθῶς ἀποκρίνεται καὶ γιγνώσκει πάντα τὰ λεγόμενα· εἶτ' αὖτις ὀλίγῳ χρόνῳ ὕστερον ἐν τοῖσι αὐτοῖσι ἄλγεσι κεῖται. Αὕτη ἡ νοῦσος προσπίπτει μάλιστα ἐν ἀλλοδημίῃ καὶ ἤν κου ἐρήμην ὁδὸν βαδίζῃ καὶ φόβος αὐτὸν λάβῃ ἐκ φάσματος, λαμβάνει δὲ καὶ ἄλλως. Τοῦτον, ὁκόταν οὕτως ἔχῃ, πῖσαι τοῦ μέλανος ἐλλεβόρου πέντε ὀβολοὺς στήσας, διδόναι δὲ ἐν οἴνῳ γλυκέϊ, ἢ κλύζειν αὐτὸν* [4] *τούτοισι· νίτρου Αἰγυπτίου ὁκόσον ἀστρά-*

fuerit, delirat, eique ante oculos reptilia et cuiusvis generis variae ferae apparere videntur, et homines armati, inter quos sibi videtur pugnare et tanquam pugnas et bella geri videat, eiusmodi loquitur, et irruit et, nisi quis eum exire sinat, minatur; sique surrexerit, crura attollere non potest, sed concidit; — pedesque semper sunt frigidi et cum dormit per somnum exsilit et terretur cum insomnia horrenda viderit. Eum autem in somniis exsilire et terreri ex eo cognoscimus, quod ad mentem cum redierit, insomnia enarrat, quaeque in corpore gessit et quae lingua locutus est. Haec quidem ad hunc modum patitur. Interdum vero per totum diem ac noctem voce defectus iacet cum multa et conferta respiratione. Cum delirium quievit, statim ad mentem redit et si quis eum roget, recte respondet et omnia, quae dicuntur, intelligit, deinde rursus paulo post in iisdem doloribus decumbit. Hic morbus potissimum per peregrinationem attigit et sicubi deserta loca peragrans ex viso spectro terrore correptus fuerit. Quin et alias etiam prehendit. Cum sic habuerit, veratri nigri pondus obolorum quinque ex vino dulci propinato, aut ei ex his infusum iniicito: nitri Aegyptii tali ovilli quantitatem leviter terito et mellis quam optimi decocti heminam dimidiam in pila ammisceto et olei tantumdem cum betarum de cocto ad quatuor heminas per noctem coelo sereno expositas. Quodsi voles, pro betae decocto lac asininum coctum admisceto, eaque permixta, febris detineat necne, per infusum

[1] *ἀλλοῖα.* — [2] *καί* om. h. l., sed ante *ὁκόταν* infertur, tum pergitur *καὶ ὁκόταν ἔννοος* omissis intermediis. — [3] *εὐθύς.* — [4] *ἐν τούτοισι.*

τοῦτο e. J. pro *τούτῳ*; — *καὶ γάρ* pro *ὅτι οὐχ* H.; — *ὁρῇ* cett.

καὶ τὰς — εἶναι.] *αὐτὰς εἶναι* cett., sed *αὐτάς* omm. pr. m. in H., θ., Mack.; — *ἐπεῖναι* E., sec. m. in H.

καὶ ὁκόταν — φοβερά.] Simplex *φαίνεσθαι* E. H.; — *ἄλλα* Parr. 3. P., Q.', θ. Lind., Mack., Littr.; — vulgatam e V. notavi; — *μάχας καὶ πολέμους* om. pr. m. in H. et θ.; — *ἐῇ* ceteri; — *κἢν ἀναστῇ* E. H. K. Littr., *κἂν ἀναστῇ* vulg.; — simplex *πίπτει* pr. m. in H. et θ.; — *οἱ δὲ πόδες* sine *καί* cod. θ.; — *ἐκ τοῦ ὕπνου* pr. m. in H., *ἀπὸ τοῦ ὕπνου* cett.

τῷδε — ἔλεγε.] *τάδε* pro *τῷδε* codd. aliquot Parr., *δέ* om. pr. m. in θ.; — *καὶ φοβέεται* E. H. K. K.' Littr., *ὅτι φοβ.* Lind., *φοβερά* pro *φοβέεται* cod. θ.; — *καὶ ὁκόταν* vulg., sed *καί* om. Littr. cum Ald., Parr. 7., K.'; — *καὶ ἀφηγεῖται* Ald. J. G., *ἀφηγεῖται γάρ* K.'; — *ἀφηγεῖται τοιαῦτα ὁρᾶν, ὁκοῖα* K.', puto emendationem esse otiosam, *ἐποίεέ τε καί* cod. θ., *ἐποίει καί* vulg.

ἔστι δ' ὅτε — ἀθρόον.] *ἀθρόον πολλὸν τὸ πνεῦμα* E. H. — Ego de meo *καί* ante *ἀθρόον* adscripsi.

ὁκόταν δὲ — κεῖται.] *εὐθὺς παραχρῆμα* vulg., sed *εὐθύς* om. E., *παραχρῆμα* om. K.' Lind.; cum his consentio; — *εὐθὺς ἀποκρίνεται* vulg., sed *ὀρθῶς ἀποκρ.* K.' θ. Mack.; — *αὖτις* per *τ* E. H.; — *ὀλίγον ὕστερον* cod. θ., *ὕστερον ὀλίγῳ χρόνῳ* cett., de meo vocabula transposui.

αὕτη ἡ νοῦσος — ἄλλως.] *ἀποδημίῃ* K.', Lind., Mack.; — *καὶ ὁ φόβος* vulg., *καί* omm. Ald., Parr. 3., *ὁ* omm. E. H., Voss.; — *ἐκ φάσματος* om. pr. m. in H.

τοῦτον — μή.] *ἐν τούτοισι*, ut V., vulg., *τοῖσι δέ* sine *ἐν* pr. m. in H., *τοῖς δε* cod. θ.; itaque *ἐν* omisi, — si *τοισίδε* malis, non adversor; — *τρίψας λεῖον καὶ παραμί-*

γαλον ὄϊος, τοῦτο τρῖψαι λεῖον καὶ [1] παραμῖξαι μέλιτος ὡς καλλίστου ἡμικοτύλιον ἑψήσας ἐν θυείῃ καὶ ἡμικοτύλιον ἐλαίου καὶ σεύτλων ἑφθῶν ὕδατος τέσσαρας κοτύλας ἐξαιθριάσας· ἢν δὲ βούλῃ, ἀντὶ σεύτλου ὄνειον γάλα ἑψήσας παραμῖξαι· ταῦτα μίξας κλύζειν ἤν τε πυρετὸς ἔχῃ, ἤν τε μή. Ῥυφήμασι δὲ χρεέσθω πτισάνῃ καθεφθῷ, μέλι παραχέων· πινέτω δὲ [2] μέλι καὶ ὕδωρ καὶ ὄξος ξυγκεράσας, ἕως ἂν κριθῇ ἡ νοῦσος· κρίνεται δ' ἐν δεκατέσσαρσι ἡμέρῃσι τὸ μακρότατον, εἰ θανάσιμος ἢ οὔ. Πολλοῖσι δὲ [3] ἤδη πεπαυμένη ἡ νοῦσος πάλιν ὑποτροπίασε· ἢν οὖν ὑποτροπιάσῃ, κίνδυνος αὐτὸν διαφθαρῆναι· κρίνεται [4] δὲ ἡ νοῦσος ἐν ἑπτὰ ἡμέρῃσι, [5] εἰ θανάσιμος ἢ οὔ· ἢν δὲ ταύτας ἐκφύγῃ, οὐ μάλα θνήσκει· ἀλλὰ τοῖσι πολλοῖσι μελεδαινομένη ἐξέρχεται. Ὁκόταν δὲ παύσηται ἡ νοῦσος, διαίτῃ χρεέσθω, ἡσύχως προσάγων ὅκως ἂν ἡ κοιλίη προσδέξηται καὶ μὴ ξυγκαυθῇ, μήτε διάρροια ἐπιγένηται· ἀμφότερα γὰρ δοκέει κινδυνώδεα εἶναι· καὶ λουέσθω ἑκάστης ἡμέρης καὶ περιπατεέτω μετὰ τὰ σιτία ὀλίγον· ἐσθῆτα δὲ ἐνείσθω κούφην καὶ μαλθακήν· καὶ γαλακτοποτεέτω τὴν ὥρην καὶ ὀρροποτεέτω πέντε καὶ τεσσαράκοντα ἡμέρας. Ταῦτα ἢν ποιέῃ, τάχιστα ὑγιὴς ἔσται· ἡ δὲ νοῦσος χαλεπὴ καὶ δέεται μελέτης πολλῆς.

μθ'. Ἄλλο παχύ. Γίγνεται [6] μὲν ἀπὸ φλέγματος σαπέντος· τῷδε δὲ δῆλον [7] γί-

immittito. Pro sorbitionibus ptisana decocta melle affuso utatur; bibat vero mel et aquam et acetum simul permixta, quoad morbus iudicatus fuerit. Iudicatur autem quatuordecim ad summum diebus, letalisne sit, nec ne. Multis vero, ubi iam quieverit hic morbus, rursus revertitur; quod ubi acciderit, periculum est, ne aeger pereat. Iudicatur autem morbus septem diebus, letalis sit, nec ne; quos si effugerit, fere non moritur; sed in multis curatus decedit. Cum vero morbus cessaverit, ea victus ratione utendum, ut sensim adiicias ita ut venter suscipiat, neque exuratur, neque alvi profluvium oriatur. Utrumque enim cum periculo coniunctum videtur. Balneo autem quotidie utatur et post cibos moderate obambulet, vestem levem ac mollem induat, lac et serum, si anni tempus ferat, per dies quinque et quadraginta bibat. Quae cum fecerit, citissime sanus evadet. Morbus autem difficilis est, multaque cura indiget.

49. Alius crassus morbus. Oritur quidem a pituita putrefacta: inde vero patet esse putri-

[1] παραμίξας. — [2] καὶ μέλι. — [3] ἤδη om. — [4] δέ om. — [5] ἢ — ἤ i. e. εἰ — ἤ. — [6] μέν om. — [7] ὅθεν γίνεται.

ξας E. P.'; — ὡς κάλλιστα cod. θ., cett. ὡς omm.; — δὲ ἑψήσας vulg., δέ omm. E. K., sec. m. in H., Lind., Mack., Littr.; — ταῦτα τρίψας cod. θ.

ῥυφήμασι — οὔ.] ῥυφ. Ald., Parr. 6., ῥοφ. vulg.; — δὲ καὶ μέλι vulg., καί omm. E. H. Littr.; — συγκεράσαι J.; — ἅμα, ἕως ἂν vulg., sed ἅμα omm. pr. m. in H. et θ.: — δὲ ἐν vulg., δ' ἐν et deinceps τεσσαράκοντα cod. θ.; — ἤν τε θανάσιμον, ἤν τε οὔ vulg., sed εἰ praebet θ., θανάσιμος E. K. θ., ἤ pro ἤν τε ferunt Parr. 5.

πολλοῖσι — ἐξέρχεται.] ἡ τοιαύτη νοῦσος πεπαυμένη vulg., equidem τοιαύτη abegi et vocabula transposui; — ἤδη τοῦ νοσήματος πεπαυμένου πάλιν ἡ νοῦσος ὑπέτρ. E. H. K. P.' Q.'; — ἢν θαν. ἢ οὔ vulg., sed εἰ J. θ. Mack., ἤ, ut V., E. H. K.

ὁκόταν — ἡμέρας.] μελέτῃ χρ. καλῇ Ald. G., διαίτῃ χρ. καλῇ vulg., καλῇ om. pr. m. in H., quem sequor, καλῇ insiticium est et profectum ab eo, qui non intelligeret seqq. ad nudum διαίτῃ adscribi per epexegesin; — ὁκόσα ἂν vulgo, ὅκως ἂν cod. θ. Lind., Mack.; certum est ὁκόσα ἂν non congruere cum καὶ μὴ ξυγκαυθῇ. — Tum ἐπιγένηται K., praesens cett.; — καὶ λουέσθω sine δέ m. pr. in H.; — λουέσθω δέ vulg.; — ὀλίγα cett., de meo ὀλίγον scripsi; — καὶ ἐσθῆτα sine δέ E. K. P.' θ., καὶ ἐσθῆτα (ἐγκεῖσθαι al. m. pro καί) κούφην ἐχέτω (ἐχέτω obliteratum al. m.) καὶ μαλθ. H.; — γαλακτοπιέτω vulgo, dudum viderunt γαλακτοποτεέτω legendum esse, quod multi codd. re ipsa ferunt; — τὴν ὥρην om. pr. m. in H. et θ. Mack.; — καὶ ὀρροπ. om. pr. m. in H.

49. ἄλλο παχύ — φαγόντος.] ἕτερον π. vulgo, ἄλλο π. Parr. 5., θ., Mack., Littr.; — dein γίνεται δέ vulg., sed Parr. 4. δέ omm., alii tres Q.' θ. Lind., Mack., Littr., μέν habent; — ἀπὸ τοῦ φλεγμ. E.; — φλέγματος χολῆς e solo G. notatur; — τό pro τῷδε Ald., Parr. 6.; — δῆλον, ὅθεν γίν. vulg., sed ὅθεν omm. pr. m. in H., cod. θ.; —

γνεται, ὅτι σαπρόν ἐστι, [1] ἐρεύγεται γὰρ ἔχον τὴν ὀδμὴν [2] ὁκοῖόνπερ ῥαφανῖδας φαγόντος. Ἄρχεται δὲ γίγνεσθαι τὸ νόσημα ἐκ τῶν σκελέων, εἶτ' ἀπὸ τούτων ἄνεισι ἐς τὴν κοιλίην καὶ ὁκόταν ἐν τῇ κοιλίῃ στῇ, αὖτις ἀνατρέχει πρὸς τὰ σπλάγχνα, καὶ ὁκόταν ἐπὶ τούτοισι στῇ, μύζει πρὸς τοῖσι σπλάγχνοισι καὶ ἅμα λάπην ἐμῶν ὀξεῖαν ὑπόσαπρον οὐκ ἀνέχεται καὶ ὁκόταν ἀπεμέσῃ ἀπορίῃ ἔχει αὐτόν· ἐνίοτε [3] δὲ καὶ ἐς τὴν κεφαλὴν ἐξαπίνης ὀδύνη στηρίζει ὀξεῖα· καὶ τοῖσι ὠσὶ [4] ὀξέως ἀκούειν οὐ δύναται, οὐδὲ τοῖσι ὀφθαλμοῖσι ὁρᾶν ὑπὸ τοῦ βάρεος· ἱδρώς τε πολλὸς καταχέεται κάκοδμος, ἢν ἡ ὀδύνη ἔχῃ, καταχέεται δὲ μάλιστα τῆς νυκτὸς καὶ λωφᾶν ποιέει, ἡ δὲ χροιὴ ἰκτερώδης [6] γίγνεται. Αὕτη ἡ νοῦσος τῆς [7] προτέρης ἧσσον θανατώδης. Τούτῳ ὁκόταν οὕτως ἔχῃ, καθαίρειν τὴν κοιλίην κάτω μὲν τῷ ἱππόφεῳ, ἄνω δὲ τῷ ἐλλεβόρῳ καὶ τὴν κεφαλὴν καθαίρειν [8] τῷ τετραγώνῳ· καὶ ὁκόταν ὑπὸ τοῦ ἐλλεβόρου κεκαθαρμένος ᾖ, τῇ ὑστεραίῃ [9] ὀνείῳ γάλακτι ἑφθῷ ὑποκαθαίρειν, τῇ δὲ τρίτῃ αἰ-

dam, quod materies eructatur odorem referens quasi quis radiculas ederit. Oriri autem incipit morbus ex cruribus, dein ab his adscendit ad ventrem et cum in ventre constiterit, rursus ad viscera sursum fertur, ubi cum constiterit, strepitus ad viscera editur simulque mucum acidum subputridum revomens aegre fert eum vomitum, qui cum cessaverit, anxietas eum vexat; interdum vero etiam in caput derepente acutus dolor decumbit, ut neque acute audire, neque prae gravitate videre queat; sudor etiam multus graveolens effunditur, cum dolor detinet, effunditur autem praecipue noctu et leviorem eum reddit; color vero fit auriginosus. Hic morbus priore minus letalis est. Huic ita se habenti ventrem inferiorem per hippophaën purgato, superiorem vero per veratrum, caputque tetragono purgato, cumque per veratrum purgatus fuerit, postridie lacte asinino cocto aliquantum purgato. Tertio autem die et quarto et quinto caprino cocto. At reliquis viginti diebus lac bubulum crudum sive etiam caprinum, tertia aquae mulsae parte admixta, ad congium potus

[1] καὶ ἐρεύγεται ἀπὸ τοῦ τοιοῦδε. — [2] ὁκοῖόν τις ῥαφανίδας φαγών. — [3] δέ om. — [4] ὀξέως om. — [5] καὶ μάλισθ' ὅταν ὀδύνη ἔχῃ καὶ ποιεῖν λωφᾶν τῆς νούσου ἡ δὲ χρ. — [6] δείκνυται. — [7] πρώτας in marg. πρωτέρης. — [8] ἐν τῷ. — [9] ἐν ὀνείῳ.

ἐρεύγεται ἀπὸ τοῦ τοιοῦδε ἔχον τὴν ὀσμὴν, ὁκοῖόν τις ῥαφανῖδας φαγών vulg.; — iam vero in his ἐρεύγεται γάρ habent E. Q.′ Littr.; — ἀπ' αὐτοῦ habent E. H. θ. Littr., mihi vero insiticium est visum, ita ut abiicerem, ὀδμήν habet θ.; — ὁκοῖόν περ ῥαφ. φαγόντος E. H. K. θ. Littr., nisi quod θ. solum οἷον habet.

ἄρχεται — γίγνεται.] ἄρχεται δὲ γίνεσθαι τὸ τοιοῦτον νόσημα ἀπὸ τῶν σκελέων vulg., sed τὸ δὲ (sec. m. in H. τοιοῦτον addit) νόσημα ἄρχεται ἀπὸ (ἐκ pr. m. in H.) τῶν σκελέων γίνεσθαι (γινόμενον cod. θ.) E. H. K. θ. Itaque τοιοῦτον abegi e vulgata et ἐκ recepi pro ἀπό: probabile tamen mihi videtur auctorem dedisse ἄρχεται δ' ἐκ τῶν σκελέων, nec quidquam aliud. Porro εἶτ' ἀνέρχεται ἐκ τῶν σκελέων pr. m. in H. et θ.; — pro στῇ cod. θ. εἴη; — αὖτις per τ E. H.; — ἀνέρχεται pro ἀνατρέχει E. — Iam vero edunt: καὶ ὁκόταν ἐπὶ τούτοισι στῇ, μύζει καὶ ἔμετον ἄγει ἅμα καὶ λάπην (ἅμα λάπην ἐμῶν vulg.) ὀξείην, ὑπόσαπρον καὶ ὁκόταν ἀπεμέσῃ, οὐκ ἔχει ἑωυτόν· ἔπειτα ἀπορίῃ πρὸς τοῖσι σπλάγχνοισι. — In his pr. m. in H. πρὸς τοῖς σπλάγχνοις pro ἐπὶ τούτοισι; — καί post ἅμα a Littréo datum est cum Ald. et H. Iam plura me non intelligere fateor: primum οὐκ ἔχει ἑωυτόν! quid hoc? nemo intelligit! — Tum quid est ἀπορίῃ πρὸς τοῖσι σπλάγχνοισι? neque hoc capio. Sed etiam ἔμετον ἄγει καὶ λάπην ineptum est in Littréi lectione, quin in vulgata etiam ἔμετον ἄγει tum per se ineptum est, tum nexu suo cum vicinis. Quis ἔμετον ἄγει? τὸ νόσημα? — Nihil horum! Illud πρὸς τοῖσι σπλάγχνοισι, quod prima m. in H. alio loco, quem indicavi, infert, de sede sua aberravit; pertinet autem ad μύζει πρὸς τοῖσι σπλάγχνοισι, quae dictio alio loco etiam occurrit, cf. § 6. supra et Foës. Oecon.; — ἔμετον ἄγει emblema alienum est; — οὐκ ἔχει ἑωυτόν nihil est sed in οὐκ et partim in ἔχει latet οὐκ ἀνέχεται, et in ἔπειτα ἀπορίῃ cum superiore ἔχει ἑωυτόν latet nihil nisi ἀπορίῃ ἔχει αὐτόν. Iam puto satis indicavi, quomodo locum, quemadmodum feci, ut spero, emendaverim. Sed nondum turbarum finem attigimus: in sequentibus ἱδρώς τε πουλὺς καταχεῖται καὶ κάκοδμος· μάλιστα μὲν ἣν ὀδύνη ἔχῃ. καταχεῖταί τε, καὶ ὁκόταν ἡ ὀδύνη λωφᾷ, καὶ τῆς νυκτὸς μάλιστα· ἡ δὲ χροιή cod. θ.; — ἱδρώς τε πολλὸς καταχέεται κάκοδμος, μάλιστα μὲν ἢν ἡ ὀδύνη ἔχῃ, καταχέεται δὲ καὶ ἢν ἡ ὀδύνη ᾖ καὶ λωφᾷ (al. m. καὶ ποιεῖ λωφᾶν) τῆς νούσου μάλιστα· ἡ (δέ al. m.) χροιή H.; — ἱδρώς τε πολλὸς καταχέεται κάκοδμος, καὶ (καί omm. E. K.) μάλισθ' ὅταν (μάλιστα μὲν ἢν E. H. Q.′) ἡ ὀδύνη ἔχῃ καὶ ποιεῖ λωφᾶν τῆς νούσου· ἡ δέ χροιή vulg. — Littréus proxime secutus est lectionem codicis H., sed in ea καὶ λωφᾷ, καὶ τῆς νυκτὸς μάλιστα· ἡ δὲ χροιή scripsit. — Denique vulgo ἡ δὲ χροιὴ αὐτοῦ ἰκτεριώδης δείκνυται, in quibus αὐτοῦ meo marte delevi, γίνεται vero scripsi cum E. H. K. P.′ Q.′ Lind., Mack.

αὕτη — θανατώδης.] ἧσσον μικρῷ vulgo, μικρῷ omm. E. H. K. θ.

τούτῳ — ῥιγώσῃ.] τούτῳ de meo dedi, τοῦτον ceteri: — τὴν κεφ. καθαιρέτω τετραγώνῳ cod. θ.; — γάλακτι ἑφθῷ E. H. K., ἑ. γ. cett.; — ὡσαύτως δὴ καὶ τῇ τετ. vulgo,

γείῳ ἑφθῷ καὶ τῇ τετάρτῃ καὶ τῇ πέμπτῃ· εἴκοσι δὲ ἄλλας ἡμέρας διδόναι ὠμὸν [1] γάλα βόειον, ἢ καὶ αἴγειον, τρίτον μέρος μελικρήτου παραμίσγων, πινέτω δὲ τοῦ γάλακτος χοέα· μετὰ δὲ τὴν κάθαρσιν τὰ αὐτὰ προσφέρειν, ἃ καὶ τοῖσι ὑπὸ ὑδέρου κατεχομένοισι· τὸν δὲ λοιπὸν χρόνον, ὁκόταν τὸ γάλα πίνῃ, δειπνεέτω ἄρτον ἔξοπτον, ὄψον δὲ ἐχέτω [2] ἰχθύας μὲν σκορπίον ἢ καλλιώνυμον, ἢ κόκκυγα, ἢ ῥίνης τέμαχος ἑφθὸν ἀρτύμασι, [3] κρέα δὲ ὄϊος ἢ ἀλεκτρυόνος νεοσσούς· ταῦτα ἑφθά· οἶνον δὲ πινέτω λευκόν, ἢν ξυμφέρῃ, ἢν δὲ μή, μέλανα αὐστηρόν· εἶτα περιπατεέτω μετὰ τὸ δεῖπνον, ὅκως ἂν μὴ ῥιγώσῃ. Τούτῳ ἢν μὲν [4] οὖν ξυμφέρῃ, τὰ σιτία διδόναι, [5] ἃ εἴρηται· ἢν δὲ μὴ ξυμφέρῃ, ῥυφήματα διδόναι πτισάνης ἢ κέγχρου. Ταύτῃ τῇ νούσῳ ἢν τριήκοντα ἡμέρας παρέλθῃ, ὁ νοσέων [6] ὑγιάζεται· αὗται γὰρ κρίνουσι, εἰ θανάσιμος, ἢ οὔ· ἡ δὲ νοῦσος χαλεπή.

vice exhibeto. Post purgationem vero eadem, quae aquae intercute detentis, porrigito. Reliquo autem tempore, cum lac bibit, in coena panem exassatum sumat, pro opsonio vero habeat e piscibus quidem scorpium, aut callionymum, aut cuculum, aut squatinae frustum cum condimentis coctum, ex carnibus vero ovillas, aut pulli gallinacei easque coctas. Vinum bibat album, si conferat, sin contra, nigrum, austerum, deinde obambulet, post coenam, ut ne frigeat. Huic igitur praedictos cibos, si conferant, exhibeto, sin minus, sorbitiones ex ptisana et milio. In hoc morbo si triginta dies praeterierint, aeger sanus evadit. Hi enim letalisne sit nec ne, decernunt. Est autem morbus difficilis.

ν'. [7] Ἄλλο παχύ. Γίγνεται τὸ νόσημα ὑπὸ φλέγματος λευκοῦ· ξυνίσταται δὲ ἐν τῇ κοιλίῃ, ὁκόταν [8] πουλυχρόνιοι κατάσχωσι τὸ σῶμα πυρετοί. Ἄρχεται δὲ τὸ νόσημα ἐκ τοῦ προσώπου [9] γενόμενον καὶ οἴδημα ἐν αὐτῷ ἐγγίγνεται, εἶτα κατέρχεται ἐς τὴν κοιλίην καὶ ὁκόταν στῇ ἐν αὐτῇ, ἀείρει [10] μεγάλην τὴν γαστέρα καὶ τὸ σῶμα κοπιᾷ ὡς ὑπὸ ταλαιπωρίης καὶ [11] ἐν τῇ κοιλίῃ βάρος ἴσχει καὶ πόνος ἰσχυρός· καὶ οἱ πόδες οἰδέουσι.

50. Alius crassus morbus. Oritur morbus ex pituita alba; in ventre vero colligitur, ubi febres diuturnae corpus occuparint. Hic morbus initium sumit a facie, in qua tumor oritur, qui dein ad ventrem defertur, in quo cum constiterit, ventrem in magnitudinem attollit, corpusque velut ab exercitatione lassitudine laborat et in ventre ponderis sensus et dolor vehemens inest et pedes intumescunt. Si forte pluvia in terram cadat, pulveris odorem non sustinet. Si

[1] γάλα om. — [2] ἐν ἰχθύσι. — [3] ἐν κρέασι. — [4] οὖν om. — [5] ἃ εἴρηται, ἢν δὲ μή. — [6] ὑγιαίνεται. — [7] ἄλλη ὁμοίη. — [8] οἱ πολυχρ. — [9] γίνεσθαι. [10] μεγάλα. — [11] ἐς τὴν κοιλίην βάρος ἐνῇ.

sed ὡσαύτως δή omisi cum pr. m. in H. Porro ἄλλας δὲ εἴκοσι sine ἡμέρας E. H., pr. m. in K., ἄλλας εἴκοσιν ὠμὸν βόϊον ἢ αἴγειον γάλα διδόναι cod. θ., ὠμὸν γάλα διδόναι E. H. K.; γάλα omm. Parr. 3.; vulgo εἴτε καὶ αἴγειον, sed E. H. K. Lind. ἢ αἰγ., ego ἢ καὶ αἰγ. praefero; — παραχέων cod. θ. pro παραμίσγων; — μετὰ δὲ τὴν κάθαρσιν τὴν κάτω τῶν φαρμάκων omnes; Littréus provocat ad locum § 51, de quo postea, sed mihi τὴν κάτω τῶν φαρμάκων insiticium videtur: ne Graecum quidem est ἡ τῶν φαρμάκων κάθαρσις pro ἡ κάθαρσις ἡ διὰ τῶν φαρμάκων; — porro ἃ καὶ ὃς ὑπὸ τοῦ ὑδέρου ἔχεται prima m. in H.; — vulgo ἐν ἰχθύσι μέν, quod. om. pr. m. in H., et pro quo ἰχθύας μέν de meo dedi; — ἑφθὸν ἐν ἀρτύμασι, cett., ἐν delevi; — κρέα δὲ cod. θ., ἐν κρέασι δέ vulgo; librarii his locis ubivis inopportunum suum ἐν nobis obtrudunt; — ἄλλον μέλανα αὐστηρόν E. H. K.; μετὰ τὸ φαγεῖν vulgo, μετὰ τὸ δεῖπνον H. K.

τούτῳ — κέγχρον.] εἰ E., μέν om. pr. m. in H., οὖν om. K.; — ἃ εἴρηται omm. E. H. P'. θ. Mack., Littr.; — ἢν δὲ μὴ ξυμφέρῃ τὰ σιτία E. K.; — ῥόφημα διδόναι πτισάνην cod. θ.

ταύτῃ — χαλεπή.] ἡμέραι παρέλθωσι. ὑγιαίνεται ὁ ἄνθρωπος E. H. K. θ., nisi quod h.c ὤνθρ.; — de meo ὑγιάζεται pro ὑγιαίνεται ceterorum dedi; — ἢν θαν. vulg., sed ἤ pr. m. in H., unde εἰ effeci; μή vulg., οὐ E. H. K.

50. ἄλλο παχύ.] ἄλλη ὁμοίη et ἄλλο ὁμοῖον sunt inscriptiones in paucis quibusdam mss.

γίγνεται — πυρετοί.] γίνεται [μὲν] τὸ ν. Lind.; — ἀπὸ φλ. λ. E.; — πυρετοὶ κατασχ. τὸ σ. E. H. K.

ἄρχεται — οἰδέουσι.] γίνεσθαι vulgo, γινόμενον Littr. cum E., pr. m. in H., K. P.' Q.' θ.; — καὶ οἴδημα ἐν αὐτῷ ἐπιγίνεται (ἐγγίνεται cod. θ.) libri nonnulli pro vulgato καὶ οἰδέει τὸ πρόσωπον, quod veram lectionem non referre docet sequens κατέρχεται, quod omnino ad οἴδημα spectat; — ἐν τῇ κοιλίῃ στῇ prima m. in H. et θ.; — μεγάλην Ald., Parr. 5., θ. Mack., Littr., μεγάλη vulg.; —

Καὶ ἢν χυθῇ ὑετὸς ἐπὶ τῆς γῆς, τῆς κονίης οὐκ ἀνέχεται ὀδμώμενος· ἢν δὲ ἑστηκὼς τύχῃ ἐν τῷ ὑετῷ καὶ ὀδμηθῇ τῆς γῆς, ἐξαπίνης πίπτει. Αὕτη ἡ νοῦσος καὶ διαπαυομένη τῆς προτέρης πλείονα χρόνον ἐπιλαμβάνει καὶ χρονιωτέρη ἀπαλλάσσεται. Μελετᾶν δὲ χρὴ [1] τοῖσι αὐτοῖσι, οἷσι καὶ τὸν ὑδεριῶντα, πυρίῃσι καὶ Φαρμάκοισι καὶ ἐδέσμασι καὶ ταλαιπωρίῃσι. Αὕτη ἡ νοῦσος προσίσχει μάλιστα ἓξ ἔτεα, εἶτα ἐξέρχεται μελετωμένη καλῶς χρόνῳ, ἢν μὴ καταρχὰς ἰηθῇ. Ἡ γὰρ νοῦσος χαλεπὴ καὶ δέεται μελέτης πολλῆς.

vero in pluvia forte fortuna constiterit, et terrae odorem senserit, derepente concidit. Hic morbus cum intermittit, diutius tamen priore occupat, tum tardius solvitur. Eum autem iisdem, quibus hydrope laborantem curare oportet, fomentis, medicamentis, cibariis, exercitationibus vehementibus. Hic morbus per sex annos plerumque detinet, deinde rite curatus cum tempore decedit, nisi statim initio sanetur. Morbus enim gravis est et multam curam postulat.

να'. Περὶ ἰσχιάδος. Ἰσχιὰς δὲ ἀπὸ τῶνδε γίγνεται μάλιστα τοῖσι πολλοῖσι, ἢν εἰληθῇ ἐν τῷ ἡλίῳ πουλὺν χρόνον καὶ τὰ ἰσχία διαθερμανθῇ καὶ τὸ ὑγρὸν ἀναξηρανθῇ [2] ὑπὸ τοῦ καύματος τὸ ἐνεὸν ἐν τοῖσι ἄρθροισι. Ὡς δὲ ἀναξηραίνεται [3] καὶ πήγνυται, [4] τόδε μοι τεκμήριον· ὁ γὰρ νοσέων στρέφεσθαι ἢ κινέειν τὰ ἄρθρα οὐ δύναται ὑπὸ τῆς ἐν αὐτοῖσι ἀλγηδόνος καὶ τοῦ ξυμπεπηγέναι· ἀλγέει δὲ μάλιστα τὴν ὀσφὺν καὶ τοὺς σπονδύλους τοὺς ἐκ πλαγίου τῶν ἰσχίων καὶ τὰ γούνατα· ἵσταται δὲ ἡ ὀδύνη ἐν τοῖσι βουβῶσι πλεῖστον χρόνον ἅμα καὶ τοῖσι ἰσχίοισι ὀξεῖα καὶ καυματώδης· κἤν τις αὐτὸν [5] ἀνιστῇ ἢ μετακινέῃ, ὑπὸ τῆς ἀλγηδόνος [6] οἰμώζει ὁκόσον ἂν μέγιστον δύνηται· ἐνίοτε δὲ καὶ σπασμὸς ἐπιγίγνεται καὶ ῥῖγος καὶ πυρετός. Γίγνεται

51. De coxario morbo. Coxendicum autem morbus his ex causis plerisque praecipue oritur: si quis per multum tempus in sole versatus fuerit et coxendices incaluerint humorque, qui in articulis inest, ab aestu resiccatus fuerit. Quod autem resiccetur ac concrescat, id mihi indicio est: aeger scilicet se convertere aut articulos prae dolore, qui in iis est, movere non potest, et quia constricti sunt. Dolor est ad lumbos praecipue et ad vertebras, quae ex obliquo coxendicum sitae sunt, et genua. In inguinibus autem simulque coxendicibus dolor acutus et aestuosus diu insistit et si quis eum erigat aut transmoveat, prae dolore quantum potest gemit. Interdum vero etiam convulsio et rigor et febris supervenit. Oritur autem etiam a bile, oritur vero etiam a pituita et a sanguine, et ab his

[1] ἐν τοῖσι αὐτοῖσι. — [2] ἀπό. — [3] καί om. — [4] τόδε δέ μοι. — [5] ἀναστῇ. — [6] οἰμώσει.

καὶ ἐν τῇ κοιλίῃ βάρος ἐνῇ καί vulg., cum Mackio, Littréo codicis θ. lectionem dedi.

καὶ ἢν χυθῇ — πίπτει.] καὶ ἐπὴν ὕσῃ ἐπὶ τῆς γῆς E. H. K.; — καὶ τῆς κονίης H.; οὐκ ἀνέχ. ὀδμωμ. E. H. K., ὀδμ. οὐκ ἀνέχ. vulg.; — ὀδμὴ τῆς γῆς pr. m. in H.

αὕτη ἡ νοῦσος — ἀπαλλάσσεται.] διαπαύουσα ceteri, καὶ διαπαύουσα E. H. K. P.′ Q.′ θ. Lind., Mack., unde καί recepi, διαπαυομένη de meo scribens.

μελετᾶν — ταλαιπωρίῃσι.] μελετῆν E. H. K. θ. Mack., Littr.; — ταύτην ἐν τοῖσι αὐτοῖσι vulgo, sed ταύτην ἐν om. pr, m. in H., θ.; — οἵοισι vulgo, οἷσι Ald. F. G. I.; — ἤγουν πυρίῃσι vulg., sed ἤγουν om. pr. m. in H.

αὕτη ἡ νοῦσος — ἠρθῇ.] ἐπικρατέει μάλιστα vulgo, μαλ. ἐπικρ. E. H., μαλ. προέχει m. pr. in H.; προσίσχει μάλιστα cod. θ.; — καλῶς ἐν χρόνῳ vulg., sed καλῶς om. pr. m. in H.; — ἤν γε καὶ μή vulg., γε καί omm. E. H. K. θ.

ἡ γὰρ — πολλῆς.] ἡ γὰρ ν. pr. m. in H., cod. θ., αὕτη ἡ ν. vulgo; — μελέτης δεῖται E. H. K.

51. περὶ ἰσχιάδος.] περὶ ἰσχιάδων E.; — inscriptionem om. θ.

ἰσχιὰς — ἄρθροισι.] ἀπὸ τῶνδε τῶν ἀφορμῶν vulgo, sed τῶν ἀφορμῶν omm. pr. m. in H. et cod. θ.; — εἰληθῇ est Coraïs emendatio a Littréo recepta pro inepta codd. lectione ἔλθῃ; — τῷ om. K.; ἀπὸ τοῦ καύματος m. pr. in H. J., θ.

ὡς δὲ — πυρετός.] Copulam ante πήγνυται omm. edd. antt., Parr. 4., τε καί Lind.; τόδε δέ (δή Lind.) μοι vulg., δέ omm. E. H. θ. Mack., Littr.; — καί pro ἤ E. H.; — ὑπὸ τῆς ἀλγ. τῶν ἄρθρων H. θ. Mack.; — καὶ τοῦ ξυμπεπηγέναι τοὺς δακτύλους vulgo, sed σπονδύλους K. θ. Mack., Littr., — mihi τοὺς δακτύλους emblema alienum esse videtur, τοῦς σπονδύλους vero correctio inepta inepti additamenti; itaque illud τοὺς δακτύλους s. τοὺς σπονδύλους repudiandum censui; — δακτύλους vulg., σπονδ. K. θ. Mack.; — altero loco γεγρ. καὶ σφονδ. H. in marg. pr. m.; — πλαγίων vulg., τοῦ πλαγίου θ. Mack., antiqua lectio fuit πλαγίου sine τοῦ; — ἅμα καὶ ἐν τοῖσι Mack.; — ἀνιστῇ E. H. Q.′ θ. Lind., Mack., Littr., vulgatam e V. notavi; — μέγα κινέῃ cod. θ. Mack.

γίγνεται — βληχρός.] γίνεται δὲ καὶ ἀπὸ χολῆς καὶ

[1]δὲ καὶ ἀπὸ χολῆς· γίγνεται δὲ καὶ ἀπὸ φλέγματος καὶ ἀπὸ αἵματος, καὶ ὀδύναι παραπλήσιοι ἀπὸ πάντων τούτων καὶ ῥῖγος καὶ πυρετὸς ἐνίοτε ἐπιλαμβάνει βληχρός. Ἀλλὰ χρὴ ὧδε μελετᾶν τὸν ἀπὸ τοῦ ἡλίου νοσέοντα· [2]ὑγραίνειν τὸ σῶμα [3]τῇσι πυρίῃσι καὶ ἀπὸ τῶν σιτίων καὶ τῶν ποτῶν καὶ [4]τῶν ἄλλων τῶν διδομένων, διδόναι [5]δὲ χλιαρὰ καὶ ὑγρά· ταῦτα δὲ πάντα ἑφθά· σίτῳ [6]δὲ χρεέσθω μάζῃ μαλθακῇ ἀτρίπτῳ· οἶνον δὲ πινέτω λευκὸν ὑδαρέα· καὶ τῷ σώματι ἡσυχίην ἐχέτω· ἢν [7]δὲ καὶ δυνατὸς ᾖ ἀνίστασθαι, [8]ὀλίγα περιπατεέτω ἑκάστης ἡμέρης· καὶ λουέσθω μὴ πολλῷ καὶ μὴ ῥιγούτω. Καὶ ὁκόταν σοι δοκέῃ καλῶς ἔχειν καὶ ὑγρὸς εἶναι [9]τὸ σῶμα, πυριῆσαι σφόδρα βληχρῇ τῇ πυρίῃ· μᾶλλον γὰρ ἀνήσει καὶ [10]ἀνυγρανεῖ τὸ ξυμπεπηγὸς ἐκ τῶν ἄρθρων· εἶτα τῇ ὑστεραίῃ πῖσαι τοῦ Κνιδίου κόκκου. Ἢν δὲ μὴ ὠφελήσῃ, κλύσαι τοισίδε χρὴ αὐτόν· τρίβειν κυμίνου ἡμικοτύλιον, σικύην ἄτμητον τῶν μικρῶν καὶ στρογγύλων ξυγκόψας ἐν τῷ ὅλμῳ καὶ σήσας ὡς λεπτότατον νίτρου ἐρυθροῦ Αἰγυπτίου τεταρτημόριον μνᾶς, ὀπτήσας, τρίψας τε λεῖον, ταῦτα μίξας ἐμβάλλειν ἐς χυτρίδα καὶ ἐγχέαι ἐλαίου κοτύλην, μέλιτος ἡμικοτύλιον, οἴνου λευκοῦ [11]γλυκέος κοτύλην καὶ σευτλίου χυλοῦ [12]δύο κοτύλας· ταῦτα ἕψειν ἕως ἂν σοι δοκέῃ καλῶς ἔχειν τοῦ πάχεος· εἶτα διηθήσας δι' ὀθονίου, παραμῖξαι αὐτοῖσι μέλιτος Ἀττικοῦ κοτύλην, ἢν μὴ βούλῃ ξυνέ-

omnibus dolores similes et rigor et febris levis interdum prehendit. Sed eum, qui propter solem aegrotat, hoc modo curare oportet: corpus humectare fomentis oportet et per cibos et potus aliaque, quae offeruntur; danda autem sunt tepida et humida, eaque omnia cocta praebenda sunt. Cibo autem utendum maza molli non trita. Vinum vero bibat album aquosum et corpore quietem agat. Quodsi etiam surgere possit, quotidie parum deambulet; lavetque aqua non multa, neque rigeat. Cumque tibi probe habere corpusque humectum esse videbitur, levi adhibito fomento multum foveto; magis enim relaxabit et quod in articulis compactum est perhumectabit; postero vero die granum Cnidium propinato. Quodsi non iuverit, hoc per infusum immittere oportet: cape cumini triti heminam dimidiam, colocynthida non dissectam, parvam et rotundam, in pila contusam et tenuissime tritam et nitri Aegyptii rubri, tosti et levigati minae quadrantem: haec mista in ollam immittito et olei heminam affundito, mellis heminam dimidiam, vini albi dulcis heminam, et succi betae heminas duas. Haec quoad probam crassitudinem habere tibi videantur, coquito. Dein his per linteum excolatis, mellis Attici heminam ammisceto, nisi mel simul coquere velis. Quodsi Atticum desit, mellis optimi cocti heminam in pila ammisceto. Si vero infusum crassius fuerit, de eodem vino habita crassitudinis ratione affundito, eoque in-

[1] δὲ καὶ ἀπὸ χολῆς καὶ φλέγματος γίνονται δὲ καὶ ἀπὸ αἵματος ὀδύναι παραπλ. ὡς ὑπὸ πάντων τῶν νουσημ. — [2] ὑγιαίνει. — [3] τῇ πυριήσει. — [4] τῶν om. — [5] δέ om. — [6] δὲ καὶ μάζη χρ. — [7] δέ om., tum καὶ ἀδύνατος. — [8] πλὴν ὀλίγα. — [9] τῷ σώματι. — [10] ἀνυγραίνει. — [11] γλυκέος om. — [12] δύο κοτ. om.

φλέγματος· γίνεται (γίνονται J.) δὲ καὶ ἀπὸ τοῦ αἵματος ὀδύνη παραπλήσιος (ὀδύναι παραπλήσιοι, ut V., aliquot Parr.) ὡς ὑπὸ πάντων τῶν νουσημάτων vulg.; — cum Littréo in his codicem θ. sequor, nisi quod hic ἀπὸ πάντων τούτων τῶν νοσημάτων fert, unde ego ineptum emblema τῶν νοσήματων expuli; — tum principio loci θ. fert γίνεται δὲ τὸ νόσημα ἀπὸ χολῆς, ubi vulg. lect. dedi.

ἀλλὰ χρὴ — πολλῷ.] νοσέοντα E. H. K. P.′ Q.′ θ., ταύτην (pron. omm. I., Voss.) τὴν νοῦσον λαβόντα vulg.; — ὑγραίνειν αὐτοῦ τὸ σ. cett., αὐτοῦ repudiavi; — καὶ τῶν ποτῶν E. H. Voss., καὶ ἀπὸ τῶν π. vulg., ἀπὸ τῶν om. pr. m. in H., a sec. τῶν reponitur; — τῶν ante ἄλλων om. I., ἀπὸ τῶν ἄλλων H. K.; — διδόναι δέ E. H. K., δέ om. vulg.; — σίτῳ δὲ καὶ (καί om. pr. m. in H., Littr.) μάζῃ χρεέσθω vulg.; — σίτῳ δὲ χρήσθω μάζῃ cod. θ.; — ἢν καὶ ἀδύνατος vulg., ἢν δὲ καὶ ἀδυν. E., sed δυνατός cod. θ. Mack., Littr.; — πλὴν ὀλίγα vulg., πλήν om. θ.; — ἑκάστης ἡμ. idem post καί, nempe in vulgata, quae καὶ μὴ ῥιγούτω καὶ λουέσθω μὴ πολλῷ, quae inverso ordine fuerunt data ab auctore; sermo est de rigore post balneum vitando, quod saepe in his libris monetur.

καὶ ὁκόταν — κόκκου.] τὸ σ. cod. θ. Mack., Littr., τῷ σώματι vulg.; — ἀνυγραίνει vulg., ἀνυγρανεῖ Littr. de suo.

ἢν δὲ μὴ — κλύζειν.] τοῖσι δέ H., unde τοισίδε dedi, τούτων cett.; — τούτοισι δὲ χρή E. K.; — συγκόψαι J.; — τρίψας λεῖον E. H. K., sine τε: — ταῦτα μίξας cod. θ., Mack., cett. μίξας omm.; — μέλιτος — κοτύλην om. pr. m. in E.; — γλυκέος cod. θ. Mack., Littr., vulgo om.; — κοτύλην om. Lind.; — copulam ante σευτλίου omm. pr. m. in H. et θ., sed hic σεύτλου; — δύο (τρεῖς Lind.) κοτύλας

ψειν τὸ μέλι· ἢν δὲ μὴ ἔχῃς Ἀττικὸν, κοτύλην τοῦ καλλίστου παραμίξας ἑψῆσαι ἐν θυείῃ· ἢν δὲ τὸ κλύσμα παχύτερον ᾖ, παραχέας οἴνου τοῦ αὐτοῦ πρὸς τὸ πάχος τεκμαιρόμενος, [1] τούτῳ κλύζειν. Εἶτα [2] ἐὰν χρὴ μέχρι τριῶν ἡμερέων καθαίρεσθαι· ἢν δὲ πλείονας ἡμέρας καθαίρηται, τοῦ βοείου ἢ τοῦ αἰγείου γάλακτος τρεῖς κοτύλας δοῦναι ἐκπιεῖν· εἶτα σεῦτλα λιπαρὰ, περίπαστα ἀρτύμασι ἄναλτα δοῦναι [3] ἐσθίειν. Ἐκ ταύτης οὖν τῆς νούσου πολλοὶ [4] ἤδη χωλοὶ ἐγένοντο. Ἢν δὲ ἀπὸ χολῆς ἡ νοῦσος γένηται, πῖσαι αὐτὸν ἐλλέβορον κάτω ἢ ὀπὸν σκαμμωνίης· μετὰ δὲ [5] τὴν κάθαρσιν πτισάνης [6] χυλοῦ μέλι παραχέων δύο τρυβλία δοῦναι ἐκροφέειν· τῇ δ' ὑστεραίῃ ἢ τῇ τρίτῃ πυριήσας γάλακτι ὀνείῳ ἑφθῷ ὑποκαθῆραι· ἐς ἑσπέρην δὲ σεύτλων ἑφθῶν λιπαρῶν δύο τρυβλία ἐκφαγέτω ἄλφιτα παραπάσας· οἶνον δὲ πινέτω λευκὸν, ὑδαρέα, γλυκὺν καὶ νῦν καὶ μετὰ τὴν κάθαρσιν. Ἢν δὲ ἀπὸ φλέγματος νοσέῃ, πῖσαι αὐτὸν τοῦ Κνιδίου κόκκου ἢ τοῦ ἱππόφεω πυριήσας, μετὰ δὲ τὴν κάθαρσιν τὰ αὐτὰ χρὴ προσφέρειν καὶ ῥυφήματα καὶ ποτὰ καὶ γαλακτοποσίην· τὰς δὲ μεταξὺ τῶν ἡμερέων διαίτῃ χρεέσθω ὡς κουφοτάτῃ. Κὴν μὲν ὑπὸ τούτων ὠφελῆται, —· ἢν δὲ μὴ, καῦσαι αὐτὸν, τὰ μὲν ὀστώδεα μύκησι, τὰ δὲ σαρκώδεα σιδηρίοισι, πολλὰς ἐσχάρας καὶ βαθείας. Ἢν δ' ὑφ' αἵματος νοσέῃ, πυριῆσαι,

fuso alvum subluito. Deinde sinito, ut tres dies usque purgetur. Quodsi pluribus diebus purgetur, lactis bubuli aut caprini heminas tres ebibendas dato, postea betas pingues condimentis conspersas, insulsas comedendas praebeto. Ex hoc igitur morbo multi claudi evadunt. At vero si ex bile morbus hic originem sumpserit, veratrum aut scammonii succum deorsum purgans ei propinato. Post purgationem vero succi ptisanae, melle affuso, acetabula duo sorbenda exhibeto. Postero autem aut tertio die, admoto fomento, lacte asinino cocto aliquantulum purgato. Sub vesperum betarum coctarum pinguium polenta aspersa acetabula duo comedat. Vinum autem album, aquosum, dulce et nunc et post purgationem bibat. Si vero ex pituita aegrotet, ei granum Cnidium, aut hippophaën post admotum fomentum propinato. Post purgationem autem easdem sorbitiones et potus et lactis potionem adhibere oportet. Interiectis vero diebus quam levissima victus ratione utatur. Et si quidem ab his iuvetur, sat est; sin minus, ei multas et altas crustas in osseis quidem partibus per fungos, in carnosis vero per ferramenta inurito. Quodsi ex sanguine aegrotarit, post adhibitum fomentum et cucurbitulam admoveto et venas in poplite secato. Si vero tibi etiam videatur, granum quoque Cnidium ei propinato, quam siccissima autem victus rati-

[1] ἐν τούτῳ. — [2] εἰ χρή. — [3] ἐκπιεῖν. — [4] ἤδη om. — [5] τὴν τοιαύτην καθ. — [6] χυλοῦ om.

θ. Lind., Mack., Litt.., vulgo om.; — ἑψῆν vulg. ἑψεῖν E. H. I. J. K.; — δ' ἑψῆσαι H.; — παραχέαι vulg., παραχέας H.; — ἐν τούτῳ vulg., ἐν omm. E. H. K. θ.

εἶτα — ἐσθίειν.] Vulgo ἐῆν, H. ἐάν, ἢ Parr. 4.; — ἐὰν χρή om. E.; — καθαίρεσθαι χρή H., καθαίρεσθαι ἢν χρή E.; — ἡμέρας om. Lind.; — ἐν τοῦ βοείου cod. θ.; — ἢ τοῦ αἰγ ἢ τοῦ βοείου E.; — τοῦ ante αἰγείου om. Lind.; — σεῦτλα Parr. 5., per τ̄ vulgo; — ἐν ἀρτύμασι ἄναλτα vulg., sed ἐν ἀρτύμασι om. pr. m. in H.; — ego ἐν abieci; — ἄναλτα post ἐσθίειν in E. H. K.

ἐκ ταύτης — ἐγένοντο.] οὖν omm. E. H. K. θ.; ἤδη iidem praebuerunt Littréo, om. vulg.

ἢν δὲ — κάθαρσιν.] τὴν τοιαύτην κάθαρσιν vulg., τοιαύτην omm. E. H. θ. Littr.; — χυλόν vulgo, sed omm. E. H. I. J. θ.; — περιχέων H.; — δ' ὑστ. E. H. K., δέ plene cett.; — τεύτλου λιπαροῦ vulg., τεῦτλα λιπαρά E., σεύτλων ἑφθῶν λιπαρῶν cod. θ.; — ἐμφαγέτω vulg., ἐκφαγέτω pr. m. in H. et cod. θ., ἐκροφέειν alii libri; — καὶ μετὰ τὴν τοῦ φαρμάκου κάθαρσιν vulgo; — καὶ μετὰ τοῦ φαρμάκου τὴν δόσιν cod. θ. Equidem delevi τοῦ φαρμάκου, quemadmodum supra § 49. τὴν κάτω τῶν φαρμάκων delevi; — sunt haec a lectoribus, aut ab alios docentibus et recentioribus profecta; ἡ κάθαρσις hic est purgatio illa per veratrum aut scammonii succum, eam a leni alvi ductione per lac asininum coctum distinguere volens aliquis adposuit τοῦ φαρμάκου, sed ἡ κάθαρσις τῶν φαρμάκων, aut τοῦ φαρμάκου non Graecum esse eo sensu iam supra monui, quin id ipsum offendit descriptorem codicis θ., qui ideo textum immutavit.

ἢν δὲ ἀπὸ φλ. — κουφοτάτῃ.] νοσήσῃ cod. θ.; — [πρῶτον] πυριήσας Lind.

κὴν — βαθείας.] κήν E. H. K., καὶ ἤν cett.; — ὑπὸ τουτέων cod. θ.; — post ὠφελέηται cod. θ. ἅλις. Vides me non immerito idem ἅλις pro emblemate alieno saepius reiecisse.

ἢν δ' ὑφ' — πλεῖστα.] δ' E., δέ cett.; — πυριήσας σικύην cod. θ.; — σοι om. pr. m. in H.; — μή ante πινέτω

καὶ σικύην προσβάλλειν καὶ φλεβοτομέειν τὰς ἐν τῇσι ἰγνύῃσι φλέβας· ἢν δέ σοι δοκέῃ, καὶ τοῦ Κνιδίου κόκκου πῖσαι αὐτόν· διαίτῃ δὲ χρεέσθω ὡς ξηροτάτῃ· οἶνον δὲ μᾶλλον μὲν [1] μὴ πινέτω· ἢν δὲ ἄρα καὶ πίνῃ, ὡς ἐλάχιστον [2] καὶ ὑδαρέστατον· — καὶ περιπατέειν ὀλίγα κέλευε· ἢν δὲ δυνατὸς ᾖ, ὡς πλεῖστα. Ξυμφέρει δὲ καὶ τῷ [3] ἀπὸ τοῦ φλέγματος νοσέοντι τὰ αὐτὰ ποιέειν. Ἢν δὲ μὴ δύνηται ἵστασθαι, ἐν τῇ κλίνῃ χρὴ περιφέρειν ὡς πυκνότατα, ἀφ' οὗ ἂν νοσέῃ, καὶ ἅπαντα ποιέειν, ὅκως ἂν ἐντὸς μὴ [4] ξυμφυῇ ὁ χόνδρος· ἢν δὲ ξυμφυῇ καὶ τὰ ἄρθρα ξυμπαγῇ, πᾶσα ἀνάγκη χωλὸν γενέσθαι τὸν ἄνθρωπον. Καὶ ἢν βούλῃ [5] κλύσαι τὸν ἀπὸ τοῦ αἵματος νοσέοντα, ὥστε αἷμα ἀπάγειν καὶ φλέγμα ἀπὸ τῶν ἰσχίων, τοισίδε δεῖ κλύζειν· ἁλὸς δραχμίδα τρίψας [6] παραμῖξαι ἐλαίου κοτύλην καὶ [7] κριθέων ἑφθῶν δύο κοτύλας, εἶτα οὕτω κλύζειν. Οὕτω μελετῶν τάχιστα ὑγιέα ποιήσεις· ἡ δὲ νοῦσος χαλεπὴ καὶ χρονίη.

one utatur. Vinum quidem potius ne bibat; sin bibat, quam minimum et quam maxime aquosum, — et modicum deambulare iubeto, sin possit, quam plurimum. Ex pituita etiam aegrotanti eadem facere confert. Quodsi stare nequeat, eum creberrime in lecto circumferre oportet, quacumque ex causa aegrotet, et omnia facere, ut ne intus cartilago coalescat. Sin vero coaluerit, et articuli concreti fuerint, omnino hominem claudicare necesse est. Et si ei, qui ex sanguine aegrotat, velis per infusum alvum subducere, ut pituitam et sanguinem a coxendicibus deducas, ex his infusum parare oportet: salis pugillum tritum ad olei heminam ammisceto et hordei decocti heminas duas, dein eiusmodi infusum immittito. Hac curatione citissime sanum reddideris. Morbus autem difficilis et diutissimus est.

νβ'. Τέτανοι τρεῖς. Ἢν μὲν ἐπὶ [8] τρώματι τέτανος γένηται, πάσχει τάδε· αἱ γενύες πήγνυνται καὶ τὸ στόμα διαίρειν οὐ δύναται καὶ οἱ ὀφθαλμοὶ δακρύουσι καὶ ἕλκονται, καὶ τὸ μετάφρενον πέπηγε καὶ τὰ σκέλεα οὐ δύναται ξυγκάμπτειν οὐδὲ τὰς χεῖρας, οὐδὲ τὴν ῥάχιν· ὁκόταν δὲ θανατώδης ᾖ, τὸ ποτὸν καὶ τὰ βρώματα, ἃ πρότερον [9] ἐβεβρώκει, ἀνὰ τὰς ῥῖνας ἀνέρχεται ἐνίοτε. Τοῦτον, ὁκόταν οὕτως ἔχῃ, πυριᾶν δεῖ καὶ ἀλείψαντα λιπαρῶς πρὸς τὸ πῦρ ἕκαθεν θάλπειν

52. Nervorum distentiones tres. Siquidem ex vulnere corporis nervorum distentio accidat, sic afficitur. Maxillae constringuntur, os diducere nequit, oculi lacrimantur et contrahuntur, dorsum rigidum est, neque crura, neque manus neque spinam inflectere potest. Cum vero letalis fuerit, potus et cibi, quos ante devoraverat, interdum per nares sursum feruntur. Huic cum sic habuerit, fomenta admovere oportet et pingui inunctum eminus ad ignem calefacere, et tepefactoria inuncto corpore adhibere. Et ab-

[1] μή om. — [2] καί om. — [3] ἀπό. — [4] ξυμφέρει. — [5] καῦσαι. — [6] παραμίξας. — [7] ἀπὸ κριθέων. — [8] τῷ τρώματι. — [9] ἐβέβρωκεν.

omm. Parr. 4., ἢν ἄρα sine δέ pr. m. in H.; — πίνῃ pro vulgato πίνειν θέλῃ pr. m. in H. θ.; — copulam ante ὑδαρ. om. pr. m. in H.; — ὑδαρέστερον vulg., ὑδαρέστατον J. θ. Mack., Littr.; — δίδου om. pr. m. in H. et cod. θ., vulgata fert ante περιπατέειν; — ὀλίγα omm. iidem; κελεύειν iidem; — ἢν δυνατὸς ᾖ cod. θ.; — ὡς πλεῖστα E. H. θ., cett. ὡς omm.

ἢν δὲ μὴ — ἄνθρωπον.] περιστρέφειν cod. θ. Mack.; — καὶ ἅπαντα ὁμοίως vulgo, καθ' ἁπάντα ὁμοίως K.' Est autem in K.' correctio vulgatae, sed minus ea probanda, καὶ ἅπαντα ὁμοίως, ὅκως ἂν ἐντὸς μὴ ξυμφυῇ ὁ χόνδρος sensu sano destituitur, sed pro ὁμοίως nihil aliud, nisi ποιέειν scribi potuit ab auctore; — verba ὁ χόνδρος ἢν δὲ ξυμφυῇ om. pr. m. in H., qui cod. ἐστι fert post ἀνάγκη.

καὶ ἢν βούλῃ — τοῦτον.] χρὴ κλύζειν E. H. K.; — δραγμίδα I. K.; — ἀπὸ κριθέων ἑφθῶν vulg., sed ἀπό abieci; — ὀπτῶν pro ἑφθῶν cod. θ.; — οὕτω κλύζειν τοῦτον vulg., sed οὕτω omm. E. H. K., τοῦτον vero om. θ.

οὕτω — χροιή.] ἡ δὲ νοῦσος χαλεπὴ λίην ἐστὶ καὶ χρονίη vulg., sed ἡ δὲ νοῦσος χρονίη cod. θ., omissis intermediis; — λίην ἐστί om. pr. m. in H., quam sequor.

52. τέτανοι τρεῖς.] περὶ τετάνων οἵτινές εἰσι τρεῖς F. G.; περὶ τετάνου K.

ἢν μὲν — ἐνίοτε.] ἂν E., fuitne ἀν scriptum et spatium vacuum relictum, ut 'Εάν expleretur? — τέτανος om. pr. m. in H. et θ.; — οὐ δύνανται H. P.'; — βέβρωκεν vulg., ἐβέβρωκεν, ut V., edd. antt., Parr. 3., Lind., ἐβεβρώκει cod. θ. Mack.

τοῦτον — τὸ σῶμα.] δεῖ om. pr. m. in H.

καὶ χλιάσματα προστιθέναι ὑπαλείψας τὸ σῶμα. Καὶ ἀψίνθιον ἢ φύλλα δάφνης ἢ τοῦ ὑοσκυάμου τὸν καρπὸν τρίψας καὶ λιβανωτὸν, εἶτα οἴνῳ λευκῷ διεὶς ἐγχέαι ἐς χυτρίδα καινήν· εἶτα ἐπιχέαι ἔλαιον ἴσον τῷ οἴνῳ καὶ θερμήνας ἀλεῖψαι πολλῷ θερμῷ τὸ σῶμα καὶ τὴν κεφαλήν· ἔπειτα κατακλίνας [1] ἐμβάπτειν τὸν ἄνθρωπον τὴν ῥάχιν ποιῆσαι καὶ ἀμφιέσαι ἱμάτια [2] μαλθακὰ καθαρὰ, ἕως ἂν ἐξιδρώσῃ σφόδρα· καὶ μελίκρητον δὲ χλιερὸν διδόναι, ἢν μὲν [3] δύνηται, κατὰ στόμα, ἢν δὲ μὴ, ἐγχέειν κατὰ τὰς ῥῖνας· διδόναι δὲ καὶ οἶνον λευκὸν [4] πίνειν ὡς ἥδιστον καὶ πλεῖστον. Ταῦτα χρὴ ποιέειν ἑκάστης ἡμέρης, ἕως ἂν ὑγιὴς γένηται· ἡ δὲ νοῦσος χαλεπὴ καὶ δέεται μελέτης παραχρῆμα.

sinthium, aut lauri folia, aut hyoscyami semen tritum et thus, deinde vino albo macerata, in ollam novam infundito, postea olei quantum vini affundito, quibus calefactis multum calidis corpus et caput ungito. Porro reclina et fac ut homo spinam dorsi iis immergat et vestimenta mollia pura induat, donec valde exsudet. Aquam praeterea mulsam tepidam, si eam quidem bibere possit, per os exhibeto, sin non possit, per nares infundito. Vinum quoque album quam suavissimum et copiosissimum potui dato. Quae quotidie facienda sunt, donec sanus evadat. Morbus autem difficilis est et confestim curatione indiget.

νγ'. [5] Ὀπισθότονος. Ὁ δὲ ὀπισθότονος, — τὰ μὲν ἄλλα πάσχει πλῆθος τὰ αὐτά. Γίγνεται δὲ ὁκόταν τοὺς ἐν τῷ αὐχένι τένοντας τοὺς ὄπισθεν νοσήσῃ· νοσέει δὲ ἢ ὑπὸ κυνάγχης ἢ ὑπὸ σταφυλῆς ἢ ὑπὸ τῶν ἀμφιβραγχίων ἐμπύων γενομένων· [6] ἐνίοτε δὲ καὶ ἀπὸ τῆς κεφαλῆς, πυρετῶν γενομένων, σπασμὸς ἐπιγίγνεται· ἤδη δὲ καὶ ὑπὸ τρωμάτων. Οὗτος ἕλκεται ἐς τοὔπισθεν καὶ ὑπὸ τῆς ὀδύνης τὸ μετάφρενον πέπηγε καὶ τὰ

53. Distentio in posteriora. In opisthotono in reliquis eodem ut plurimum modo afficitur aeger, oritur autem cum circa posteriores cervicis tendones aut ex angina, aut uva, aut locis ad tonsillas purulentus affectus fuerit. Interdum etiam a capite, cum febres ortae sint, convulsio supervenit; tandem etiam a vulneribus. Hic in posteriora trahitur et prae dolore dorsum rigidum fit et pectus prominet et lamentatur et tam fortiter convellitur, ut aegre qui-

[1] ἐμβάτῃ ἄνω τὴν σάρκα ποιήσαντα καὶ ἀμφιέσας. — [2] λευκὰ, μαλθ., καθ., ὅκως ἄν. — [3] δύνηται τοῦ (i. e. τοῦτο) ποιεῖν κατὰ στ. — [4] πίνειν om. — [5] περὶ ὀπισθοτόνου. — [6] ἐνίοτε δὲ καὶ ὑπὸ τραυμάτων omissis ceteris.

καὶ ἀψίνθιον — καὶ πλεῖστον.] ἐπιχέας E.; — ἀλεῖψαι τὸ σῶμα θερμῷ καὶ τὴν κεφαλήν cod. θ.; — dein: ἔπειτα κατακλίνας ἐμβάτῃ (ἐμβάντῃ H.) ἄνω τὴν σάρκα ποιήσαντα vulg.; — ἔπειτα κατακλίνας ἐμβάτην (ἐμβάτῃ Mack.) ἄνω τὴν ῥάχιν ποιήσαντα Lind., in qua lect. τὴν ῥάχιν est coniectura Mercurialis a Foësio in adn. laudata, qui ipse vult: ἔπειτα κατακλίνας ἐμβάλην ἀνὰ τὴν σάρκα ποιήσαντα, quod nemo intelligit; — εἶτα κατακλίνας ἐμβάπτειν τὴν σάρκα ποιῆσαι cod. θ., quem sequitur Littréus affirmans ita scriptum locum sanum et salvum esse. De interpretibus Latinis taceo, nisi quod lepidum est Mackium habere „postea in solio reclinatum, *sursum* spina conversa!" — Is nae locum intellexit, scilicet! — Redimus ad vulgatam, ad codicis θ. lectionem, ad Mercurialis coniecturam. — Rectissime ex ἐμβάτῃ effecit ἐμβάπτειν descriptor codicis θ., recte idem ποιῆσαι pro ποιήσαντα scripsit, quod in vulgata falsum esse, vel sequens καί docet, quod Lind. omisit et minime congruit cum participio, sed quadrat cum infinitivo. Optime τὴν σάρκα in τὴν ῥάχιν mutavit Merc. — Sed nemo ἄνω expedivit —: latet vero in eo compendium ἄνῳ, aut ἄνθρωπον. Itaque iam legamus ἔπειτα ἐμβάπτειν τὸν ἄνθρωπον τὴν ῥάχιν ποιῆσαι! Hoc intelligimus demum. — Dein ἱμάτια λευκὰ, μαλθ. vulg., sed λευκά om. Littr. cum Parr. 6., θ., Vatic. codd. Foësii; Lind. pro eo λεπτά dedit, μαλθακά om. K.; — καὶ μελίκρητον χλιαρὸν δοῦναι cod. θ., μελίκρητον δὲ χλ. vulg., sed δέ om. pr. m. in H., ego utrumque et καί et δέ recepi; — χλιερόν per ε Littr. e Parr. 4.; — ἢν μὲν δύνηται τοῦτο πιεῖν κατὰ στόμα vulg., sed τοῦτο πιεῖν omm. pr. m. in H., θ., Litrr.; — ἢν δὲ μὴ δύνηται vulg., sed εἰ fert θ., δύνηται vero omm. H. K. Q.' θ. Lind.; — κατὰ τὰς ῥῖνας ἐγχέειν cod. θ.; — δὲ καὶ οἶνον Parr. 6., Q.', θ., Voss., καί om. vulg.; — ὡς ἥδιστον πίνειν E. K.

53. ὀπισθότονος.] Inscriptionem om. θ.

ὁ δὲ ὀπισθότονος — τρωμάτων.] νοσέει δέ om. J.; — ἐμπύων γινομένων E. H. K.; — πυρετῶν ἐπιγενομένων vulgo, de meo simplex γενομένων dedi; — ἐνίοτε — ἐπιγενομένων s. γενομένων om. J.; — εἰ ante σπασμός infert Littr. ex E. H., cett. εἰ omm. et vero mihi recens emblema videtur, iungendum vero esse ἀπὸ τῆς κεφαλῆς σπασμὸς ἐπιγίγνεται; — τρωμάτων E. H. Q.' θ. Lind., Mack., Littr., — per αυ vulgata.

οὗτος — ἐκπίπτειν.] ὑπὸ τῆς ὀδύνης τὸ μετάφρενον καὶ τὰ στήθεα ἔχεται codd., Foësio adnotante in libello περὶ κρισίμων locum alio modo scribi, Lind. inde hausit τὸ μετάφρενον πέπηγε καὶ τὰ στήθεα οἰμώζει, non videns et lacunam, quae in vulg. est, hic expleri et contra alia deficere, quae vulgata habet; — τὸ μετάφρενον πέπηγε καὶ

στήθεα ἐξέχει καὶ οἰμώζει [1] καὶ οὕτω σπᾶται σφόδρα, ὥστε μόλις [2] μιν κατέχουσι οἱ παρεόντες, ὡς μὴ ἐκ τῆς κλίνης ἐκπίπτειν. Οὗτος πολλάκις μὲν τῆς ἡμέρης πονέει, πολλάκις δὲ κουφότερον διάγει. Τούτῳ οὕτως ἔχοντι ταὐτὰ χρὴ προσφέρειν, ἃ καὶ τῷ πρόσθεν. Ἡ δὲ νοῦσος προσίσχει τὸ μακρότατον ἄχρι τεσσαράκοντα ἡμερέων· ἢν δὲ ταύτας διαφύγῃ, [3] ὑγιὴς γίγνεται.

dem qui adsint eum continere possint, quin ex cubili excidat. Hic frequenter quidem die dolore afficitur, frequenter etiam levius habet. Cum sic habuerit, ei eadem quae priori sunt exhibenda. Hic morbus vero ut longissime ad dies quadraginta detinet, quos si aeger effugerit, convalescit.

νδ'. [4] Ἄλλος τέτανος. [5] Ὅδε ὁ τέτανος ἧσσον θανατώδης ἢ οἱ πρόσθεν, γίγνεται δὲ ἀπὸ τῶν αὐτῶν· πολλοὺς δὲ καὶ πεσόντας ἐς τὰ ὄπισθεν ἔλαβε τὸ νόσημα. Πάσχει οὖν τάδε· σπᾶται ὅλον τὸ σῶμα· ἐνίοτε δὲ καὶ ὅκῃ ἂν τύχῃ τοῦ σώματος σπᾶται καὶ περιφοιτᾷ μὲν τὸ πρῶτον· ἔπειτα τοῦ χρόνου προϊόντος ἐς τὴν κλίνην πίπτει καὶ αὖτις ἀνῆκε ὁ πόνος καὶ ὁ σπασμός· καὶ ἀναστὰς ἂν ἴσως περιέλθοι ὀλίγας ἡμέρας, ἔπειτα αὖτις ἐν τοῖσι αὐτοῖσι ἄλγεσι κεῖται. Ταῦτα πάσχει καὶ μεταβάλλει συχνὸν χρόνον· καὶ ἤν τι φάγῃ, οὐ διαχωρέει κάτω, ἢν μὴ μόλις καὶ ταῦτα ξυγκεκαυμένα, ἀλλ' ἐν τοῖσι στήθεσι [6] ἔχεται τὸ σιτίον καὶ πνίγα παρέχει. Τοῦτον τοῖσι αὐτοῖσι θεραπεύων, οἷσι καὶ τοὺς πρόσθεν, τάχιστα ὑγιέα ποιήσεις· κλύζειν δὲ πτισάνῃ ἑφθῇ [7] λεπτῇ καὶ μέλιτι.

54. Alia distentio. Haec distentio minus quam priores letalis est, ab iisdem autem oritur; plerique vero ex casu in posteriora in morbum inciderunt. Sic igitur afficitur aeger: corpus totum convellitur, interdum vero quacumque corporis parte forte accidat, ea convellitur. Et primum quidem circumobambulat, deinde successu temporis in lectum decidit, rursusque dolor et convulsio remittit, cumque surrexerit, si forte paucos dies huc et illuc oberrarit, postea rursus iisdem conflictatur doloribus. Atque haec ei accidunt, crebroque mutantur. Si quid comederit, id non nisi aegre et exustum per inferiora secedit, sed ad pectus haeret cibus et suffocationem facit. Hunc si eodem quo priores modo curaveris, citissime sanum reddideris. Infusum autem ex ptisanae coctae cremore cum melle in alvum iniicito.

[1] οὗτος σπᾶται. — [2] μέν. — [3] ὑγιαίνεται. — [4] ἄλλος τετ. om. — [5] ὁ δὲ τετ. — [6] ἔρχεται. — [7] τῇ λεπτῇ.

τὰ στήθεα ἐξέχεται καὶ οἰμώζει Martinus, quem Mack. sequitur; equidem cum eo in reliquis item consentiens solum ἐξέχει praefero prae ἐξέχεται; — observo tamen πέπηγε me dare fide libelli περὶ κρισίμων, sed probabile mihi videri scriptorem aliud quid dedisse, aut addidisse v. c. πέπηγε ἔγκοιλον γενόμενον; — in vulgata ἔχεται καί omm. Ald., Parr. 7. θ.; — dein οὗτος σπᾶται σφόδρα vulg., καὶ οὕτω σπᾶται σφοδρῶς cod. θ., cum Littréo consentienter descripsi haec; — μόγις cod. θ.; — μέν vulg., μῖν I., μίν J., αὐτόν cod. θ., hinc μιν κατέχουσιν cum Littréo scripsi.

τούτῳ — πρόσθεν.] οὕτως ἔχοντι m. pr. in H. et θ.; — ταῦτα vulg., ταὐτά cod. θ. Littr.; — χρή om. pr. m. in H. et θ.

ἡ δὲ νοῦσος — γίγνεται.] ἄχρι τεσσαράκοντα ἡμερέων vulg., τεσσαράκοντα ἡμέρας alii libri pauciores, cod. θ.: προσίσχει ἡμέρας τεσσαράκοντα τὸ μακρότατον. In fine ὑγιαίνεται libri omnes, sed Lind., nescio unde, ὑγιὴς γίνεται, quod saltem praestat prae vulgato.

54. ἄλλος τέτανος.] Inscriptionem om. θ.; — ἄλλος om. E., περὶ τετάνου fert H.

ὅδε ὁ τετ. — νόσημα.] ὁ δὲ ὁ τετ. cod. θ., ὁ δὲ τετ. vulg.; — ὁ πρόσθεν cod. θ. Ceteri πολλοὶ δὲ καὶ πεσόντες ἐς τὰ ὄπισθεν ἔλαβον τὸ νόσημα. De meo mutavi.

πάσχει οὖν — κεῖται.] σπᾶται ὁμοίως πᾶν τὸ σῶμα cod. θ.; — ὅπῃ vulg., ἢ ὅκῃ τύχῃ E. H.; — περιφοιτῇ E. H. θ. Littr.; — αὖτις per τ E. H., etiam infra; ἀναστὰς ἂν de suo Littr., ἢν cett.; — εἴσω E., sec. m. in H. pro ἴσως, quod om. pr. m. in H. θ.; — περιέλθοι Littr. de suo pro subiunctivo ceterorum.

ταῦτα — παρέχει.] εἴ τι E. H. K.; — ἔρχεται τὸ σῖτον vulg., sed σιτίον cod. θ. Mack., Littr.. ἔχει vero pro ἔρχεται cod. θ., sed rectius Littr. de suo ἔχεται.

τοῦτον — μέλιτι.] θεραπεύειν sec. m. in H., nempe hoc congruit cum καὶ τάχιστα, quod idem cod. habet et praeter eum Parr. 4. ferunt; — καὶ κλύζειν E. H. Vulgo κλύζειν δὲ ἐν πτισ., sed δὲ ἐν omm. E. H. θ. Mack.. equidem ineptum ἐν repudio; — τῇ λεπτῇ vulg., sed τῇ omm. θ. Mack., Littr.; λοιπή pro λεπτή E., sec. m. in H.; — μέλι E. H.

ΠΕΡΙ ΤΟΠΩΝ ΤΩΝ ΚΑΤΑ ΑΝΘΡΩΠΟΝ.

ΣΟΦΙΣΤΟΥ ΤΙΝΟΣ ΣΥΓΓΡΑΜΜΑ ΕΣΤΙΝ.

DE LOCIS IN HOMINE.

SOPHISTAE NESCIO CUIUS SCRIPTUM EST.

ΠΕΡΙ ΤΟΠΩΝ ΤΩΝ ΚΑΤΑ ΑΝΘΡΩΠΟΝ.

α΄. Ἐμοὶ δοκέει ἀρχὴ μὲν οὖν οὐδεμία εἶναι τοῦ σώματος, ἀλλὰ πάντα ὁμοίως ἀρχὴ καὶ πάντα τελευτή· κύκλου γὰρ γραφέντος ἀρχὴ οὐχ εὑρέθη· καὶ τὰ νοσήματα ἀπὸ παντὸς ὁμοίως τοῦ σώματος· τὸ μὲν ξηρότερον πεφυκὸς νόσοις λάζεσθαι καὶ μᾶλλον πονέειν, τὸ δὲ ὑγρὸν ἧσσον· τὸ μὲν γὰρ ἐν τῷ ξηρῷ νόσημα πήγνυταί τε καὶ οὐ διαπαύεται, τὸ δ' ἐν τῷ ὑγρῷ διαρρεῖ καὶ τοῦ σώματος ἄλλοτε ἄλλο μάλιστα ἔχει, καὶ αἰεὶ μεταλλάσσον ἀνάπαυσιν ποιέει καὶ θᾶσσον παύεται, ὥστε οὐ πεπηγός. Τοῦ δὲ σώματος τὰ μέλεα ἕκαστα τὸ ἕτερον τῷ ἑτέρῳ, ὁκόταν ἔνθα ἢ ἔνθα ὁρμήσῃ, νοῦσον παραυτίκα ποιέει· ἡ κοιλίη τῇ κεφαλῇ, καὶ ἡ κεφαλὴ τῇσι τε σαρξὶ καὶ τῇ κοιλίῃ, καὶ τἄλλα πάντα κατὰ λόγον. Ἡ γὰρ κοιλίη ὁκόταν ὑπεκχώρησιν μὴ ποιέηται τὴν μετρίην, ἃ ἂν ἐσίῃ ἐς αὐτὴν ἄρδει τῇ ὑγρότητι τὸ σῶμα τῇ ἀπὸ τῶν σιτίων τῶν προσφερομένων· αὕτη

DE LOCIS IN HOMINE.

1. Nullum mea quidem opinione corporis est principium, sed omnes partes ex aequo et principium et finis esse videntur. Descripto namque circulo principium non invenitur. Et morbi quoque similiter ab universo corpore oriuntur; quod siccum est morbis obnoxium esse, magisque dolere solet; humidum vero minus. Morbus enim, qui in parte sicca est, fixus est, neque interquiescit. Qui vero in humida, diffluit et alias aliam praecipue corporis partem occupat et semper commutando interquiescit et citius finitur, quippe non fixus. Unaquaeque vero corporis pars altera alteri cum in unam alteramve partem tenderit, statim morbum facit, venter capiti et caput carnibus ac ventri, et reliquae omnes eadem ratione. Nisi enim venter moderate subducatur, quae in eum ingerantur corpus irrigant humore ciborum ingestorum. Iste autem humor a ventre exclusus magna copia ad caput fertur; .quo cum pervenerit a capitis vasis mi-

1. ἐμοὶ — πεπηγός.] οὖν om. cod. C.; — ἡ ἀρχὴ οὐχ εὑρ. A. — Ad verba κύκλου γὰρ γραφέντος cf. locum e lib. de ossium nat. p. 513. Ed. Kühn.: κύκλου γὰρ γεγενημένου ἀρχὴ οὐχ εὑρέθη. — Ceteri καὶ τῶν νοσημάτων (μελέων Lind. de suo, uti opinor) ἀπὸ παντὸς ὁμοίως τοῦ σώματος, quod sensu cassum, neque enim apparet unde pendeat genitivus; puto librarios incuria sua nominativum in genitivum mutavisse perperam vocabula connectentes. — Porro ἀπὸ παντός C., Littr.; — ἐπὶ παντός vulg., ἐπὶ πάντα Zuing.; — νόσοις λάζεσθαι vulgata est lectio, sed νόσους λάζεσθαι edd. antt. A. C. E. Zuing., Mack., Littr.; — mihi λάζεσθαι hic passivum esse videtur, non transitivum; itaque vulgatam retineo: λάζω in Anecdotis Bekkeri p. 1095. Achaeis tribuitur. Dein τὸ δ' ὑγρόν A. Lind.; — πήγνυται καί A. sine τε; — καὶ οὐ διαπαύει vulgo, negationem om. C.; et negatio sine dubio est servanda, sed διαπαύει transitivum non congruit, itaque de meo διαπαύεται dedi; — ἄλλοτε Littr. ex A., qui ἄλλο τέ; — vulgo ἄλλοτ'; — idem αἰεί ex eodem libro; — ὥστε advertit Littréum et me item dudum adverterat in hoc libello frequenter pro ἅτε usurpatum.

Τοῦ δὲ σώματος — λόγον.] τῇσί τε σαρξί vulg., τε omm. edd. antt. A. C. E., Zuing., Littr.; — καὶ τἄλλα πάντα A., ἅπαντα vulg.; — verum vulgata καὶ τἄλλα ἅπαντα οὕτω κατὰ λόγον ὥσπερ ἡ κοιλίη τῇ κεφαλῇ καὶ ἡ κεφαλὴ τῇσί τε (τε omm. C. Littr.) σαρξὶ καὶ τῇ κοιλίῃ. Equidem non credo, licet nostrum scriptorem magni non faciam, eum re vera omnia ista scripsisse, resecui igitur quae nescio cuius scioli emblemata aliena videbantur.

ἡ γὰρ κοιλίη — ἰῷτο.] Vulgo ἡ γὰρ κοιλίη ὁκόταν ὑπεκχώρησιν μὴ ποιέῃ, sed τὰ φάρμακα διαχώρησιν ποιέει et ἡ κοιλίη διαχώρησιν ποιέεται, quod me movit ut ποιέηται de meo scriberem; talia enim sexcenties a librariis confunduntur. — Dein καὶ ἐσίῃ ἐς αὐτήν vulgo, καὶ ἐσίῃ τὸ σιτίον ἐς αὐτήν cod. Corn., Lind., Mack. Vulgata constare nequit, altera lectio correctio est Cornarii, sed puto melius pro καί vulgatae legi ἃ ἄν, quod igitur recepi. — Porro ἄρδειν cod. A.; — αὕτη A. Littr., αὐτή vulg.; —

δὲ ἡ ὑγρότης ἀπὸ τῆς κοιλίης ἀποφρασσομένη ἐς τὴν κεφαλὴν ὡδοιπόρησε ἀθρόη· καὶ ἐς τὴν κεφαλὴν ἐπὴν ἀφίκηται, οὐ χωρευμένη ὑπὸ τῶν τευχέων τῶν ἐν τῇ κεφαλῇ, ῥεῖ ᾗ ἂν τύχῃ καὶ πέριξ τῆς κεφαλῆς καὶ ἐς τὸν ἐγκέφαλον· καὶ ἡ μὲν ἐν τῷ ὀστέῳ ἐνδέδυκε, ἡ δὲ περὶ τὸν ἐγκέφαλον διὰ λεπτοῦ τοῦ ὀστέου .....· καὶ ἢν μὲν ἐς τὴν κοιλίην πάλιν ἀφίκηται, τῇ κοιλίῃ νοῦσον ἐποίησε· ἢν δ' ἄλλῃ πῃ τύχῃ, ἄλλῃ νοῦσον ποιέει καὶ τἄλλα οὕτως, ὥσπερ τοῦτο, τὸ ἕτερον τῷ ἑτέρῳ νοῦσον ποιέει· καὶ κάλλιστον οὕτως εὐτρεπίζειν τὰ νοσεῦντα διὰ τῶν τὰς νούσους ποιεύντων· οὕτω γὰρ ἂν κάλλιστα τὴν ἀρχὴν τοῦ νοσεῦντός τις ἰῷτο. Τὸ δὲ σῶμα αὐτὸ ἑωυτῷ τωὐτόν ἐστι, καὶ ἐκ τῶν αὐτῶν ξυγκεῖται ὁμοίως τ' οὖν ἐχόντων καὶ τὰ σμικρὰ αὐτοῦ καὶ τὰ μεγάλα, καὶ τὰ κάτω καὶ τὰ ἄνω· καὶ εἴ τις βούλεται τοῦ σώματος ἀπολαβὼν μέρος κακῶς ποιέειν τὸ σμικρότατον, πᾶν τὸ σῶμα αἰσθήσεται τὴν πεῖσιν, ὁκοίη ἄν τις ᾖ, διὰ τόδε ὅτι τοῦ σώματος τὸ σμικρότατον πάντα ἔχει, ὅσα περ καὶ τὸ μέγιστον· τοῦτο δ' ὁποῖον ἄν τι πάθῃ ἐπαναφέρει πρὸς τὴν ὁμοεθνίην ἕκαστον πρὸς τὴν ἑωυτοῦ, ἤν τε κακὸν, ἤν τε ἀγαθὸν ᾖ· καὶ διὰ ταῦτα καὶ ἀλγέει καὶ ἥδεται ὑπὸ ἔθνεος τοῦ σμικροτάτου τὸ σῶμα, ὅτι ἐν τῷ σμικροτάτῳ πάντ' ἔνι τὰ μέρεα καὶ ταῦτα ἐπαναφέρουσι ἐς τὰ σφῶν αὐτῶν ἕκαστα καὶ διαγγέλλουσι πάντα.

nime contentus quocumque possit effluit et in capitis ambitum et in cerebrum; et partim quidem os subit, partim vero circum cerebrum per os tenue ...... Quod si ad ventrem rursus pervenerit, ventri morbum inducit; sin in aliam partem inciderit, alio loco morbum facit. Ad eundem etiam modum reliquae partes altera alteri morbum inducunt. Hacque ratione optimum fuerit aegrotantes partes per eas, quae morbos faciunt, ad curationem accommodare. Sic enim quam optime quis principium eius, quod aegrotat, sanaverit. Corpus autem ipsum sibi ipsi idem est, et ex iisdem adeoque ad eundem modum se habentibus constant tum parvae eius partes, tum magnae, tum inferiores, tum superiores. Ac si vel minima corporis pars malo aliquo afficiatur, eam affectionem, qualiscumque tandem fuerit, totum corpus sentiet, quod minima corporis pars eadem omnia habet, quae et maxima. Haec autem quidquid tandem pertulerit, ad cognationem et gentilitatem refert, quaeque ad suam, sive bonum, sive malum id fuerit. Ac propterea corpus ob minimae partis cognationem, dolorem aut voluptatem percipit, quod in minima partes omnes insunt, eaeque ad ea, quae sui sunt generis, singula referunt et omnia denunciant.

β'. Φύσις δὲ τοῦ σώματος, ἀρχὴ τοῦ ἐν ἰητρικῇ λόγου· πρῶτον διατέτρηται ᾗ ἐσακούομεν· τὰ μὲν γὰρ περὶ τὰ ὦτα πέριξ κενεὰ

2. At vero corporis natura principium in artis medicae speculatione obtinet; primumque qua parte audimus perforatum est. Vacua enim

ἐμφρασσομένη cod. Corn., sed correctio deterior vulgata est; — περί pro πέριξ C. — Post ἐγκέφαλον delevi verba διὰ λεπτοῦ τοῦ ὀστέου, quae h. l. otiose inferebantur; sed ubi eam formulam servavi post ὀστέου notavi lacunam, quippe ἐκχεῖται, vel eiusmodi quid, ibi periisse videtur; — ἄλλην νοῦσον ποιέει C., ἄλλα ν. π. A.; — ἕτερον sine τό idem: — τὰ νοσεύμενα (νοσεόμενα A.) vulgo et paulo post τοῦ νοσευμένου (νοσεομένου A.), sed νοσέειν non νοσεῖσθαι Graecum est, itaque credidi formas activam et passivam fuisse confusas uti saepe alias.

τὸ δὲ σῶμα — πάντα.] δ' οὐκ A., δὲ οὐκ vulg.; — οὖν Zuing. in marg. pro δέ, ut putat Littréus, sed facile fieri possit, ut ὁμοίως οὖν ἐχόντων velit: nempe Corn. item in Latinis negationem omittit. Quodsi ὁμοίως ἔχειν hic referatur ad externam formam partium, potuit scriptor vulgatam dare; sin respexerit ista τὰ αὐτά, i. e. elementa, e quibus partes componuntur, ita scribere non potuit et ὁμοίως τ' οὖν ἐχόντων dedisse censendus est. Hoc autem eum cogitavisse mihi maxime probabile videtur. — Dein ἔχοντος vulg., ἐχόντων A. Lind.. Littr,; πάντη ἔχει E.; — ceteri τὸ σμικρότατον post πάθῃ, quod, quippe scholion referens, abegi e textu; — πρὸς ἑωυτοῦ E. sine τήν; — καί ante ἀλγέει om. A.; — πάντ' ἔνια τὰ μέρεα idem; — διαγγέλλουσι vulg., ἐξαγγέλλουσι A. C. E., Littr.; mihi vero vulgatae non praestare videtur. Littr. ad h. l. citat Plat. de Republ. lib, V. cap. 10. sub fin. 462. D., ubi vide.

2. Φύσις — περιτεταμένην.] [καὶ] πρῶτον [μὲν τὸ σῶμα] διατέτρηται explevit Lind.; — τοῦτο διαφραδέως vulgo,

οὐκ ἐσακούει ἄλλο ἢ ψόφον καὶ ἰαχήν· ὅ τι δ' ἂν διὰ τῆς μήνιγγος ἐς τὸν ἐγκέφαλον ἐσέλθῃ, διαφραδέως ἀκούεται ταύτῃ· καὶ αὕτη μόνη τρῆσις διὰ τῆς μήνιγγός ἐστι τῆς περὶ τὸν ἐγκέφαλον περιτεταμένης. Κατὰ δὲ τὰς ῥῖνας τρῆμα μὲν οὐκ ἔνεστι, σομφὸν δὲ, οἷον σπυγγία· καὶ διὰ τοῦτο πλέονος ἀκούει ἢ ὀσφραίνεται· κατὰ πολὺ γὰρ σκίδναται ἡ ὀδμὴ τῆς ὀσφρήσιος. Καὶ ἐς τοὺς ὀφθαλμοὺς φλέβια λεπτὰ ἐς τὴν ὄψιν ἐκ τοῦ ἐγκεφάλου διὰ τῆς μήνιγγος τῆς περιεχούσης φέρονται· ταῦτα δὲ τὰ φλέβια τὴν ὄψιν τρέφουσι τῷ ὑγρῷ τῷ καθαρωτάτῳ τῷ ἀπὸ τοῦ ἐγκεφάλου, ἐς ὃ καὶ ἐμφαίνεται ἐν τοῖσι ὀφθαλμοῖσι· ταῦτα δὲ τὰ φλέβια καὶ ἀποσβεννύασι, τὰς ὄψεις ὅταν ξηρανθῶσι. Μήνιγγες δὲ τρεῖς εἰσι αἱ τοὺς ὀφθαλμοὺς φυλάσσουσαι, ἡ μὲν ἐπάνω παχυτέρη, ἡ δὲ διὰ μέσου λεπτοτέρη, ἡ δὲ τρίτη λεπτὴ ἡ τὸ ὑγρὸν φυλάσσουσα· τούτων ἡ μὲν ἐπάνω καὶ παχυτέρη, νοῦσος, ἢν κωφωθῇ· ἡ δὲ διὰ μέσου ἐπικίνδυνος, καὶ ὅταν ῥαγῇ ἐξίσχει οἷον κύστις· ἡ δὲ τρίτη ἡ λεπτοτάτη πάμπαν ἐπικίνδυνος, ἡ τὸ ὑγρὸν φυλάσσουσα. Μήνιγγες δὲ δύο εἰσὶ τοῦ ἐγκεφάλου, ἡ μὲν ἐπάνω παχυτέρη, ἡ δὲ λεπτὴ τοῦ ἐγκεφάλου ἁπτομένη, ἣ οὐκ ἔτι ξυμφύεται ἐπὴν τρωθῇ.

circa aures loca nil aliud praeter strepitum et clamorem audiunt. Quidquid vero per membranam ad cerebrum pervenerit, plane hac parte auditur, hoc autem unicum foramen per membranam circumvolventem penetrat. Ad nares autem foramen quidem non tendit, sed laxum quiddam velut spongia, eamque ob causam per longius intervallum audit quam olfacit; longe enim ab olfactu odor dispergitur. Ad oculos etiam venulae tenues ad visionem ex cerebro per ambientem membranam tendunt. Hae vero venulae humore purissimo de cerebro visionem alunt, in quo etiam rerum species in oculis apparent. Eaedem quoque, ubi resiccatae fuerint, visionem exstinguunt. Membranae vero tres sunt oculos ipsos custodientes; superna quidem crassior, media vero tenuior, et tertia tenuis, quae humorem conservat. Ex his superior quidem et crassissima, si laesa fuerit, morbum facit. Media vero periculi plena est, et ubi rupta fuerit, velut vesica prominet. Tertia tenuissima omnino periculosa, quae humorem conservat. Cerebri autem membranae duae sunt, superna quidem una crassior, altera, quae cerebrum contingit, tenuis, quae ubi vulnerata fuerit non amplius coalescit.

γ'. Φλέβες δὲ περαίνουσι μὲν ἐς τὴν κορυφὴν διὰ τῆς σαρκὸς ἔχουσαι πρὸς τὸ ὀστέον, φέρονται δὲ διὰ τῆς σαρκὸς, δύο μὲν ἐκ τῆς κορυφῆς κατ' ἰθὺ, ᾗ αἱ ὀφρύες ξυγκλείονται,

3. Venae autem ad verticem quidem per carnem permeant et ossi cohaerescunt. Et vero a vertice duae quidem recta per carnem feruntur, qua parte supercilia clauduntur et ad oculorum

cum cod. C. vero reieci τοῦτο; — καὶ αὕτη μόνη τρῆσις scripsi de meo, ceteris αὕτη omittentibus; — τῆς ante περὶ τὸν ἐγκ. ferunt Ald. A. C. Zuing., Littr., vulgo abest.

καὶ ἐς τοὺς ὀφθ. — ξηρανθῶσι.] In ἐς ὃ ἐμφαίνεται K.', Mack. omm. ἐς; — ἔσω pro ἐς ὅ fert A.; — recte Cornarii emendationem in K.' expressam reiecit Littréus collato loco e § 3. καὶ οὐκ ἐμφαίνεται ἐς αὐτό. Illud ἐμφαίνεται utroque loco impersonale est.

μήνιγγες — φυλάσσουσα.] παχυτέρη A., Littr., παχυτάτη vulg.; — ἐπικίνδυνος αὕτη, καὶ ὅταν ῥαγῇ vulgo, equidem otiosum αὕτη repudiavi; Lind. καὶ αὕτη ὅταν dedit, K.' et Mack. Cornarium secutus: καὶ αὕτη καὶ ὅταν κ. τ. λ.

μήνιγγες — τρωθῇ.] ἡ μὲν ἐπάνω παχυτέρη omm. A. C. secundum Littréum, equidem ex Aldina abesse video; — tum ἡ λεπτὴ καί pro ἡ δὲ λεπτή τοῦ ἐγκεφάλου ἁπτομένη A. et sine καί Ald., cod. C. — Tandem vulgo οὐκ ἔτι ἡ αὐτὴ ἐπὴν τρωθῇ; sed Calvus „quae si vulnerentur non coalescunt, nec eaedem permanent." — Puto eum dedisse, quod unusquisque exspectat et insuper lectionem codicum, quibus utebatur. Corn. vulgatam expressit Latine. Foës. „neque ubi vulnerata fuerit, coalescit;" in notulis vero nihil monet. Equidem ἡ αὐτή eiusdem farinae esse puto, cuius αὕτη, quod paulo ante reieci, et periisse ξυμφύεται, quod pro eo reposui, simul ἥ post ἁπτομένη inferens de meo. — Littréus vulgatam servat et falso eam reddit „et qui ne redevient plus la même quand elle a été lésée." — Ceterum non dubito, quin in hac § plura insint a librariis male mulcata.

3. Φλέβες δὲ — τοῖσι φλεβίοισι.] Pro ἔχουσαι K.' ἔρχουσαι; — volueritne Corn. ἐρχόμεναι? at vulgata non est tentanda. Articulum ante ὀφρύες om. E.; — μία δ' ἀπὸ Ald. A., C.; — αἰεί· μοῦναι utrumque Ionice A. Littr.; — ἀποτρ. ἐξ αὐτῶν τὸ φλέγμα A. — Verum ceteri omnes ἀποσυμβουλεύει, de quo verbo nemo monet aut dubitat;

καὶ τελευτῶσι ἐς τοὺς κανθοὺς τῶν ὀφθαλμῶν, μία δὲ ἀπὸ τῆς κορυφῆς ἐς τὴν ῥῖνα φέρεται καὶ σχίζεται ἐς τὸν χόνδρον τῆς ῥινὸς ἑκάτερον· ἄλλαι δύο φλέβες παρὰ τοὺς κροτάφους φέρονται ἐν μέσῳ τῶν κροτάφων καὶ τῶν ὤτων, αἳ πιέζουσι τὰς ὄψεις καὶ σφύζουσι αἰεί· μοῦναι γὰρ αὗται οὐκ ἄρδουσι τῶν φλεβῶν, ἀλλ' ἀποτρέπεται ἐξ αὐτῶν τὸ αἷμα· τὸ δ' ἀποτρεπόμενον ξυμβολέει τῷ ἐπιρρέοντι· καὶ τὸ μὲν ἀποτρεπόμενον βουλόμενον ἄνω χωρέειν, τὸ δ' ἄνωθεν ἐπιρρέον βουλόμενον κάτω χωρέειν, ἐνταῦθα ὠθεύμενά τε καὶ ἀναχεόμενα πρὸς ἄλληλα καὶ κυκλούμενα, σφύγμον παρέχει τοῖσι φλεβίοισι. Ἡ δὲ ὄψις τῷ ἀπὸ τοῦ ἐγκεφάλου ὑγρῷ τρέφεται· ὅταν δέ τι τοῦ ἀπὸ τῶν φλεβῶν λάβῃ, τῇ ῥύσι ταράσσεται καὶ οὐκ ἐμφαίνεται ἐς αὐτὸ καὶ προκινέεσθαι δοκέει αὐτῷ τοτὲ μὲν οἷον εἴδωλον ὀρνίθων, τοτὲ δὲ οἷον φακοὶ μέλανες, καὶ τἄλλα οὐδὲν ἀτρεκέως δύναται ὁρᾶν. Ἄλλαι δὲ δύο φλέβες ἐν μέσῳ τῶν τε ὤτων καὶ τῶν ἄλλων φλεβῶν, αἳ φέρονται ἐς τὰ ὦτα καὶ πιέζουσι τὰ ἄνω καὶ ἄλλαι δύο φλέβες ἐκ τῆς ξυγκλείσιος τοῦ ὀστέου ἐς τὰς ἀκοὰς φέρονται. Αἱ δὲ κάτω τοῦ σώματος τετραμμέναι δύο μὲν φλέβες παρὰ τοὺς τένοντας τοῦ τραχήλου φέρονται καὶ παρὰ τοὺς σπονδύλους καὶ τελευτῶσι ἐς τοὺς νεφρούς· αὗται δὲ καὶ ἐς τοὺς ὄρχιας περαίνουσι καὶ ὅταν αὗται πονήσωσι, αἷμα οὐρέει ὤνθρωπος. Ἄλλαι μὲν δύο φλέβες ἀπὸ τῆς κορυφῆς

angulos desinunt. Una autem de vertice ad nares fertur et in utramque narium cartilaginem scinditur. Aliae duae venae iuxta tempora feruntur inter tempora et aures, quae oculos premunt semperque pulsant. Ex venis enim hae solae non irrigant partes sanguine, sed avertitur ab ipsis sanguis. Qui vero avertitur occurrit ei, qui adfluit, et qui avertitur sursum adscendere cupiens, et qui defluit infra procedere cupiens, ibi inter se propulsi et diffusi et in orbem circumacti pulsationem venulis praebent. Cum autem visio ex cerebri humore nutriatur, si quid humoris a venis acceperit, fluxione turbatur, neque in eo apparent rerum species, sed obversari videntur homini interdum quidem velut avicularum imagines, interdum vero ut lentes nigrae, nihilque de cetero exacte cernere potest. Aliae autem duae venae per medium aurium et reliquarum venarum ad aures tendunt iisque incumbunt; et aliae duae venae ex ossis coniunctione ad aures feruntur. Ex his autem quae ad inferiorem corporis partem convertuntur, duae quidem venae iuxta cervicis tendines et iuxta vertebras feruntur, atque in renes desinunt eaedemque etiam ad testes permeant, cumque hae male affectae fuerint, homo cruentum lotium reddit. Aliae quidem duae venae ex vertice ad humeros tendunt et eae sane *humerales* appellantur, aliae vero duae ex vertice iuxta aures per anteriorem cervicis partem utrinque in *cavam* appellatam venam deferuntur. At vero vena cava velut

quodsi tamen rem recte reputes, vides sano sensu destitui. Sed apud Hesychium legis ἀποσυμβολᾶν· συναντᾶν; ubi interpretes dimittunt ad schol. Aristoph. av. 722.: σύμβολον ὄρνιν] καὶ γὰρ ταῦτα συμβόλους ἐποίουν τὰ πρῶτα συναντῶντα καὶ ἐξ ἀπαντήσεώς τι προσημαίνοντα. Papius in Lex., item Steph., quem sequitur, in Thes. dubitant de ἀποσυμβολᾶν apud Hesychium, qui utrum ἀποσυμβολᾶν ex h. l. duxerit, an aliunde, nescio; sed certum est συναντᾶν optime quadrare. Iam vero credo συμβολέει dedisse auctorem et isti verbo adhaerere praepositionem ἀπό propter antecedens ἀποτρεπόμενον, ita ut ξυμβολέει scribendum censeam. — Ceterum ἀποσυμβ. — ἀποτρεπόμενον om. A.; — ἀποχωρέειν vulg., sed ἄνω χωρέειν cod. Serv. Foësii, Zuing. in m., quam emendationem cum Lind., Mackio amplector; — ὠθούμενα A; — κυκλεύμενα E.

ἡ δὲ ὄψις — ὁρᾶν.] τῶν — ὑγρῶν A. vitiose pro τῷ — ὑγρῷ; — idem καὶ οὐκ ἐκφαίνεται εἰς αὐτό, K.' om. ἐς; — δοκέει ἐν αὐτῷ ceteri, sed ἐν librariis debetur, quippe αὐτῷ ad aegrum, non ad τὸ ὑγρόν spectare docet sequens οὐ δύναται ὁρᾶν; — τότε μὲν — τότε δέ Ald., A., qui δ', E. Zuing., τὸ μὲν — τὸ δέ C., — τἄλλον idem. — Ceteri omnes οὐδὲν ἀτρεκέως κατ' ἀληθείην δύναται ὁρᾶν, sed κατ' ἀληθείην glossema est ad ἀτρεκέως adscriptum, quod eiicio; quin infra solum idem κατ' ἀληθείην reperis loco eiusmodi ut glossa vocem principem extrusisse videatur; § 13. sub finem.

ἄλλαι δὲ — φέρονται.] δέ de meo interposui ante δύο periisse opinatus; item dedi de meo καί ante sequens ἄλλαι δύο. Mihi a librariis tales particulae omissae videntur, non neglectae a scriptore. Porro συνκλήσεως A., — συγκλίσεως E., συγκλίσεος C.

αἱ δὲ κάτω — ὤνθρωπος.] φέρονται καί K. Mack., sine δέ, φ. δὲ καί vulg.; — σφονδ. A.; — καὶ τοὺς ὄρχιας παραίνουσιν A.; — πονέσωσι vulgo, sed per η cod. A., Zuing., Lind.; — ὤνθρ. A. Littr., ἄνθρ. vulg.

ἄλλαι μὲν δύο φλέβες — φέρονται.] ἄλλαι — καλέονται

φέρονται ἐς τοὺς ὤμους, καὶ δὴ καὶ ὠμιαῖαι καλέονται· ἄλλαι δὲ δύο φλέβες ἀπὸ τῆς κορυφῆς παρὰ τὰ ὦτα ἐν τοῖσι ἔμπροσθεν τοῦ τραχήλου ἑκατέρωθεν ἐς τὴν κοίλην φλέβα καλεομένην φέρονται. Ἡ δὲ κοίλη φλὲψ περαίνει μὲν ὡς ὁ οἰσοφάγος, πέφυκε δὲ μεταξὺ τοῦ τε βρόγχου καὶ τοῦ οἰσοφάγου· φέρεται δὲ διὰ τῶν φρενῶν καὶ διὰ τῆς καρδίης καὶ μεταξὺ τῶν φρενῶν καὶ σχίζεται ἐς τοὺς βουβῶνας καὶ ἐς τοὺς μηροὺς ἐντὸς καὶ τὰς διάσφαγας ἐν τοῖσι μηροῖσι ποιέεται καὶ ἐς τὰς κνήμας φέρεται ἐντὸς παρὰ τὰ σφυρὰ καὶ ἐς τοὺς μεγάλους δακτύλους τελευτᾷ. Ἐκ δὲ τῆς κοίλης φλὲψ ἀποπέφυκε ἐς τὴν χεῖρα τὴν ἀριστερήν· φέρεται δ' ὑποκάτω τοῦ σπληνὸς ἐς τὴν λαπάρην τὴν ἀριστερήν, ὅθεν ὁ σπλὴν ἀποπέφυκε διὰ τοῦ ἐπιπλόου καὶ τὴν ἀποτελεύτησιν ἔχει ἐς τὸν κίθαρον· ἀποπέφυκε δὲ κατὰ τὰς φρένας καὶ ξυμβάλλει τῇ ὠμιαίῃ κάτω τοῦ ἄρθρου τοῦ ἀγκῶνος καὶ τοῦ σπληνὸς τάμνεται αὕτη· καὶ ἄλλη ἐς τὴν δεξιὴν τὸν αὐτὸν τρόπον ἀποπέφυκε ἀπὸ τῆς κοίλης. Κοινωνέουσι δὲ πᾶσαι αἱ φλέβες καὶ διαρρέουσι ἐς ἑωυτάς· αἱ μὲν γὰρ σφίσι ἑωυταῖς ξυμβάλλουσι, αἱ δὲ διὰ τῶν φλεβίων τῶν διατεταμένων ἀπὸ τῶν φλεβῶν, αἳ τρέφουσι τὰς σάρκας, ταύτῃ διαρρέουσι πρὸς ἑωυτάς.

δ'. Καὶ ἀπὸ τῶν φλεβῶν ὅ τι ἂν νόσημα γένηται, ῥᾶόν ἐστι ἢ ἀπὸ τῶν νεύρων· διαρρεῖ γὰρ ξὺν τῷ ὑγρῷ τῷ ἐνεόντι ἐν τῇσι φλεψὶ καὶ οὐκ ἀτρεμίζει· καὶ ἡ φύσις τῇσι φλεψὶ ἐν ὑγρῷ ἐστι ἐν τῇσι σαρξί. Τὰ δὲ νεῦρα ξηρά τέ ἐστι καὶ ἀκοίλια καὶ πρὸς τῷ ὀστέῳ πεφύκασι καὶ τρέφονται μὲν τὸ πλεῖ-

gula quidem producitur, mediaque inter guttur et gulam exsistens per septum transversum fertur et per cor et inter septum. Ad inguina autem et femora interiore parte scinditur et disparationes in cruribus facit et ad tibiarum partem iuxta malleolos fertur, et in magnos digitos desinit. Ex vena autem cava propago in manum sinistram deducitur et subter lienem fertur ad sinistri lateris inanitatem, unde lien per omentum emergit et ad thoracem desinit. Exoritur autem iuxta septum transversum et cum humerali committitur infra cubiti articulum, ipsaque lienis gratia secatur. Alia etiam ad dextram manum eodem modo a cava propaginem emittit. Hae autem omnes venae inter se communicant et mutuo confluunt. Aliae si quidem sibi invicem committuntur, aliae vero per venulas, quae a venis distenduntur et carnes nutriunt, ea parte inter se confluunt.

4. Quicumque autem a venis morbus oritur, levior est quam qui a nervis. Diffluit enim una cum humore in venis contento, neque quiescit, venarumque natura est in re humida, in carnibus. Nervi vero cum sicci sunt, tum cavis carent et ossi adhaerescunt maximamque partem ab osse nutriuntur, nutriuntur tamen etiam

om. A.; — in ἄλλαι μὲν δύο φλ. — ἄλλαι δὲ δύο φλ. de meo μέν et δέ interposui.

ἡ δὲ κοίλη φλὲψ — τελευτῶσι.] τοῦ βρόγχου sine τε C.; — διασφαγάς vulgo, διάσφαγας puto voluisse scriptorem; — ἐν τοῖς παρὰ τὰ σφυρά idem. Post σφυρά legitur apud ceteros omnes αὗται καὶ ἄκαρπον ποιέουσι τὸν ἄνθρωπον, ὅταν ἀποτμηθῶσι, cum quibus cf. locum e lib. de aëre aq. locis vol. I. p. 277. et § 2. libri de nat. pueri. — Mihi ista ab auctoris manu profecto esse non videntur, sed alienam referre adnotationem; nexus cum vicinis nullus est, quare ea repudiavi. — Vulgo αἳ καὶ ἐς τοὺς μεγ. δ. τελευτῶσι, sed mihi otiosum relativum repudiandum est visum et τελευτᾷ pro τελευτῶσι reponendum.

ἔκ τε τῆς κοίλης — ἀπὸ τῆς κοίλης.] Vulgo ἐκ δὲ τῆς κοίλης φλεβός, sed de meo φλέψ reposui, ut ἀποπέφυκε subiectum sibi haberet; — φέρεται δ' ὑποκάτω — ἀριστερήν om. A.; — τὴν ἀποτ. ἔχει idem, τὴν ἀ. ἴσχει vulg.; — ἀγκῶνος pro σπληνός A. vitiose; — τάμνεται A. Littr., τέμν. vulg.; — ἀπὸ τῆς κοιλίης vulg., sed κοίλης dudum emendarunt interpretes.

κοινωνέουσι — ἑωυτάς.] αἱ δ' ἀπὸ τῶν φλεβίων τῶν ἀποτεταμένων ἀπὸ τῶν φλεβῶν A.

4. τὰ δὲ νεῦρα — λαμβάνει.] καὶ τρέφονται μὲν τὸ πλεῖστον de meo scripsi, ceteri δέ pro μέν, sed manifesto

στον ἀπὸ τοῦ ὀστέου, τρέφονται δὲ καὶ ἀπὸ τῆς σαρκὸς, καὶ τὴν χροιὴν καὶ τὴν ἰσχὺν μεταξὺ τοῦ ὀστέου καὶ τῆς σαρκὸς πεφύκασι καὶ ὑγρότερα μέν εἰσι τοῦ ὀστέου καὶ σαρκοειδέστερα, ξηρότερα δ' εἰσὶ ἢ αἱ σάρκες καὶ ὀστοειδέστερα· νόσημα δ' ὅ τι ἂν ἐς αὐτὰ ἔλθῃ, ῥώννυταί τε καὶ ἀτρεμίζει ἐν τῷ αὐτῷ καὶ χαλεπόν ἐστι ἐξάγειν· μάλιστα δ' ἐσέρχονται τέτανοί τε καὶ ἄλλα, ἀφ' ὧν τρόμος τὸ σῶμα λαμβάνει.

ε'. Τὰ δὲ νεῦρα πιέζουσι τὰ ἄρθρα, παρατεταμένα τέ ἐστι παρ' ὅλον τὸ σῶμα· ἰσχύουσι δὲ μάλιστα ἐκείνοισι τοῦ σώματος καὶ αἰεὶ παχύτατά ἐστι, ἐν οἷσι τοῦ σώματος αἱ σάρκες ἐλάχισταί εἰσι. Καὶ τὸ μὲν σῶμα πᾶν ἔμπλεων νεύρων· περὶ δὲ τὸ πρόσωπον καὶ τὴν κεφαλὴν οὐκ ἔστι νεῦρα, ἀλλὰ ἶνες παρόμοιαι νεύροις μεταξὺ τοῦ τε ὀστέου καὶ τῆς σαρκὸς λεπτότεραι καὶ στερεώτεραι, — αἱ δὲ εὐρυκοίλιοι.

ϛ'. Αἱ κεφαλαὶ ῥαφὰς ἔχουσι αἱ μὲν τρεῖς, αἱ δὲ τέσσαρας· αἱ μὲν τέσσαρας ἔχουσαι κατὰ τὰ ὦτα ἑκατέρωθεν ῥαφὴν, ἄλλην ἔμπροσθεν, ἄλλην ἐξόπισθεν τῆς κεφαλῆς, — οὕτω μὲν ἡ τὰς τέσσαρας ἔχουσα· ἡ δὲ τὰς τρεῖς, κατὰ τὰ ὦτα ἑκατέρωθεν καὶ ἔμπροσθεν· ὥσπερ δὲ ἡ τὰς τέσσαρας ἔχουσα, οὐ διαπέφυκε οὐδὲ ταύτῃ ῥαφή· ὑγιεινότεροι δ' εἰσὶ τὴν κεφαλὴν οἱ τὰς πλέονας ῥαφὰς ἔχοντες. Ἐν τῇσι ὀφρύσι διπλόον τὸ ὀστέον καὶ ἡ ξύγκλεισις τῶν γενύων ἔν τε τῷ γε-

a carnibus, coloremque et robur inter os et carnem medium natura sortiti sunt et humidiorem quidem carnosioremque quam os, sicciorem vero et ad os magis accedentem quam carnes naturam obtinent. Quicumque autem morbus ad eos accesserit, eodem loco firmatur et consistit, nec nisi aegre expellitur. Praecipue vero eos appetunt distentiones, aliique morbi, ex quibus tremor corpus prehendit.

5. Nervi autem articulos constringunt per totum corpus distenti; viribus autem maxime valent homines per has partes corporis, et semper crassissimi sunt in iis corporis locis, ubi carnes maxime exiguae. Ac corpus quidem totum nervis plenum est; circa faciem vero et caput nou sunt nervi, sed fibrae nervis similes inter os et carnes, partim tenuiores et solidiores, partim ventre amplo.

6. *Plura in hoc capite partim certo certius corrupta, partim tam dubiae lectionis sunt, ut nondum interpretari malim, quam Graeca non legentibus incerta pro certis obtrudere.*

librarii permutarunt has voculas; — ξηρότερα δέ εἰσιν C.; — δ' ὅτι ἐς αὐτὰ ἔλθῃ A. sine ἄν; — δὲ ἐξέρχονται A. C. — Post λαμβάνει omnes καὶ τρέμειν ποιέει, — abiicio otiosum emblema.

5. τὰ δὲ νεῦρα — ἐλάχισταί εἰσι.] ἐστι vulg., εἰσι A. Littr.; — ἰσχύουσι δὲ μάλιστα ἐν ἐκείνοισι τοῦ σώματος cett., sed ἐν hîc otiose invectum est a librariis et ἰσχύουσι non ad τὰ νεῦρα referendum, sed ad homines; — αἰεί A. Mack., Littr.

καὶ τὸ μὲν σῶμα — εὐρυκοίλιοι.] ἔμπλεων Ald., C., ἔμπλεον vulg.; — ἀλλ' ἶνες A.; — παρόμοιαι νεύρων C., fortasse pro παρομ. νεύρῳ; — αἱ δὲ νευροκοίλιοι vulgo, quod om. Lind., sed Struvius emendavit εὐρυκοίλιοι legens. Littréus νευροκοίλιοι non tangendum arbitratur, quia nescit quae fibrae εὐρυκοίλιοι ex Struvii lectione spectentur. Ego prorsus cum Struvio consentio: sunt fortasse ductus glandularum salivalium, qui respiciuntur, quod ipse videt Littréus. Sed praeterea, in νευροκοίλιοι nullus sanus sensus inest; contra εὐρυκοίλιοι optime opponitur utrique superiori epitheto in bipartito genere fibrarum. Itaque confidenter Struvii emendationem recipere licet.

6. αἱ κεφαλαὶ — ἔχοντες.] Ad principium huius capituli A. C. in marg. habent ἄρθρα pro inscriptione. Vulgo ἑκατέρωθεν ῥαφὴ, ἄλλη ἔμπροσθεν, ἄλλη ἐξόπ.; Lind. ἑκατέρωθέν [ἐστι] ῥαφή κ. τ. λ. Nempe hic sensit structuram loci in vulgata misere impeditam esse et ἐστι supplendo eam expedire voluit; — equidem malui nominativos in accusativos mutare, ut e superioribus ἔχουσι subintelligi possit. — Cod. C. ἐξοπίσθη μὲν τῆς; — idem οὕτως; — tum ὦτά [ἐστιν] ἑκατ. Lind sine κατά; — porro ὥσπερ δὲ καὶ τὰς τεσσ. ἐχ. C.; — δὲ εἰσί A.; — πλείονας idem.

ἐν τῇσι ὀφρύσι — κεφαλῇ.] διῆλθον vulgo, δίπλοον A. Littr., facile intelligis quomodo δίπλοον in vulgatam abire potuerit; — γενύῳ A.; — ἐν τῇ κεφ. idem. Haec periodus prorsus incertum me reddit ac dubium; nescio an inter τὸ ὀστεόν et καὶ ἡ ξύγκλεισις lacuna sit, an vero incongrua structura noster καὶ ἡ ξύγκλεισις κ. τ. λ. adposuerit, ut significaret ibi quoque os duplex esse. Quin hoc si voluerit, quomodo accipiendum sit, vix perspicis.

νείῳ μέσῳ καὶ ἄνω πρὸς τῇ κεφαλῇ. Σπονδύλους οἱ μὲν πλέονας, οἱ δὲ ἐλάσσονας ἔχουσι· καὶ οἱ μὲν πλέονας ἔχοντες, δυοῖν δεόντοιν εἴκοσι, ὧν οἱ μὲν ἄνω πρὸς τῇ κεφαλῇ, οἱ δὲ κάτω πρὸς τῇ ἕδρῃ. Πλευραὶ ἑπτά· . . . . τὰ μὲν ὄπισθεν τοῦ σώματος πρὸς τοὺς σπονδύλους, τὰ δ' ἔμπροσθεν ἐν τῷ στέρνῳ πρὸς ἑωυτάς. Κλεῖδες ἄρθρα ἔχουσι, τὰ μὲν ἐν μέσῳ τοῦ στέρνου κατὰ τὸν βρόγχον, — [κατὰ ταῦτα ἤρθρωνται]· τὰ δὲ πρὸς τοὺς ὤμους κεκλιμένα πρὸς τὰς πλάτας, αἳ ἐπὶ τοῖς ὤμοις αἰεὶ πεφύκασι. Αἱ δὲ πλάται πρὸς τὰ γυῖα ἤρθρωνται, ἐπιβάλλουσαι ἐπὶ τὸ ὀστέον τὸ ἐν τῷ γυίῳ. Παρὰ δὲ τὸ ὀστέον περόναι δύο παρήκουσι, ἡ μὲν ἔνδοθεν, ἡ δὲ ἐκτὸς, αἳ πρὸς τὰς πλάτας τῷ ὀστέῳ προσπεφυκυῖαι ἤρθρωνται. Κάτω δ' ἐν τῷ ἀγκῶνι [κάτω] μὲν περόνῃ ἤρθρωνται κατὰ τὸ πεφυκὸς κοιλανῶδες, ἄνω δὲ σμικρῷ τῆς περόνης ἐς τὸν ἀγκῶνα τό τε ὀστέον καὶ ἡ περόνη ἐς τὸ αὐτὸ ξυμβάλλοντα ἄρθρον ἐν τῷ κυβίτῳ ποιέουσι. Παρὰ δὲ τὸν πῆχυν περόναι παρήκουσι λεπταὶ πάνυ τέσσαρες, αἱ μὲν δύο ἄνω, αἱ δὲ δύο κάτω· καὶ πρὸς μὲν τὸν ἀγκῶνα δύο περόναι [πεφυκυῖαι] ἄνω ἐκ τοῦ ὀστέου πε-

σπονδύλους — ἕδρῃ.] *σφονδ.* A. et sic ubique; — *οἱ δ' ἐλάσσονας* A.; — pro *οἱ μὲν πλέονας ἔχοντες* Lind., Mack., interpretes praeter Littr. *οἱ μὲν ἐλάσσονας ἔχοντες*, quod quare voluerint perspicuum est, quum plures quam octodecim vertebras homo habeat. Sed cum Littréo nihil tango, quum nesciam num librarium an auctorem corrigam, qui quam imperfectam habuerit anatomes scientiam plura in hac § obvia ultro docent. Vulgo *δυοῖν δεόντοιν εἴκοσί εἰσι*, sed ego otiosum *εἰσί* abieci. Cod. A. *δυοῖν δὲ ὄντας εἴκοσιν ἔχουσι σὺν τοῖς δ' ἐσχάταις* (sic) *εἴκοσίν εἰσιν.* Neque haec nos certiores reddunt de nostri vertebras et costas dein computandi ratione; — *ὁ μὲν — ὁ δέ* C., *ὁ δέ* saltem Ald.; — pro *κεφαλῇ* Ald. A. C. *ἕδρη τῆς κεφαλῆς.*

πλευρὰς — ἑωυτάς.] In vulgata lacunae signa nulla; pro inscriptione A. ad h. l. *ἄρθρα τῶν πλευρέων*, C. solum *ἄρθρα*; — *τὰ δὲ ἔμπρ.* C.; — *ἑωυτόν* idem pro *ἑωυτῶν*. Quodsi iam ceterorum lectionem sine lacunae signis tibi proponas, vide quam inepte sibi subsequantur *πλευραὶ ἑπτά· τὰ μὲν ὄπισθεν κ. τ. λ.* Sed manifesto aliquid periit, quod ad costarum cum vertebris articulationes et cum sterno iuncturas spectaverit: fortasse *ἄρθρα δ' αὐτῇσι, ἄρθρα δ' ἐστί*, — *ἄρθρα δ' ἔχουσι*, vel aliud quid eiusmodi excidit, cf. adn. seq. Lacunam notandam esse certum est. — Unde noster numerum *septem* costarum duxerit, et num auctori an librariorum vitio debeatur, nemo facile dicat.

κλεῖδες — πεφύκασι.] *ἃ ἐπὶ τοῖς ὤμοις* Lind., Mack.; — *ἄρθροις* pro *ὤμοις* A.; — *αἰεί* ex E. Littr.; — *ἀεί* vulg., *αἰεί* om. A. — Haec periodus item corruptam refert scripturam: possis fortasse hinc ad lacunam in superiore periodo transferre *ἄρθρα δ' ἔχουσι*, tum otiosa plura delere, ex *αἰεὶ πεφύκ.* efficere *διαπεφύκ.*, atque adeo uno tenore legere: *κλεῖδες τὰ μὲν ἐν μέσῳ τοῦ στέρνου κατὰ τὸν βρόγχον ἤρθρωνται, τὰ δὲ κεκλιμέναι πρὸς τὰς πλάτας ἐπὶ τοῖσι ὤμοισι διαπεφύκασι.* — Locum a librariis male habitum esse certum iudico; de emendatione alii mecum videant!

αἱ δὲ πλάται — γυίῳ.] Ante *ἐπιβάλλουσαι* cod. C. et Zuing. in m. *τὰ δὲ πρὸς τοὺς ὤμους* habent.

παρὰ δὲ τὸ ὀστέον — ἤρθρωνται.] De voce *περόνη* vide Foës. in Oecon.; — *ἡ δ' ἐκτός* A.; — *αἵ* om. idem; — *αἱ [μὲν] πρός* Lind., *αἱ* Mack.; — *τά πλάτα* cod. C.; — tum *ἤρθρωνται κάτω· αἱ δ'* (*δέ* C.) *ἐν τῷ* vulg. — Cum Littréo codicis A. lectionem in postremis dedi; sed fateor haec quoque adeo obscura mihi esse, ut plane nesciam, quae lectio praestet. Nempe meras tenebras ob oculos mihi obversari opinor h. l. itemque sequenti.

κάτω δ' ἐν τῷ ἀγκῶνι — ποιέουσι.] *περόνη ἤρθρωται* A.: — *κάτω πεφυκυῖαι* (*πεφυκυῖα* A.) vulg., *κατὰ τὸ πεφυκ. κοιλαν.* cod. C., Zuing. in m., Mack., Littr.; — *ἄνω δὲ σμικρῷ* om. C.; — *ἐς ταὐτό* A.

παρὰ δὲ τὸν πῆχυν — ἐντός.] *παρὰ τὸν πῆχυν δέ* A.; — *δύο ἄνω· αἱ δέ* om. C.; — *πεφύκασιν* idem pro *πεφυκυῖαι*, sed sequens *πεφύκασι* abest; — *ὀστέῳ πεφυκότι* idem; — *τὴν κυβ.* Lind. — Locum perobscurum esse profitetur Littréus, neque vero mihi intelligi posse videtur. Editor vero

φύκασι, — αὗται ξὺν τῷ ὀστέῳ πεφυκυῖαι παρὰ τὸ τοῦ ὀστέου ἄρθρον ἤρθρωνται ἐς τὸ κύβιτον· αἱ δὲ κάτω κείμεναι καὶ ἐντὸς κεκλιμέναι, αὗται ἀμφότεραι ξυμβάλλουσαι πρὸς τὴν περόνην τὴν ἄνωθεν ἀπὸ τοῦ γυίου φερομένην, ἐντὸς τοῦ γυίου ἤρθρωνται καὶ * περόνην καλευμένην ποιέουσι αὐταὶ ἑωυτῇσι ξυμβάλλουσαι ἐν τῷ κυβίτῳ ἐντός. Κάτω δὲ πρὸς τὴν χεῖρα τὸ ὀστέον ἄρθρον ἔχει· αἱ δὲ περόναι ταύτῃ ἁπαλαὶ ἐοῦσαι, αἱ μὲν δύο οὐκ ἐξήκουσι ἐς τὸ ἄρθρον, ἡ δ' ἄνω καὶ ἡ κάτω ξὺν τῷ ὀστέῳ ἤρθρωνται πρὸς τὴν χεῖρα. Αἱ δὲ χεῖρες ἄρθρα ἔχουσι πολλά· ὁκόσα γὰρ ὀστέα πρὸς ἑωυτὰ ξυμβάλλουσι, πάντα ἄρθρα ποιέουσι. Δάκτυλοι ἄρθρα ἔχουσι ἕκαστος τρία, ἓν μὲν ὑπὸ τῷ ὄνυχι ἐν μέσῳ τοῦ τε ὄνυχος καὶ τοῦ κονδύλου, ἄλλο ἐν τῷ κονδύλῳ, ᾗ καὶ ξυγκάμπτουσι τοὺς δακτύλους, ἄλλο τρίτον, ᾗ ὁ δάκτυλος ἀπὸ τῆς χειρὸς ἀποπέφυκε. Ἐν δὲ τοῖσι ἰσχίοισι ἄρθρα δύο εἰσὶ αἱ κοτύλαι καλεύμεναι, καὶ οἱ μηροὶ ἐς ταῦτα ἐνήρθρωνται· παρὰ δὲ τοὺς μηροὺς περόναι δύο παρήκουσι, ἡ μὲν ἐντὸς, ἡ δ' ἐκτός· καὶ ἐς τὸ ἄρθρον οὐδετέρη ἐξήκει οὐδετέρωθεν, ἀλλὰ πρὸς τῷ ὀστέῳ προσπεφύκασι. Ὁ δὲ μηρὸς ἄνωθεν μὲν, ᾗ ἐς τὴν κοτύλην ἐμβάλλει, δίκραιός ἐστι τοιῇδε δικραιότητι· ἐπὶ μὲν τοῦ ἐντὸς κεκλιμένου τῶν δικραίων ἐπὶ τοῦ ἄκρου ἐπιπέφυκε στρογγύλον καὶ λεῖον, ὃ καὶ ἐς τὴν κοτύλην

Parisiensis eum integrum esse putat, qua de re non solum dubito, sed potius certus sum corruptum esse. Sine dubio corruptum est καὶ περόνην καλευμένην ποιέουσι: nempe aliud nomen quam περόνην scriptum fuit, librarii vero nomini deperdito illud περόνην, quod sensu cassum est, substituerunt, uti facere talia solent. Nescio tamen quid scriptum fuerit, quum de tota descriptione nihil certi mihi constet.

κάτω δὲ — τὴν χεῖρα.] ἔχῃ A.; — ἁπαλῇ ἐούσῃ C., quam lect. Littréus recepit; mihi vero deterior vulgata videtur; nam ταύτῃ manifesto est adverbium, descriptor vero codicis C. nomen et participium perperam ad adverbii terminationem de suo accommodavit. Sed praeterea neque haec periodus quidquam de re descripta docet, quod intelligas. Quae quaeso est oppositio inter αἱ μὲν δύο et ἡ δ' ἄνω καὶ ἡ κάτω, quum in antecedentibus sermo sit de quatuor et dicantur αἱ μὲν δύο ἄνω, αἱ δὲ δύο κάτω? — Loci sunt, quos nemo intelligit, nec quisquam unquam intelliget.

αἱ δὲ χεῖρες — ποιέουσι.] ὅσα vulgo, sed ὁκόσα ex Erot. scripsi; — πρὸς ἑωυτάς cod. C., duplicata litera σ principii verbi sequentis. Erot. in voce ἄρθρα locum ad hunc modum citat; αἱ δὲ χεῖρες ἄρθρα ἔχουσι πολλά· ὁκόσα γὰρ ὀστέοισι (lege ὀστέα) ξυμβάλλουσι, πάντα ἄρθρα ποιέουσι· possis etiam pro ὀστέοισι legere ὀστέα ὀστέοισι. — Advertit autem πρὸς ἑωυτά i. e. πρὸς ἄλληλα abesse, neque certo liquet non esse emblema alienum. Patet saltem ex Erotiani et vulgatae textus differentia iam antiquo tempore librum a librariis deturpatum esse.

δάκτυλοι — ἀποπέφυκε.] ἔχουσι πολλά vulgo, sed πολλά om. A.; — ἄλλο δὲ ἐν Lind., Mack.; — συγκάμπτουσι A.

ἐν δὲ τοῖσι ἰσχ. — προσπεφύκασι.] οὐδ' ἑτέρωθεν scribi solet; malui una voce dare. Post προσπεφύκασι ceteri addunt πρὸς τῷ μηρῷ, sed adnotatio aut dittographia saltem est pertinens ad πρὸς τῷ ὀστέῳ, itaque emblema alienum sustuli.

ὁ δὲ μηρὸς — καλέεται.] δίκρανος cod. Serv., Foësii, fortasse ex Erot., quem confer in voce δίκρανα, quae ipsa e δίκραια nata videtur. Tum πέφυκεν pro ἐπιπεφ. K.'; — ὃς καὶ ἐς τὴν κ. C.; — τό ante ἐκτός omm. Lind., Mack. E postrema parte huius periodi patet quam manca fuerit huius scriptoris anatomes scientia. Illud δίκραιον in femore

ἐμβάλλει, τὸ δ' ἕτερον τὸ ἔλασσον τῶν δικραίων τὸ ἐκτὸς μᾶλλον ἔξω ἐξέχει καὶ φαίνεται ἐν τῷ πυγαίῳ κάτω καὶ ἰσχίον καλέεται. Καὶ πρὸς δὲ τὸ γόνυ τὸ ὀστέον τοῦ μηροῦ τοιόνδ' ἐστι· τῷ δὲ δικραίῳ τούτῳ ἡ κνήμη καλεομένη οἷον ἐν γιγγλύμῳ ἐνήρμοσται· ἄνωθεν δὲ τοῦ ἐνηρμοσμένου ἡ μύλη ἐπίκειται, ἣ ἀποκωλύει ἐς τὸ ἄρθρον ἀναπεπταμένον ἐσβῆναι τὴν ὑγρότητα τὴν ἀπὸ τῆς σαρκός. Παρὰ δὲ τὴν κνήμην περόναι δύο παρήκουσι, αἳ κάτωθεν μὲν πρὸς τοῦ ποδὸς ἐς τὰ σφυρὰ τελευτῶσι, ἄνωθεν δὲ πρὸς τοῦ γόνατος οὐκ ἐξήκουσι πρὸς τὸ ἄρθρον. Πρὸς δὲ τὸν πόδα ἡ κνήμη κατὰ τὰ σφυρὰ ἄρθρον ἔχει καὶ ἄλλο κατώτερον τῶν σφυρῶν· καὶ ἐν τοῖσι ποσὶ ἄρθρα πολλὰ, ὥσπερ καὶ ἐν τῇσι χερσί· ὅσα γὰρ ὀστέα, τοσαῦτα καὶ ἄρθρα, καὶ ἐν τοῖσι δακτύλοισι τῶν ποδῶν τὸν ἀριθμὸν ἴσα κατὰ τὰ αὐτά. Ἄρθρα δὲ πολλὰ ἐν τῷ σώματι σμικρὰ, οὐχ ὁμοίως πᾶσι, ἀλλὰ ἄλλα ἄλλοις· ταῦτα δὲ τὰ γεγραμμένα πᾶσι ὁμοίως εἰσὶ, καὶ φλέβες αἱ γεγραμμέναι πᾶσι ὁμοίως εἰσὶ, ἄλλα τε φλέβιά εἰσι ἄλλοις, ἀλλ' οὐκ ἄξια λόγου.

ζ'. Μύξα πᾶσι ἔνεστι φύσι καὶ ὅταν αὕτη καθαρὴ ᾖ, ὑγιαίνουσι τὰ ἄρθρα καὶ διὰ τοῦτο καὶ εὐκίνητά ἐστι, ὥστε ὀλισθάνοντα πρὸς ἑωυτά. Πόνος δὲ καὶ ὀδύνη γίγνεται, ὅταν ἀπὸ τῆς σαρκὸς ὑγρασίη ἐπιρρυῇ πονήσασί

7. Mucus omnibus a natura inest et cum purus fuerit, bene valent articuli, ideoque facile etiam moventur, cum sint inter se lubrici. Oboritur autem labor et dolor, ubi malum aliquod passis affluit humor a carne. Ac pri-

intelligitur; sed mira ratio est, qua alteram partem τοῦ δικραίου caput femoris, alteram τὸ ἰσχίον facit. Primo intuitu dixeris eum trochanterem velle, at quum dicat φαίνεται ἐν τῷ πυγαίῳ κάτω, re vera os ischii partem femoris facit.

καὶ πρὸς δὲ τὸ γόνυ — σαρκός.] Edi solet πρὸς δὲ τὸ γόνυ τὸ ὀστέον τοῦ μηροῦ τοιόνδ' ἐστι δίκραιον· τῷ δὲ κ. τ. λ. Sed τοιόνδε ἐστί cod. C. Quodsi haec legas exspectas descriptionem in sequentibus illius τοιόνδε, quae tamen non habetur. Itaque primum putavi lacunam hic esse: postea perspexi τοιόνδε referri ad superioris periodi initium ὁ δὲ μηρὸς ἄνωθεν μὲν — δίκραιός ἐστι: ita ut δίκραιον loco nostro expletum sit ab annotatore aliquo; sed tum haec iungi debent cum antecedentibus, ita ut καί de meo initio posuerim, post postremam syllabam verbi καλέεται copulam periisse existimans. In seqq. dein edi solet τῷ δὲ δικραίῳ τούτῳ τὸ ὀστέον, ἡ κνήμη καλεομένη οἷον ἐν γιγγλύμῳ ἐνήρμοσται, in quibus cod. A. τοῦτο, ita ut iungat τοῦτο το ὀστέον; pessime sane, nam τὸ ὀστέον emblema alienum est ad ἡ κνήμη adscriptum, quod repudiandum est. Dein ἀναπεπταμένων vulgo, ἀναπεπταμένον Ald. C., Zuing., Lind., Mack. ἀναπεπτάμενον A., quem Littréus sequi non debuerat.

παρὰ δὲ τὴν κνήμην — ἄρθρον.] πρὸς τοὺς πόδας ἐς τὰ σφυρά A., unde ἐς in vulgatam introduxit Littr.; — γούνατος A.; — οὐδ' (οὐδέ Mack) ἐξήκουσι Lind., Mack.

πρὸς δὲ — τὰ αὐτά.] ἐν ταῖς χερσί C.; — ὅσα γὰρ τὰ ὀστέα vulgo, Littr. τό delevit, contra cod. C. etiam καὶ τὰ ἄρθρα; — optio lectori tuto permittitur; — τὰ αὐτά A. Littr., ταῦτα vulg.

ἄρθρα δὲ — λόγου.] καὶ φλέβες — ὁμοίως εἰσί e cod. A. hausit Littr., in vulg. haec absunt.

7. μύξα — πρὸς ἑωυτά.] περὶ πόνων τῶν ἐν τοῖς ἄρθροισιν A. pro inscriptione; — ἔνεστι A., ἐστι vulg.; — μύξαι πᾶσί εἰσι φυσικαὶ, ὅταν C.; — καθαρθῇ A. pro καθαρὴ ᾖ; — καὶ διὰ τοῦτο καί A. C., cett. alterum καί omm.; — ὀλισθαίνοντα vulgo, sed alii libri recte ὀλισθάνοντα.

πόνος δὲ — ἧσσον.] ῥυῇ πονησάσης τι· πρῶτον A., quod recepit Littr., ῥυῇ πονησάσῃ· τὸ πρῶτον vulg. Utrumque sensu cassum est, sed in πονησάσῃ τό vulgatae latet πονήσασί τι, i. e. πονήσασι τοῖσι ἄρθροισι; tum vero pro simplice ῥυῇ repono ἐπιρρυῇ, unde dativus pendeat; id enim scriptum fuisse docet sequens ἐπιρρυηκυῖα. — Ante πρῶτον μέν de meo copulam adposui. Dein μὲν γάρ H.', sed si quid hic mutatum cupiam, malim καὶ πρῶτον μέν, praestat

τι· καὶ πρῶτον μὲν πήγνυται τὸ ἄρθρον, οὐ γὰρ ὀλισθηρὴ ἡ ὑγρότης ἡ ἐπερρυηκυῖα ἀπὸ τῆς σαρκός· ἔπειτα, ὥστε πολλὴ λίην γενομένη καὶ οὐκ ἀρδομένη ἐκ τῆς σαρκὸς αἰεὶ, ξηραίνεται καὶ ὥστε πολλὴ ἐοῦσα καὶ οὐ χωρεῦντος τοῦ ἄρθρου ἐκρεῖ, κακῶς τε πεπηγυῖα μετεωρίζει τὰ νεῦρα, οἷσι τὸ ἄρθρον ξυνδέδεται καὶ ἄδετα ποιέει καὶ διαλελυμένα καὶ διὰ τοῦτο χωλοὶ γίγνονται, καὶ ὅταν μὲν τοῦτο μᾶλλον γένηται, μᾶλλον, ὅταν δὲ ἧσσον, ἧσσον.

η′. Ἐς δὲ τὴν κοιλίην καὶ τὰ ἐσθιόμενα καὶ τὰ πινόμενα χωρέουσι, ἐκ δὲ τῆς κοιλίης ἶνες ἐς τὴν κύστιν, ᾗ διηθεῖ τὸ ὑγρὸν, τεταμέναι εἰσί.

θ′. Ῥόοι δὲ γίγνονται καὶ διαψυχομένης τῆς σαρκὸς λίην καὶ διαθερμαινομένης καὶ ὑπερφλεγμαινούσης. Ῥόοι δὲ διὰ μὲν τὸ ψῦχος γίγνονται· ὅταν ἡ σὰρξ ἡ ἐν τῇ κεφαλῇ καὶ αἱ φλέβες τεταμέναι ἔωσι, αὗται, φριξάσης τῆς σαρκὸς καὶ ἐς σμικρὸν ἀφικνουμένης καὶ ἐκφλιψάσης, ἐκθλίβουσι τὴν ὑγρότητα καὶ αἱ σάρκες ἅμα ἀντεκθλίβουσι ἐς σμικρὸν ἀφικνεύμεναι καὶ αἱ τρίχες ἄνω ὀρθαὶ γίγνονται, ὥστε παντόθεν ἰσχυρῶς πιεζόμεναι· ἐντεῦθεν ὅ τι ἂν ἐκφλιβῇ, ῥεῖ ᾗ ἂν τύχῃ. Ῥεῖ δὲ καὶ διὰ τὴν θερμότητα, ὅταν αἱ σάρκες ἀραιαὶ γενόμεναι διόδους ποιήσωσι καὶ τὸ ὑγρὸν θερμανθὲν λεπτότερον γένηται· πᾶν γὰρ τὸ ὑγρὸν θερμαινόμενον λεπτότερον γίγνεται καὶ ἐς πᾶν τὸ ὑπεῖκον ῥεῖ· μάλιστα

mum quidem rigidus fit articulus; neque enim lubricus est qui ex carne affluxit humor. Dein, quum copia admodum creverit neque assiduo irrigetur a carne, siccatur et quia multus sit, neque articulus eum capiat, effunditur maleque concrescens nervos, quibus articulus connectitur, attollit, elaxat et dissolvit. Quapropter claudi fiunt, idque magis cum id magis accidit, cum vero minus, minus.

8. At vero quae eduntur et bibuntur in ventrem feruntur, et ex ventre ad vesicam, quae urinam percolat, fibrae tendunt.

9. Fluxiones autem fiunt et perfrigerata valde carne et valde calefacta et supra modum inflammata. Propter frigus quidem fluxiones fiunt; cum capitis caro et venae distentae fuerint, hae, carne propter horrorem in angustum coacta et eas premente, exprimunt humorem et carnes simul sua vice exprimunt in angustum redactae et capilli velut undique vehementer compressi eriguntur. Hinc quodcumque expressum fuerit quocumque sors tulerit, fluit. Quin et ob calorem fluit, cum carnes rarefactae transitus praebuerint humorque calefactus tenuior evaserit. Quidquid enim humidum calfactum fuerit, tenuius evadit et in quamcumque partem cedentem influit. Maxime vero, cum ea supra modum inflammata fuerit, hac de causa

tamen, opinor, nihil movere. Lind. *πρῶτον μὲν* [*ὅτι*], quod prorsus displicet. Porro *ἡ ἐπιρρυήκοι* A.; — *ὅτι* dein pro *ὥστε* Lind., de suo uti videtur, sed sine dubio nostri usum negligens. Tum *πολλὴ λίην γενομένη* A., Littr., *τενομένη* C., *νεμομένη* vulg.; mihi uti Littréo A. veram lect. referre videtur, neque enim perspicio quid *νεμομένη* huc faciat, licet de pure effuso *νέμεσθαι* usurpari videre me meminerim. In seqq. *ἐκρεῖ* Ald. A. C. Littr., *ἐκχεῖ* vulgo, pro quo Corn. in K.′ non male *ἐκχεῖται*, quem sequitur Lindanus; — *μετεωρίζοι* C.; — *καὶ ἄδετα δὲ ποιέει* C.; — *λελυμένα* A.; — *ὅταν δ᾽ ἧσσον* Ald. A. C. Zuing.

8. *ἐς δὲ τὴν — εἰσίν.*] *τά* ante *πινόμενα* om. C.; — *ἣ διηθεῖ* A., quem cum Littréo sequor, *ᾗ διηθεῖ* vulg., *δέδιηθει* cod. C. Plane firmatur codicis A. lectio verbis ex § 2. libri I. de mm. mull.: *οὔτε ἡ κύστις διηθήσει τὸ οὖρον.* Si *ᾗ* scribatur, necessario *διηθεῖται* legendum est, sed cod. A. sequi oportet.

9. *ῥόοι — ὑπερφλεγμαινούσης.*] Littréus *ὑποφλεγμαινούσης* dedit ex A., sed vulgata non est tentanda, idem *ὑπερφλεγμαίνειν* brevi post recurrit.

ῥόοι — ᾗ ἂν τύχῃ.] Post *γίγνονται* A. et codd. nonnulli Foësii ferunt *ὁπόταν τόδε γένηται*, quod recepit Littréus; me iudice otiosum additamentum tuto sibi relinques. Dein *αὗται γάρ* K.′ Lind., Mack., qui Cornarium sequi non debuerant. Vulgo *ἐκφλιψάσης*, sed per θ A. Zuing., Lind., Mack., — ceteri *αἱ σάρκες ἅμα αὗται*, reieci otiosum pronomen. Tum *ἅμα ἰσχυρῶς* ceteri, ubi etiam *ἅμα* e superioribus, ut opinor, perperam invectum reiicio. Tandem *ἐκφλιβῇ* vulgo, *ἐκθλίβῃ* C. Lind., Mack.

ῥεῖ δὲ καὶ — ὑπὸ ἰσχνότητος.] *γινόμεναι* vulg., de meo aor. dedi; — *διόδους ποιῶσι* A., quod cum vulgato *γινόμεναι* quidem congruit, sed non cum re descripta; — *πᾶν ἐς τὸ ὑπεῖκον* A. Littr., *ἐς* om. vulg.; equidem *ἐς πᾶν* de meo scripsi; — *λίην μέν* e C. scripsi, qui *αἳ ἦν μέν*; vulgata *μέν* om.; — aoristum *γενόμεναι* ex A. dedi, *γινομ.* vulg. — Post *χωρέειν*, *ῥεῖ* ceteri ferunt *τὸ ὑγρὸν τὸ μὴ δυνάμενον*

δ' ὅταν λίην ὑπερφλεγμήνῃ, διὰ τόδε ῥεῖ· αἱ σάρκες λίην μὲν ἔμπλεαι γενόμεναι ὅ τι ἂν μὴ δύνωνται χωρέειν, ῥεῖ· ῥεῖ δὲ ᾗ ἂν τύχῃ· ἐπὴν δὲ ἅπαξ εὔροοι αἱ ῥοαὶ γένωνται, ῥεῖ ἐς τὸ χωρίον ᾗ ἂν τύχῃ, ἔστ' ἂν ξυμπιεχθῶσι αἱ δίοδοι τοῦ ῥόου δι' ἰσχνότητα, ὅταν τὸ σῶμα ξηρανθῇ· ὥστε γὰρ τὸ σῶμα κοινωνέον αὐτὸ ἑωυτῷ διαλαμβάνει, καὶ ἄγει καθ' ὅ τι ἂν ὑγρὸν ἐπιτύχῃ ἐς ἑωυτὸ τὸ ξηρόν· ἄγειν δὲ οὐ χαλεπὸν αὐτό ἐστι, ὥστε τοῦ σώματος κενοῦ τε ἐόντος καὶ οὐ ξυνοιδέοντος ὑπὸ ἰσχνότητος. Ὅταν δὲ τὰ κάτω ξηρὰ γένωνται, τὰ δ' ἄνω ὑγρὰ, — μᾶλλον δὲ τὰ ἄνω ὑγρά ἐστι τεύχεα, αἱ γὰρ φλέβες ἄνω πλέονές εἰσι ἢ κάτω καὶ αἱ σάρκες ἐλάσσονος ὑγρότητος δεόμεναι αἱ ἐν τῇ κεφαλῇ, — ἄγει δὴ τὸ ξηρὸν τοῦ σώματος τὸ ἐκ τῆς κεφαλῆς ὑγρόν· καὶ ἅμα καὶ δίοδοί εἰσι τῷ ἄγοντι μᾶλλον ἢ τῷ ἀγομένῳ· καὶ γὰρ αὗται κερδαίνουσι ὥστε ξηραὶ ἐοῦσαι καὶ ἅμα καὶ τὰ ὑγρὰ πέφυκε κάτω χωρέειν, καὶ ἢν βραχέα τις ἀνάγκη γένηται.

ι'. Ῥόοι δὲ ἀπὸ τῆς κεφαλῆς ἑπτά· ὁ μὲν κατὰ τὰς ῥῖνας, ὁ δὲ κατὰ τὰ ὦτα, ὁ δὲ κατὰ τοὺς ὀφθαλμούς· οὗτοι οἱ ῥόοι καταφανέες ἐκ τῆς κεφαλῆς τοῖσι ὀφθαλμοῖσι. Ἐπὴν δ' ἐς τὸν κίθαρον ῥυῇ ὑπὸ ψύχους, χολὴ γίγνεται, μᾶλλον δὲ ῥεῖ ἐς τὸν κίθαρον ὑπὸ ψύχους διὰ τόδε, ὅτι εὔροον γίγνεται ἐς τὸν βρόγχον, ὥστε οὐ ξυγκεκαλυμμένον· ὑπὸ δὲ τοῦ ψύχους καὶ κόπος ἔχει διὰ τοῦτο τοὺς ὑπὸ τῆς χολῆς ἐχομένους, ὅτι αἱ σάρκες, ὅταν χειμίη ᾖ, οὐκ ἀτρεμίζουσι, ἀλλὰ σείονται, καὶ σειόμεναι μοχθέουσι καὶ κοπιῶσι, ὥστε σειόμεναι, ὥσπερ ἐν τῇσι ὁδοιπορίῃσι· καὶ ἔμπυοι γίγνονται, ὅταν

fluit: carnibus quidem valde repletis, quodcumque capere non possunt, fluit. Fluit autem, quocumque datum fuerit. Cum vero semel fluxiones facilem fluxum obtinuerint, fluit in locum quemlibet, donec pertransitus fluxionis compressi fuerint propter angustiam, cum corpus resiccatum fuerit. Quippe corpus sibi ipsi communicans accipit et ubicumque humor se obtulerit id quod siccum est eum ad se adducit. Neque eum adducere difficile est, quum corpus sit vacuum, neque tumeat, propter gracilitatem. Cum autem inferiores partes siccae evaserint, superiores vero humidae, — superiora enim vasa magis humida sunt, cum plures venae sint parte superiore quam inferiore et capitis carnes minore indigeant humore, — tum sane sicca corporis pars humorem ex capite ducit, simulque meatus ei quae ducit magis patent quam ei a qua ducitur. Cum enim ipsae siccae exsistant, ex eo sibi quaestum parant, simulque humores natura deorsum ferri solent, vel si vis modica in eos agat.

10. At vero fluxiones ex capite septem sunt: alia in nares, alia in aures, alia in oculos; quae ex capite fluxiones oculis sunt conspicuae. Ubi vero in thoracem ob frigus defluxerit, bilis fit. Potius vero ad thoracem fluxio fit hac de causa, quod facilis defluxus sit ad asperam arteriam, cum non sit contecta. Eos vero, qui a frigore bile vexantur, lassitudo eam ob causam detinet, quod carnes, cum frigus sit, minime quiescunt, sed concutiuntur, concussaeque molestia et lassitudine tentantur, non secus atque ex itinere concussae. Quin etiam cum in thoracem fluxio decubuerit, suppurati et tabidi fiunt. Cum vero in medullam fluxio

χωρέεσθαι, quod non est nisi putida scioli adnotatio, nam ea, quae antecedunt, id ipsum abunde significant. Dein ἐπὴν — τύχῃ om. C. Libri scripti ῥοῖαι et ῥοιαί, de meo ῥοαί repono; — ἐς τὸ χωρίον E., Zuing. in m., καὶ τὸ χ. vulg., καὶ ἐς τὸ χ. K., Lind., Mack.; — αἱ ὁδοί A., sed vulgata praestat; — ἰσχνότητα [τὴν γενομένην] Lind., qui locum recte quidem cepit, nec tamen eum explere de suo debuerat; ὅταν δὲ τό K.' minus recte; — καὶ ἀλγεῖ A., male; — articulus ante ξηρόν vulgo abest, addunt Ald. A. C. E. Zuing., Littr. Pro ὥστε dein libros aliquot ὥς γε habere monet Foës.

ὅταν δὲ τὰ κάτω — γένηται.] δ' om. C.; — ἐλάσσονος cum Mack. scripsi. ἐλάττονες vulg., ἐλάττονος A. C. Lind., Littr.; — διόδοισι pro δίοδοί εἰσι A.; — ἢ τῷ ἀγομένῳ rectissime intellexit Foësius, sed vide quam ineptus scriptor sit, qui id ponit pro ἢ τούτῳ, ὅθεν ἄγεται! — βραχείη vulg., βραχέη C.

10. ῥόοι — ὀφθαλμοῖσι.] οὗτοι οἱ ῥόοι καταφρενέες A.; Lind. [δέ] inserit post οὗτοι.

ἐπὴν δ' — φθισιῶντες.] δὲ ἐς C.; — μάλιστα pro μᾶλλον A.; — γίγνεται C., γίν. vulg.; — ὡς δή pro ὥστε Lind. de suo, uti videtur; — οὐδέ vulgo, sed οὐ prima m.

ἐς τὸν κίθαρον ῥέῃ καὶ φθισιῶντες. Ὅταν δ' ἐς τὸν μύελον ῥόος γένηται, φθίσις ἀλλοία γίγνεται. Ὅταν δ' ὄπισθεν ἐς τοὺς σπονδύλους καὶ ἐς τὰς σάρκας ῥυῇ, ὕδρωψ γίγνεται καὶ τῷδ' ἔστι γιγνώσκειν, ξηρὰ τὰ ἔμπροσθεν, ἡ κεφαλὴ καὶ αἱ ῥῖνες καὶ οἱ ὀφθαλμοί· καὶ τοῖσι ὀφθαλμοῖσι ἀμβλυώσσει καὶ χλωροὶ γίγνονται καὶ τὸ ἄλλο σῶμα καὶ οὐκ ἀποπτύει οὐδὲν, οὐδ' ἢν πουλὺ ῥέῃ· ὅδε γὰρ ὁ ῥόος διὰ τῆς σαρκὸς μέσης ῥέων τῆς ὄπισθεν καὶ τῆς ἔμπροσθεν ἀπεστραμμένος, ξηρὰ τὰ ἔμπροσθεν ποιέει, τὴν δ' ὄπισθεν ἄρδει σάρκα καὶ τὴν ἐντὸς μᾶλλον πρὸς τὴν κοιλίην ἢ τὴν ἐκτὸς πρὸς τὴν ῥινόν· διὰ τοῦτο δὲ ἐκτὸς μᾶλλον ἢ ἐντὸς στερεὸν τὸ σῶμα καὶ στενωτέρας διατρήσιας ἔχει· ὥστε δὲ λεπταὶ ἐοῦσαι ξυμπιλέονται καὶ ἀκέουσι αὐταὶ σφίσι, καὶ ῥόος οὐ δύναται ταύτῃ ἰέναι οὐδείς· αἱ δ' εὐρύτεραί τέ εἰσι αἱ ἐντὸς καὶ λεπτότερα τὰ μεταξὺ ἔχουσαι. Ὁ δὲ ῥόος, ὥστε ἀφ' ὑψηλοτέρων καὶ λεπτὰ τὰ ἀντικωλύοντα ἔχων, ῥεῖ καὶ πίμπλησι ὑγρότητος τὰς σάρκας· καὶ ἀπὸ τῶν σιτίων ἐς τὸ αὐτὸ χωρέουσα ἡ ὑγρότης διέφθαρται· διεφθαρμένη δ' αὐτὴ ὑπὸ τῆς ξυμμίξιος καὶ τὸ ῥέον ξὺν αὐτῇ ἀπὸ τῆς κεφαλῆς, τρέφουσι τὸ σῶμα· λίην δὲ πολλῷ ὑγρῷ αἱ σάρκες τρεφόμεναι καὶ νοσηλῷ θάλλουσί τε λίην καὶ ὕδρωπος ἔμπλεαί εἰσι. Ἢν δ' ὀλί-

facta fuerit, tabes alius generis oritur. Quod si vero in vertebras et carnes defluxerit, aqua inter cutem suboritur. Hoc vero signo dignoscas licet: anteriores partes siccae sunt, caput, nares, oculi; et oculis caligo obversatur et una cum reliquo corpore ex virore pallescunt, neque quidquam aeger exspuit, ne si multum quidem defluat. Fluxio enim per mediam carnem posteriore parte delapsa et ab anteriore aversa, anteriores partes siccas reddit, carnemque in posteriore irrigat, eamque magis, quae ad interiora est ad ventrem, quam quae ad exteriora ad cutem. Fit autem hoc hac de causa, corpus exteriore parte magis quam interiore solidum exsistit et foramina habet angustiora; quae cum tenuiora sint, constipantur, ipsaque sibi medentur, nullaque hac parte fluxio fieri potest; intra autem cum latiora sunt tum intermedia habent tenuiora. Fluxio vero cum ex altioribus delabatur et tenuia contra se obiecta habeat, defluit et carnes humore replet. Quin et humor, qui e cibis eodem defertur, corrumpitur, ipseque ex commixtione corruptus et qui cum eo ex capite defluit, corpus nutriunt. Carnes vero plurimo humore nutritae eoque morboso et turgent et aqua inter cutem replentur. Quodsi parum fluxerit, coxarium morbum et *κέδματα* facit, si fluere cessaverit. Nam cum exiguum sit quod affluit et undiquaque a potentioribus

in A.; — vulgo *εὐχυμίη ᾖ*, sed *χειμίη ᾖ* prima m. in A., Gal. gl., Littr., *χολὴ ᾖ* Mack.; — *ἔχῃ μῆνι* C., — *ἔχει μὴν ᾖ* Vatt. mss. Foësii; — tum *ὥσπερ* om. C.

ὅταν — γίγνεται.] *ὅταν δὲ ἐς* Mack., *δ'* om. C.; — vulgo *φθίσις ἄλλη*, sed Corn., Foës., quem confer in Oecon., Mack., Littr. e Galeni glossis *ἀλαΐα* legunt, quod quin Gal. legerit, nullus dubito. Sed iam primum quaero sitne *ἀλάϊος* idem quod *ἀλαός*, aut pro eo admittendum? Ego saltem e tam corrupto libro eiusmodi *ἅπαξ λεγόμενον* in thesaurum linguae Graecae inferre aleae plenum iudico. — Sed praeterea quid significabit *φθίσις ἀλαΐα*? tabem, quae non appareat? tabem coecam? mirae res, mira nomina! Sed ne nugemur. In libro de victu acutorum libri fluctuant inter *ἑτεροῖος* et *ἕτερος*, hoc vero loco fluctuant inter *ἀλλοῖος* et *ἄλλος*! Nempe *ἀλαΐα* ex *ἀλλοία* natum est, quod confidenter repono. — Si forte quaeras num noster *ἀλλοῖος* usurpaverit cf. § 42. *καὶ ἀλλοίας κακίας*. Si quaeras quomodo *ἀλαΐα* ex *ἀλλοία* natum sit, puto hoc modo ut primum pro ΑΛΛΟΙΑ iotacismo scriptum fuerit ΑΛΛΙΑ et ut ita ΑΛΑΙΑ sit natum.

ὅταν δ' ὄπισθεν — ἔχουσαι.] *ὅταν δὲ ὄπ.* A. C.; — *γιγνώσκειν* vulg., *γινώσκειν* A. C.; — *ἢν ξηρὰ τὸ ἔμπρ. ᾖ, ἡ κεφ.* vulgo, sed *ἤν* omm. Ald. C. E. Zuing., cod. vero A. tum *ἤν*, tum *ᾖ* om., hunc cum Littr. sequor. Ceteri *γίνεται ἀμβλυώσσειν* (*ἀμβλύωσιν*, al. m. *ἀμβλύωσις* A.) prorsus ridicule, nempe *γίνεται* emblema alienum et eiiciendum est, tum *ἀμβλυώσσει* legere oportet, quod abunde docet sequens *ἀποπτύει* ubi A. solus *ἀποπτύειν*. Ad *καὶ τὸ ἄλλο σῶμα* ex antecedentibus subintelligitur *χλωρὸν γίγνεται*, nam superius *χλωροὶ γίγνονται* ad oculos spectat. Porro *ξηρὰ τὰ [μὲν] ἔμπρ. ποιέει* Lind., Mack.; — *ἤ* ante *ἐκτός* om. C.; — equidem de meo ante *ἐκτός* interposui *τήν*. Cod. C. *στενοωτέρας*, in quo fortasse vestigium Ionici *στεινοτέρας*. Sed ex hoc comparativo natum opinor *στερεώτερον*, quod ceteri brevi ante legunt et pro quo de meo *στερεόν* reposui. — Dein *ὥστε δή* K.', quae otiosa correctiuncula Cornarii. Tum *αὗται σφίσι ἑωυταῖς* vulgo, in quo *αὐταὶ σφίσι* latere constat.

ὁ δὲ ῥόος — εἰσίν.] *τῶν σίτων ὡς τὸ αὐτό* prima m. in A.; — *τρέφει* A., Littr., *τρέφουσι* vulgo, mihi codicis A. lectio otiosam correctionem referre videtur; — *τὰ σώματα* alia manu A.; — *τε λίην* e solo A. Littréus, tum vulgo *θάλλουσαι* scribitur, sed alia m. *καί* ante *ὕδρωπος*, itaque emergit antiqua scriptura quam exhibui.

ἢν δ' ὀλίγον — ποιέεται.] *καί* ante *ὑπὸ παντός* A. Littr., ceteri omm.; — *ὑπὸ παντὸς κρέσσονος ἐόντος* om. C.; —

γον ῥεύσῃ, ἰσχιάδα καὶ κέδματα ἐποίησε, ἐπὴν ῥέον παύσηται· ὥστε γὰρ ὀλίγον ἐρρυηκὸς καὶ πάντοθεν ὠθεύμενον καὶ ὑπὸ παντὸς κρέσσονος ἐόντος, ὥστε ὀλίγον ἐὸν καὶ οὐκ ἔχον ἐπιρροὴν ὥστε πάντοθεν ὠθεύμενον, ἐς τὰ ἄρθρα ἀποφυγὴν ποιέεται. Γίγνεται δὲ κέδματα καὶ ἰσχιάδες καὶ ἀπὸ τοιούτων νοσημάτων ὑγιῶν γιγνομένων, ὅταν τὸ μὲν νόσημα ποιέον ὑγιὲς γένηται, καταλειφθῇ δέ τι ἐν τῇ σαρκὶ καὶ μὴ ᾖ αὐτῷ ἔξοδος, μήτ' αὖ ἔσω μήτε ἐς τὸ δέρμα φῦμα ποιήσῃ ἐξιὸν, φεύγει ἐς τὸ ὑπεῖκον, καὶ ἢ κέδματα ἢ ἰσχιάδα ἐποίησε.

ια'. Ἢν δὲ ξυνοιδήσωσι αἱ ῥῖνες καὶ φλέγματος ἔμπλεαι ἔωσι ξυμπεπηγότος, τοῦτο χρὴ τὸ φλέγμα τὸ ξυμπεπηγὸς λεπτύνειν ἢ πυρίῃσι, ἢ φαρμάκῳ, καὶ μὴ ἀποτρέπειν· ἢν γὰρ ἀποτρεφθὲν ἄλλῃ πῃ ῥεύσῃ, πάντῃ τὸ ῥέον μέζονα νόσον ποιέει.

ιβ'. Ὁκόταν δ' ἐς τὰ ὦτα ῥέῃ, τὸ πρῶτον ὀδύνην παρέχει, βίῃ γὰρ χωρέει· πόνον δὲ παρέχει, ἔστ' ἂν ἀποσυριγγωθῇ· ἐπὴν δὲ μάθῃ ῥεῖν, οὐκέτι πόνον ποιέει. Τῷ δ' ὑπὸ τῆς ὀδύνης ἐχομένῳ φάρμακον θερμὸν φύσι χλιαρὸν ποιήσαντα, διέντα νετώπῳ, ἐγχεῖν καὶ ὄπισθεν σικύην προσβάλλειν, ἢν τὸ ἀριστερὸν ἀλγέῃ, ἐς τὸ δεξιὸν, καὶ ἢν τὸ δεξιὸν, ἐς τὸ σκαιόν· μὴ κατακρούειν δὲ, ἀλλ' ὡς ἂν ἕλκῃ μοῦνον· ἢν δὲ μὴ πρὸς ταῦτα παύηται, ψύχοντα ἐγχεῖν φύσι ψυχρὰ καὶ φάρμακον πῖσαι ὅ τι ἂν κάτω ὑποχώρησιν ποιέῃ, ἄνω δὲ μὴ, ὥστε οὐδὲν ἀρήγει ἐμέειν, καὶ τἄλλα ψύχειν. Καὶ αἰεὶ δὲ ἐκ τοῦ

partibus depulsum, quum undique propellatur, ad articulos confugit. Κέδματα autem et coxendicum morbi, iis, qui ab eiusmodi morbis convaluerunt, accidunt, quando quod morbum facit, sanum evaserit, in carne vero quid remanserit, cui cum neque intro denuo exitus detur, neque id in cute tuberculum faciat egressum, se recipit ad id, quod cedere potest, et aut κέδματα, aut coxendicum morbum parit.

11. Quodsi nares intumuerint et pituita eaque concreta repleantur, ea ubi concreverit, aut fomentis, aut medicamentis extenuanda, minimeque avertenda est. Etenim si aversa alio feratur, omnino fluxio maiorem morbum facit.

12. Cum vero ad aures fluxerit, primum dolorem exhibet, vi enim fertur. Dolorem autem exhibet, quoad fistula contracta fuerit; ubi vero fluere consueverit, non amplius infestat. At vero ei, quem dolor detinet, medicamentum natura calidum tepefactum et netopo subactum infundendum et retro cucurbitula admovenda, ad dextram, si sinistra auris doluerit, ad sinistram vero, si dextra. Nec vero scalpello cutis pertundenda, sed ut trahat tantum. Quodsi per haec dolor minime sedetur, ea, quae natura frigerant, frigida infundito et medicamentum quod infra deiectionem moveat propinato, supra autem minime, quippe vomitio nihil

ὥστε ὀλίγον — ὠθεύμενον ex A. supplevit Littr., legitur tamen in cod. illo καὶ ὥστε πάντοθεν, ubi praeeunte Littréo καί reiicio.

γίγνεται — ἐποίησε.] γιγνομένων cett., γινομ. A.; — τὸ ποιέον vulg., sed pr. m. in A. et Littr. τό omm.; — καταληφθῇ vulg., cum Littréo dedi lectionem codicis C.; — ἡ ἔξοδος ceteri, cum C. articulum omitto; — μήτ' αὖ ἔσω, μητ' ἔξω, ἀλλ' ἐς vulgo, sed ἔξω ἀλλ' om. pr. m. in A., Littr. Cum Littréo hanc lectionem praestare opinor. Post τὸ ὑπεῖκον, ceteri ἐς τὰ ἄρθρα, quod scholion est e superioribus deductum; itaque eieci. Cod. C. ποιήσει.

11. ἢν δὲ — ποιέοι.] συμπεπηγότος τούτου, χρή κ. τ. λ. vulgo, sed cum Littréo meliorem lectionem codicis A. sequor; — ἄλλη πορεύσει vulg. (πορεύσηται Mack.), λάβῃ πηρεύσει C., ἄλλῃ πῃ ῥεύσῃ A., quod cum Littréo amplector; — πάντῃ Ald. C. E. Mack., Littr., παντί vulg.; — ῥέον A. Littr., ῥέεθρον vulg. — ποιέει E., ποιέῃ C.

12. ὁπόταν — ποιέει.] τὸ πρῶτον γὰρ βίῃ χωρέει pro τὸ — χωρέει prima m. in A., C., quae lectio optime constabit, si δέ post πόνον deleas et post χωρέει commate distinguas; — ἀποπαρρητωθῇ C. pro ἀποσυριγγωθῇ; — μάθοι A.

τῷ — ψύχειν.] τῷ [δ'] Lind., Mack., ceteri δ' omm.; — θερμαῖνον A.; — νετώπῳ C. Littr., μετώπῳ vulg.; — προσβάλλειν A. Littr., ἐμβ. vulg.; — καὶ ἢν τὸ δεξιόν om. A. Quod ad σκαιόν attinet, noto hunc primum adhuc esse locum, ubi σκαιός, non ἀριστερός in his libris medicis legatur. Vulgo ὥσπερ (ἐπείπερ K.') οὐδ' ἀρήγει ἐμέειν, sed neque quid ὥσπερ, quod Corn. tentavit, neque quid οὐδέ hic sibi velint, intelligo, itaque ex nostri usu ὥστε dedi et οὐδέν scripsi de meo.

καὶ αἰεὶ — ἄλλο τι.] ἔχον ἐς τὸ ὑπεναντίον vulg. absurde, ἔρχον K.', ἐλθεῖν vel ἔχειν cod. Serv. apud Foës.,

ὑγιὲς μὴ ποιέοντος τρόπου μεταλλάσσειν· καὶ ἢν μὲν κάκιον ποιέῃ, ἐλθεῖν ἐς τὸ ὑπεναντίον· ἢν δὲ ῥέπῃ ἐς τὸ ὑγιὲς, τὸ πάμπαν μὴ ἀφελεῖν τι τῶν προσφερομένων, μηδ' ἀποζυγῆσαι, μηδὲ προσθεῖναι ἄλλο τι. Ἢν δὲ σεσυριγγωμένον ἤδη ᾖ καὶ πεπυωμένος ῥέῃ ἰχὼρ πουλὺς καὶ κακὸν ὄζων, ὧδε ποιέειν· σπογγιὰν δεύων ξηραίνοντί τινι φαρμάκῳ πρὸς τὴν ἀκοὴν ὡς πελαστάτω προσθεῖναι, καὶ πρὸς τὰς ῥῖνας καθαρτήριον, ὅπως τὸ ἐς τὰ ὦτα ῥέον πρόσθεν ἐς τὰς ῥῖνας ἀποτρέπηται καὶ μὴ ἐς τὴν κεφαλὴν πάλιν ἀποχωρέῃ, νοσηλὸν ἐόν.

ιγ'. Ὅταν δ' ἐς ὀφθαλμοὺς ῥεῦμα ἴῃ, φλεγμαίνουσι οἱ ὀφθαλμοὶ καὶ οἰδέουσι· τοῦτον χρὴ τῷ φαρμάκῳ ἢ τῷ ὑγρῷ ἢ τῷ ξηρῷ ἐμπάστῳ ἰᾶσθαι· ἢν δ' εὐθέως φλεγμήνωσι, μὴ ἔγχριε μηδὲν, ἀλλ' ἢ κλύσαι κάτω τῷ ἰσχυροτάτῳ, ἢ ἄλλῳ τινὶ ἀπισχνῆναι ὑποχωρητικῷ φαρμάκῳ, φυλασσόμενος μὴ ἔμετον ποιήσῃς· ἢν δὲ οἷον λίθοι ὑποτρέχωσι, φάρμακον ἐγχρίειν ὅ τι πλεῖστον ἄγειν δάκρυον μέλλει καὶ τὸ ἄλλο σῶμα ὑγραίνοντα καὶ φλεγμαίνειν ποιέοντα, ὡς ὑγρότεροι οἱ ὀφθαλμοὶ γένωνται καὶ ἐκκεκλυσμένοι, ὡς τὸ δάκρυον ξυμπεπηγὸς ὑποτρέχειν ποιέῃς. Ὅταν δ' ἐς τοὺς ὀφθαλμοὺς κατὰ σμικρὸν ῥέῃ, καὶ κνιπότητα παρέχῃ, τοῦτον ἐγχρίειν μαλθακῷ δεῖ, ὅ τι μέλλει ξηραίνειν ἅμα καὶ δάκρυον ὀλίγον ἄγειν καὶ πρὸς τὰς ῥῖνας

confert, et in reliquis refrigerantibus utendum. Semperque modus, qui sanitatem non inducit permutandus est. Quod si gravius quidem malum reddiderit, contrariam viam inibis. Sin vero ad sanitatem vergat, nihil omnino ex his, quae adhibentur, auferendum, neque aliud quidquam seiungendum, aut apponendum. At ubi iam contracta fistula fuerit, multaque sanies purulenta et graveolens effluxerit, ita faciendum; spongiam siccante aliquo medicamento imbutam, quam proxime ad meatum auditorium adhibeto et medicamentum purgans ad nares admoveto, ut quod prius ad aures defluebat, ad nares devertatur, neque id cum morbosum sit ad caput redeat.

13. At vero cum ad oculos fluxio decubuerit, oculi inflammatione et tumore vexantur. Sic affectus medicamento aut liquido, aut sicco asperso curandus est. Quod si subito inflammationem concipiant, nihil omnino illinito, sed vel fortissimo aliquo medicamento infra sublue, vel alio quopiam alvum subducito et attenuato cautione adhibita ne vomitum provoces. Quodsi velut lapilli decurrant, medicamentum quod plurimam lacrimam cieat illinito et reliquum corpus humectum et tumidum reddito, quo oculi humidiores evadant et colluantur, ut concretam lacrimam decurrere facias. Cum autem paulatim in oculos fluxerit pruritumque exhibuerit, sic affectum molli medicamento, quod siccare simulque modicam lacrimam ciere possit, illinito, naribusque medicamentum admo-

unde ἔχειν Lind., sed ἐλθεῖν praestat, nisi ἔρχεσθαι noster fortasse dederit. Vulgo ἀποζευγῆσαι, sed malui ἀποζυγῆσαι scribere, simplex ζυγέω saltem notum est; — τι om. A.

ἢν δὲ — νοσηλὸν ἐόν.] σεσυριγγ. A., cod. Serv., Lind., Mack., Littr., ἐσυριγγ. vulg.; — πεπυωμένον Lind., Mack., — ὀζόμενος, τοῦτο ὧδε ποιέειν vulg., ὀζόμενος, τοῦτο [δὲ] ὧδε ποιέειν Lind.; τούτω C.; sed ὄζω non ὄζομαι Graecum est, nec satis apud me valet auctoritas textus huius libelli, ut ea fretus ὄζομαι admittendum censeam; tum vero τοῦτο emblema est alienum, quod reiicio. Dein σπόγγια Ald. A. C.; — τινι om. C. Post φαρμάκῳ vulg., ξηρῷ, quod uncis intersepsit Littr., ego abegi. Tum ὥστε πελαστ. A. — Porro τοῦ ἐς (πρός A.) τὰ ὦτα ῥέοντος πρόσθεν ceteri, sed genitivo hîc locus non est, ta ut emendaverim. A. ἀποτρέπηται, ceteri φέρηται.

13. ὅταν δ' ἐς ὀφθ. — ποιέῃς.] τῷ φαρμ. A.; ceteri τῷ h. l. omm., recipio vero, quia sequentes articuli indicant eum de certo medicamento e formulario quodam loqui; nisi id sumas, omnes articuli delendi sunt. — Porro τὸ ξηρόν A.; — ἐν παστῷ ceteri, manifesto vitio tamen, quod sustuli; — ἢν δὲ εὐθ. C., nempe εὐθέως A. C. K.', αὐτέως vulg., αὐτίκα L., ἀρτίως Lind.; — ἀλλ' ἢ καῦσαι κατωτάτω ἰσχυροτάτῳ vulg., in quibus κάτω τὸ ἰσχ. pr. m. in A., ἀλλ' ἢ κλύσαι κάτω παστῷ ἰσχυροτάτῳ Mack. ex Askew.; — ego consentienter cum Littréo textum descripsi; — δακρύον ἄγειν A.; — καὶ τὸ σ. τὸ ἄλλο idem; — ἐκκεκλεισμένοι idem; — ποιέει idem.

ὅταν δ' ἐς — ἀποτράπηται.] δὲ ἐς C.; ad κνιπότητα cf. Thes. Stephani in ind., Oecon. Foësii; — μαλθακῷ δεῖ dedi e ceterorum μαλθακώδει, cui omnem fidem denego; — ξηρ. μέλλει A.; — ἅμα om. idem; — προσφέρειν — ἔστω τό om. C.; — γνώμῃ τῇ αὐτῇ A., solum τῷ αὐτῷ vulg.; Littréus codicis A. lect. recepit, mihi et arbitraria et otiosa correctio vulgatae lectionis esse videtur, cf. adnn. ad § 33.; —

φάρμακον προσφέρειν ἢ ἑκάστης ἡμέρης, ἢ διὰ τρίτης, τῷ αὐτῷ χρώμενον· ἔστω δὲ φάρμακον, ὅ τι μὴ πλεῖον ἢ ἐμβάφιον ἀπάγειν μέλλει κατὰ τὰς ῥῖνας, ἀπάγειν δὲ κατὰ σμικρόν· τὸ δὲ κατὰ τοὺς ὀφθαλμοὺς ἀποξηραίνειν, ὡς ὅ τι ἂν τὸ τῶν ὀφθαλμῶν φάρμακον ἀποξηρήνῃ καὶ ἀποφράξῃ, κατὰ τὰς ῥῖνας ἀποτράπηται. Τὰ δὲ φάρμακα τὰ τῆς κεφαλῆς καθαρτήρια, ἃ μὲν ἰσχυρά ἐστι, ἀπὸ τῆς κεφαλῆς ἄγουσι ὅλης· ὅσσα δὲ ἀσθενέα, ἀπὸ τῶν ὀφθαλμῶν καὶ αὐτόθεν ἀπὸ τῶν πέλας τῆς ῥινός. Ἢν δ' ἀπὸ τῆς σαρκὸς καὶ τοῦ ὀστέου, μύξης ὑποστάσης μεταξὺ τοῦ ὀστέου καὶ τῆς σαρκὸς, ῥεῦμα ἐς τοὺς ὀφθαλμοὺς γένηται, τῷδε δῆλόν ἐστι, ὅτι ἐντεῦθεν ῥεῖ· τὸ δέρμα τὸ ἐπὶ τῇ κεφαλῇ φλιβόμενον ὑπείκει καὶ ἕλκεα ἐς τὴν κεφαλὴν ἐκθύουσι καὶ κατὰ τοὺς ὀφθαλμοὺς δακρύουσι καὶ οὐχ ἑλκοῦνται τὰ βλέφαρα, οὐδὲ δάκνει, οὐδ' ἀμβλυώσσειν ποιέει, ἀλλ' ὀξὺ ὁρῶν γίγνεται· τὸ γὰρ ῥεῦμα οὐχ ἅλμυρόν ἐστι, ὡς οὐκ ἀπὸ τοῦ ἐγκεφάλου, ἀλλὰ μυξῶδες μᾶλλον. Τοῦτον ὧδε χρὴ ἰᾶσθαι· φαρμάκῳ καθαίρειν χρὴ τὴν κεφαλὴν μὴ ἰσχυρῷ καὶ τὸ σῶμα ἰσχναίνειν καὶ σιτίοισι καὶ φαρμάκοισι κάτω ὑπάγοντα, ἕως ἂν ἀποξηρανθῇ ἰσχναινομένου τοῦ σώματος, ἢ ἐκτρεφθῇ τῷ κατὰ τὰς ῥῖνας προστιθεμένῳ φαρμάκῳ· πρὸς δὲ τοὺς ὀφθαλμοὺς οὐδὲν δεῖ φάρμακον προσφέρειν. Ἢν δὲ μηδ' οὕτως ὑγιὴς γίγνηται, τὴν κεφαλὴν κατατάμνειν ἔστ' ἂν πρὸς τὸ ὀστέον ἵῃς, μὴ μετεώρους δὲ μηδ' ἐπικαρσίους τὰς τομὰς ποιέειν· τάμνειν δὲ ἄχρις ἂν τοῦ ὀστέου θίγῃς·

veto aut singulis diebus, aut tertio quoque die eodem utens. Sit autem medicamentum, quod non amplius quam acetabulum per nares educat, idque paulatim. Quod ad oculos vero attinet, eos siccare oportet, ut quodcumque medicamentum ad oculos siccaverit et obturarit, per nares deducatur. At medicamenta caput purgantia, quae quidem sunt valentia, a toto capite deducunt, quae vero imbecillia ab oculis et inde a vicinis naso partibus. Quodsi muco inter os et carnem subsistente, ex carne et osse in oculos fluxio decumbat, hinc cognosces, quod his ex locis defluat; quod in capite comprimitur cedit et ulcera in capite erumpunt et materiem suam plorant ita ut ad oculos defluat, palpebrae non exulcerantur, neque mordet fluxio, neque oculorum aciem hebetat, sed acute cernit aeger; si quidem fluxio minime salsa est, cum de cerebro non procedat, verum mucosa magis. Sic affectus hac ratione curandus est: caput medicamento non valenti purgandum et corpus tum cibis tum medicamentis infra subducentibus attenuandum, donec attenuato corpore fluxus resiccetur, aut per medicamentum naribus admotum divertatur; ad ipsos oculos medicamentum nullum admovere oportet. Quodsi ne sic quidem convalescat, caput ad os usque secandum, non sublimibus, neque transversis secturis, sed ad os ipsum pertingentibus et crebris quidem, quo collectus humor citius per ulcera effluat simulque crebrae secturae efficiant, ut caro ad os extendatur. Sic aegrum sanare oportet; verum hic morbi exitus huic

ceteri χρώμενος, dedi accusativum propter δεῖ, quod in μαλθακώδει latebat; — τοῖόν τε vulg., τοιόνδε Ald. A. E., τοιόνδ' Mack. ante ἔστω; equidem τοιόνδε reieci et τό ante φάρμακον in δέ mutavi, sic solitam formulam medicis restituere mihi visus. Dein τό ante τῶν ὀφθ. om. A.; — ἢ καὶ ἀποφρ. idem; — καὶ κατὰ τὰς ῥ. vulg., sed καί om. A.

τὰ δὲ φάρμ. — τῆς ῥινός.] ἃ μὲν αὐτῶν ceteri; de meo otiosum αὐτῶν delevi.

ἢν δ' ἀπὸ — μᾶλλον.] Articulum ante σαρκός om. Lind.; — γένηται A. Littr., ἐγγένηται vulg.; — τόδε δῆλον A.; — τὸ δέρμα A. C. Littr., τὸ ῥεῦμα vulg., καὶ τὸ ῥεῦμα aliquot exempll. Foësii, τὸ [δὲ] ῥεῦμα Lind.; — θλιβόμενον C., φλιβόμενον cett.; — καὶ ὑπείκει vulg., sed A. Littr. omm. καί; — ἕλκεται pro ἕλκεα L.; — ἐκφύουσι idem pessime! — καὶ κατὰ τοὺς ὀφθαλμοὺς δακρύουσι ceteri de lacrimis accipiunt, sed δακρύουσι τὰ ἕλκεα κατὰ τοὺς ὀφθαλμούς i. e. materiem ulcera plorant in oculos defluentem. Tum δάκνει, al. m. δάκνειν A.

τοῦτον — προσφέρειν.] ὡς ἀποξ. vulg.; — ἕως ἀποξ. A. K.', equidem ἕως ἂν ἀποξ. inde dedi; ἄν de meo addens; — ἀποτρεφθῇ Zuing. in m., Lind., Mack.; — τὸ κατὰ τὰς ῥῖνας προστιθέμενον sine φαρμ. A.; — πρὸς τοὺς ὀφθ. δὲ οὐδέν idem.

ἢν δὲ μήδ' — ὀστέον.] ἢν δὲ δή A. Littr., equidem vulgatam sequor; — ὑγιές vulgo, ὑγιής A. Lind., Mack., Littr.; — μὴ μετ. om. C., μὴ [δὲ] μετ. Lind., ego δέ post μετεώρους de meo intuli; — ποιέειν om. A.; — τάμνειν δὲ ἄχρι τούτου, ἄχρις ἂν τοῦ ὀστέου θίγῃς ceteri, ego otiosum ἄχρι τούτου, quod fortasse e dittographia ἄχρι τοῦ ὀστέου ortum est, abegi. Porro ἅμα δ' αἱ τομαί C., αἱ om. A.; — τῇσι σαρξί idem. Pro πρόστασιν Foës. in Oecon. coniecit πρόσθιξιν, unde Mackius suam notulam duxit. Non credo quid-

τάμνειν δὲ πυκνὰ, ὡς ἂν τὸ ξυνεστηκὸς ἐξέλθῃ θᾶσσον διὰ τῶν ἑλκέων ἀπορρέον, ἅμα δὲ αἱ τομαὶ πυκναὶ ἐοῦσαι πρόστασιν ποιέωσι τῇ σαρκὶ πρὸς τὸ ὀστέον. Οὕτως ἰᾶσθαι δεῖ· τούτῳ δὲ τοιάδε ἡ ἀποτελεύτησις γίγνεται, ἢν μή τις εὐτρεπίσῃ· οὐκ ἐκκέκλυσται, ὥστ' ἐκκεκλυσμένον ὀξὺ ὁρᾶν ποιέειν, τῷ δ' αἰεὶ ἐφισταμένῳ μαρμαρυγώδης μᾶλλον γίγνεται καὶ τὸ ὀξὺ ὁρᾶν τοῦ ἀνθρώπου ἀποσβέννυται. Ἢν δ' ἐς τὴν ὄψιν ἐς τὸ ὑγρὸν τὸ καθαρὸν αἱματῶδές τι ἐσέλθῃ, τούτῳ ἡ ὄψις ἔνδον φαίνεται τοῦ ὀφθαλμοῦ οὐ στρογγύλη ἐοῦσα διὰ τόδε· ἐν ᾧ ἂν τὸ αἱματῶδες ἐνῇ, ἐς τοῦτο οὐκ ἐμφαίνεται, καὶ τούτῳ δὴ ἐλλείπει περιφερὴς εἶναι, καὶ προκινέεσθαι αὐτῷ δοκέει πρὸ τῶν ὀφθαλμῶν ...... καὶ οὐδὲν κατ' ἀλήθειαν ὁρᾷ. Τούτου χρὴ τὰς φλέβας ἀποκαίειν τὰς πιεζούσας τὰς ὄψιας, αἳ σφύζουσι αἰεὶ καὶ μεταξὺ τοῦ τε ὠτὸς καὶ τοῦ κροτάφου πεφύκασι· καὶ ἐπειδὰν ταύτας ἀποφράξῃς, πρὸς τοὺς ὀφθαλμοὺς φάρμακα, ὅσα ὑγραίνει, πρόσφερε καὶ δάκρυον ἄπαγε ὡς πλεῖστον, ὅπως τὸ ξυνεστηκὸς ἐν τοῖσι ὀφθαλμοῖσι ἐκκλυσθῇ τὸ τὴν νοῦσον παρέχον. Ἢν δὲ ὁ ὀφθαλμὸς ῥαγῇ, μαλθακοῖσι φαρμάκοισι χρῆσθαι καὶ στρυφνοῖσι, ὡς στυφόμενον τὸ ἕλκος ἐς σμικρὸν ξυνίῃ καὶ ἡ οὐλὴ λεπτὴ ᾖ. Ὅταν δ' ἄργεμον ἐπῇ, δακρύειν τῷ ὀφθαλμῷ ἀρήγει.

accidit, nisi haec commode praeparata fuerint; non est elotus oculus ita ut elotus acute cernere possit, sed propter materiem semper incumbentem splendores potius apparent, hominisque acies exstinguitur. Quodsi vero in aciei oculi humorem purum sanguinolentum quid influat, huic oculi acies intus non orbicularis apparet, hac de causa: ea parte qua sanguinolentum illud inest, rerum species non cernuntur eaque parte deficit aliquid quod impedit quo minus orbem efficiat, et moveri ei videntur ante oculos ..... nec quidquam re vera, ut est, cernit. Huic venas adurito, quae videndi aciem premunt, quaeque semper pulsant et inter aurem et tempora a natura sitae sunt, easque ubi occluseris, medicamenta, quae humectant, oculis adhibeto, lacrimamque quam plurimam educito, uti quod in oculis consistit et morbum facit colluatur. Quodsi rumpatur oculus, mollibus et acerbis medicamentis utendum, ut constrictum ulcus in angustum redigatur cicatrixque tenuis fiat. Cum vero albugo adfuerit, lacrimari prodest oculo.

ιδ'. Ὁπόταν δὲ ἐς τὸν κίθαρον ῥέῃ καὶ

14. At cum in thoracem fluxio decubuerit

quam mutandum esse; sed πρόστασιν a προστείνω duci docet me iudice sequens πρὸς τὸ ὀστέον, itaque πρόσθιξις id non male interpretatur.

οὕτως — ἀποσβέννυται.] δεῖ εἰ vulg., sed εἰ omm. A. Littr.; — δέ post τούτῳ de meo inserui; — ἢν (δέ addit K.') μὴ τοῦτο εὐτρεπῆ εἴη (καί interponit K.') οὐκ vulg.; cum Littréo codicis A. lectionem dedi, nisi quod hic ἢ οὐκ legit; — ὥστ' ἐκκλυσομένην vulg., ὥστε κλυζομένη A., ἐκκλυσόμενον C., unde Littr. ἐκκλυσόμενον, sed K.' Lind., Mack., ἐκκεκλυσμένον. quod amplector; — αἰεὶ τῷ ἐφιστ. vulg., sed ἀλλά pro αἰεί Zuing. in marg., equidem de meo τῷ δ' αἰεὶ ἐφιστ. dare malui; — τὸ ὀξὺ ὁρῶν vulg., sed K.', Mack. ὁρᾶν in his recte.

ἢν δ' ἐς — ὁρᾷ.] ἐς τὸ ὑγρὸν καθαρόν vulg., sed ἐς om. A. et τῷ καθαρῷ legit, unde ego articulum ante καθαρόν addidi, qui requiritur. Post τι ἐσέλθῃ repetitur apud ceteros τὸ ὑγρόν, quod delevi, emblema alienum esse ratus; — ἔνδον ἐμφαίνεται vulgo, de meo φαίνεται repono; librarii e seqq. hic quoque ἐμφαίν. dederunt, ubi simplex requiritur; compositum dein proprium suum sibi habet locum; — οὐ στρογγύλον ἐόν ceteri, de meo vero genus debitum restitui. Tum ἐν — εἶναι om. Lind.; — ceteri τοῦτο οὐκ ἐμφαίνεται pessime, ἐμφαίνεται h. l. idem illud impersonale est, de quo ad § 2. monui, et quod § 3. recurrit; itaque ἐς τοῦτο scriptum fuit. Copulam ante τούτῳ δή de meo inserui, pro τούτῳ C. τούτου sine meo καί; — ἐλλείπει τὸ φαινόμενον περιφερὲς εἶναι ceteri, sed τὸ φαινόμενον est emblema alienum et περιφερής fuit scriptum; nempe ἡ ὄψις. *pupilla* ἐλλείπει περιφερὴς εἶναι; — καὶ προκινέεσθαι δ' αὐτῷ A. Post ὀφθαλμῶν notavi lacunam, neque enim omiserit scriptor significationem eius, quod ante oculos moveri videretur. Ad κατ' ἀλήθειαν cf. ἀτρεκέως § 3. cum adnn.

τούτου — παρέχον.] ὄψιας A. Littr., ὄψεις vulg.

ἢν δὲ ὁ — ᾖ.] δὲ ὁ A. Littr., δ' sine ὁ vulg.

ὅταν — ἀρήγει.] Locum fere consentienter cum Mackio, Littréo, descripsi. Vulgo: ὅταν δ' ἄρ' ἐπήγεμον δακρύειν, A.: ὅταν δ' ἄργεμον ἐπιδακρύειν, E. ὅταν δ' ἄρ' ἐπιγέμων πύου δακρύειν, L. ὅταν δ' ἄρ' ἔτι γέμει δακρύειν, Zuing. ὅταν ἄρ' ἐπιγέμῃ, δακρύειν, Lind.: ὅταν δ' ἐπάργεμος ᾖ, δακρύειν. — Denique αὐτῷ pro τῷ ὀφθ. E.

14. ὁπόταν — ἐνχταίῳ.] δ' εἰς A.; — πρὸς τὴν ἐς τὴν

χολὴ ᾖ, τῷδε δῆλόν ἐστι· ὀδύνη ἔχει ἐς τὴν λαπάρην καὶ ἐς τὴν κληῖδα τὴν πρὸς τὴν λαπάρην καὶ πυρετὸς, καὶ ἡ γλῶσσα τὰ ἄνω χλωρὴ γίγνεται, καὶ ἀποχρέμπτεται ξυμπεπηγότα· ταύτης τῆς νούσου ἑβδομαίῳ ὁ κίνδυνός ἐστι ἢ ἐναταίῳ. Ὁκόταν δ' ἀμφότερα τὰ πλευρὰ ἀλγέῃ, τὰ δ' ἄλλα ὁμοῖα ᾖ τῇ ἑτέρῃ, αὕτη μὲν περιπνευμονίη ἐστι, ἡ δ' ἑτέρη πλευρῖτις. Αὗται δὲ γίγνονται διὰ τόδε· ὅταν ἐς τὸν πνεύμονα ῥεύσῃ ἐκ τῆς κεφαλῆς διὰ τοῦ βρόγχου καὶ τῶν ἀορτέων, ὁ πνεύμων ἅτε ψαφαρὸς ἐὼν καὶ ξηρὸς φύσι, ἕλκει ἐφ' ἑωυτὸν τὸ ὑγρὸν ὅ τι ἂν δύνηται· καὶ ἐπὴν εἰρύσῃ, μέζων γίγνεται, καὶ ὅταν μὲν ἐς ὅλον ῥεύσῃ, μέζων ὁ λοβὸς γενόμενος ἀμφοτέρων ἔψαυσε τῶν πλευρέων καὶ περιπνευμονίην ἐποίησε· ὅταν δὲ τῆς ἑτέρης μοῦνον, πλευρῖτιν. Ἡ δὲ περιπνευμονίη πολὺ ἐπικινδυνοτέρη ἐστὶ καὶ αἱ ὀδύναι πολὺ ἰσχυρότεραί εἰσι αἱ ἐς τὰς λαπάρας καὶ ἐς τὰς κληῖδας καὶ ἡ γλῶσσα πολὺ ὠχροτέρη καὶ τὴν φάρυγγα ἀλγέει ὑπὸ τοῦ ῥεύματος καὶ κόπος ἔχει ἰσχυρὸς καὶ πνεῦμα ἑκταῖον ἢ ἑβδομαῖον λάζεται. Τοῦτον ἢν μὴ ἑβδομαῖον ὁ πυρετὸς ἀφῇ, ἀποθνήσκει ἢ ἐμπυΐσκεται, ἢ ἀμφότερον· ἢν δ' ἐναταῖον δύο ἡμέρας διαλιπὼν λάζηται, ὡς τὰ πολλὰ καὶ οὗτος ἢ ἀποθνήσκει, ἢ ἔμπυος διαφεύγει· ἢν δὲ δωδεκαταῖον, ἔμπυος γίγνεται· ἢν δὲ τεσσαρεσκαιδεκαταῖον, ὑγιὴς γίγνεται. Καὶ ἔμπυοι ὅσοι ὑπὸ περιπνευμονίης ἢ πλευρίτιδος γίγνονται, οὐκ ἀποθνήσκουσι, ἀλλ' ὑγιέες γίγνονται· ὡς τὰ πολλὰ δ' ἔμπυοι γίγνονται, ὅταν ῥεῦμα ἐς τὸ αὐτὸ ὥσπερ ἐπὶ τῇσι χολῇσι γένηται· ἀλλὰ τῇσι μὲν χολῇσι πολὺ ἀπορρεῖ καὶ

bilisque fuerit, hinc manifestum est: dolor lateris mollitudinem prehendit et claviculam, quae ei ex regione respondet, febris adest linguaque superiore parte ex viridi pallescit et concreta exscreantur. In hoc morbo periculum septimo aut nono die instat. Ubi vero utraque latera doluerint, reliquaque similiter ut in priore se habuerint, haec quidem pulmonis inflammatio est, illa vero pleuritis. Hae vero eam ob causam oriuntur: cum de capite per asperam arteriam et aortas in pulmonem fluxio incubuerit, is nimirum cum sua natura rarus et siccus exsistat, quidquid humoris potest in se attrahit, et ubi attraxerit maior redditur et si quidem in totum fluxerit, fibrae maiores redditae utrumque latus attingunt, pulmonisque inflammationem faciunt, cum vero alterum tantum, lateralis fit morbus. Pulmonis autem inflammatio longe periculi plenior est et dolores ad laterum mollitudinem et claviculam multo vehementiores habet, linguaque longe est pallidior, fauces ex fluxione dolor occupat, vehemens lassitudo detinet et spirandi difficultas sexto aut septimo die prehendit. Hunc nisi febris septimo die dimiserit, moritur, aut suppuratus fit, aut utrumque accidit. Quodsi nono die duobus interpositis diebus corripiat, hic etiam ut plurimum aut moritur, aut suppuratus evadit. Si vero duodecimo die, suppuratus fit; sin decimo quarto, convalescit. Et qui ex pulmonis inflammatione aut morbo laterali pus intro colligunt, minime moriuntur, sed convalescunt. Purulenti vero ut plurimum fiunt, cum fluxio ad eundem locum, velut in bilis fluxionibus decubuerit, sed in bilis quidem fluxionibus multum defluit

λαπ. vulgo, in quo πρός omm. A. C. Lind., Mack., Littr., sed sine dubio dittographia est, e qua πρός servandum, et τὴν πρὸς τήν cum Lindano legendum.

ὁκόταν δ' — πλευρῖτις.] δ' de meo dedi; iam Lind. [δέ]; ante A periit Δ; — τὰ δ' ἄλλα ὁμοῖα ᾖ om. C.; — αὕτη ἡ pro αὕτη μέν A.; — πέριπν. C. per λ̄ vulgo.

αὗται — πλευρῖτιν.] Ad vulgatum ἀρτηριῶν Zuing. in marg. ἀορτρῶν, L. item ἀορτάων, vel ἀορτέων, postremum hoc K.' Lind., Mack., Littréus nihil mutat, sed ad Gal. Gl. et ad Erot. provocat; — fieri sane possit, ut glossa pristinam vocem expulerit, quin id eo probabilius existimandum, quia saepius recurrit ἀορτέων in hoc libello; itaque hoc item h. l. dare malui. Porro εἰρύσῃ C. εἰρύσει A., εἰσρύσῃ vulg.; cum Littréo C. sequor; — πλευρῖτις ᾖ, ἡ περιπν. vulg.; πλευρίτην ἢ περιπλευμονίην A.

ἡ δὲ περιπν. — λάζεται.] δέ de meo adscripsi.

τοῦτον — γίγνεται.] ἀποθνήσκει καὶ (ἢ Mack. pro καί) ἀποπνίγεται vulg., Littréus ἢ ἀποπυΐσκεται de coniectura; recte, me iudice, nisi quod ἐμπυΐσκεται praefero; — ἢ ante sequens ἀποθν. om. A.; δωδεκαταῖος idem; — τε δ καὶ ι ταῖος A., cuiusmodi exempla scripturae numerorum in hoc codice plura in Coacis praenn., cf. adn. p. 78. vol. I.

καὶ ἔμπυοι — πνεύμονα.] καὶ οὐκ ἀποθν. C.; — ῥεύσαντα pro ἀπορρεῦσαν A.; — ἐλάσσω ἀποχρέμπτωνται idem.

ἀποῤῥεῦσαν παύεται· τοῖσι δ' ἐμπύοισι ἔλασσόν τε ῥεῖ καὶ οὐ παύεται καὶ ἔμπυοι γίγνονται, ὅταν ἔλασσον ἀποχρέμπτωνται ἢ ἐπιῤῥεῖ ἐς τὸν πνεύμονα. Τοῦτο γὰρ τὸ ἐν τῷ πνεύμονι ξυνιστάμενόν τε καὶ ἐπιῤῥέον, πῦον γίγνεται· τὸ δὲ πῦον ξυνιστάμενον ἐν τῷ πνεύμονι καὶ ἐν τῷ κιθάρῳ ἑλκοῖ καὶ σήπει· καὶ ἐπὴν ἑλκωθῇ, ἀπὸ τοῦ ἡλκωμένου ἐπιῤῥεῖ καὶ ἐπαναχρεμπτομένου ἅμα μὲν ἡ κεφαλὴ μᾶλλον ῥεῖ σειομένη, ἅμα δ' ἐκ τοῦ ἡλκωμένου ἐν τῷ κιθάρῳ καὶ τῷ πνεύμονι μᾶλλον ῥεῖ καὶ τὰ ἕλκεα κινεύμενα ἐπαναῤῥήγνυται, ὥστε καὶ εἰ παύσαιτο τὸ ἀπὸ τῆς κεφαλῆς ῥέον, τὸ ἀπ' αὐτῶν τῶν ἑλκέων ἱκανὸν ἔσται νοῦσον παρασχεῖν. Γίγνεται δὲ καὶ ἀπὸ ἕλκους ἔμπυος καὶ ῥᾴων αὕτη ἡ νοῦσος· γίγνεται δὲ καὶ ἐκτὸς τοῦ πνεύμονος μάλιστα μὲν ἀπὸ ῥήγματος καὶ ὅταν ἡ σὰρξ φλασθῇ· κατὰ τοῦτο γὰρ πῦον ξυνίσταται καὶ ξυνιστάμενον, εἴ τις σείοι τὸ σῶμα, κλυδάζεται καὶ ψόφον παρέχει καὶ καίονται ταύτῃ. Φθίσις δὲ γίγνεται, ὅταν ἐς τὸ αὐτὸ, ὥσπερ τῷ ἐμπύῳ, ὁ ῥόος γένηται διὰ τοῦ βρόγχου καὶ τῶν ἀορτέων, αἳ ξυνέχουσι τὸν πνεύμονα καὶ τὸν βρόγχον, ἐς δὲ τὸν πνεύμονα ῥέῃ θαμινὰ κατ' ὀλίγον καὶ ὑγρότητα ἐν τῷ πνεύμονι μὴ ποιέῃ πολλήν· ξηραινόμενον γὰρ τὸ ἐπιῤῥέον ἐν τῷ βρόγχῳ πεπηγὸς, ὥστε οὐκ ἐκκλυζόμενον, ἀλλὰ κατ' ὀλίγον ἐπιῤῥέον καὶ ἐνεχόμενον, βῆχα ποιέει· ἔν τε τῇσι ἀορτῇσι ἐνεχόμενον τὸ ῥέον, ὥστε στενὰς τὰς διατρήσιας ἐχουσῶν τῶν ἀορτέων, στενοχωρίην τῷ πνεύματι παρέχει καὶ τοῦτο ποιέει πνεῦμα ἔχειν· ὥστε γὰρ αἰεὶ λειπόμενον αἰεὶ ἐπιθυμέει ἀναπνεῖν καὶ ἐν τῷ πνεύμονι, ὥστε οὐκ ἰσχυρῶς ὑγρῷ ἐόντι, ξυσμὸς

et ubi defluxit, sedatur, purulentis vero tum minus defluit, tum minime sedatur. Purulenti etiam fiunt, cum minus exscreant quam ad pulmonem defluat. Quod enim in pulmone colligitur et in eum defluit, in pus vertitur; pus autem in pulmone et thorace collectum ulcerat et putrefacit. Et ubi ulcus exsiccatum fuerit, ab ulcerata parte defluit; et cum exscreatur simul caput concutitur et magis fluit, simulque ex ulcerato loco in thorace et pulmone magis fluit et ulcera mota denuo rumpuntur, ita ut, si vel fluxio ex capite cessarit, id quod ab ipsis ulceribus fluit, sufficiat ut morbum faciat. Fit etiam ab ulcere purulentus et levior hic morbus est. Fit vero etiam extra pulmonem, potissimum quidem ex rupto et ubi caro contusa fuerit, circa quam pus colligitur, collectumque, si quis corpus concutiat, fluctuat et strepitum facit et eo quidem loco inuruntur. At vero tabes fit, cum ad eundem locum, velut in purulento fluxio fertur per guttur et bronchos, qui pulmonem et guttur coniungunt, et in pulmonem sensim assidue defluit, nec copiosum in pulmone humorem facit. Dum enim resiccatur quod defluit in gutture concrescens, nimirum cum non eluitur, sed sensim influit ac detinetur, tussim inducit et in aortis dictis detentum quod influit, cum hac angusta foramina habeant, angustiam spiritui exhibet, quod facit ut difficulter spiret. Quippe quum semper aliquid deficiat de plena respiratione semper spirare cupit; et in pulmone, cum non admodum humidus sit, pruritus exoritur. Cum vero multum ex capite defluxerit, pruritus in pulmone non oritur; multum enim ad eum adfluit. Et ex tabibus his etiam suppurati fiunt,

τοῦτο γὰρ — παρασχεῖν.] εἱλκωμένου A. C.; — καὶ ἐπαναχρεμπτομένου ἅμα μέν vulg., sed in his A. ἀναχρεμπτομένου, quod verum videri possit, nisi ἐπαναχρέμπτεσθαι nostro esset perfamiliare. Dein δ' ἐκ τοῦ Ald., δὲ ἐκ τοῦ cett.; — εἱλκομένου A., ἑλκομένου C.; — τὰ ἕλκεα ἔς τι κινέμενα (sic) ἐπαναρήγνυται A.; — τό ante ἀπὸ τῆς κεφ. om. A. et ἢ ῥέον dein legit; — idem om. τό ante ἀπ' αὐτῶν.

γίγνεται — ταύτῃ.] εἰ in εἴ τις om. C.; — σείοι Littr., σείῃ vulg.; — καίονται A. C. Lind., Mack., Littr., καίνονται vulg. — Ceteri ταῦτα, in quo latet ταύτῃ.

Φθίσις — Φθισιῶντες.] ἀορτρέων A., in quo tamen ρ obliteratur, Zuing. in marg.; mihi haec scriptura prae vulgata non videtur praestare, cf. Coacam 400.; — ῥέει vulg.; ῥέῃ A., μὴ ποιέει vulgo, οὐ ποιέει alii; facile perspicis alios haec tanquam per se constantia descripsisse, alios tanquam ab ὅταν pendentia; illos autem in errore fuisse credo. Dein ἐνισχόμενον Lind., nescis unde, ἐπιχεόμενον vero C. Zuing. in marg.; — ἀορτρῇσι rursus A., Zuing. in marg., ἀορτῆρσι mss. quaedam Foësii; — στενὰς τὰς δ. A., cett. τάς omm.; — sed omnes ἐχούσας τὰς ἀορτράς, pro quo de meo genitivum dedi, nam manifesto casus confusi sunt; — καὶ τοῦτο ποιέει

ἐγγίγνεται· ὅταν δὲ πολὺ ἀπορρυῇ τῆς κεφαλῆς, οὔτ' ἐν τῷ πνεύμονι ξυσμὸς γίγνεται· πολὺ γὰρ αὐτῷ τὸ ἐπιρρέον ἐστὶ καὶ ἔμπυοι ἐκ τῶν φθισίων τούτων γίγνονται, ὅταν ὑγρότερον τὸ σῶμα γένηται· καὶ ὅταν ξηρότερον γένηται ἐκ τῶν ἐμπύων φθισιῶντες. Ἔμπυοι δὲ τῷδε δῆλοι γίγνονται· τὴν λαπάρην ἀρχομένων πόνος ἔχει· ἐπὴν δὲ πύον ἤδη ξυνεστήκῃ, ὅ τε πόνος ὁμοίως ἔχει, βήξ τε γίγνεται καὶ ἐπαναχρέμπτεται πύον καὶ πνεῦμα ἔχει. Ἢν δὲ μήπω ἐρρώγῃ, ἐν τῇ λαπάρῃ σείεται καὶ ψοφέει οἷον ἐν ἀσκῷ· ἢν δὲ τούτων μηδὲν προσημήνῃ, ἔμπυος δὲ ᾖ, τοισίδε χρὴ τεκμαίρεσθαι· πνεῦμα πουλὺ ἔχει, φθέγγεταί τε ὑποβραγχότερον καὶ οἱ πόδες οἰδέουσι καὶ τὰ γούνατα, μᾶλλον δὲ τὰ κατὰ τὴν λαπάρην, ἐν ᾗ τὸ πύον ἔνεστι καὶ ὁ κίθαρος ξυγκεκαμμένος ἐστὶ καὶ λυσιγυῖα γίγνεται καὶ ἱδρὼς περιχεῖται ὅλον τὸ σῶμα καὶ τοτὲ μὲν δοκέει θερμὸς αὐτὸς ἑωυτῷ εἶναι, τοτὲ δὲ ψυχρός· καὶ οἱ ὄνυχες περιτεταμένοι εἰσὶ καὶ ἡ κοιλίη θερμὴ γίγνεται· τούτοισι χρὴ γιγνώσκειν τοὺς ἐμπύους.

cum corpus humidius fiat, et quando siccius, e suppuratis fiunt tabidi. Suppurati vero hoc signo cognoscuntur: principio lateris mollitudinem dolor detinet; cum vero tandem pus collectum est, dolor similiter detinet et tussis oritur et pus exscreatur et difficultas spirandi urget. Quodsi vero nondum pus eruperit, in lateris mollitudine concussum, velut in utre strepitum edit. At si horum nihil de se significationem praebeat, sed suppuratus sit, ex his signis coniecturam facies. Magna spirandi difficultas adest, subraucum loquitur, pedes et genua intumescunt, magis vero lateris mollitudo, in qua pus inest; thorax incurvatur et membrorum solutio oritur, sudore etiam totum corpus perfunditur; interdum quidem sibi calidus, interdum etiam frigidus videtur; ungues circumtenduntur et venter incalescit. Atque ex his suppurati dignoscendi sunt.

ιε'. Ὅταν δ' ὄπισθεν ῥεύσῃ ἐς τὴν ῥάχιν, φθίσις γίγνεται τούτῳ τοιάδε· τὴν ὀσφὺν ἀλγέει καὶ τὰ ἔμπροσθεν τῆς κεφαλῆς κενὰ δοκέουσι αὐτῷ εἶναι.

15. Cum vero posteriore ex parte fluxio in spinam decubuerit, huic tabes eiusmodi suboritur: lumbos dolor occupat et anteriores capitis partes ipsi vacuae videntur.

ις'. Τάδε δ' ἐστὶ ἐπικίνδυνα· ἴκτερος ἢν ἐπιγένηται τοῖσι ὀφθαλμοῖσι, καὶ ἐν τοῖσι ὄνυξι πελιδνὰ ὅταν γένωνται, καὶ τὸ σῶμα ὅταν ἔχῃ ἕλκεα καὶ τὰ περὶ τὰ ἕλκεα πελιδνὰ ᾖ, καὶ ὁ ἱδρὼς ὁκόταν μὴ καθ' ὅλον τὸ σῶμα ἐκθύῃ, ἀλλὰ καθ' ἓν μέρος τοῦ σώματος, καὶ ὅταν τοῦ πυρετοῦ ἔτι ὄντος

16. Haec vero periculosa signa sunt: si oculis morbus regius superveniat, et si maculae lividae in unguibus fiant, et si corpus ulcera occupent, loci circa ulcera sint lividi, et sudor si non per totum corpus erumpat, sed in una aliqua corporis parte, et cum febre adhuc aegrum detinente e viridi pallidum exscreetur, aut si e

K.', Zuing. in m., Mack.; — αἰεὶ λειβόμενον A., ἀναλιπόμενον (ἀναλειπόμενον C.) sine αἰεί vulg.; — ὅταν — γίγνεται om. A.; — τὸ νόσημα γενόμενον A. pro τὸ σῶμα γένηται.

ἔμπυοι δὲ — ἔχει.] Cum Lind. δέ de coniectura adscivi; — C. δέ pro τῷδε; — ἀρχομένῳ A.; — ἐπεί C.; — ἤδη ante ξύνεστι solus A.; — ἔχει A. Mack., Littr., ἔχῃ vulg.; — ἔχει pro γίγνεται A.

ἢν δὲ μήπω — ἐμπύους.] ἐρράγῃ L.; — ψοφοῖ A.; — προσείῃ vulg., προσπείνῃ Ald., προσῇ μείνῃ C.; — προσημήνῃ A. Littr.; — vulgo κατὰ τὴν λαπ. A., καὶ τὰ τὴν λαπ., de meo vulgatae τά praemisi, quod nisi facias οἰδέουσι ad personas refertur, quod propter antecedentia ineptum; — ἔνεστι A. Littr., ἐστί vulg.; — συγκεκαυμένος A.

16. τάδε δ' ἐστὶ — ἐπικίνδυνα.] Vulgo χολὴ (χολῇ A. K.' Mack., Littr.) δὲ τάδ' ἐστι ἐπικ. — Quid factum sit in aprico est: χολή fuit inscr. marginalis, quae in A. in χολῇ est mutata et δὲ τάδε pro τάδε δέ scribi coeptum est, adnotatione illa marginali in textum translata. — Itaque antiquam lect. revocavi. — Cod. A. plene τάδε in vulgata lectione et titulum habet περὶ ἰκτέρου; — vulgo ἐν τοῖσι ὀφθ., cum C. ἐν omisi; — ἔστ' ἂν ἔχει ἕλκεα idem cod., sed omnes ἐς τὸ σῶμα. equidem otiosum ἐς omittere malui; — ἐνεόντος sine ἐντός vulgata, ἐόντος ἐντός A. Littr. — Vulgo τοῦτο δεῖ, A. γίνεται pro δεῖ, sed Zuing. in marg. τούτῳ δεῖ, K.' Lind. οὕτω δεῖ: me iudice τοῦτο ex τούτῳ natum est et δέ ante δεῖ interiit, itaque haec restitui. Utrum ὅταν ἐνῇ καὶ ὅταν μὴ ἐνῇ librariorum sit, an scriptoris

ἐπαναχρέμπτηται χλωρὸν, ἢ ἐόντος ἐντὸς ἐν τῷ πνεύμονι ἔτι τοῦ χλωροῦ ἡ ἐπανάχρεμψις παύσηται· τούτῳ δὲ δεῖ γιγνώσκειν ὅταν ἐνῇ καὶ ὅταν μὴ ἐνῇ· ὅταν ἐνῇ, ἐμψοφεῖ ἐν τῇ φάρυγγι ἀναπνέοντος· καὶ πνεῦμα ἐπικίνδυνον, καὶ λύγξ, καὶ ὁ πυρετὸς ἀπιὼν, ἀποχρέμματος ἔτι ἐν τῷ πνεύμονι ἐνεόντος, καὶ ἡ κοιλίη ἀσθενέος ἤδη ἐόντος ὑποχωρέουσα· ταῦτα πλευρίτιδος καὶ περιπνευμονίης τὰ ἐπικίνδυνα.

ιζ'. Πλευρῖτιν ὧδε χρὴ ἰᾶσθαι· τὸν πυρετὸν μὴ παύειν ἑπτὰ ἡμερέων, πότῳ δὲ χρήσθω ἢ ὀξυμελικρήτῳ, ἢ ὄξεϊ καὶ ὕδατι· ταῦτα δὲ χρὴ προσφέρειν ὡς πλεῖστα, ὡς ἐπίτεγξις γίγνηται καὶ γενομένη ἐπανάχρεμψιν ποιέῃ· καὶ τὴν ὀδύνην παύειν θερμαντηρίοισι φαρμάκοισι καὶ καταρροφεῖν διδόναι ὅ τι ἐπανάχρεμψιν ποιήσει καὶ λουτροῖσι χρῆσθαι τεταρταίοισι· τῇ δὲ πέμπτῃ καὶ τῇ ἕκτῃ χρίειν ἐλαίῳ· τῇ δὲ ἑβδόμῃ λούειν, ἢν μὴ ὁ πυρετὸς μέλλῃ ἀφιέναι, ὡς ὑπὸ τοῦ λουτροῦ ὁ ἱδρὼς ἐγγένηται· καὶ ἔτι τῇ πέμπτῃ καὶ τῇ ἕκτῃ ἰσχυροτάτοισι χρῆσθαι τοῖσι ἐπαναχρεμπτηρίοισι φαρμάκοισι, ὡς τὴν ἑβδόμην ὅτι ῥήϊστα ἡμέρην ἀγάγῃ· ἢν δὲ μηδὲ τῇ ἑβδόμῃ ἡμέρῃ παύσηται, τῇ ἐνάτῃ παύσεται, ἢν μή τι ἄλλο τῶν ἐπικινδύνων γένηται· ἐπὴν δὲ ὁ πυρετὸς ἀφῇ, ῥοφήματα ὡς ἀσθενέστατα ποιέων προσφέρειν· ἢν δὲ λινηθμὸς ἐγγένηται, ἢν μὲν ἔτι νεαροῦ τοῦ νοσήματος ἐόντος, τῶν ποτῶν ἀφαιρέειν· ἢν δὲ τοῦ πυρετοῦ ἀπιόντος, πυρίνοισι τοῖσι ῥοφήμασι χρῶ. Καὶ τὴν περιπνευμονίην τὸν αὐτὸν τρόπον ἰῶ.

viridi pallida materie adhuc in pulmone praesente exscreatio cesset. Hoc autem signo cognoscere oportet utrum insit, necne: cum insit, strepitum in larynge edit inter spirandum. Et periculosa difficultas spirandi, et singultus, et febris cessatio, cum sputum quod exscreetur adhuc in pulmone insit, et ventris fluxus aegro iam debili. Haec pleuritidis et pulmonum inflammationis signa sunt periculosa.

17. Lateris morbi haec instituenda curatio est. Febrem per septem dies ne sedato, potione vero aut aceto mulso aut aceto et aqua utendum eaque quam plurima offerenda, ut quae inde contingat madefactio exscreationem faciat. Dolor medicamentis calefactoriis sedandus et in sorbitione exhibendum quicquid exscreationem movere possit. Balneis etiam quarto die utendum, quinto autem et sexto oleo illinendum. Septimo lavandum, nisi febris iamiam dimissura sit, uti ex balneo sudor oboriatur. Quinto insuper et sexto validissimis utendum exscreationem promoventibus medicamentis, ut quam facillime septimum transigat diem. Quodsi neque septimo die desierit, nono desinet, nisi aliud quid signum periculosum accidat. At ubi febris demiserit, sorbitiones quam debilissimae offerantur. Si vero vacuatio oboriatur morbo adhuc recente, potum subducito; sin febris decesserit, triticeis sorbitionibus utitor. Eodemque modo pulmonis inflammationem curato.

non definio, sed exspectas potius εἰ ἔνεστι ἢ μή, fortasse sequens ὅταν ἐνῇ in causa est, cur librarii nobis ita locum dederint. Verbis καὶ πνεῦμα ἐπικ. pergit in pravorum signorum enumeratione. Vulgo ὁ πυρετὸς ἀπιών, sed A. ὁ π. ἔτι ὤν, quod Littréus dedit, sed mihi otiosa correctio in illo libro esse videtur. Denique ἐνεόντος A., simplex ἐόντος vulg. — Articulum ante ἐπικίνδυνα de meo adscripsi.

17. πλευρῖτιν — χρῶ.] πῶς δεῖ ἰᾶσθαι πλευρῖτιν A. pro inscriptione; πότῳ χρῆσθαι sine δέ idem; — ὀξηρῷ μελικρ. pro ὀξυμ. idem; — γένηται vulgo, de meo praesens dedi, sed A. om. γένηται, καί; — γενομένη C. γινομένη cett.; — ποιέῃ — ἐπανάχρεμψιν om. E.; — articulum ante ἕκτῃ om. A.; — δ' ἑβδόμῃ idem; ὁ ante πυρετός om idem; — παύεται pro παύσεται A.; — δ' ὁ πυρετός A. C.; — ῥυφήματα semper Ald. C. — Iam vero codices et edd. pleraeque ἔτι νεαροῦ τοῦ σώματος, pro quo Littr. de coniectura ἔτι θερμοῦ τοῦ σώματος, non male quod ad sensum, sed νεαροῦ non est natum e θερμοῦ, sed integrum est; verum σώματος et νοσήματος saepius in aliis libris, quin etiam in hoc scripto in codicibus permutantur. Itaque lego ἔτι νεαροῦ τοῦ νοσήματος, quippe primo morbi tempore febrim adesse ipsius huius capituli initio docet ipse. Dein τοῦ πυρετοῦ ἀφίκοντος vulgo, ἀφείκοτος pr. m. in C., Littréus, ἀφέντος L., ἀφιέντος K.' Lind.. Mack. — Et ἀφεικότος sane incongruum, quum sit transitivum, neque ἀφίκοντος inde ortum, sed ex ἀπιόντος, quemadmodum ἀπιών sub finem § antecedentis legitur.

ιη'. Τοῖσι ἐμπύοισι δὲ καθαίρειν τὴν κεφαλὴν μὴ ἰσχυροῖσι φαρμάκοισι, ἀλλὰ κατὰ μικρὸν ἀποτρέπειν ἐς τὰς ῥῖνας καὶ ἅμα διαχωρητικοῖσι σιτίοισι χρῆσθαι· καὶ ἐπὴν ἡ ἀρχὴ τοῦ νοσήματος μηκέτι ᾖ, ἀλλ' ἐκτρέπηται ὁ ῥόος, ὡς ἐπανάχρεμψιν ποιέεσθαι, καὶ βῆχα ποιέειν καὶ ἐγχύτοισι φαρμάκοισι χρῆσθαι καὶ σιτίοισι ἅμα· ὁπόταν δὲ δέῃ ἀπόχρεμψιν ποιέεσθαι καὶ πλέοσι σιτίοισι καὶ ἁλυκοῖσι χρῆσθαι καὶ λιπαροῖσι καὶ οἴνῳ αὐστηρῷ καὶ βῆχα ποιέειν ὅταν ὧδε ἔχῃ.

18. Suppuratis vero caput minime validis medicamentis purgandum, sed sensim ad nares avertendum, cibisque ventrem subducentibus simul utendum. Et ubi morbi principium non amplius fuerit, sed fluxus divertitur, ita ut exscreatio fiat, etiam tussis excitanda et tum medicamentis quae infunduntur, tum cibis utendum. Cum autem exscreare debet, pluribus etiam cibis tum salsis tum pinguibus vinoque austero utendum et cum hoc modo se habuerit, tussis excitanda.

ιθ'. Καὶ τοὺς ὑπὸ τῆς φθίσιος τὸν αὐτὸν τρόπον τἄλλα, πλὴν τὰ σιτία μὴ πολλὰ ἅμα καὶ τὰ ὄψα μὴ πλέονα ἢ τὰ σιτία καὶ τῷ οἴνῳ ὑδαρέϊ χρῶ ἐπὶ τῷ σιτίῳ, ὡς μὴ θερμαίνῃ καὶ τῷ σώματι ἀσθενέϊ ἐόντι θερμότητα παρέχῃ καὶ ἅμα ἀμφότερα θερμαίνωσι ἐν τῷ αὐτῷ χρόνῳ καὶ θερμωλῇ ποιέωσι ῥεῦμα πουλύ.

19. *De loco corrupto cf. adn.*

κ'. Ὁπόταν δὲ διὰ τοῦ οἰσοφάγου ἐς τὴν κοιλίην ῥεύσῃ, ἴνησις γίγνεται κάτω, ἔστι δ' ὅτε καὶ ἄνω· τούτῳ ἢν μὲν ὀδύνη ἐνῇ ἐν τῇ γαστρὶ, ὑπεξάγειν πρῶτον φαρμάκῳ ἢ χυλῷ, ἔπειτα φαρμάκῳ ἰσχητηρίῳ χρῆσθαι, τοῖσι δὲ σιτίοισι διαχωρητικοῖσι ἕως ἂν ἡ ὀδύνη ἔχῃ· ἐπὴν δὲ παύσηται ἡ ὀδύνη καὶ τοῖσι σιτίοισι ἰσχητηρίοισι χρῆσθαι· τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὴν πολλὰς ἡμέρας ἴνησις ἔχῃ, ἰᾶσθαι, ἢν δὲ ἀσθενὴς ᾖ, καὶ μὴ δύνη-

20. Ubi vero per gulam in ventrem fluxio decubuerit, infra evacuatio interdumque supra fit. Huic quidem si dolor in ventre adfuerit, is primum medicamento aut succo subducendus, deinde medicamento alvum sistente utendum, cibis vero alvum subducentibus quamdiu dolor detinuerit. At ubi dolor sedatus fuerit, etiam cibis alvum sistentibus utendum. Ad eundem vero modum, etiam ubi per multos dies evacuatio detinuerit, curato. Quodsi im-

18. *τοῖσι ἐμπύοισι — ἔχῃ.*] *τοὺς ἐμπύους* cett., de meo dativum dedi; — [*δὲ*] *καθαίρειν* Lind., quem sequor *δέ* de meo interponens. Pro *ᾖ* C. *ἴῃ*, fortasse pro *ἔῃ*. Ceteri non legunt *ὡς* ante *ἐπανάχρεμψιν ποιέεσθαι* et hanc dictionem intelligunt, quasi idem esset ac *ἐπανάχρεμψιν ποιέειν*, valet autem *ἐπανάχρεμψιν ποιέεσθαι* idem quod *ἐπαναχρέμπτεσθαι*. Itaque *ὡς* post *ῥόος* periisse opinatus adscripsi; — in fine *ὧδε* om. A.

19. *καὶ τοὺς — ῥεῦμα πουλύ.*] *ἢ τὰ σίτα* A.; — Littréus cum cod. A. verba *ῥεῦμα πουλύ* ad sequens capitulum retulit et *θερμωλὴν ποιέουσι* cum isto cod. legit. Sed ita locus corruptus etiam magis corrumpitur. Possis adduci ut cum A. consentias, quia in vulgata *ὁκόταν δὲ διὰ τοῦ οἰσοφάγου — ῥεύσῃ* nude legitur, sed si principium § 21 conferas, videbis ibi *ῥεῦσαν* simili modo poni, atque illic *ῥεύσῃ*: sed praeterea lectio codicis A., uti dixi, vel peius se habet quod ad sensum, quem refert, quam vulgata, quod senties, ubi locum ita descriptum legas. Lectio codicis A. est correctio arbitraria, improbanda. Sed vulgata quoque lectio pessime habita est a librariis: insunt lacunae, interpolatio: post *φθίσιος* desideras *ἐχομένους* vel eiusmodi quid; post *τἄλλα* desideras *ἰᾶσθαι*, *θεραπεύειν*, vel eiusmodi quid; — tum post *τὰ σιτία* excidisse videtur *προσφέρειν*. Pro *χρῶ* potius *χρῆσθαι* scriptum fuisse credas. In postremis *ἐν τῷ αὐτῷ χρόνῳ* interpolatum est, nam *ἅμα* idem iam significavit paulo ante. Iam vero apertus quidem extremi capituli sensus est, nam praecipit vino aquoso *ἐπὶ τῷ σιτίῳ* utendum esse ne in corpore debili calor oriatur, et ne cibus et vinum per calorem, quem excitent, multam fluxionem progignant; — sed quibus verbis id significaverit auctor, haud ita certo constat: nempe in iis etiam interpolationes animadvertis, sed minus certo eae indicari poterunt. Fortasse scriptum fuit: *καὶ οἴνῳ ὑδαρέϊ χρῆσθαι ἐπὶ τῷ σιτίῳ. ἵνα μὴ τῷ σώματι ἀσθενέϊ ἐόντι θερμότητα παρέχῃ καὶ ἅμα ἀμφότερα τῇ θερμωλῇ ποιέωσι ῥεῦμα πουλύ.*

20. *ὁπόταν δὲ — τινί.*] *δέ* de meo ante *διά* adscripsi; — *νῆσις* vulgo, *ἴμησις* A., *ἴνησις* Mack., Littr. — *ἐνῇ* om. A.; — *ὑπεξαγάγειν* (sic) idem; — *ἰσχυτέρῳ* vulg., *ἰσχητηρίῳ* A. C. Littr.; *ἰσχυτηρίῳ* Ald., Zuing. in marg., Lind., Mack.; cf. Erot. in *φαρμάκῳ ἰσχητηρίῳ*, nec tamen hic valet eius explicatio *ἀντὶ τῷ ἰσχαίμῳ*, quum spectetur remedium alvum sistens. Littr.: „Toutefois la leçon ici de Alde (*ἰσχυτηρίῳ*) et plus bas de vulg. (*ἰσχυτηρίοισι*), est bonne aussi: *substances fortifiantes.*" Imo vero bonam esse

ται προσφέρεσθαι ὑπὸ ἀσθενείης, κλύζειν πρῶτον μὲν χρὴ χυλῷ πτισάνης, ἔπειτα ἐπὴν τούτῳ καθήρῃς, τῶν στυφόντων τινί.

becillus fuerit, et prae imbecillitate illi offerri nequeant, primum quidem per infusum succo ptisanae alvus eluenda, deinde, ubi per hunc purgaris, adstringente aliquo utendum.

κα'. Ὁπόταν δ' ἐς τὴν σάρκα ὄπισθεν παρὰ τοὺς σπονδύλους ῥεῦσαν ὕδρωπα ποιήσῃ, ὧδε χρὴ ἰᾶσθαι· καίειν τὴν σάρκα τὴν ἐν τῷ τραχήλῳ μεταξὺ τῶν φλεβῶν ἐσχάρας τρεῖς καὶ ἐπὴν καύσῃς ξυνάγειν καὶ ποιέειν ὡς ἰσχνοτάτας οὐλάς· καὶ ἐπὴν ἀποφράξῃς, πρὸς τὰς ῥῖνας φάρμακον πρόσφερε ὡς ἐκτρέπηται, καὶ ἄλλο ἀσθενὲς αὖτις καὶ αὖτις, ἕως ἂν ἀποτρεφθῇ· καὶ τὰ μὲν ἔμπροσθεν τῆς κεφαλῆς θέρμαινε, τὰ δ' ὄπισθεν ψῦχε· καὶ ἐπήν σοι ἐκτεθερμασμένος ᾖ τὰ ἔμπροσθεν τῆς κεφαλῆς, σιτία ἐσθίειν τὰ φλεγματωδέστατα καὶ ἥκιστα διαχωρητικά, ὡς ὅτι μάλιστα διευρυνθῶσι αἱ ῥοαὶ αἱ ἔμπροσθεν τῆς κεφαλῆς· ἔπειτα δ' ἐπὴν ἀποφράξῃς καὶ ἀποτρέψῃς τὴν ἐπίρρυσιν, ἥν τι πρὶν ἢ εὐτρεπίζειν τὸ ῥεῦμα ἐς τὸ σῶμα ἔλθῃ, ὧδε χρὴ ἰᾶσθαι· ἢν μὲν μᾶλλον πρὸς τὸ δέρμα ἐκκεχωρηκὸς ᾖ, τὰ ἔξωθεν πυριῶντα· ἢν δ' ἔνδον πρὸς τὴν κοιλίην, ἔξωθεν δὲ μὴ δῆλον ᾖ, φάρμακον πιπίσκοντα· ἢν δ' ἐπ' ἀμφότερα, ἀμφοτέρων ἀφαιρέειν· ἐπιτηδεύειν δὲ χρὴ ἐγγυτάτην τὴν ἔξοδον ποιέειν, ἤν τε κάτω ἤν τε ἄνω, ἤν τε ἄλλῃ ὅπῃ τοῦ σώματος ἔξοδοί εἰσι.

21. Cum autem in carnem posteriore parte iuxta vertebras illapsa fluxio aquam intercutem excitarit, hunc in modum curato. Cervicis carnem, quae in medio est venarum, tribus crustis inurito, inustam constringito et quam tenuissimas cicatrices facito. Et ubi viam intercluseris, medicamentum ad nares admoveto, ut eo divertatur, imbecillumque aliud semel iterumque, donec aversum sit. Atque anteriores quidem capitis partes calefacito, posteriores vero refrigerato. Et postquam partibus capitis anterioribus excalfactus tibi videbitur, cibos edat, qui corpus maxime tumefaciunt et minime ventrem subducunt, quo fluxionis meatus anteriore capitis parte quam maxime dilatentur. Posteaquam vero viam intercluseris et id quod affluit averteris, si quid prius quam fluxionem ad curationem accommodaris ad corpus pervenerit, hoc modo curare oportet. Si quidem ad cutem magis processerit, externis partibus fomentum adhibendo, si vero intro ad ventrem neque foris conspicuum sit, medicamentum propinando, sin utramque in partem, utrimque detrahendo. Diligentia autem adhibenda est ut quam proximum exitum facias, sive supra, sive infra, sive alia quavis corporis parte exitus detur.

κβ'. Ὁκόταν δ' ἰσχιὰς ἀπὸ ῥόου γένηται, σικύην χρὴ προσβάλλειν καὶ ἕλκειν ἔξω καὶ μὴ κατακρούειν καὶ ἔνδοθεν θερμαντήρια φάρμακα πιπίσκοντα διαθερμαίνειν, ὅπως ἔξοδος ᾖ καὶ ἔξω ἐς τὸ δέρμα ὑπὸ τῆς ἑλκύσιος τῆς σικύης, καὶ ἐντὸς πρὸς τὴν κοιλίην ὑπὸ τῆς

22. Cum coxendicum morbus ex fluxione oritur, cucurbitula admota foras attrahere oportet, neque cutem scalpello pertundere et calefacientia propinando intus calefacere, ut exitus pateat tum extra ad cutem a tractione cucurbiculae, tum intra ad ventrem per calorem. Ubi namque fluxionis via

lectionem pernego, ἰσχυτήριος non est nisi prave scriptum ἰσχητήριος his locis. Dein τοῖσί τε σιτίοισι Lind., Mack., minus recte; — ἰσχητηρίοισι A. C. Littr., ἰσχυτηρίοισι vulg.; — ἴνησις in vulg. ἢ νῆσις scribitur, ἢ ἴησις A., ἢ νῆστις C., in marg. vero νῆσις. Post τινί A. C.: ὕστερον ἐπὴν τοῦτο κλύσῃς, Zuing. in m. τούτῳ κλυσθῇ.

21. ὁπόταν — εἰσιν.] ὁπόταν A., ὁπότε cett.; — ῥεῦσαν A. Littr., ῥεύσαντας vulg.; — ῥεύσῃ καί Lind., Mack.; non liquet unde. Tum φάρμακον πρόσφερε ὡς ἀποτρέπηται καὶ ἀσθενὲς αὖθις (αὖτις C.) ἕως ἂν ἀποτρεφθῇ vulg., — ἄλλο αὖθις, vel ἀσθενὲς ὕστερον Zuing. in marg., καὶ ἀσθενὲς ἀλλ' εἰσαῦθις K.', καὶ ἀσθενὲς αὖθις ἄλλο ἕως Chart., Mack., καὶ ἀσθενὲς αὖτις καὶ αὖτις, ἕως A. Littr. Equidem textum consentienter cum Littréo ex A. descripsi, nisi quod ἄλλο ante ἀσθενές adscivi e lectt. descriptis. Porro σιτία [δὲ] ἐσθ. Lind., Mack.; — ῥοαί A. ῥοιαί cett.; — ἔπειτα ἐπήν A.; — ἀποστρέψῃς idem; πρὶν εὐτρεπ. idem; — ἔνδοθεν idem. De meo τήν post ἐγγυτάτην apposui.

22. ὁκόταν — ἰῶ.] δέ K.', Mack., Lind., itaque hi de Cornarii coniectura δέ; malui δ' scribere. Dein C. θερμανσίης. Ceteri ἐς τὰ ἄρθρα ῥέει ἐς τὸ ὑπεῖκον, in quibus ἐς τὰ ἄρθρα rursus scholion est ad τὸ ὑπεῖκον adscriptum, quale

θερμασίης· ὁπόταν γὰρ ἀποφραχθῇ καὶ μὴ ἔχῃ ὅπῃ ὁδοιπορέῃ, ὁδοιπορέουσα ῥέει ἐς τὸ ὑπεῖκον καὶ ἰσχιάδα ποιέει, ἢ ὄπισθεν φθίσιν· τούτῳ τὴν κεφαλὴν καθαρτέον ἀσθενέϊ φαρμάκῳ, ἕως ἂν ἀποτρεφθῇ ὁ ῥόος καὶ τῇ διαίτῃ ὥσπερ ἔμπροσθεν χρῶ, φάρμακον δὲ πῖσον ἐλατήριον καὶ κάτω γάλακτι κλύσον, τὰ δ' ἄλλα πυρίῃσι ἰῶ.

κγ'. Ἐπὴν ὁ σπλὴν ὑπὸ πυρετοῦ μέγας γένηται, — γίγνεται δὲ ὅταν τὸ σῶμα λεπτυνθῇ, — τοῖσι γὰρ αὐτοῖσι ὅ τε σπλὴν θάλλει καὶ τὸ σῶμα φθίνει· ὅταν δὲ τὸ σῶμα λεπτὸν ᾖ καὶ ὁ σπλὴν θάλλῃ καὶ τὸ ἐπίπλοον ἅμα τῷ σώματι λεπτυνθῇ, ἡ πιμελὴ ἡ ἐν τῷ ἐπιπλόῳ ἐκτήκεται· ἐπὴν δὲ ταῦτά τε κενὰ πιμελῆς γένηται καὶ ἀπὸ τοῦ σπληνὸς θάλλοντος ἀπορρέῃ ἐς τὸ ἐπίπλοον, ὥστε ἐγγύτατα ἐὸν καὶ τεύχεα ἔχον καὶ ταῦτα κενεὰ, ἐσδέχεται· καὶ ἐπὴν τὸ νόσημα ἅπαξ ἐν τῷ σώματι γένηται, ἐς τὸ νοσέον τρέπεται, ἢν μή τις εὐτρεπίζῃ, ὡς καὶ τὸ εὐτρεπιζόμενον ἐπικίνδυνον. Τοῦτον ὧδε ἰᾶσθαι· φάρμακα πιπίσκειν, ὑφ' ὧν ὕδωρ καθαρεῖται, καὶ σιτία τὰ φλεγματωδέστατα διδόναι· ἢν δὲ μηδ' οὕτω ῥάων γένηται, καίειν ὡς λεπτότατα καὶ ὡς ἐπιπολαιότατα, ὅπως τὸ ὕδωρ ἴσχειν δύνῃ, πέριξ τοῦ ὀμφαλοῦ κύκλῳ καὶ ἐς τὸν ὀμφαλὸν μή, καὶ ἀφιέναι ἑκάστης ἡμέρης.

[Τῶν νοσημάτων ὅ τι ἂν ἐπικινδυνότατόν

interclusa fuerit, neque habuerit, quo procedat, via facta fluit ad id quod cedit et coxendicum morbum inducit, aut postea tabem. Sic affecto caput medicamento imbecillo purgandum, donec alio avertatur fluxio, et victus ratione velut antea utendum, medicamentum autem potui exhibeto deorsum purgans et alvum inferiorem lacte infuso subluito; cetera fomentis curato.

23. Cum lien ex febre tumidus exstiterit, — fit autem hoc, quando corpus extenuatur; iisdem enim cum lien tumet tum corpus tabescit, — cum autem corpus sit tenue, et lien tumeat et omentum una cum corpore tabescat, pinguedo in omento eliquatur; quum vero haec pars pinguedine vacua facta sit et a liene tumente fluxio fiat in omentum, id ipsum, quum sit proximum et vasa habeat eaque vacua, eam excipit; atque ubi semel in corpore morbus exortus fuerit, in id quod morbosum est vertitur, nisi quis recte curet, quin etiamsi bene tractetur, periculo non vacat. Hunc sic curato: medicamenta, per quae aqua purgetur potui exhibenda et cibi maxime tumefacientes offerendi. Quodsi ne sic quidem levius habeat, quam tenuissimis et levissimis crustis, ut aquam continere possis, in umbilici ambitu inurito, non in ipso umbilico, ac singulis diebus aquam emittito.

[In quocumque morbo periculosissimo peri-

supra item sustulimus. In seqq. vulgatam dedi, sed A. Lind., Littr.: ποιέει. Ἡ ὄπισθεν φθίσις· τούτῳ κ. τ. λ., quod, me iudice, non praestat; licet in utraque lectione idem spectetur i. e. φθίσις τοῦ σκέλεος ἐξ ἰσχιάδος χρονίης, cf. Aph. postremum sect. VI. p. 447. vol. I. — In sequentibus A. rursus ἀποστρεφθῇ; — C. fert πίσαι (sic.).

23. ἐπὴν — ἐπικίνδυνον.] ὕδωρ ἐς τὸ ἐπίπλοον in titulo A. C.; — τοῖσι γὰρ αὐτοῖσι ὅτε τὸ σῶμα θάλλει, ὁ σπλὴν φθίνει Mack. contra auctoris mentem; citat locum Gal. lib. II. de fac. nat. (vol. II. p. 132. in fine Kühn.); καὶ ὁ σπλὴν θάλλει Mack.; — ἐπίπλοιον A. C., vides iure ῥοιαί pro ῥοαί in superioribus plus semel a nobis reiectum esse; — ἣ ἐν τῷ ἐπιπλόῳ ἐστὶν, τήκεται C.; — ἐστήκεται A.; — ταῦτά τε A. C. Littr., cett. τε omm.; — vulgo: ὡς ἐγγύτατα ἐὸν τὸ ἐπίπλοον, ὥστε τεύχεα ἔχον καὶ ταῦτα κενεὰ ἐσδέχεται; — ὥστε τεύχεα ἔχειν Lind., Mack.; — vulgata sensum sanum non refert: ὡς fuit ὥστε, sequens ὥστε vero otiosum est, eoque loco congruit copula; τὸ ἐπίπλοον vero otiosum est emblema, quum nomen brevi ante scriptum fuit; hinc emendatio mea intelligetur; — ὡς ante καὶ τὸ εὐτρ. omm. C., Mack.; ἐπὶ κινδύνου vulg., ἐπικίνδυνον A. C. P.', Zuing. in marg., Lind., Mack., Littr. Sane misere impedita oratio est in hac periodo, praecipue in eius initio; sed nolim hic librarios accusare, fieri potest ut culpâ auctoris ita se habeat.

τοῦτον — ἡμέρης.] καθαίρεται A. καθαιρεῖται vulgo, i. e. καθαρεῖται, quod frequens in libris de morbis; — σιτία τά om. A.; — κύκλον vulgo, κυκῶν e C. adnotat Littréus, in quo puto κύκλῳ latere, quod requiritur; — vulgata μίαν, pro quo μή Foësius coniecit, quod receperunt Lind., Mack., Littr. Negari non potest parum probabile esse illum umbilicum inurere voluisse, quare item Foësii coniecturam admitto; quin μίαν ne habet quidem quorsum referatur. Sed fateor me potius exspectavisse in antithesi ἐς δὲ τὸν ὀμφαλὸν μή.

τῶν — ἔπαθε.] Pro ἐπικινδυνότατόν ἐστι A.: ἐπὶ κινδυνον παραλάβῃς i. e. ἐπικίνδυνον παραλάβῃς; — tum δὲ ὅπερ A. C. Lind. — Hunc locum ideo uncis inclusi, quia inepte hîc interponitur; utrum ad hunc librum pertineat, necne, non definio; infra plura apophthegmata medica legun-

ἐστι, ἐν τούτοισι παρακινδυνεύειν χρή· ἐπιτυχὼν μὲν γὰρ ὑγιᾶ ποιήσεις, ἀτυχήσας δ' ὅπερ καὶ ὡς ἔμελλε γίγνεσθαι, τοῦτ' ἔπαθε.]

κδ'. Παιδίῳ δὲ χρὴ ὕδρωπα ὧδε ἰᾶσθαι· τὰ οἰδέοντα καὶ ὕδατος ἔμπλεα ἐξοίγειν μαχαιρίῳ πυκνὰ καὶ σμικρὰ ἐξοίγοντα, ἐξοίγειν δ' ἐν μέρεϊ ἕκαστα τοῦ σώματος καὶ πυρίῃσι χρῆσθαι καὶ αἰεὶ τὸ ἐξοιγόμενον χρίειν θερμαντηρίῳ φαρμάκῳ.

κε'. Πλευρῖτις ξηρὴ ἄνευ ῥόου γίγνεται ὅταν ὁ πνεύμων λίην ξηρανθῇ ὑπὸ δίψης ἀναγκαίης· ὁ γὰρ πνεύμων, ἅτε ξηρὸς ἐών, ἐπήν τι μᾶλλον ξηρανθῇ τῆς φύσιος, ἰσχνὸς γίγνεται καὶ ἀκρατὴς γενόμενος κλιθεὶς ἐς τὸ πλευρὸν ὑπ' ἀκρασίης, ψαύει τοῦ πλευροῦ· καὶ ἐπὴν θίγῃ ὑγροῦ ἐόντος, ἅπτεται καὶ πλευρῖτιν ποιέει· τότε δὲ καὶ ὀδύνη γίγνεται ἐς τὸ πλευρὸν καὶ ἐς τὴν κληῖδα καὶ πυρετὸς καὶ ἐπαναχρέμπτεται λευκόν. Τοῦτον χρὴ πολλοῖσι πότοισι ἰᾶσθαι καὶ λούειν καὶ τῆς ὀδύνης φάρμακον διδόναι καὶ τἄλλα τὰ ἀνάχρεμψιν ποιεῦντα. Οὗτος ἐν ἑπτὰ ἡμέρῃσι ὑγιὴς γίγνεται καὶ τὸ νόσημα ἀκίνδυνόν ἐστι καὶ σιτία οὐ χρὴ διδόναι.

κϛ'. Πυρετοὶ διὰ τόδε γίγνονται, ὅταν τοῦ σώματος ὑπερφλεγμήναντος αἱ σάρκες ἀνοιδήσωσι καὶ τὸ φλέγμα καὶ ἡ χολὴ κατακλεισθέντα ἀτρεμίζωσι καὶ μὴ ἀναψύχηται μηδὲν μήτ' ἐξιόν, μήτε κινεύμενον, μήτ' ἄλλου ὑπιόντος. Ὁπόταν κόπος ἔχῃ καὶ πυρετὸς καὶ πλησμονή, λούειν χρὴ πολλῷ καὶ χρίειν ὑγρῷ καὶ θερμαίνειν ὡς μάλιστα, ὡς ἡ θερμωλὴ ἀνοιχθέντος τοῦ σώματος, ὑπὸ τοῦ ἱδρῶτος ἐξέλθῃ· ἑξῆς δὲ ταὐτὰ ποιέειν καὶ τρεῖς καὶ τέσσαρας ἡμέρας· καὶ ἢν μὴ παύηται, φάρμακον πῖσαι χοληγαγικὸν καὶ μὴ ψύχειν τὸν πυρετόν, πρὶν ἢ τεταρταῖος ᾖ, μηδ' ἕως

clitari oportet; nam si quidem successerit, sanum reddes, sin vero frustratus fueris, nihil gravius quam quod eventurum erat perpetietur.]

dit prius quam alius bonus ei a ventre accedat. Die enim intermedio et postero corpus de ventre attrahit quodcumque ad eum superiore die demisit, nisi venter eum percolaverit et alterum humorem contineat; quod malum est homini. Quodsi febris tertio die dimittat, eodem dimittit modo, quo eodem die eam dimittere diximus; et sic quidem fit ut febris ex corpore nata tertio die demittat. Assevero autem eam si quinto die, aut etiam septimo, aut nono dimittat, eadem ratione dimittere, qua tertio die egreditur. Alimentum enim febri est per corporis locos, sicuti paulo ante dixi; nam magis exsuperante humore, quum sit multus, homo dimitti solet. Dimittet autem febris diebus imparibus hac de causa, quod diebus paribus corpus de ventre haurit, imparibus vero demittit, venterque foras percolat in homine sano. Iudicantur vero morbi diebus imparibus propter eiusmodi necessitatem. Et ob hanc quidem rationem homo, qui febricitavit, sanus fieri assolet. Istamque ob causam aegrotos assero diebus imparibus maxime affligi, idque ex ratione quadam. Conturbatur quidem homo cum febricitat istiusque rei indicium est horror, qui subinde per totum corpus impetu quodam fertur. Quod sane minime fieret, nisi humor conturbaretur et ab ipso copiosior aut parcior secerneretur et alio tempore alius superaret. Maxime vero etiam conturbatur diebus imparibus, cum aegrotat, tuncque horror praecipue accidit. Sic enim se res habet. Humoris molesti aliquid a recenti humore superatum extra corpus propellitur et ad inferiorem alvum defertur, quae una

[1] καί om. — [2] ἑωυτήν. — [3] μὴ μεθῇ. — [4] τρόπῳ τῷ αὐτῷ. — [5] ὥσπερ καὶ αὐθ. ὡς εἴρ. — [6] ἐν. — [7] τῷ πυρί abest. — [8] κατὰ ἀν. — [9] πυρέξας. — [10] δὲ καὶ τ.

Vulgo ὅ τι ἂν αὐτῷ ἐς ἑωυτὴν ἀφῇ τῇ πρ. ἡμ., sed pro αὐτῷ legunt αὐτό Parr. 4., Foësii codex, Lind., Mack., Littr.; — pro ἑωυτήν Littr. αὐτήν recte, sed otiosum αὐτό nunc aegre fero et abiicio.

ἢν δὲ — ἀνιέναι.] τρόπῳ τῷ αὐτῷ Parr. 4.; ᾧπερ Ald. Parr. 3., cod. Foësii, Littr., ὥσπερ vulg.; — ὡς εἴρηται vulg., ὡς om. H., in quo rest. al. m., Littr.; — ceteri ἐν τῇ τρ. ἡμ., otiosum ἐν eieci.

Φημὶ δὲ — ἐξέρχεται.] Pro καὶ ἢν ἑβδ. G. ἢ ἑβδ.

καὶ γὰρ — ὁ ἄνθρωπος.] ὑγιηροῦ pro ὑγροῦ H., sed hoc tamen supra versum.

μεθίει — ὑγιέϊ.] μέν ante τῇσι ἀρτίοισι om. vulg., E. H. Littr. addunt; — ἀρτίῃσι E. H. K.; eandem feminini formam in Epidd. I. III. legere me memini.

κατ' ἀνάγκην — ἐγένετο.] κατὰ ἀν. E. H.; — πυρετήνας E. H. P.′ Q.′ v. Lind., Littr.

Φημὶ δὲ καὶ — γίγνεσθαι.] καί omm. L., Lind.

τετάρακται — ἄλλου.] πυρεταίνῃ H. I. J.; — πυρεταίνει vulg., πυρετήνη P.′ Q.′; πυρετήνῃ Littr., mihi praesens requiri videtur, maxime quidem propter seqq. — Dein ἤ ante πλέον om. K.′ Parum placet vulgatum ἄλλοτε ἄλλου: credo scriptum fuisse ἄλλοτε ἄλλο, quod exhibui.

μάλιστα δὲ — γίγνεται.] μάλιστα δὲ καί vulg., sed καί omm. E. H., Littr.; — τότε μάλιστα K.

τῶν ἡμερέων, ὁκόταν νοσέῃ, καὶ ἡ Φρίκη δὲ μάλιστα τότε γίγνεται. Ἔχει γὰρ ὧδε· ἀπὸ τοῦ ὑγροῦ τοῦ πονέοντος ἐξωθέεταί τι ἐκ τοῦ σώματος ὑπὸ τῆς νεωτάτης ἰκμάδος νικώμενον καὶ χωρέει ἐς [1] τὴν κάτω κοιλίην, καὶ ἡ κοιλίη προσξυνθερμαίνεται τοῦ πονέοντος [2] δεχομένη ἐς ἑωυτὴν μᾶλλον ἢ [3] ἐν τῷ πρὶν χρόνῳ. Τοῦτο δὲ [4] γίγνεται μάλιστα ἐν τῇ κρίσι τῆς νούσου· καὶ ἢν κατ' ὀλίγον τὸ σῶμα ἐς τὴν κοιλίην ἀφίῃ καὶ μὴ πολλὸν ἔῃ τὸ λυπέον τὸν ἄνθρωπον, [5] ἀναφέρειν τὴν θέρμην ἡ κοιλίη καὶ τὸ σῶμα δύναται ἐν τῇ κρίσι καὶ γίγνεται ὑγιὴς ὁ ἄνθρωπος, ἐπὴν ἐξέλθῃ ἡ ἰκμὰς ἡ πονέουσα καὶ ἣν ἡ τροφὴ τῷ πυρὶ ἐοῦσα ἐξαναλωθῇ, [6] ἡ δὲ ὑγιηρὴ ἐπικρατήσῃ. Ἐν τούτῳ τῷ λόγῳ νοσήσας ὁ ἄνθρωπος ὑγιὴς ἐγένετο δι' αἰτίας τὰς [7] προειρημένας.

cum molesto humore incalescit in seque magis quam antea recipit, quod in morbi iudicatione praesertim fit. Quodsi corpus paulatim ad ventrem dimittat, neque copiosum fuerit quod homini molestum est, ventriculus et corpus calorem in iudicatione perferre valet et homo convalescit, ubi is, qui affligit, humor exierit, et qui febri alimentum suppeditat consumptus fuerit, sanus vero superaverit. Hac ratione homo, qui aegrotavit, convalescit propter supra dictas causas.

ιϛ'. Νῦν δ' ἐρέω διότι θνήσκουσι ἐν τῇσι περισσῇσι τῶν ἡμερέων. Φημὶ δὲ ὅτι, ἢν πολλὸν ἔῃ τὸ πονέον ἐν τῷ σώματι, μᾶλλον τοῦ καιροῦ τετάρακται καὶ ἀλὲς [8] χωρέει ἐς τὴν κοιλίην, καὶ μὴ δυνάμενον ἀναφέρειν τὴν θέρμην τὸ σῶμα ἐπαυρίσκεται καὶ δυσωδίαν [9] δεῖ γενέσθαι περὶ τὸ πνεῦμα, καὶ οὐ δυνάμενον τὸ σῶμα ὑπὸ ἀσθενείης, ἅτε τοῦ ὑγροῦ παντὸς νοσεροῦ γενομένου, τὴν πνοὴν ἕλκειν, ὡς διαψύχηται τὰ ἐν τῇ κοιλίῃ, ἐξατμιᾷ ἔξω τοῦ ὑγροῦ πᾶν τὸ ζωτικὸν καὶ οὕτω θνήσκει ὁ ἄνθρωπος. Οὐ γὰρ ἐπικρατέει ἑτέρη ὑγιηρὴ ἰκμὰς, ἀλλὰ πᾶσα ὑπὸ τῆς νοσερῆς πολλῆς ἐούσης ἐπαιρομένη ἐξαναλωμένη ὑπὸ τοῦ πυρὸς, διεξήτμισε. Οὕτω δή περ ἐν τῇσι περισσῇσι ἡμέρῃσι μάλιστα ὁ πόνος γίγνεται· καὶ τοῦτο πᾶς οἶδε ὅς τίς ποτε. Καὶ μὴν

16. Nunc vero dicendum est, cur moriantur diebus imparibus. Ac mea quidem opinione, si copiosius fuerit quod corpori molestum est, plus iusto conturbatur confertimque ad ventrem fertur, corpusque, cum calorem ferre nequit, de eo haurit et graveolentem fieri spirationem necesse est. Cumque corpus prae imbecillitate spiritum, quo quae in ventre sint refrigerentur, attrahere nequeat, nimirum cum omnis humor morbosus exsistat, quidquid in humore vitalitatis inest foras exhalat, sicque quis moritur. Neque enim alter humor salubris superat, sed totus a morboso, quippe qui copiosus est, sublatus et a febre consumptus exspiravit. Sic sane diebus imparibus dolor accidit, idque nemo est, qui non noverit. Quin etiam quod quidem humor iis diebus conturbetur, illud indicio

[1] τὴν κοιλίην τὴν κάτω. — [2] δεχομένης. — [3] ἐν abest. — [4] κρίνεται. — [5] ἀναφέρει. — [6] ἢν δέ. — [7] εἰρημένας. — [8] ἰσχυρὸν ἐς. — [9] δὲ γίνεσθαι.

ἔχει — χρόνῳ.] Pro νικώμενον Ald. γινόμενον; — πρίν om. K.'
τοῦτο — προειρημένας.] τοῦτο δὲ κρίνεται Parr. 5. P.' Q.'; ἀναφέρει vulg., ἀναφέρειν L. Lind. — In seqq. vulgo ἐξαναλωθῇ. ἢν δὲ ἡ ὑγιηρὴ ἐπικρατήσῃ κ. τ. λ. In his tamen ἡ om. E., ἤν τε ἡ legit K.'; — ego Littréi emendationem sum amplexus; — προειρημένας E. H. P.' v. Lind., Littr., εἰρημένας vulg.
16. νῦν — ἡμερέων.] δ' E. H. Q.', δέ vulg.
Φημὶ — ὁ ἄνθρωπος.] ὅτι de meo interposui, collatis locis similibus ex hoc scripto; — χωρέει est Littréi emendatio vulgati in libris ἰσχυρόν; — δέ pro δεῖ etiam Parr. 4., γενέσθαι J. K. L. Lind.; — ἐξατμιεῖ vulgo, ἐξατμίζει aut ἐξατμιᾷ Weigel in suppl. ad Lex. Schneideri, ἐξατμιῇ Littr.; — ἐξατμιεῖ futurum est formae ἐξατμίζω, sed mihi ex ἐξατμιᾷ h. l. ortum videtur, quum probabile sit scriptorem praesens usurpavisse.
οὐ γὰρ — διεξήτμισε.] ἡ ὑγιηρή vulg., sed ἡ omm. Ald. Parr. 7.; — ὑγιηρὴ ἡ G.; — ἐπαιρομένης vult Foës. in adn., praebet Mack., non recipit Littr.; cum hoc consentio; — [καὶ] ἐξαν. Lind.; — ἐς τὸ πῦρ cod. v.
οὕτω δὴ — ποτε.] καί ante τοῦτο de meo adieci; — οἶδ' ὅς τίς ποτε E.; — εἶδεν J.
καὶ μὴν — ὑπερκαθαρθέντες.] ὅτι γε vulgo; γε omm

ὅτι τὸ ὑγρὸν τετάρακται ἐν ταύτῃσι τῇσι ἡμέρῃσι, [1] σημήϊον τόδε· ὁκόσοι ἤδη ὑπὸ πυρὸς ξυνεχέος ἐχόμενοι ἐφαρμακεύθησαν ἐν τῇσι ἀρτίοισι τῶν ἡμερέων, οὗτοι οὐ μὴν ὑπερεκαθάρθησαν· ὁκόσοι δὲ ἐν τῇσι περισσῇσι ἐφαρμακεύθησαν ἰσχυρῇ φαρμακείῃ, [2] ὑπερεκαθάρθησαν, πολλοὶ δὲ καὶ ἀπώλοντο ὑπερκαθαρθέντες. Οἱ γοῦν πρόσθεν ἰητροὶ ἐν τούτῳ μάλιστα ἡμάρτανον, ἐφαρμάκευον γὰρ ἐν τῇσι περισσῇσι ἡμέρῃσι καὶ ἀπώλλυον τοὺς ἀνθρώπους, οὐ γιγνώσκοντες ὅτι τοῦθ' οὕτως ἔχει. Τὸ γὰρ ὑγρὸν ἐν τῷ σώματι τοῦ νοσέοντος τετάρακται μᾶλλον ἐν τῇσι περισσῇσι τῶν ἡμερέων, οἷα τοῦ σώματος ἐς τὴν κοιλίην μεθιέντος τῆς ἰκμάδος· καὶ ἤν τις ἐπὶ τεταραγμένῳ ἐόντι ἔτι μᾶλλον ταράξῃ φάρμακον ἐμβαλὼν, οὐ θαῦμά ἐστι ἐκ τῶν τοιούτων ἀπολέσθαι τὸν ἄνθρωπον.

est: — qui iam febre continente detenti diebus paribus medicamentum purgans sumpserunt, ii sane supra modum numquam purgati sunt. Qui vero diebus imparibus vehemens medicamentum sumpserunt, ii purgati sunt supra modum multique etiam iusto plus purgati perierunt. Superiores igitur medici in hoc maxime peccarunt, quod diebus imparibus medicamenta purgantia exhibebant et homines interimebant, id ita se habere ignorantes. Humor enim in aegrotantis corpore magis diebus imparibus conturbatur, nimirum cum corpus ad ventrem humorem transmittat. Et si quis iam commotum medicamento iniecto magis commoveat, non mirum est, si ex his pereat.

ιζ΄. Καὶ τὰ ἕλκεα ἢν [3] μὴ μελεδαίνηται φλεγμαίνει μάλιστα ἐν ταύτῃσι τῇσι ἡμέρῃσι, ἔρχεται γὰρ τὸ ὑγρὸν ἐς [4] ἁπάσας τὰς φλέβας, ὁκόταν ταράσσηται, καὶ πληροῖ, ἐπὴν ἔλθῃ, τὸ ἕλκος· καὶ ἢν μὲν μελεδαίνηται καὶ ἔχῃ ἔξοδον τὸ πύον ἐξωθεόμενον ὑπὸ τοῦ ὑγροῦ τοῦ ἐλθόντος ἐν τῇ ταραχῇ, ἔξω ἀποκαθαίρεται τὸ ἕλκος· ἢν δὲ μὴ μελεδαίνηται, οὐκ ἔχον ἔξοδον τὸ πύον αὐτοῦ καταμένον ξὺν τῷ κατελθόντι πόνον παρέχει καὶ ἀείρει τὴν σάρκα τὴν περὶ τὸ ἕλκος· καὶ ἀπ' ἐκείνου, [5] ἢν μὲν ἐν τοῖσι σκέλεσι ἔχῃ τὸ ἕλκος, ἀείρονται αἱ φλέβες αἱ ἐν τῇσι προσφύσισι τῶν σκελέων ἐοῦσαι· ἢν δὲ ἐν τῇσι χερσὶ, αἱ [6] ἐν τῶν χειρῶν τῇσι προσφύσισι ἐοῦσαι· καὶ ἐκ [7] τούτου βουβῶνες γίγνονται.

17. Ulcera etiam nisi curentur, his maxime diebus inflammationem concipiunt: humor enim ad venas omnes pervadit quando conturbatur et ulcus, cum eo pervenerit, implet. Ac si quidem curetur pusque ab humore adfluente in conturbatione propulsum exitum habeat, ulcus foras expurgatur. Sin non curetur, pus exitu destitutum ibi remanens cum defluente humore dolorem facit et carnem circa ulcus attollit; ab eoque si homo ulcus in crure habeat, attolluntur venae in crurum connexionibus; sin in manibus, eae quae sunt in manuum connexionibus, unde tumores in inguine oriuntur. At quibus febris accidit, nullo alio malo hominem detinente, accidit ex pinguiore quam par est humore, venaeque impletae dolorem et calorem ulceri ex-

[1] σημήϊον τόδε. — [2] ἐκαθάρθησαν. — [3] μή om. — [4] πάσας. — [5] κἤν. — [6] ἐν om. — [7] τούτων.

Parr. 5. et Voss.; — αὐτῇσι τῇσι ἡμ. vulgo, sed ταύτῃσι τῇσι requiri putavi; — cf. initium § 17.; — σημήϊόν ἐστι τόδε vulg., sed ἐστι omm. Parr. 5. et Voss.; — ὑπεκαθάρθησαν Ald. Parr. 7., ὑπερεκαθάρθησαν est Cornarii emendatio a Lind., Littr., recepta, vulgatam vero e V. notavi.

17. καὶ τὰ ἕλκεα — γίγνεται.] Vulgo ἢν μὲν μελεδαίνηται initio, ubi tamen μέν omm. K. L. Lind.; — Littréus haec verba expulit, ex iis, quae sequuntur, errore librarii huc translata esse opinatus; falso, me iudice, nempe μέν e μή ortum est, quod si reponas optime congruunt. In cod. E. omittuntur verba φλεγμαίνει — μελεδαίνηται, verum in marg. restituta sunt ad hunc modum: μάλιστα ἐν τ. τ. ἡμ. φλεγμαίνει, τὸ γὰρ ὑγρὸν ἐς ἁπάσας ἔρχεται τὰς φλέβας .... ἐπὴν ἐς τὸ ἕλκος ἡ νοῦσος ἵκηται. Nimirum vulgo ἐπὴν ἔλθῃ ἐς τὸ ἕλκος ἡ νοῦσος; in quibus quid ἡ νοῦσος sibi velit, non capio. Est emblema alienum, quod abiicio; pariterque reiiciendum ἐς ante τὸ ἕλκος. His demptis demum locus intelligitur et cum sequentibus congruit. Quod ad ἐς attinet, non nescio fortasse id defensurum esse lectorem, ita ut καὶ πληροῖ ἐπὴν ἔλθῃ ἐς τὸ ἕλκος accipiat καὶ ἐπὴν ἔλθῃ ἐς τὸ ἕλκος, αὐτὸ πληροῖ; sed mihi tamen probabilius videtur ἐς insiticium esse. Porro καὶ ἢν μελεδ. K. sine μέν; — in sequenti vero ἢν δὲ μή excidit μή e vulg., sed multi praebent codd. aliique negationem deësse dudum viderunt; —

Ὁκόσοισι δὲ πῦρ ἐμπίπτει, ἄλλου μηδενὸς τὸν ἄνθρωπον κακοῦ ἔχοντος, ἀπὸ τῆς πιοτέρης ἐούσης τοῦ καιροῦ ἐμπίπτει καὶ πληρεύμεναι αἱ φλέβες πόνον καὶ θέρμην τῷ ἕλκεϊ παρέχουσι· τὸ δὲ θερμανθὲν καὶ τὸ ἄλλο σῶμα θερμαίνει, καὶ ἡ θερμασίη οὕτως ἐς τὰ ἕλκεα γίγνεται· θερμαίνεται γὰρ τὸ σῶμα καὶ τὰ ἕλκεα ὑπὸ τῆς κλονήσιος τοῦ ὑγροῦ· καὶ ἡ ταλαιπωρίη τωὐτὸ ἐργάζεται. Ἀποφλεγμαίνει δὲ τὰ ἕλκεα πεμπταῖα καὶ κατὰ λόγον τούτων τῶν ἡμερέων, ὡς ἂν καὶ τὰ ἕλκεα μεγέθεος [1] ἔχῃ, καὶ τριταῖα καὶ πεμπταῖα καὶ ἑβδομαῖα καὶ ἐναταῖα καὶ ἑνδεκαταῖα· εἶτα ἀπηρτισμένης [2] τῆς πρώτης περιόδου, πάλιν δευτέρας [3] ἀρχὴ ἡ τρίτη, ἥ τις ἐστι ἀπὸ τῆς πρώτης τεσσαρεσκαιδεκάτη· τὰ δὲ μέγιστα αὐτῶν τεσσαρεσκαιδεκαταῖα ἀποφλεγμαίνει. Οὗτος ὁ λόγος αἱρέει τὰ νοσήματα κρίνεσθαι ἐν τῇσι περισσῇσι τῶν ἡμερέων καὶ τὴν ἰκμάδα τῷ ὑγιέϊ τριταίην ἐξιέναι, τὴν δὲ κόπρον δευτεραίην· καὶ ταῦτα τριταῖα ἐόντα ἱστορέει ἀλλήλοισι ὅτι οὕτως ἔχει. Οὕτω δέ μοι ὁ λόγος οὗτος πᾶς ἐκκεκορύφωται.

hibent. Quod cum calefiat, etiam reliquum corpus calefacit, eoque modo calor in ulceribus gignitur. Humoris enim agitatione corpus et ulcera incalescunt; idemque immoderatus labor efficit. Ulcera autem quinto die inflammatione sedantur et secundum horum dierum rationem pro ulcerum magnitudine etiam tertio die et quinto et septimo et nono et undecimo. Deinde exacto primo circuitu, rursus tertio die, qui est secundi principium et a primo decimus quartus. Ex iis vero maxima decimo quarto die inflammatione sedantur. Atque haec oratio declarat morbos diebus imparibus iudicari et humorem in sano tertio die exire, stercus vero secundo. Et ista, quae tertio die accidunt, rem ita se habere mutuo inter se attestantur. Ad hunc modum tota haec oratio summatim et velut a capite est a me ad extremum deducta.

ιη'. Νῦν δὲ ἐθέλω ἀτρεκέστερον εἰπεῖν, διότι νοσέουσι οἱ ἄνθρωποι· ἐρέω δὲ ξὺν τούτῳ τῷ λόγῳ καὶ τίνες ἀρχαὶ τῶν νούσων εἰσὶ, καὶ ὁκοῖα ἑκάστη αὐτέων ἐργάζεται. Φημὶ δὲ, ἢν μὲν ἐμμείνῃ τὰ σιτία πλείονα τοῦ καιροῦ ἤδη πεπεμμένα ἐόντα καὶ ὁ ἄνθρωπος μὴ ἀποκαθαίρηται καὶ ἕτερα σιτία ἐπιπίπτῃ, τὸ σῶμα πληρούμενον ὑπὸ τῆς ἰκμάδος τῆς προτέρης καὶ τῆς νέης, θερμαίνεσθαι καὶ πῦρ ἐκ τούτου γίγνεσθαι τῷ ἀνθρώπῳ. Τὸ δὲ

18. At nunc exactius quam ob causam homines aegrotent mihi dicendum est, simulque exponendum quae sint morborum principia et quae horum quidque efficiat. Mea autem sententia, si cibi quidem plus iusto copiosi iam concocti intus morentur, neque homo repurgetur et altera cibaria insuper adiiciantur, corpus priore humore et recenti plenum incalescit indeque homini febris accidit. Verum sic oborta febris neque periculi plena neque vehemens est,

[1] ἔχει. — [2] τῆς om. — [3] ἀρχῆς τρίτη.

πῦος vulg., de meo πῦον dedi. — Dein κὴν μέν edd. antt., Parr. 6.; — καί ante ἤν E.; — αἱ τῶν χειρῶν vulgo, sed ἐν suppleverunt Lind., Littr.

ὁκόσοισι — ἐργάζεται.] ὁκόσοισι δὲ τῶν ἀνθρώπων vulgo, otiosum τῶν ἀνθρώπων abieci; — ἐμπίπτει Mack. et Littr. e pluribus mss., ἐμπίπτῃ vulg.; — ἄλλο μηδὲν τοῦ ἀνθρώπου κακὸν ἔχοντος ceteri; de meo mutavi; — τοιοῦτον cett., τωὐτό de meo.

ἀποφλεγμαίνει — ἀποφλεγμαίνει.] Ceteri μέγεθος, sed in hac formula genitivus poni solet; — τῆς ante πρώτης de meo praemisi; — ἀρχῆς vulg., sed ἀρχή K.', Lind., Mack., Littr.; — ἡ ante τρίτη K.' Mack., Littr., vulgo om.

οὗτος — ἔχει.] Ceteri οὗτος ὁ λόγος ἐρεῖ; — de coniectura αἱρέει scripsi: plane idem vitium in libro περὶ φύσιος παιδίου τοῦ ἐν τόκῳ monente Cobeto sustulimus. Vide adn. ad § 7. l. l.

οὕτω — ἐκκεκορυφῶται.] οὗτος ὁ λόγος in his E. H.

18. νῦν — ἐργάζεται.] ἀτρεκέστατον H., sed al. m. vulg. restituitur; — αὐτέων ἑκάστη K.

φημὶ — ἀνθρώπῳ.] δέ om. H.; — πληρεύμενον K.' De meo θερμαίνεσθαι et γίγνεσθαι scripsi, ubi vulgo θερμαίνεται, γίγνεται s. γίνεται.

τὸ δὲ πῦρ — γίγνεται.] ἡ ante ἰκμάς om. vulg., addidit ex E. H. Littr.; — ἡ ante ἡμέας de suo supplevit Littr.; —

πῦρ οὕτως γενόμενον οὐκ ἄπορον, οὐδὲ [1] ἰσχυρόν ἐστι, ἐν ᾧ [2] ἡ ἰκμὰς ἰσάζει κατὰ πλῆθος [3] ἡ ἡμέας λυπέουσα ἢ ὀλίγῳ πλέων· ἢν γὰρ τοῦθ' οὕτως ἔχῃ καί τις κάρτα ἰσχύῃ καὶ τὰ ἐπιτήδεια προσενέγκῃ, ὑγιὴς γίγνεται. Ἓν δὲ νόσημα [4] μόνον ἀπὸ πάσης τῆς ἰκμάδος καὶ σημήϊα ἴσχει ἑπτά· [5] βὴξ τε γὰρ ἴσχει μιν, βληχρὴ [6] καὶ ξηρὴ ἐοῦσα, ἡ [7] γαστήρ τε σκληρὴ γίγνεται, ἅτε τοῦ ἀποπάτου ἐόντος ἐντὸς, [8] καὶ τὴν κεφαλὴν βαρέεται, [9] καὶ [10] ἐξερᾷ, καὶ πυρεταίνει [11] καὶ οὖρον οὐ χρηστῶς διέρχεται· ταῦτα δέ ἐστι τῆς νούσου ταύτης ἀπὸ πάσης τῆς ἰκμάδος γενομένης σημήϊα ἑπτά· ἢν δὲ τοῦ ἀποπάτου μὴ διαχωρέοντος κρατέῃ μία ἰκμὰς τῶν ἄλλων, [12] πολλῷ κάλλιον ἐμπολήσει ὁ ἄνθρωπος. Καὶ ἤν τις τῷ πυρετῷ γενομένῳ ἀπὸ πάσης τῆς ἰκμάδος τὰ ἐπιτήδεια μὴ προσενέγκῃ, περιοίσεται ἡ νοῦσος, ὅσῳ [13] γ' ἂν αὐτὴ κρατέῃ τῶν ἰκμάδων, τρόπῳ τοιῷδε· θερμαινομένου τοῦ [14] σώματος ἐξατμιᾷ μάλιστα διὰ τούτου [15] τὸ ὑδρωποειδὲς, ὅ τι ἐστὶ τῷ πυρὶ πολεμιώτατον· καταλείπεται δὲ τὸ λιπαρὸν καὶ κοῦφον, ὅ τι ἐστὶ χολῶδες καὶ τῷ πυρὶ [16] τροφὴ μάλιστά ἐστι. Ἐξατμιᾷ δὲ τρόπῳ τοιῷδε· ὥσπερ εἴ τις ὕδωρ καὶ ἄλειφα ἐς χαλκεῖον ἐγχέας, ξύλα πολλὰ ὑποκαίοι πουλὺν χρόνον, τὸ μὲν δὴ ὕδωρ πολλῷ [17] ἔλασσον ἔσται· ἐξατμισθήσεται γὰρ ἐκ τοῦ χαλκείου· τὸ δὲ ἄλειφα [18] ὀλίγῳ ἔλασσον, ὅτι τὸ μὲν

in qua humor nobis molestus copia par est aut paulo abundantior; si enim sic se res habet, et quis admodum sit robustus, eaque quae conveniunt adhibeat, sanus evadit. Unus autem hic solus morbus est ab omni humore et signa habet septem. Tussis enim levis et sicca detinet, venter durus redditur, cum nimirum stercus intus retineatur, caput gravatur et vomit, febricitat, neque lotium probe exit. Istaque sunt huius morbi ex omni humore orti septem indicia. Sin stercore non prodeunte unus ex reliquis humoribus superet, melius homo habebit. Ac si quis in febre ex omni humore orta quae sunt idonea minime adhibuerit, circumagetur morbus, quantum ipse humores superaverit hoc modo. Incalescente corpore per hoc aquosum, quod est febri maxime infensum, praecipue exhalat; relinquitur vero pingue et leve, quod est biliosum et praecipuum febris alimentum. Ad hunc autem modum exhalat, non secus ac si quis affusa in vas aeneum aqua et oleo, ligna multa diutius succendat, aqua certe longe paucior, cum ex vase exhalet, futura est; oleum vero paulum imminuetur, quia aqua quidem propter raritatem ab igne extenuari et levis reddita exhalare potest; oleum vero cohaerens et densum extenuari nequit, neque uti aqua exhalare. Ita sane et in homine res se habet. Incalescente enim corpore aqua foras exhalat; quod vero est biliosum cum co-

[1] ἰσχυρότερον. — [2] ἡ om. — [3] ἡ om. — [4] μόνον abest. — [5] πρῶτον βήξ. — [6] δεύτερον καὶ ξ. — [7] τρίτον ἡ γαστὴρ σκληρή κ. τ. λ. — [8] τέταρτον καί. — [9] πέμπτον καί. — [10] ἐξειᾷ ἕκτον καὶ π. — [11] ἕβδομον καί. — [12] πολλῷ om. — [13] δ' ἄν. — [14] αἵματος ἐξατμιεῖ. — [15] τοῦ ὑδροποειδέος. [16] τροφή excidit. — [17] καὶ ἐλ. — [18] ὀλίγον.

vulgo ὀλίγῳ πλέον sine ἤ, sed incongruum est ὀλίγῳ πλέον ἰσάζει. itaque ἤ de meo interposui et πλέων scripsi.

ἓν δὲ νόσημα — ὁ ἄνθρωπος.] μόνον omm. Parr. 3. Ante βήξ addunt α Parr. quinque, similiterque in nonnullis libris β. γ. δ. cett. deinceps ponuntur locis, ubi πρῶτον, δεύτερον cett. e Voss. excerpsi; recepit haec Mack. ex L. — Porro ἡ ante γαστήρ ex E. H. J. K. recepi, dederat autem dudum Lind.; — δέ pro τε Lind.; — ξηρή E. H.; — ἐντὸς ἐόντος J.; — εἴσω ἐόντος E. H. P.′ ν.; — ἐξεμεῖ E., ἐξεᾷ Ald. Parr. 6.; — τῆς ἀπὸ πάσης ἰκμ. K.; — ἰκμὰς τῶν ἄλλων E. H. ν., τῶν ἄλλων ἰκμ. vulg.; — πολλῷ E. P. P.′ Q.′ ν. Littr., vulgo om. — Advertit nostrum de septem signis, quae enumeraturus sit, hic loqui, cum tamen sex tantum describuntur: vitium igitur hoc loco latet, cuius rationem non prorsus assequor, sed puto signi unius cuiusdam descriptionem periisse; nisi forte re ipsa τὴν βῆχα τὴν βληχρὴν καὶ ξηρήν pro duobus signis lectori obtrudat.

καὶ ἤν τις — μάλιστά ἐστι.] γινομένῳ vulg., γεννομένῳ K., aoristum praefero; — ἀποστάσης vulg., ἀπὸ πάσης Cornarii est emendatio dudum ab aliis recepta; — ὅσῳ γ' ἄν Littr., ὅσῳ δ' ἄν vulg.; — αἵματος vulg., σώματος H., in quo vulg. restituitur, Foës. idem voluit, dederunt Mack., Littr.; — ἐξατμιεῖ vulg., ἐξατμιῇ Littr., dedi ἐξατμιᾷ, ut supra; — διὰ τοῦτο desideravit Foës.; — τοῦ ὑδρωποειδέος vulg., emendavit Foës.

ἐξατμιᾷ — τῷ ὕδατι.] ἐξατμιεῖ K.; — ὑποκαίει vulg., ὑποκαίοι E. H. L. Lind., Littr.; — γάρ om. J.; — ἄλειφαρ E. Lind. tum h. l., tum paulo post, Lind. etiam paulo ante invexit; — κατλεπτύνεσθαι ὑπὸ ἀραιότητος E. H.; — ἐξατμιᾶν Ald. Parr. 6. Littr., ἐξατμιᾷ vulg. — οὐδὲ ἀτμιῶν vulgo, mutavi de meo.

ὕδωρ ὑπὸ τῆς ἀραιότητος καταλεπτύνεσθαι δύναται ὑπὸ τοῦ πυρὸς καὶ κοῦφον γενόμενον ἐξατμιᾶν, τὸ δὲ ἄλειφα ἅτε ξυναφὲς ἐὸν καὶ πυκνὸν οὐ δύναται καταλεπτύνεσθαι, οὐδ' ἐξατμιᾶν ὁμοίως τῷ ὕδατι. Οὕτω δὴ καὶ ἐν τῷ ἀνθρώπῳ ἔχει· ὁ μὲν γὰρ ὕδρωψ θερμαινομένου τοῦ σώματος ἐξατμιᾷ ἔξω· τὸ δὲ χολῶδες ἅτε ξυναφὲς ἐὸν καὶ πυκνὸν οὐ δύναται ἐξατμιᾶν καταλεπτυνόμενον ὁμοίως· τὸ δὲ χολῶδες καταλειπόμενον μᾶλλον ποιεῖ θερμαίνεσθαι τὸ σῶμα· πλείων γὰρ καὶ καλλίων τροφὴ τῷ πυρὶ [1] γίγνεται καὶ ῥακούμενον ἐν τῷ σώματι ἢ στηριξάμενον τὴν νοῦσον ἐπεκράτυνε πρὸς τὰ πρόσθεν. Καὶ ταῦτα μὲν εἴρηται ὅτι πάσχει ὁ ἄνθρωπος, ἢν μὴ καθαίρηται καὶ μελεδαίνηται.

ιθ'. Ἢν δὲ [2] μὴ αὐτῶν πλήθεϊ κρατήσῃ, εἴτε ἐς ἅπαξ πολλὴ γενομένη εἴτε καὶ κατὰ σμικρὸν ξυλλέγηται καὶ τὸ ἄλλο σῶμα ὀδυνᾶται, τοῦτο [3] γενόμενον ὑπὸ ἰσχύος ἀναφέρει, [4] μέχρις οὗ ἀρχή τις ἐπιγένηται καὶ [5] ἢν τὸ πλεῖον [6] γενόμενον ὑγρὸν μὴ ἀποκαθαίρηται ὁ ἄνθρωπος, νοῦσος ἔνθεν γίγνεται τρόπῳ τοιῷδε. Ἀρχαί εἰσι τρεῖς ἀφ' ὧν αἱ νοῦσοι γίγνονται· καὶ μία μὲν ἤδη εἴρηταί μοι [7] ὁκοῖα ἅσσα ἐργάζεται ἐν τῷ σώματι· ἀπέδειξα γὰρ ὅκως τε καὶ διότι, ἢν μὴ ἀποκαθαίρηται ὁ ἄνθρωπος, νοσέει· δευτέρα δέ ἐστι ἢν ξυμβῇ τὰ ἐκ τοῦ οὐρανοῦ ἀνεπιτήδεια καὶ παρὰ δίαιταν εἶναι· τρίτη [8] δὲ ἤν τι βίαιον προσπέσῃ· βίαιον δὲ λέγω εἶναι καὶ πτῶμα καὶ τραῦμα καὶ πληγὴν καὶ ταλαιπωρίην καὶ εἴ τι ἄλλο ἐστὶ τοιοῦτον. Τούτων δὲ τῶν ἀρχέων μεγίστη ἐστὶ βίη, ἢν μεγάλη ἔῃ, ἢν δὲ μικρή, οὐ μεγίστη· δευτέρη δέ, ἢν μὴ ἀποκα-

haerens et densum sit, non potest attenuari similiter neque exhalare. Verum relictus biliosus humor efficit ut corpus magis incalescat. Copiosius enim et melius alimentum febri suppeditat et in corpus dispersus aut firmatus morbum cum prioribus corroborat. Atque ista quidem homini accidere, nisi purgetur aut curetur, dicta sunt.

19. Quodsi horum copiâ non superet, sive semel multa, sive paulatim colligatur, et reliquum corpus dolore affligat, id dum accidit, prae robore perfert, donec principium quoddam accedat; et si ex homine copiosior factus humor minime expurgetur, ex eo morbus oritur ad hunc modum. Cum tria sunt principia, ex quibus morbi oriuntur, unum quidem iam a me dictum est et quid in corpore efficiat. Ostendi enim quomodo et quam ob causam homo, nisi repurgetur, aegrotet. Alterum est, si quae ex coelo pendent minime sint commoda et praeter victus rationem accidant. Tertium est, cum quid violentum inciderit. Violentum autem esse dico et casum et vulnus et percussionem, immoderatum laborem et alia id genus. At horum principiorum vis, si magna fuerit, maximum est, sin parva, non adeo magnum. Post hoc vero si homo non expurgetur. Ter-

[1] γίγνεται ἡ χολή. — [2] μή abest. — [3] γινόμενον. — [4] μέχρι. — [5] ἤν om. — [6] γινομ. — [7] ὁκοῖα καὶ ὅσα. — [8] δέ ἐστι ἤν τι κ. τ. λ.

οὕτω δὴ — πρόσθεν.] καὶ ἐν τῷ ἀνθρώπῳ δὲ οὕτως ἔχει K.; — δέ pro δή E.; — ἀτμιᾷ E. H., οὐχ ὁμοίως καταλεπτυνόμενον ἀτμιᾷ ἔξω H. v.; — καταλεπτυνόμενον δὲ τὸ χολῶδες E. H. K. v.; — οὐ δύναται ἀτμιᾶν vulg., de meo ἐξατμιᾶν dedi; — καταλεπτυνόμενον vulg., Littr. καταλειπόμενον emendavit; — γίνεται ἡ χολή vulg., sed ἡ χολή omm. H., in quo rest. al. m., v. Littr.; ἐπεκράτυνε om. K.; — ἔμπροσθεν L. Lind., Mack.

καὶ ταῦτα — μελεδαίνηται.] εἰ E.; — καθήρηται E. I. 19. ἢν δὲ μὴ — τοιῷδε.] Pro αὐτῶν K.' Mack. αὐτῷ; — Ionice σμικρόν ex H. Littr.; — συλλέγεται E. H. Littr., συλλέγηται vulg., συνάγηται G.; — τοῦτο [δέ] Lind.; — γενόμενον H. Littr., γινομ. vulg.; — ἡ ἀρχή τις Parr. 6.; — ἤν omm. Ald. Parr. 7.; — γενόμενον E. H. Littr.; — γινομ. vulg.

ἀρχαὶ — τοιοῦτον.] δή E. H. pro ἤδη; — καί pro μοι iidem; — ὁκοῖα ἅσσα iidem et Littr., ὁκοῖα καὶ ὅσα vulg.; — καθαίρηται G.; — τρίτη δέ ἐστιν vulg., ἐστιν omm. E. H. Littr.; — εἶναι λέγω E. K.; τοιοῦτο E. H.

τούτων — ὑγίειαν.] τήν ante ὑγίειαν E. H. Q.' Lind. Mack., Littr., τήν vulgo om.

θαίρηται ὁ ἄνθρωπος· τρίτη δὲ ἣν τὰ ἐκ τοῦ οὐρανοῦ ἀνεπιτήδεια ἔῃ [1] πρὸς τὴν ὑγίειαν. Τούτων τοιγαροῦν δεῖ φυλακὴν ἔχειν· ἕκαστα δ' αὐτῶν τοιοῦτον ἐργάζεται ἐν τῷ σώματι, ὁκοῖον ἐγὼ ἐρέω. Ἢν μὲν τρῶμα γένηται, δῆλον ὅτι [2] ἡ σὰρξ διεκόπη καὶ ἕλκος ἐγένετο· τοῦτο δὲ νόσημα ὀνομάζω εἶναι. Ἢν δὲ [3] φλάσμα γένηται πληγέντος, ἢ πεσόντος, ἤ τι ἄλλο τοιοῦτο παθόντος, καὶ οἴδημα γένηται, τὸ αἷμα αὐτίκα θερμανθὲν ὑπὸ τῆς βίης καὶ ὑποδραμὸν ἐς τὰς φλέβας χανούσας, οὐκ ἔχον ἔξοδον ὑπὸ πλήθεος ἀπελθεῖν ξυνεστράφη καὶ τὸ οἴδημα διὰ τοῦτο ἐγένετο καὶ μέχρι τούτου πάρεστι, μέχρις ἂν ἀποκαθαρθῇ καθότι ἀπὸ τῶν χωρίων εἴρηται, ἢ κατ' αὐτὸ τὸ οἴδημα [4] εἴτε ξὺν χειρουργίῃ εἴτε καὶ μὴ δίοδος γένηται τῷ αἵματι ἢ πυωθέντι ὑπὸ χρόνου ἢ καὶ μή. Καὶ ἡ ταλαιπωρίη δὲ τὸ αὐτὸ ἐργάζεται· ὁκόταν γὰρ οἱ ἄνθρωποι ταλαιπωρέωσι, οἷσι ἂν μάλιστα τοῦ σώματος ταλαιπωρίη ᾖ, κεῖθι στηρίζεται καὶ θερμαίνεται καὶ πόνος ἐκ [5] τοῦ τοιούτου γίγνεται· ἢν [6] δὲ κρατήσῃ μὲν τούτων, κάρτα δὲ πλῆθος [7] γεννήσῃ ἡ ταλαιπωρίη, καὶ ἡ κοιλίη καὶ κύστις μηδαμῶς διηθήσῃ ἐν τάχεϊ τὸ πλῆθος, πῦρ ἐπιπέσοι ἂν ἐκ τούτου. Κῆν μὲν ἡ πρόσθεν [8] ἰσάσῃ ἰκμὰς, οὐδαμῶς· ἣ δ' ἂν ἐν τῇ ταλαιπωρίῃ αὐτέων πλείστη ἐν τῷ σώματι καταμένῃ, κρατέει κείνη. Ταῦτα δέ μοι εἴρηται περὶ βίης, ὁκοῖα ἐν τῷ σώματι κατεργάζεται· καὶ αὗται μὲν δύο ἀρχαὶ ἐοῦσαι, ἥ τε βίη καὶ ἡ πληθώρη, ἣν μὴ ἀποκαθαίρωνται οἱ ἄνθρωποι, θερμαίνουσι τὰ σώματα.

tium autem si quae ex coelo accidunt, non fuerint ad sanitatem accommodata. Horum igitur diligens cura habenda est, cum horum quidque quod referam in corpore efficiat. Si quidem vulnus factum sit, carnem dissectam esse manifestum est ulcusque exstitit. Hoc autem morbum appello. Si vero ex plaga aut casu aut alia quapiam affectione eiusmodi contusio et tumor oboriatur, sanguis per vim calefactus et per venas hiantes subiens, cum prae copia exitum quo abire possit non habeat, illic colligitur eamque ob causam tumor fit, tamdiuque adest, quoad ex locis eo quo dictum est modo aut per ipsum tumorem repurgatus fuerit, et sanguini cum tempore vel in pus verso, vel non, exitus sive per manus operam, sive sine ea pateat. Quin et immoderatus labor idem efficit. Cum enim homines immoderate laboraverint, quibus corporis partibus praecipue labor fuerit, in iis firmatur et calefit, unde dolor accidit. Quodsi haec quidem superet, labor autem valde magnam copiam progenuerit, et venter et vesica minime celeriter copiam percolent, febris inde orietur. Ac si prior humor aequalis fuerit, minime fiet; qui vero in labore eorum plurimus in corpore maneat, iste superior evadit. Atque haec quidem de vi, quaenam in corpore conficiat, dicta sunt. Istaque duo principia, nempe vis et plenitudo, nisi homines repurgentur, corpora calefaciunt.

[1] πρὸς ὑγείην. — [2] ἡ om. — [3] θλάσμα. — [4] καὶ εἴτε. — [5] τοῦ abest. — [6] δέ. — [7] γένηται ταλ. — [8] ἰστάζῃ.

τούτων — ἐρέω.] τοιγαροῦν om. H.

ἢν — εἶναι.] ἡ ante σάρξ E. H. Littr., vulgo om.

ἢν δὲ — μή.] τρωθέντος pro πεσόντος E. P.′ Q.′; — τὸ γὰρ αἷμα Lind.; — μέχρις τούτου H.; — παρέστη pro πάρεστι E.; — ἂν de meo; — καθότι εἴρηται ἀπὸ τῶν χωρίων Lind.; — καὶ εἴτε σὺν χειρ. vulg., καί delevit Littr.

καὶ ἡ — ἐκ τούτου.] τὸ αὐτό de meo, τοιοῦτο cett.; — οἷσιν ἂν μάλιστα τοῦ αἵματος ceteri; lego σώματος, quippe quod congruit, αἵματος vero incongruum; — καὶ ὁ πόνος E. P.′ Q.′ Mack.; — τοῦ ante τοιούτου omm. Parr. 4.; — ἢν δὴ κρατηθῇ vulg., δέ lego cum E., κρατήσῃ cum Corn., Littr.; — πλῆθος (πλήθεος K.) γένηται ταλαιπωρίη (ταλαιπωρίης E.) (ἐκ ταλαιπωρίης Mack.) — Littréus γένηται in γεννήσῃ mutavit. — Possis Mackium sequi, possis Littréum sequi, sicuti feci ipse, nisi quod ἡ ante ταλαιπωρίη de meo supplevi, — possis in vulgata ταλαιπωρίη scribere; — fortasse alio modo locum constituere; — καὶ ἡ κύστις Lind.; — ἐκείνη pro ἐκ τούτου Mack. in marg.

κῆν μὲν — κείνη.] ἰσάζῃ Ald., Parr. 6., cf. lectionem V.; — ἢν δ' ἐν (δὲ ἐν Parr. 5.) τῇ ταλ. vulgo, de coniectura mutavi; — πλεῖστον E.; — ἢ ἐν τῷ E. H.

ταῦτα — σώματα.] ἐργάζεται Parr. 7. ν.

κ'. Ἡ δὲ ἐκ τοῦ οὐρανοῦ ἀνεπιτήδειος γενομένη τῷ ἀνθρώπῳ ἐκράτησέ τε τοῦ ὑγροῦ καὶ θερμαίνει ὡς ἐς νόσον καὶ ψύχει, [1] ὁπότερον ἂν τύχῃ γενόμενον· ἐρέω δὲ πρῶτον μὲν περὶ τοῦ ὡς θερμαίνει. Φημὶ οὖν ἢν ἐν αὐτῷ τῷ ἀνθρώπῳ ἐνέῃ τι νοσερὸν, ὁκοῖον ἐν τῷ [2] προτέρῳ εἴρηκα, καὶ τὰ ἐκ τοῦ οὐρανοῦ ἀνεπιτήδεια γένηται καὶ θερμαίνηται ὁ ἄνθρωπος, ταράσσεσθαι τὸ ὑγρὸν πᾶν θερμαινόμενον ἐν τῷ σώματι, τοῦτο δὲ ποιέει βίῃ· καὶ ἢν μὲν ἀποκαθαίρηται ὁ ἄνθρωπος, τοῦδε ταρασσομένου, ἀποκρίνεται ὁκόσον ἂν πλέον ᾖ τοῦ καιροῦ. Ἔοικε δὲ τοῦτο ᾧπερ οἱ Σκύθαι ποιέουσι ἐκ τοῦ ἱππείου γάλακτος· ἐγχέοντες γὰρ τὸ γάλα ἐς ξύλα κοῖλα σείουσι· τὸ δὲ ταρασσόμενον [3] ἀφριᾷ καὶ διακρίνεται καὶ τὸ μὲν πῖον, ὃ βούτυρον καλέουσι, ἐπιπολῆς διΐσταται ἐλαφρὸν ἐόν· τὸ δὲ βαρὺ καὶ παχὺ κάτω ἵσταται, ὃ καὶ ἀποκρίναντες ξηραίνουσι· ἐπὴν δὲ παγῇ καὶ ξηρανθῇ, ἱππάκην μιν καλέουσι· ὁ δὲ ὀρρὸς τοῦ γάλακτος ἐν μέσῳ ἐστί. Οὕτω δὲ καὶ ἐν τῷ ἀνθρώπῳ, ταρασσομένου τοῦ ὑγροῦ [4] παντὸς τοῦ ἐν τῷ σώματι, ὑπὸ τῶν ἀρχῶν διΐσταται ὧν εἴρηκά οἱ πάντα καὶ ἐπιπολῆς μὲν τὸ τῆς χολῆς ἐφίσταται· κουφότατον γάρ ἐστι· δεύτερον δὲ τὸ τοῦ αἵματος· τρίτον δὲ τὸ τοῦ φλέγματος· βαρύτατον δέ ἐστι τῶν [5] ὑγρῶν τούτων ὁ ὕδρωψ. Τούτων [6] δ' ἐόντων, ὅ τι ἂν [7] ἐν τούτῳ πλεῖστον ᾖ, ἐν ἀρχῇσι

20. Quod vero ex coelo dependet principium si homini minime commodum fuerit, humorem superat et tanquam ad morbum viam faciens, calefacit, et refrigerat, quodcumque horum acciderit. Primum autem quomodo calefaciat dicendum. Mea igitur opinione, si in ipso homine morbosum aliquid insit, quale prius dictum est et ea quae ex coelo pendent minime commoda fuerint, homoque incalescat, totus corporis humor incalescens conturbatur; idque vis praestat. Et si quidem homo conturbato humore expurgetur, quantum plus aequo abundat secernitur. Istud vero similiter se habet atque id quod ex lacte equino Scythae conficiunt. Lac enim in vasa lignea cava affusum agitant, conturbatum vero spumescit et separatur. Ac pingue quidem, quod *butyrum* vocant, cum leve sit in summo seponitur, grave vero et crassum subsidet, quod etiam cum separaverint, siccant. Quod cum concretum et siccatum fuerit, *hippacen* appellant. Lactis vero serum medium locum habet. Ad hunc vero modum etiam in homine omni qui in corpore inest humore commoto a principiis, quae dixi omnia illi in suas partes discedunt et in superficie supernatat humor bilis; levissimus enim est; secundo loco vero sanguinis humor, tertio vero pituitae, gravissimus vero horum humorum est aqua. Cum autem haec ita se habeant, quidquid in morbo copia abundat, dum tur-

[1] πρότερον ἢν τ. γ. — [2] προτέρῳ. — [3] ἀφριεῖ. — [4] πᾶν τὸ ἐν τῷ σ. — [5] ὑγροτάτων ὁ ὕδρωψ. — [6] δὲ ὄντων. — [7] ἐν νούσῳ.

20. ἡ δὲ — θερμαίνει.] ἐκ δὲ τοῦ H. ν., sed in illo alia m. vulg. restituitur, — ceteri ἐν τῷ ἀνθρώπῳ, mihi iungendum videtur ἀνεπιτήδειος τῷ ἀνθρώπῳ, ita ut ἐν abiiciam. In H. ante ἀνεπιτήδειος legitur ἀνεπιτήδεια. — Dein ceteri ἐκράτησέ τι τοῦ ὑγροῦ, at me iudice τοῦ ὑγροῦ pendet ab ἐκράτησε et τι ex τε ortum duxit. — Porro ὁπότερον ἄν Littréus de suo, ubi πρότερον (πότερον prima m. in H.) ἤν vulgata; optimam emendationem lubens amplector. Tum πρότερον περί vulgo, sed, πρῶτον μέν ferunt E. H., πρῶτον sine μέν cod. ν.; puto autem πρότερον ex antecedente ὁπότερον esse natum.

Φημὶ οὖν — καιροῦ.] οὖν om. H., sed rest. al. m.; — τῷ αὐτῷ cett.; — νοσηρόν vulg., νοσερόν E. H.: — ἐν τῷ πρότερον εἴρ. ex E. H. I. J. K. Littr., ego vulgatam praefero. Dein ἀνεπιτ. γίνηται E. H. I. K. Littr., ἀνεπιτ. γένηται vulg.; — ποιέει J.; — καὶ ἢν μὴ ἀποκ. E. F. H. K.; — τοῦδε Mack., Littr., τοῦ δέ vulg.; — πλέον ἢ τοῦ K. J.

ἔοικε — ἐν μέσῳ ἐστί.] ὥσπερ ceteri, ego in frequenti harum vocularum permutatione ᾧπερ scripsi. — Vulgo ἀφριεῖ, P.' Q.' Lind. ἀφριᾷ, Littr. ἀφριῇ; — μέν om. K.; — διΐσταται τοῦτο ἐλαφρὸν ἐόν E. H. P.' Q.' Littr., vulgata om. τοῦτο, quod omnino inepte infertur in codd. illis; — ἀποκρίνοντες Parr. 4.; — μέν pro μιν Ald.,

οὕτω — ὕδρωψ.] οὕτως vulg., οὕτω E. Littr.; — πᾶν τὸ ἐν τῷ σ. vulg.; ex πᾶν τό Mack., Littr., παντός dederunt recte, sed τοῦ post παντός addendum videbatur; — ὧν εἴρηκά οἱ πάντα vulg., sed οἱ πάντα omm. Voss. K.', πάντα omm. Parr. 5.; — ὑπὸ τῶν ἀρχῶν ὧν εἴρηκα διΐσταται· διΐσταται δέ οἱ πάντα Lind.; — τό ante τῆς χολῆς om. H., sed rest. al. m. Equidem de meo τό ante τοῦ αἵματος et ante τοῦ φλέγματος intuli, quia genitivi illi, nisi addas, non intelliguntur. — Porro vulgatum διΐσταται om. Lind.; — pro eo vero ego ἐφίσταται substitui; — ὑγροτάτων F. G., ut V.

τούτων — παρέχει.] δὲ ὄντων vulg.; δ' ἐόντων Littr.; — ἔνθα ἂν πλεῖστον εἴη vulg., pro εἴη legit ἔῃ Littr.; — pro ἐν G. ἤν, I. J. ν. ἐάν. — Ceteri γινομένης, de meo aor. dedi; — ἕλκεται K.' pro εἰλέεται, quod quare Corn. non

γιγνομένης τῆς ταραχῆς, ἔρχεται ἐς χωρίον, ἵνα ἂν πλεῖστον ἔῃ· ἐν δὲ τῇ ταραχῇ εὐρυχωρίης γενομένης, εἰλέεται ἀποκεκριμένον καὶ θερμαίνει τὸ σῶμα, ἢ στήριξιν ἔχον [1] πῃ τοῦ σώματος ξὺν τῷ ἄλλῳ ὑγρῷ τῷ [2] ἐνεόντι ἐν τῷ χωρίῳ πόνον καὶ θέρμην [3] παρέχει. Τὸ δὲ θερμαινόμενον προσξυνθερμαίνει καὶ τὸ ἄλλο σῶμα, [4] κὰκ τούτου ὁ πυρετὸς γίγνεται καὶ [5] γίγνεται μάλιστα ἀπὸ τῆς χολῆς καὶ τοῦ φλέγματος καὶ ἀπὸ τοῦ αἵματος· θερμότατα γὰρ ταῦτά ἐστι καὶ ἤν τι τούτων ἀποστηρίξῃ [6] πῃ τοῦ σώματος, ὡς ἐπιτοπλεῖστον ὠνόμασται κεῖθεν τὸ νόσημα καὶ ἐπωνυμίην ἔχει. Ἀπὸ δὲ τοῦ ὕδρωπος οὐ γίγνεται πυρετὸς ἰσχυρὸς κάρτα οὐδὲ πουλυχρόνιος· τῷ γὰρ πυρὶ οὐκ ἀγαθὴ τροφὴ ὁ ὕδρωψ ἐστί. Καὶ ταῦτα μὲν ἐς τοῦτο εἴρηται. Πρὶν δὲ ταραχθῆναι οὐκ ἔχει ἐκχωρέειν τὸ πλεῖον τοῦ ὑγροῦ, ἀλλ' ἄνω καὶ κάτω εἰλέεται μεμιγμένον τῷ ἄλλῳ ὑγρῷ· πάντα γὰρ πλήρεά ἐστι· ἐν δὲ τῇ ταραχῇ κενοῦται· κενοῦται δὲ [7] τὸ ἕτερον ἑτέρου μᾶλλον, καὶ τὸ πλεῖον ἐὸν χωρίον κατίσχει· καὶ τὸ μὲν ἀλλότριον οὐκ ἐπιμίσγεται τῷ ἄλλῳ, ἢν περιστηρίξῃ, πρὶν ἰσωθῇ ἐς δύναμιν· ἔστι δέ μιν ἰσοῦσθαι, καὶ ὃ [8] ἀπ' αὐτοῦ ἐπανέλθοι ἐς τὴν νοῦσον, ἕως οὗ ἀποκαθαρθῇ τὸ χωρίον, ὅπῃ ἡ κάθαρσίς ἐστι. Ἢν δὲ πολλὸν ἔῃ τὸ πονέον, ἐπαυρίσκεται [9] καὶ ἐξαναλίσκεται ἐς τὴν νοῦσον καὶ τὸ ἄλλο πρὶν ὑγιηρὸν ἐόν, καὶ ἀποθνήσκει ὁ ἄνθρωπος τρόπῳ τοιῷδε· προσεπαυρίσκεται γὰρ ἢν μηκέτι τροφὴν ἀρκέουσαν ἔχῃ τὸ νόσημα καὶ ἐξανα-

batio in principiis fit; ad locum fertur, in quo plurimum superat. In turbatione vero amplam capacitatem nactum secretum volvitur et corpus calefacit, aut in aliqua corporis parte adhaerescens una cum alio humore, qui in loco est, dolorem et calorem exhibet. Quod vero incalescit, reliquum corpus etiam calefacit, unde febris oritur, ac praecipue ex bile et pituita et sanguine oritur, quae calidissima exsistunt. Et si quid horum in aliquam corporis partem incubuerit, plerumque inde morbus nominatur et appellationem habet. Ex aqua autem neque admodum vehemens, neque diuturna febris oritur, cum aqua igni minime idoneum suppeditet alimentum. Ac de his quidem hactenus. Ante turbationem vero non habet quo secedat humor qui copia superet, sed cum alio humore permixtus sursum et deorsum volutatur, cum omnia plena sunt; dum moventur autem evacuantur. Atque alterum altero magis evacuatur, quodque copia superat, loco continetur et quod alienum est cum altero non permiscetur, si circum adhaerescat, nisi viribus adaequatum fuerit. Viribus autem adaequatur et quod ex ipso ad morbum accedit, quoad locus repurgetur, per quem purgatio locum obtinet. Quodsi copiosum est id quod affligit, et reliquum quod prius salubre erat ad morbum exhauritur et absumitur, homo etiam moritur tali modo. Insuper enim exhauritur, si morbo non satis superfuerit alimenti, et ab humore, qui in loco dolente est, absumitur. Ac primum quod propinquum est absumit, deinde ulteriora depascitur, donec con-

[1] ἢ τοῦ σ. — [2] συνεόντι. — [3] παρέχον. — [4] καὶ ἐκ. — [5] γίγνεται om. — [6] ᾖ. — [7] τι. — [8] ἐπ' αὐτοῦ. — [9] καὶ ἐξαναλίσκεται om.

probaverit, non capio. Tum τῷ συνεόντι vulg., συνενεόντι E. K. P.' Q.'; equidem in συνενεόντι inesse puto dittographiam συνεόντι et ἐνεόντι (εν) mecum legeram, antequam hanc lect. videram; ἐν τῷ ἄλλῳ χωρίῳ ceteri, sed ἄλλῳ e paulo superioribus huc appulit et eximendum erat. — Denique παρέχον, ut V., Parr. 6. et cod. ν.

τὸ δὲ — ἐπωνυμίην ἔχει.] καὶ ἐκ E. H. I.; — καὶ γίγνεται μᾶλλον vulg., de meo μάλιστα dedi; sed καὶ μᾶλλον sine intermedio γίνεται L. Lind., Mack.; — ἀπό ante τοῦ αἵματος om. E.

ἀπὸ δὲ — εἴρηται] ἀπὸ τοῦ δέ I. J.; — Ionismum πουλυχρόνιος H. praebuit Littréo.

πρὶν δὲ — κάθαρσίς ἐστι.] ἀλλὰ ἄνω E. H.; — δέ τι ἕτερον vulg., de meo τό dedi; — ἐπιμίγνυται K.; — περιστηρίζῃ H.; — ἀπ' αὐτοῦ coniectura Foësii est a Littr. recepta pro vulg. ἐπ' αὐτοῦ; — ὁποίη ἡ κάθαρσίς ἐστι vulg., (η) sed ὁποίη incongruum mihi videtur; puto ὅποι scriptum fuisse et ὅπῃ recipiendum esse.

ἢν δὲ πολλὸν — κοῦφον ὑγρόν.] ἢν δή vulgo ἢν δέ H. I. K. K.' Q.' Lind., Mack.; — καὶ ἐξαναλίσκ. ut V. omm. Parr. 5.; — ἀποθνήσκει E. P.', θνήσκει cett.; — γάρ omm. F. G. Ald.; — πλήν H. ν., sed in H. γάρ rest. al. m., δέ pro γάρ P.' — Post προσεπαυρ. ferunt ὁ ἄνθρωπος Ald. F. G.; — ἀλλ' ἐξαναλ. vulg., καὶ ἐξαναλ. Littr. de coniectura; — καί ante πρῶτον de meo addidi, Cornarius πρῶτον γάρ voluit sentiens copulam aliquam requiri; — τά pro

λίσκεται ὑπὸ τοῦ ὑγροῦ τοῦ ἐν τῷ ἐπιπόνῳ χωρίῳ ἐόντος· καὶ πρῶτον τὸ πλησίον προσλαμβάνει, εἶτα ἐπὶ τὸ προσωτέρω νέμεται μέχρις ἂν [1] ἐξαναλωθῇ καὶ μηκέτι ἐνῇ τῷ σώματι τροφή· τροφὴ δέ ἐστι ἀνθρώπῳ τὸ κοῦφον ὑγρόν. Ὥσπερ οὖν [2] δὴ τὸ πρῶτον μὲν κατὰ μικρὸν σηπεδὼν ἐγένετο, ᾗ ἂν μάλιστα θερμαίνηται, ἔπειτα ἐπὴν κεῖθι τῇ σηπεδόνι τροφὴ μηκέτι [3] ἐξαρκέῃ, νέμεται ἀπὸ τοῦ ὑγιέος τοῦ πλησίον ἀρξαμένη πρὸς τὸ σῶμα, μέχρις ἂν ὅλον τὸ σαρκῶδες σήψῃ, ἐπὴν δὲ [4] ἐπὶ τὸ πᾶν νέμηται, ἀναλοῦται ἡ τροφὴ τῇ σηπεδόνι· οὕτω δὴ καὶ ἡ νοῦσος ἀπὸ τοῦ χωρίου κείνου ἀρξαμένη, ἐπὴν κεῖθι ἡ τροφὴ μηκέτι ἀρκέουσα ἐνῇ, νέμεται ἐς τὸ πρόσω ἀπὸ τοῦ πλησίον ἀρξαμένη· ἐπὴν γὰρ ἐπὶ τὸ πᾶν ἔλθῃ, ἀνήλωται ἡ τροφὴ τῇ νούσῳ καὶ ἕτερον ὑγιηρὸν οὐκ ἐπικρατέει, κὴν τοῦτο γένηται, θνήσκει ὁ ἄνθρωπος. Ἔτι δὲ ἐν τῇ ταραχῇ, ἐπὴν τοῦτο πλέονος χωρίου λάβηται καὶ μὴ [5] στηρίξῃ, ἀλλὰ εἰλέηται, οὐκ ἔτι τῷ ἄλλῳ μίσγεται, ἀλλ' ἐξαναλίσκεται ἐς τὴν νοῦσον, ἣν μὴ ἀποκαθαίρηται· εἶτα αἱ φλέβες ὑπερπίμπλανται, πλήθουσαι δὲ κάρτα οὐ χαλῶσι ἐξ [6] ἑωυτέων πρὶν εὐρυχωρίη σφιν γένηται. Ὥσπερ ἐπήν τις πληγῇ, καρτερῶς ὑποτρέχει ὑπὸ τὴν πληγὴν αἷμα, ἅτε τῶν [7] φλεβῶν κενωθεισέων ὑπὸ τῆς πληγῆς· ἐπὴν δὲ αἱ σάρκες πλησθῶσι ὅκως περ σπόγγος, οὐκέτι χαλῶσι, ἀλλ' ἔχουσι ἐν ἑωυτῇσι μέχρις οὗ κενωθῇ κατὰ χωρίον τι αὐτέων· ἀπολαμβάνει γὰρ ἐπὴν ξυλλεχθῇ τὸ αἷμα τὴν ὁδὸν ὑπὸ πλήθεος. Ὥσπερ

sumptum fuerit, neque amplius supersit corpori alimentum. Levis autem humor hominis est alimentum. Quemadmodum igitur primum ubi maxime incalescat putredo sensim oboritur, deinde postquam illic alimenti putredini non satis suppetit, in corpus serpit, initio ab eo quod sanum est et propinquum ducto, quoad totum quod carnosum est putredinem conceperit. Postquam autem in totum depastum est, putredinis alimentum consumitur. Sic sane etiam morbus, initio a loco ducto, postquam illic non satis suppetit alimenti, ulterius depascitur, ab eo quod vicinum est sumpto exordio. Ubi enim ad totum pervenerit, morbi alimentum consumitur, nec aliud quod salubre est superat, idque dum accidit homo moritur. Quin etiam ubi hic in conturbatione ampliorem locum acceperit, neque firmatus fuerit, sed volutatur, non amplius cum alio permiscetur, sed in morbum insumitur, nisi repurgetur. Deinde venae supra modum implentur, valdeque impletae nihil ante ex se dimittunt quam amplam capacitatem nactae sint. Non secus ac si quis vehementer percussus fuerit, sanguis ad vulnus decurrit, venis nimirum per vulnus evacuatis. Ubi vero carnes tanquam spongia oppletae fuerint, non amplius dimittunt, sed in se retinent, quoad ex ipsis aliquid per locum vacuetur. Cum enim in unum collectus sanguis fuerit, prae copia viam intercipit. Quemadmodum si quis ampullam oleariam coriaceam angusti oris oleo plenam recta in os obvertat, idque cum fecerit, ex ea oleum prodire non poterit. Oleum enim

[1] ἐξαλωθῇ. — [2] δή et seq. μέν omm. — [3] ἀρκεῖ. — [4] ὡς ἐπίπαν. — [5] στηρίζῃ. — [6] αὐτέων. — [7] φλεβέων κενωθεισέων.

τό H. L. K. εἶτ' H.; — ἐπὶ τῷ προσωτέρω vulg., ἐπὶ τὸ προσωτέρω K.; — τὸ κοῦφον ἀνθρώπῳ ὑγρόν E. H.

ὥσπερ — ὁ ἄνθρωπος.] δή K. Littr., χρή pro δή vulg., χρή om. L., ut Voss.; — τό omm. E. H.; — μέν ex E. H. Littr., vulgo om.; — ἣν μάλιστα vulgo, ᾗ ἂν μάλιστα de coniectura scripsi; — μηκέτ' H.; — ἐξαρκέῃ E. H. v., ἀρκέει vulg., ἀρκεῖ Parr. 3.; — μέχρις sine ἄν prima m. in H.; — ἐπήν E. H. v. Littr., ἐπεί vulg.; — δὲ ὡς vulg., ut V., ὡς omm. prima m. in H., v., Littr. — Pro ἐπίπαν vulgatae ἐπὶ τὸ πᾶν repono, quemadmodum infra ἐπίπαν ἔλθῃ item correxi; — ἀνάλωται Lind; — οὕτω δέ Parr. 5.; — vulgo οὕτω δὴ καὶ τῇ νούσῳ, in quibus de meo repono ἡ νοῦσος, dativus enim e superiore huc devenisse videtur errore librariornm; — καὶ [ἐν] τῇ Lind., minus recte; ἀπὸ [γὰρ] τοῦ Lind., non melius; — ἐπὴν ἐπίπαν ἔλθῃ sine γάρ prima m. in H.; — ἀνήλωται E. H. P.′ Mack., Littr., ἀνάλωται vulg.

ἔτι δὲ — γένηται.] εἰλέεται E, H. pro εἰλέηται: — ὑποπιμπλ. prima m. in E.; — οὐχ ἁλῶσιν idem; — αὐτέων ceteri, ἑωυτέων de meo.

ὥσπερ — πλήθεος.] τήν ante πληγήν Parr. 5., Mack., Littr., vulgo om.; — φλεβέων cett.; — οὐκέτι E. H., οὐκ ἔτι vulg.; — ἀλλ' F., ἀλλά vulg. — Post κατά addunt τό E. H. al. m., P.′ Q.′ Lind., Mack.; — τοιουτέων pro τι αὐτέων J.

ὥσπερ — νούσῳ.] οὖν e K. solo recepit Littr.; — ἐπὶ στόμα prima m. in H., ἐπὶ τὸ στόμα cett.; — ἔπνιξε cett., ἀπέπνιξε de meo; — ἄλειφαρ E. P.′ Lind., iidemque idem

[1] οὖν εἴ τις λήκυθον σκυτίνην στενόστομον ἐμπλήσας ἀλείφατος καταστρέψειε ἐπὶ τὸ στόμα κατ᾽ ἰθὺ, κἂν τοῦτο ποιήσειε, οὐ δυνήσεται ἐξ αὐτῆς χωρέειν τὸ ἔλαιον, ἀπέπνιξε γὰρ τὴν ὁδὸν τὸ ἄλειφα, ἅτε πολλὸν καὶ ἁλὲς ἐπικείμενον· ἢν δὲ ἐπικλίνῃ τις τὴν λήκυθον, κενεὴ ἔσται ἡ ἀπὸ τοῦ στόματος πνὶξ καὶ ῥεύσεται ἐξ αὐτῆς τὸ ἄλειφα· τὸ δ᾽ αὐτὸ ποιήσειε ἂν καὶ ἐπὶ τραπέζης ὕδωρ· οὕτω δὴ καὶ ἐπὴν τὸ πλεῖον ὑγρὸν ἐν τῷ σώματι ὑπὸ τῆς ταραχῆς χωρίου λάβηται καὶ πλήσῃ τὰς φλέβας, οὐκέτι ἀπέρχεται ἐξ αὐτέων πρὶν ἢ ὅκου [2] τὸ χωρίον κενεὸν τῆς τροφῆς [3] ἐξαναλισκομένης τῇ νούσῳ. Καὶ ταῦτα μὲν εἴρηταί μοι, ἐπήν [4] τι ἐν τῷ σώματι ᾖ, ἀφ᾽ ὧν αἱ νοῦσοι γίγνονται, πληθυόντων καὶ τῶν ἄλλων, ὅκως ἐργάζονται αἱ ἀρχαὶ τὴν θέρμην καὶ τὴν ταραχὴν τῷ ὑγρῷ ὑπάγουσαι ἐς νοῦσον.

copiosum et confertim incidens viam coarctavit. Quodsi quis ampullam oleariam paulum inclinet, tolletur oris obturatio, per quam ex ipsa oleum effluet. Idem etiam in aqua supra mensam effusa experiri licet. Ad hunc sane modum ubi plurimus corporis humor in conturbatione locum occupaverit, et venas impleverit, non amplius ab eo discedit, nisi si locus vacuus fuerit, unde morbi oriuntur, morbi alimento consumpto. Atque ista quidem a me dicta sunt, ubi quid in corpore fuerit, unde morbi oriuntur, aliis etiam redundantibus, quomodo principia humori calorem et turbationem afferant et ad morbum deducant.

κα′. Νῦν δὲ ἐρέω τὰ ἐκ τοῦ οὐρανοῦ, ἢν ἀνεπιτήδεια [5] γένηται φύντα ἐν τῷ σώματι, τίνα ἐργάζεται ὁκόταν κρατέῃ ἐν τῷ σώματι τοῦ ὑγροῦ. Φημὶ δὲ τὸ μέν τι ξυστρέφεσθαι καὶ παχύνεσθαι τῆς ἐν τῷ ἀνθρώπῳ ἰκμάδος, ἐπὴν τηχθῇ, ἕως ἂν νοῦσον ἀποτέκῃ, τὸ δὲ διευρύνεσθαι καὶ διακρίνεσθαι. Ἔοικε δὲ καὶ τοῦτο τὸ πάθος γάλακτι· ἐπὴν γάρ τις ὀπὸν ἐμβάλῃ ἐς τὸ γάλα, ψύξις γενομένη ἐπ᾽ αὐτῷ τῷ γάλακτι ξυνεπάχυνε τὸ γάλα καὶ ὁμοῦ ἐποίησε, περὶ δὲ τὸ παχυνθὲν [6] ὁ ὀρρός ἐστι· οὕτω δὲ καὶ [7] ἐν τῷ ἀνθρώπῳ τὸ ὑγρὸν τῆς ἐπινόσου ψύξιος γενομένης ξυνεστράφη καὶ ξυνεπαχύνθη· περὶ δὲ αὐτὸ [8] ἐστὶ καὶ τὸ

21. Nunc vero dicendum quaenam in corpore efficere soleant quae a coelo dependent, si corpori incommoda fuerint et corporis humorem superaverint. Assero autem partem eius humoris, qui est in homine, cum colliquatus fuerit, in se concrescere et incrassari, donec morbum pariat, partem vero dilatari et disparari. Quae affectio cum lacte affinitatem habet: nam si quis coagulum in lac iniecerit, frigus in eo obortum lac incrassat et in se cogit, serum autem quod incrassatum est ambit. Ita vero etiam in homine humor morbosa refrigeratione orta concrevit et incrassatus est. Circa illum vero etiam reliquus humor est, quantum eius

[1] οὖν om. — [2] ἐστὶ τὸ χ. — [3] ἐξαλισκομένης. — [4] τι om. — [5] γένηται φύντα ἐν τῷ σ. — [6] ὁ om. — [7] ἐπί. — [8] ἐστί.

paulo post; — ᾗ ῥεύσεται vulg., καὶ ῥεύσεται prima m. in E. Q.′ Lind., Mack., Littr.; — τὸ αὐτό K. sine δ᾽; — ἄν post ποιήσειε de meo interposui; — οὕτω δέ E. H., Merc. in marg.; — τὸ πλεῖον Parr. 6., Lind., Mack., Littr., τὸ πλεῖστον vulg.; — χωρίον λάβηται E. K.; — πλήσειε ceteri; πλήσῃ de meo; — οὐκέτι E.; — οὐκ ἔτι cett.

καὶ ταῦτα — ἐς νοῦσον.] καὶ ὅκως cett.; — ἐργάζωνται H.

21. νῦν δὲ ἐρέω — ὑγροῦ.] ἢν ἀνεπιτήδεια γένηται φύντα ἐν τῷ σώματι omnes, in quibus habemus imitationem Homerici ἐν δ᾽ ἄρα οἱ φῦ χειρί. Tum omnes καὶ ὁκόταν κ. τ. λ., in quibus καί interpolatum est et sensum loci perturbat, ita ut item copulam h. l. abiiciam.

Φημὶ δὲ — διακρίνεσθαι.] δέ om. pr. m. in H.; — μέντοι nonnulli pro μέν τι, vitiose tamen; — ἐπὴν τηχθῇ omnes, cuiusmodi aoristi formam num e tam corrupti libri capitulo corruptissimo retinere liceat, fortasse dubitas; itaque malis τακῇ dare? Fecissem, nisi me retinuisset locus sub finem libri ubi τηχθέν recurrit! Dein ἄν post ἕως de meo addidi; — vulgo τότε, alii τό τε, sed recte K.′ i. e. Corn., eumque secuti Mack., Littr., τὸ δέ. Denique δὲ εὐρυν. prima manus in E., sed restituitur διευρύνεσθαι.

ἔοικε — πλείστη.] γάρ de meo interposui; — οὕτω δέ E. H., οὕτω δή vulgo; — ἐν τῷ ἀνθρώπῳ E. H. Littr., ubi vulgo ἐπ᾽ (Parr. 3. ἐπὶ) ἀνθρώπῳ; L. Lind., Mack., ἐπὶ τῷ ἀνθρ. — Dein ἐπὶ νούσου vulg., ἐπινούσου et ἐπινόσου pauci libri, quorum hoc cum Littréo recepi; — γινομένης vulgo, sed J. K. Littr. accusativum habent. — Dein vulgata περὶ δὲ αὐτὸν τὸν ὕδρωπα ἐστὶ καὶ τὸ ἄλλο ὑγρὸν, ὁκόσῳ

ἄλλο ὑγρὸν, ὁκόσον ἂν πλεῖον ἔῃ ἐν τῷ σώματι· ἀλλ' ἢν μὲν ἐς τὴν κοιλίην ἔλθῃ, διετάραξε τὴν κόπρον καὶ στρόφον ἐν τῇ κοιλίῃ ἐποίησε καὶ διεξῆλθε ἔξω, οὐδὲν μέγα σῖνος παρασχόν· ἢν δὲ μὴ ἐς τὴν κοιλίην ἔλθῃ, στηρίξει τοῦ σώματός πῃ, ἵνα οἱ εὐρυχωρίη πλείστη. Εἰλέεται οὖν ἐξευρὸν ἑωυτῷ εὐρυχωρίην καὶ τοῦ μὲν ὕδρωπος τὸ ἀποκριθὲν ἀπὸ τῆς ξυστροφῆς ἔρχεται, ἅτε ψυχρότατον καὶ βαρύτατον ἐὸν ἐν τῷ σώματι, ἐς τὸ κάτω καὶ περὶ τὰ ὀστέα καὶ περὶ τὰ νεῦρα εἰλούμενον ἔτι μᾶλλον τὸ σῶμα ἐς φλεγμονὴν ἄγει καὶ δηλονότι περὶ τὰ νεῦρα καὶ μάλιστα περὶ τὰ ὀστέα ὁ ὕδρωψ ὁ τὸν κρυμὸν ποιέων ἐστί. Τὰ γὰρ ὀστώδεα τοῦ σώματος μάλιστα [1] ῥιγεῖ ὁ ἄνθρωπος καὶ αἱ τρίχες ὀρθαὶ ἵστανται ξυστραφείσης τῆς ἐπιδερμίδος καὶ ξηροτέρης [2] γενομένης ἢ ἐν τῷ πρὶν χρόνῳ, ἅτε τοῦ ὕδρωπος ἐκλιπόντος αὐτόθεν καὶ περὶ τὰ ὀστέα εἰληθέντος. Ἐντεῦθεν δὴ μοῦνον τὸ χωρίον, ὅκου ἐστὶ τὸν πρῶτον χρόνον, οὐ δύναται [3] κρυμὸν ποιέειν, ὅθεν καὶ τὸ ῥῖγος γίγνεται· τὸ δὲ ἄλλο ὑγρὸν, τὸ μὲν παχυνθὲν [4] ἐσωτάτω ἐν τῷ σώματι παντί ἐστι· τὸ δὲ ὅσον πλέον, ἢν μὲν [5] μὴ τύχῃ ἡ κοιλίη πλέη ἐοῦσα κἢν ὀλίγον ᾖ τὸ λυπέον, ἔρχεται ἔστι ὅτε ἐς τὴν κοιλίην καὶ σῖνος οὐδὲν μέγα ἐποίησε, καὶ ποτὲ μὲν πῦρ οὐκ ἐπήγαγε, ποτὲ δὲ βληχρὸν καὶ ἀσινὲς καὶ

superest in corpore; sed si ad ventrem deferatur, stercus commovet et in ventre tormina excitat forasque exit nulla magna illata noxia. Sin ad alvum non deferatur, ad eam corporis partem adhaerescet, in qua plurimam capacitatem adeptus fuerit. Locum igitur amplum sibi nactus in eo volutatur et quod quidem aquosi humoris ex concretione secernitur, cum nimirum in corpore frigidissimum et gravissimum sit, ad inferiora descendit et circum ossa et nervos cumulatum etiam maiorem corpori inflammationem inducit ac manifesto circa nervos et maxime circa ossa adest aquosus humor frigus efficiens. Osseae enim praecipue corporis partes in homine rigore corripiuntur pilique eriguntur summa cute concrescente et sicciore quam antea reddita, deficiente nimirum isthic aquoso humore et circum ossa convoluto. Hinc sane solus locus, ubi antea erat, frigus facere nequit, unde etiam rigor oritur. Reliquus vero humor partim coactus est in maxime internis totius corporis latebris; alia vero pars, quantum superest, nisi venter repletus sit, et si parva copia sit quod molestum est, interdum ad alvum devenit, nec magnum damnum attulit, interdumque febrem non induxit, interdum vero debilem et innoxiam, idque quod laesit una cum stercore exiit. Sin vero alvus plena id quod laedit, quippe quum multum sit, non recipiat, peri-

[1] ῥιγᾷ. — [2] γινομένης. — [3] χυμόν. — [4] ἰσώτατον. — [5] δή.

ἂν πλεῖον ἔῃ ἐν τῷ ἄλλῳ σώματι ξυμμέμικται, quod Cornarius ita videtur expedire voluisse, ut pro ἐστί reciperet ἔτι, quod Littréus exhibuit; at vel sic scriptus locus intelligi nequit. Recurrendum est ad id, cum quo haec comparat noster, de quibus nunc agit, quo facto videbis περὶ δὲ αὐτὸν τὸν ὕδρωπα ita esse natum, ut auctor περὶ δὲ αὐτό scriberet, alius glossam τὸν ὕδρωπα adponeret ad αὐτό. Sed neque ξυμμέμικται is scripsit, sed solum ἐστί dedit et ξυμμέμικται est interpolatio omni nomine absurda. Porro ὁκόσον pro ὁκόσῳ legere oportet; neque vero ferendum vulgatum ἐν τῷ ἄλλῳ σώματι, in quo ἄλλῳ ex antecedente τὸ ἄλλο ὑγρόν ortum duxit, quare delevi. — Tandem vulgata στηρίζει, pro quo ex Ald., Parr. 5. scripsi στηρίξει.

εἰλέεται — ποιέων ἐστί.] ἐν τῷ σώματι ἐόν E. H.; — εἰλούμενα vulg., εἰλούμενον dudum emendarunt Corn., Foës., alii post hos; — καὶ περὶ τὰ ὀστέα μάλιστα E. H. — Vulgo χυμόν, pro quo φλογμόν Lind., Mack., sed mihi egregia emendatio visa est Littréi κρυμόν, quam simul ac videram sum amplexus.

τὸ γὰρ — εἰληθέντος.] Pro vulgato ῥιγᾷ cod. v. recte ῥιγεῖ, item. Port., Mack. ῥιγοῖ. De meo γενομένης dedi pro vulgato γινομένης. Denique ceteri ἐκλείποντος, pro quo de meo aoristum scripsi; — cod. E. αὐτόθι.

ἐντεῦθεν — τῇ κόπρῳ.] χυμὸν ποιέειν vulgo, et iterum φλογμόν Lind., Mack. et iterum rectius Littréus κρυμόν. Porro vulgo: τὸ δὲ ἄλλο ὑγρὸν τὸ ἰσώτατον παχυνθὲν τὸ ἐν τῷ σώματι παντί ἐστι· τὸ δὲ ὅσῳ πλέον, ἢν μὲν δὴ τύχῃ ἡ κοιλίη πλέη ἐοῦσα καὶ ὀλίγον ᾖ τὸ λυπέον κ. τ. λ. In quibus ἐσώτατον solus K'. alia manu et τὸ μὲν τῷ K.' Mack., τὸ μὲν ἐν τῷ Lind., Littr. — Sed ne sic quidem locus recte sibi constat: primum ἰσώτατον absurdum mihi videtur, ἐσώτατον vero viam sternere ad veram scripturam ἐσωτάτω; tum vero partitio non recte sibi constat ne cum Lindani emendatione quidem et vero ὅσῳ rursus in ὅσον mutandum, ut supra; ἢν μὲν δή dudum a Corn. est emendatum ἢν μὲν μή scribendo; pro καὶ ὀλίγον ᾖ legendum κἢν ὀλίγον ᾖ. Quodsi iam textum, qualem dedi, cum vulgata compares, videbis quare principio horum verborum ordinem mutaverim. In seqq. Lind. ἔρχεται post κοιλίην collocavit, non male me iudice. Pro ἀσινές H. ἀσθενές falso.

ἐξῆλθε τὸ πονέον ξὺν τῇ κόπρῳ. Ἢν δὲ ἡ κοιλίη πλήρης ἐοῦσα μὴ πολλὸν δέχηται τὸ λυπέον, κίνδυνός ἐστι ἐξ αὐτοῦ νοῦσόν τινα γενέσθαι, ἤν πη στηρίξῃ τὸ [1] σινόμενον ἢ πρὸς πλευρὸν ἢ πρὸς σπλάγχνον [2] τι, ἤ πῃ ἄλλῃ καὶ [3] ξυνθερμαίνῃ ξὺν τῷ ἵνα ξυνέστη [4] πρῶτον ἐκεῖνο. Ὁκόσοισι δὲ οὐχὶ κάρτα [5] πρὸς τῆς θέρμης τὸ τοῦ ὕδρωπος νενικημένον, ἅτε περὶ τοῖσι ὀστέοισι ἐὸν καὶ πλησίον τοῦ μυελοῦ, χρόνῳ [6] μᾶλλον ἄασε πρῶτον μὲν αὐτὸ τὸ χωρίον, ἔπειτα τὸ πλησίον αὐτοῦ καὶ δὴ νέμεται ἐς τὰ προσωτέρω καὶ ἡ κοιλίη οὐ προσλαμβάνει θερμὴ ἐοῦσα, ἔπειτα ἐπὶ μᾶλλον θερμαίνει ἥ τε κοιλίη καὶ τὸ σινόμενον. Τὸ δὲ ὑγρὸν παχὺ θερμαινόμενον διαχέεται, πρῶτον τὸ πλησίον τοῦ πονέοντος ἐόν· διαχεόμενον δὲ μίσγεται τῷ πονέοντι ὕδρωπι, εἶτα κενεώτερα ἐγένετο τὰ ἄλλα τοῦ σώματος ἐν τῇ ξυστροφῇ, καὶ μέχρι τούτου ῥῖγος ἔχει, μέχρις οὗ ὁ ὕδρωψ τῷ ἄλλῳ ὑγρῷ [7] ξύνεστι.

culum est ne inde morbus aliquis oriatur, si qua impingat id quod laedit, sive in latus, sive in viscus aliquod, sive in aliam partem quampiam eamque calefaciat una cum loco ubi primum constitit. Quibus vero humor aquosus non valde superabatur a calore, cum nimirum circum ossa sit et prope medullam, temporis tractu magis laedit primum quidem locum ipsum, dein ipsi proximum et proserpit ulterius et alvus cum eo conspirat, quum calida sit, ac dein sensim magis et venter et id quod laedit eum calefacit. Humor vero crassus concalefactus diffunditur, primum quidem is qui laedenti est proximus; diffusus vero commiscetur cum laedente humore aquoso; dein reliquae corporis partes magis vacuae factae sunt in concretione et rigor detinet, quamdiu humor aquosus reliquo permixtus est.

κβ'. Καὶ τὸ πῦρ ὧδε γεννηθὲν γίγνεται· τὰ γὰρ πονέοντα πρός τι χωρίον στηρίξαντα θερμαινόμενα τὸ σῶμα ἀναγκάζει ἐς [8] ἑωυτὸ πῦρ δέχεσθαι, καὶ ὑπὸ τοῦ σινομένου καὶ ὑπὸ τῆς κοιλίης θερμανθὲν ἐπικρατέει τοῦ ἄλλου ὕδρωπος καὶ οὕτω τὸ μὲν πῦρ μετὰ τὸν κρυμὸν, ἤν πη τοῦ σώματος στηρίξῃ τὸ ὑγρὸν τὸ πλεῖον. Ἢν δὲ εἰλέηται, τρόπῳ τοιῷδε

22. Ac febris hoc modo nascitur et oritur: quae nempe molesta sunt ad aliquem locum inhaerentia, incalescentia corpus in se febrem contrahere cogunt et ab eo quod noxium est et ab alvo calefactum reliquum aquosum humorem superat. Atque ita quidem post frigus fit febris, si copiosus humor in aliquam corporis partem incubuerit. Quodsi convolva-

[1] σινεόμενον. — [2] τι om. — [3] συνθερμαίνει ἵνα ξυνταράξῃ. — [4] πρῶτον ἐκεῖνο ὁκόσοισι δέ. — [5] πρό. — [6] δὲ μᾶλλον ὅσα εἴη. — [7] ξύνεστι om. — [8] ἑωυτὸν πῦρ γίνεσθαι καὶ ὑπὲρ τοῦ σινεομένου καὶ ὑπὸ τ. κ.

ἢν δὲ ἡ κοιλίη — τὸ σινόμενον.] Vulgo ἢν δὲ ἡ κοιλίη πλήρης ἐοῦσα πολλὸν ἔχῃ τὸ λυπέον κίνδυνός ἐστι κ. τ. λ. — Sed haec cum superioribus et seqq. ita pugnant, ut defendere ea nemo possit; mihi in ἔχῃ vestigium superesse visum est verbi δέχηται, quod si teneas et vicina conferas, intelliges quare locum, quemadmodum feci, descripserim. Dein στηρίξῃ vulg., στηρίζῃ E. H. Lind., Littr.; — σινεόμενον cett., de meo σινόμενον scripsi; — τι E. H. Littr., vulgo abest. — Iam vero vulgata: ἤ πη ἄλλῃ ξυνθερμαίνῃ, ἵνα ξυνταράξῃ πρῶτον ἐκεῖνο. Ὁκόσοισι δὲ οὐχὶ κάρτα πρὸς τῆς θέρμης ὑπὸ τοῦ ὕδρωπος νενικημένου, ἅτε περὶ τοῖσιν ὀστέοισιν ἐόντος καὶ πλησίον τοῦ μυελοῦ, χρόνῳ δὲ μᾶλλον ὅσα εἴη, πρῶτον μὲν κ. τ. λ. — In hisce ξυνθερμήνῃ Lind.; — πρό pro πρός L.; — κεκινημένον K. pro νενικημένον. Tum Lind., ὁκόσοι δὲ οὐχὶ κάρτα πρὸ τῆς θέρμης ὑπὸ τοῦ ὕδρωπος νενικημένοι κ. τ. λ. Pro χρόνῳ δέ K.' Lind. χρόνῳ δή, verum χρόνῳ sine δέ K. — Pro ὅσα εἴη Lind. πονέουσι, K.' ἐσήσει. — Littréus e vulgata ὁκόσοισι eiecit, ἐκεῖνο ad alteram periodum traxit ἐκεῖνο δέ scribens et pro ὅσα εἴη dedit ἐσάσσει. Tum in fine prioris periodi ξυνετάραξε pro subiunctivo scripsit. — Lind. καὶ πρῶτον μέν et ἔπειτα δὲ τό dedit; οἱ ante προσλαμβάνει om. J., ἕ pro eo dedit Corn. in K.'; — καὶ θερμὴ ἐοῦσα J. — Ego quae mutaverim patebit illi, qui textum quem dedi cum vulgata confert. Conatus sum mentem auctoris saltem assequi, ubi nemo facile in tanta corruptela ipsa verba reperiet.

τὸ δὲ ὑγρὸν — ξύνεστι.] ταχύ K.; — ξύνεστι in fine abesse solet, sed Corn. in K.' σύνεστι, quod recepit Littr., Foësium ξυμμέμικται legisse e Latinis coniicias. — Mihi vulgatum εἶτα κενεώτερον ἐγένετο τοῦ σώματος in solita lect. intelligi non posse videbatur, credidi autem post ἐγένετο periisse τὰ ἄλλα, quare κενεώτερα dedi. — Iam vero ad capituli finem dicere liceat magis corrupta me raro vidisse, meque haec criticis commendata cupere ut videant, num quid melius de his docere valeant.

22. καὶ τὸ πῦρ — πλεῖον.] πρὸς τὸ χ. cett.; — θερμαινόμενον cett.; — δέχεσθαι est Cornarii emendatio vulgati γίνεσθαι a Littréo recepta; — ὑπὸ τοῦ σ. L. Mack., Littr.; — σινομένου de meo; vulgatam e V. notavi; — στηρίζῃ E. H.; — τό ante πλεῖον om. E.

ἢν δὲ — σώματός πη.] τὰ πῦρ εἰλέηται μάλιστα vulg.,

γίγνεται μετὰ τὸν κρυμὸν τὸ πῦρ· εἰλέεται μάλιστα τὸ πονέον περὶ τὴν κοιλίην καὶ τὴν ἄνω καὶ τὴν κάτω· [1] *ἔνθα γάρ οἱ εὐρυχωρίη πλείστη ἐστί· εἰλεομένου δὲ αὐτοῦ πρῶτον τὰ πλησίον θερμαίνεται* [2] *τά τε σπλάγχνα καὶ τὰ ἐν τῇ κοιλίῃ· ἔπειτα ἐπαυρίσκεται τῆς θέρμης καὶ τὸ ἄλλο ὑγρὸν διαχεόμενον* [3] *καὶ μίσγεται τῷ ὕδρωπι καὶ τὸ πῦρ μετὰ τὸ ῥῖγος ἐνθάδε γίγνεται, ἐπὴν εἰλέηται τὸ πονέον, ἀλλὰ* [4] *μὴ στηρίξῃ πρὸς τοῦ σώματός πῃ.* Ταῦτα *δέ μοι εἴρηται ὅκως τε τὸ ῥῖγος γίγνεται τὸ νοσῶδες καὶ ὁκότε καὶ ὅκως, καὶ ὁκοίης ἐξ ἀνάγκης ὁ πυρετὸς μετὰ τοῦτο ἐπεισπίπτει, καὶ αἵτινες αἱ ἀρχαὶ τῶν νούσων εἰσὶ, καὶ ὁκοίην ἑκάστη αὐτέων νοῦσον ἐν τῷ σώματι ἐπάγει, καὶ ὅκως τε καὶ διότι ἐν τῇσι περισσῇσι ἡμέρῃσι αἱ νοῦσοι κρίνονται, καὶ ὑπ' ὅτευ ὑγιαίνουσι οἱ ἄνθρωποι καὶ ὑπ' ὅτευ νοσέουσι, καὶ* [5] *ὅκως ἥ τε χολὴ καὶ τὸ Φλέγμα πλέον καὶ ἔλασσον γίγνεται, καὶ τἄλλα* [6] *ἐν αὐτῷ Φύσι ἐνεόντα ἀπέδειξα πολλὰ, ὁκόσα* [7] *ἐπεδέχετο οὗτος ὁ λόγος καὶ ταῦτα μὲν εἰρημένα οὕτως τέλος ἔχει.*

κγ'. [8] Νῦν *δ' ἐρέω περὶ ἑλμίνθων τῶν πλατειῶν· γίγνεσθαι γάρ Φημι ἐν τῷ παιδίῳ ἐν τῇσι μήτρῃσι ἐόντι· οὐ γάρ ἔστι, ἐπὴν ἅπαξ ἐκ τῶν μητρέων ἐξέλθῃ, χρόνος τῇ κόπρῳ ἐν τῇ κοιλίῃ τοσοῦτος, ὥστε σαπείσης καὶ χρονισάσης ζῷον παγῆναι ἐν αὐτῇ, ὅ τι τοσοῦτον μεγέθεϊ γίγνεται· ἀποπατέει γὰρ ἀεὶ τὴν ἕωλον κόπρον* [9] *ἀνὰ πάσας ἡμέρας, ἢν μέλλῃ ὑγιαίνειν ὁ ἄνθρωπος· γίγνοιτο δ' ἂν τοιοῦτον ζῷον οὐδ' ἢν πολλῶν ἡμερέων*

tur, hoc modo oritur post frigus febris: convolvitur circa alvum tum superiorem tum inferiorem maxime id quod molestum est. Ibi enim illi maxime ampla est capacitas. Cum autem volvitur, primum incalescunt quae propinqua sunt tum viscera, tum quae in ventre sunt. Porro etiam reliquus humor calorem haurit, et diffusus aquoso humori admiscetur febrisque post rigorem deinde oritur, cum quod molestum est convolvitur, sed minime ad aliquam corporis partem adhaeserit. Atque ista a me dicta sunt quomodo et quando morbosus rigor fiat et quanam ratione, quodque post hunc febrem incidere necesse sit, et quaenam sint morborum principia, quemque morbum eorum unumquodque corpori adferat, quaque ratione et quam ob causam morbi diebus imparibus iudicentur et ex quo homines sani sint et ex quo aegrotent, tum etiam bilis et pituita copiosior et paucior fiat; multa quoque alia ex ipsa natura in illo obvia, quaeque haec exigebat oratio, demonstravi. Et haec quidem hoc modo commemorata ad exitum perducta sunt.

23. At nunc de lumbricis latis dicendum. Eos enim in puero, dum adhuc in utero est, gigni assero. Neque enim, ubi semel uterum egressus est, tanto tempore stercus in alvo manet, ut ex eo putrefacto et diutius permanente tantae magnitudinis animal in ea concrescere possit. Qui enim sanus futurus est, hesternum stercus semper quotidie per alvum demittit. Tale autem animal neque si per multos dies ventrem non exoneret, gigni possit. Multa

[1] *ἔνθεν γάρ οἱ εὔρυχ.* — [2] *τὰ δὲ σπ.* — [3] *καί* om. — [4] *μή* om. et *στηρίξῃ* legitur. — [5] *ὅκως* om. — [6] *ἐν αὐτῷ Φ. ἐόντα ἐν τῇ ἀνθρωπίνῃ ἀπεδ.* — [7] *καὶ ἐπεδ.* — [8] *νῦν δὲ ἐρέω — γίγνεται καὶ ἐν τῇσι γαστῆρσι* abest hoc loco, sed legitur infra ante *σημήϊα δέ ἐστι κ. τ. λ.* — [9] *ἁπάσας* sine *ἀνά*.

εἰλέεται E. H. Littr., qui melius distinxit; — *τὸ πονέον* de meo scripsi pro vulgato *πονέομενον* sine articulo. ut paulo post *ἐπὴν εἰλέηται τὸ πονέον*.. Vulg. *ἔνθεν*, J. *ὅθεν*, de meo *ἔνθα* dedi; — *γάρ* om. K.; — pro vulgato *ἡ* ante *εὐρυχ.* cod. V. *οἱ*, quod recepi; — *πρῶτον μέν* K. — Ceteri *καὶ τὰ ἐν τῇ κοιλίῃ ἐς τὴν θέρμην*, in quibus otiosum est *ἐς τὴν θέρμην*, quod delevi. Porro *καί* ante *μίσγεται* om. vulg., addunt K.', Mack., Littr.; — *ἐπὴν* (*δέ* addit K.) *μὴ* (*μή* om. prima m. in H., Littr.) *εἰλέηται* vulg.; — *μή* ante *στηρίξῃ* vulgo om.; addunt Ald. et G. alia m. et Littr.; — *στηρίζῃ* E. Q. Littr., *στηρίξῃ* vulg. — *πρό* al. m. H. pro *πρός*.

ταῦτα δέ μοι — ἔχει.] *ὅκως τε καὶ ὁκόθεν* Lind. de suo, uti videtur, et Mack.; — iidem *ὁκόθεν* pro *ὁκότε*; — *ἐπιπίπτει* pr. m. in H., cod. *ν*., Littr., *ἐμπίπτει* E. — Articulum ante *ἀρχαί* omm. E. H.; — *ὑπὸ τεῦ* e multis libris alii et Littr. utroque loco; — *καὶ ὅκως ἥ τε χ.* Corn., Littr., *ὅκως* in vulg. abest; — *τὰ ἄλλα* H; — *ἐν αὐτῷ* (*αὐτῇ* K'. Lind., Mack.,) *Φύσι ἐόντα* (*ἐνεόντα* de meo) *ἐν* (*ἐν* om. Lind.) *τῇ ἀνθρωπίνῃ ἀπέδειξα* (*ἀπεδ. ἐν τῇ ἀνθρ.* E. H.) vulg.; Littréus recte *ἐν τῇ ἀνθρωπίνῃ* abiicere mihi visus est. Porro *ὁκόσα καὶ ἐπιδ.* vulg., *καί* omm. E. H., *ἀπεδέχετο* vulg., *ἐπεδέχετο* E. I. J., Littr., *ἐπεδέξατο* K. L.; — *ἀπεδέξατο* Lind.

23. *νῦν δὲ — ὁ ἄνθρωπος.*] *δ'* E. I. J., *δέ* cett.; — *τῶν* ante *πλατειῶν* omm. E. H.; — *ἁπάσας*, ut Voss., Parr. 5.,

μὴ [1]ἀποπατήσῃ ὁ ἄνθρωπος. Πολλὰ γὰρ γίγνεται ἐν τῇσι μήτρῃσι ἐόντι τῷ παιδίῳ τρόπῳ τοιῷδε· ἐπὴν γένηται [2]πῦον καυσῶδες ἀπὸ τοῦ γάλακτος καὶ τοῦ αἵματος ξυσσηπομένου καὶ πλεονάζοντος, ἅτε γλυκέος ἐόντος ζῷον ἀπογεννᾶται [3]αὐτοῦ· γίγνονται δὲ καὶ σρογγύλαι ἕλμινθες αὐτοῦ τρόπῳ τῷ αὐτῷ. Σημήϊον δὲ ὅτι τοῦθ' οὕτως ἔχει· ἐπὴν τὰ παιδία γένηται, ψωμίζουσι αὐτὰ αἱ γυναῖκες φάρμακα, ὡς [4]ἡ κόπρος ἐξέλθῃ ἐκ τοῦ ἐντέρου καὶ μὴ ξυγκαυθῇ καὶ ἅμα τὸ ἔντερον εὐρυνθῇ· ἐπὴν δὲ ψωμίσωσι, πολλὰ δὴ τῶν παιδίων καὶ στρογγύλας καὶ πλατείας ἕλμινθας [5]ἀπεπάτησαν ἅμα τῇ κόπρῳ τῇ πρώτῃ· ἢν δὲ μὴ ἀποπατήσῃ, γίγνονται καὶ ἐν τῇσι γαστῆρσι. Καὶ αἱ μὲν στρογγύλαι τίκτουσι, αἱ δὲ πλατεῖαι οὐκέτι. Καίτοι φασὶ τίκτειν αὐτάς· ἀποπατέει γὰρ ὁ ἄνθρωπος ἔχων τὴν ἕλμινθα τὴν πλατεῖαν, ὁκοῖον σικύου σπέρμα ἄλλοτε καὶ ἄλλοτε ξὺν τῇ κόπρῳ καὶ τοῦτο εἰσὶν οἱ φήσαντες τῶν ἀνθρώπων [6]τῆς ἕλμινθος τέκνα εἶναι· ἐμοὶ δὲ δοκέουσι λέγειν οὐκ ὀρθῶς οἱ τὰ τοιαῦτα λέγοντες· οὔτε γὰρ ἀφ' ἑνὸς ζῴου γένοιτ' ἂν τοσαῦτα νεόσσια, οὔτ' εὐρυχωρίη ἐστὶ ἐν τῷ ἐντέρῳ, ὡς ἐκτρέφειν τέκνα. Τῷ δὲ παιδίῳ [7]ἐκ τῶν μητρέων αὐξανομένῳ αὔξεται ἐν τῷ ἐντέρῳ καὶ ἡ ἕλμινς ἀπὸ τῶν ἐς τὴν κοιλίην ἐσιόντων καὶ γίγνεται ἴση τῷ ἐντέρῳ, τοῖσι μὲν ἅμα τῇ ἥβῃ, τοῖσι δὲ ὕστερον, τοῖσι δὲ πρόσθεν ὀλίγῳ. Καὶ ἐπὴν ἰσωθῇ τῷ ἐντέρῳ, ὁμοίως ἐπαύξεται καὶ ὁκόσα ἂν μέζων γένηται, ἀποκρίνεται ἀπὸ τοῦ ἀρ-

enim puero in utero degenti ad hunc modum accidunt: ubi ex lacte et sanguine computrescente ac redundante, quod nimirum dulce exsistat, pus aestuosum factum fuerit, illic animal generatur. Teretes vero lumbrici illic eodem modo nascuntur. Quam rem ita se habere hoc est indicio: ubi pueri in lucem sunt editi, mulieres medicamenta in os iis indunt, quibus stercus ex intestino exeat, et minime aduratur simulque ut intestinum dilatetur. Postquam autem in os indiderint multi sane pueri tum rotundos, tum latos lumbricos una cum primo stercore per alvum demiserunt. Sin non egressi sint, in intestinis re ipsa insunt. Et teretes quidem pariunt, lati vero non amplius, etsi eos parere dicunt. Qui enim latum lumbricum habet, is quale quid cucumeris semen subinde cum stercore per alvum egerit, idque lumbrici partum esse quidam affirmant. Mihi vero isti haud recte sentire videntur. Neque enim ab uno animali tot pulli nasci possint, neque tanta est in intestino capacitas ut partus educare queat. Increscente autem puero, lumbricus etiam ex his, quae in ventrem ingesta sunt, in intestino increscit et his quidem cum pubertate, quibusdam etiam posterius, aliis vero paulo ante, intestino aequalis evadit. Et ubi intestino adaequatus fuerit, una cum eo increscit, et quod maius exstiterit, per rectum intestinum una cum stercore excernitur et velut cucumeris semen excidit, plerumque etiam maius. Nonnullis vero iter facientibus aut vehementer laborantibus et ventre incalescente de-

[1] ἀποπατήσειν ἄνθρ. — [2] πύος. — [3] αὐτόθι. — [4] ἢν κόπρος. — [5] ἀποπατήσειν. — [6] τὰς ἕλμινθας. — [7] ἐκ τῶν μητρέων om.

πάσης ἡμέρης E.; — τοιοῦτον E.; — μή om. prima m. in H.; — ὁ ante ἄνθρωπος E. H. Littr., ὁ om. vulg.

πολλὰ — τῷ αὐτῷ.] τοιῷδε τρ. E. H.; — ἐπὴν ἐγγένηται H.; — πύος vulgo, de meo πῦον; — ἐγγίνεται E. H., sed hic in marg. vulgatum ἀπογεννᾶται; — δέ om. K.; — τρόπῳ τοιῷδε τῷ αὐτῷ H., τρόπῳ τοιῷδε E. P.′ Q.′, Mack.

σημήϊον — γαστῆρσι.] τὰ αὐτὰ φαρμ. ceteri, sed otiosum est τὰ αὐτά; ortum autem videtur e superiore αὐτά, quod alii h. l. scripserint, aut repetiverint, quare τὰ αὐτά abegi; — ὥστε ἂν (ἢν E. H) κόπρος vulgo, ὥστε ἡ κ. K. Littr., equidem articulum item probo, sed pro ὥστε lego ὡς; — καυθῇ E. P.′; — ἐπὴν δὲ ψ. K.′, δέ vulgo om.; — πολλὰ δέ E. H.

καὶ — οὐκέτι.] ἡ δέ in his E.; — lectio fuerit ἡ δὲ πλατεῖα; — ceteri οὐκ ἔτι.

καίτοι — τέκνα.] ἐμοὶ δοκέουσι sine δέ E. H.; — οὔτε εὐρυχ. iidem; — ἐντρέφειν prima m. in H. et cod. ν.

τῷ δὲ παιδίῳ — ὀλίγῳ.] ἐκ τῶν μητρέων ex E. H. ν. addidit Littr.; — ξυναύξεται Lind., de suo, ut videtur. Articulum ante ἕλμινς e multis codd. et edd. antiquioribus Littr., vulgo om.

καὶ ἐπὴν — ἔρχεται.] ὁκόσῳ — μείζων Mack. ex Aem. Port.; idemque expressit Latine Foës. pro vulgato ὁκόσα μέζω; ego solum μέζων pro μέζω dedi; — πολλάκις δὲ καὶ μείζων Mack.; — ἢν ταλαιπωρέωσι Parr. 5., cf. lectt. Voss.; — τὸ πεφυσηκός vulg., τὸ πεφυκός L. Lind., cf. lectt. Voss.; — Littréus ἐκπεφυκός, quod praeplacet. Dein τοῦτό τε (τε om. K.) ποιέει (ἐποιδέει Lind.); — ταὐτό τε π. Littr., sed

χοῦ ξυν τῷ ἀποπάτῳ καὶ ἐκπίπτει οἷον σικύου σπέρμα, πολλάκις δὲ καὶ μέζω· ἔστι δὲ οἷσι ὁδοιπορέουσι [1] ἢ ταλαιπωρέουσι καὶ τῆς κοιλίης θερμαινομένης ἔρχεται ἐς τὸ κάτω καὶ ἐξίσχει ἐκ τοῦ ἀρχοῦ αὐτοῖσι τὸ [2] ἐκπεφυκὸς, καὶ τοῦτό τε ποιέει καὶ [3] ἀποπρίεται ὑπὸ τοῦ ἀρχοῦ, ἢ ὀπίσω ἔρχεται. Σημήϊα δέ ἐστι ὅτι οὐ τίκτει ἀλλ' οὕτως ἔχει ὡς ἐγὼ λέγω· ἐπήν τις ἰῆται τὸν ἄνθρωπον τὴν ἕλμινθα καὶ φάρμακον [4] διδῷ ποτὸν, ἢν μὲν τύχῃ ὁ ἄνθρωπος καλῶς παρεσκευασμένος, ἐξέρχεται ὅλη στρογγύλη γενομένη ὥσπερ σφαῖρα καὶ ὑγιὴς γίγνεται ὁ ἄνθρωπος· ἢν δὲ ἐς τὴν φαρμακείην [5] ἔρχηται εὐθὺς, ἀπορρήγνυται ἀπὸ τῆς ἕλμινθος ὁκόσον δύο ἢ τρεῖς πήχεας ἢ καὶ πλεῖον, καὶ ἐπὴν ἀπορραγῇ, χρόνῳ πολλῷ οὐ γίγνεται ξὺν τῷ ἀποπάτῳ, ὕστερον δ' αὔξεται· ταῦτα δὲ ἱστόριά ἐστι ὅτι οὐ τίκτει ἡ ἕλμινς, ἀλλὰ περιρρήγνυται· ἔστι δὲ τὸ [6] εἶδος ὁκοῖόν περ ἐντέρου ξύσμα λευκόν. Σημήϊα δὲ ἴσχει· ἀποπατέει [7] τε ἄλλοτε καὶ ἄλλοτε οἷον σικύου σπέρμα καὶ ἐπὴν νῆστις ὁ ἄνθρωπος ᾖ, ἀΐσσει πρὸς τὸ ἧπαρ ἄλλοτε καὶ ἄλλοτε καὶ πόνον παρέχει, καὶ ἔστι μὲν ὅτε πτύαλα ἐπιρρέει τῷ στόματι, ἐπὴν ἀΐξῃ πρὸς τὸ ἧπαρ, ὁτὲ δὲ οὐχί· ἔστι δὲ καὶ οἷσι ἀναυδίην ἐμβάλλει, ἐπὴν ἰσχυρῶς προσπέσῃ πρὸς τὸ ἧπαρ, καὶ πτύαλά τε πολλὰ ῥέει ἐκ τοῦ στόματος κάρτα, ὀλίγῳ δὲ ὕστερον [8] ἵσταται καὶ στρόφος ἐγγίγνεται πολλὸς ἐν τῇ κοιλίῃ ἄλλοτε καὶ ἄλλοτε· ἔστι δ' ὅτε καὶ ἐς τὸ μετάφρενον ὀδύνη ἐμπίπτει, στηρίζει γὰρ

orsum prodit ipsisque ex recto intestino quod excrevit prominet; ac id quidem facit et ab ano resecatur, aut retrocedit. Quod vero non pariat, resque veluti dico se habeat, hoc est indicio, quod si quis hominem lumbrico laborantem curet et medicamentum bibendum exhibeat, si quidem homo probe praeparatus fuerit, totus rotundus in pilae formam prodit et homo convalescit. Sin statim ad medicamenti potionem (sine praeparatione) deveniat, de lumbrico abrumpitur pars duos vel tres cubitos longa vel etiam longior ac postquam abrupta est longo tempore cum stercore nihil prodit, postea vero increscit. Atque haec argumenta sunt lumbricum non parere, sed circumcirca abrumpi. Est autem eius species velut album intestini ramentum. Haec vero habet indicia: ex alvo subinde quale cucumeris semen egerit et ubi quis ieiunus fuerit alias atque alias ad hepar impetu fertur et dolorem excitat. Interdum vero ubi ad hepar erumpit, sputa ad os affluunt, interdum vero minime. Nonnullis quoque ubi ad hepar vehementer proruperit, vocis defectionem immittit et ex ore sputa admodum multa effluunt, quae paulo post sistuntur, subindeque tormina multa in ventre excitantur. Quandoque etiam ad dorsum dolor fertur, illuc enim etiam incumbit. Haec lati lumbrici signa sunt, verum hoc etiam fit: ei qui hoc animalculum habet, toto quidem tempore nihil horrendum accidit, cum vero debilis ex morbo fuerit, aegre reficitur; lumbricus enim eorum, quae in ventrem ingeruntur, partem

[1] ἢν ταλαιπωρέουσι. — [2] πεφυκός. — [3] ἀποπρίεται. — [4] διδοῖ ἢ ποτόν. — [5] ἔρχεται εὐθεῖα ἀπορρ. — [6] εἶδος αὐτῆς ὁκοῖον ἐ. ξ. — [7] τε om. — [8] ἀνίσταται.

mihi non placet; credo τοῦτο servandum esse, sed καί ante pronomen adscivi de meo. — Vulgo ἀποπρίεται, sed ἀποκρίνεται Aem. Port., Lind., Mack., Littr., mihi ἀποπρίεται minime reiiciendum videtur, sed pro ἀπὸ τοῦ ἀρχοῦ lego ὑπὸ τοῦ ἀρχοῦ. Quidni dici possit ὁ ἀρχὸς ἀποπρίειν partem vermis? Lind. ἢν δὲ μὴ, ὀπίσω ἔρχεται, quo opus non est.

σημήϊον δ' ἔστι — λευκόν.] Φάρμακον διδῷ ποτόν Littr. de suo pro vulg., quam e V. notavi; — etiam post σφαῖρα ferunt στρογγύλη E. H.; — ἔρχηται (ἔχηται K.) καὶ (καί omm. codd. multi) εὐθεῖα (εὐθύς Mack. ex Aem. Port.) (ἔρχεται κατ' εὐθεῖαν Lind.) ἀπορρήγνυται vulg.; — equidem textum descripsi quemadmodum Littr., nisi quod ille εὐθύ dedit, ego εὐθύς cum Aem. Porto. Dein ἢ καὶ πλεῖον πολλῷ vulg., Lind. ἢ καὶ πολλῷ πλεῖον, ego πολλῷ h. l. e brevi post sequenti repetitum et otiosum reiicio. — Tum ceteri: οὐ γίγνεται ξὺν τῷ ἀποπάτῳ τὰ σημήϊα, in quibus τὰ σημήϊα insiticium mihi videtur, nam οὐ γίγνεται et sequens αὔξεται idem habent subiectum i. e. ἡ ἕλμινς, non τὰ σημήϊα. Porro δ' αὔξεται E. H., δὲ αὔξ vulg.; — δ' ἱστόρια E. H.; — ἡ ἕλμ. L. Lind., Mack., Littr., vulgo ἡ abest.

σημήϊα — ἐνθάδε.] τε omm. E. K.; τε καί K.' Lind., Mack. — Subiunctivum ᾖ omm. Ald., multi Parr.; — καί ante ἔστι μέν omm. Parr. 3.; — ἵσταται Foësii est emendatio vulgati ἀνίσταται a Mackio, Littréo recepta; — καί ante ἐς τὸ μεταφρ. omm. E. H. Litt.; — ὀδύνη μὲν ἐς τὸ μ. E. H.; — καί ante ἐνθάδε om. K.

καὶ ἐνθάδε. Ταῦτα σημήϊά ἐστι ἕλμινθος πλατείης· γίγνεται δὲ καὶ τόδε· ὃς ἔχει τοῦτο τὸ θηρίον, ἐν μὲν τῷ ξύμπαντι χρόνῳ [1] δεινόν τι κάρτα οὐκ ἂν πάθοι, ἐπειδὰν δὲ ἀσθενήσῃ, μόλις ἀναφέρεται· καὶ γὰρ ἡ ἕλμινς μετέχει τι μόριον τῶν εἰσιόντων ἐς τὴν κοιλίην. Ἢν μὲν οὖν [2] μελεδανθῇ κατὰ τρόπον, [3] ὑγιαίνει· ἢν δὲ μὴ μελεδανθῇ, αὐτομάτη οὐκ ἐξέρχεται, θάνατον μέντοι οὐκ ἐπάγει, ἀλλὰ ξυγκαταγηράσκει. Ταῦτα δέ μοι εἴρηται περὶ ἕλμινθος πλατείης, ὅθεν γίγνεται, καὶ τῶν σημηΐων [4] αὐτῆς καὶ τοῦ νοσεύματος.

aliquam assumit. Si igitur ut convenit curatus fuerit, convalescit, sin non curetur, sua sponte foras non prodit, nec tamen mortem infert, sed ad senectutem usque comitatur. Atque ista quidem a me de lumbrico lato dicta sunt et de illius ortu, ac signis eius et de morbo.

κδ′. Περὶ δὲ λιθίδος, — ἀρχὴν μὲν ἐγγίγνεται ἀπὸ τοῦ γάλακτος, ἐπὴν τὸ παιδίον θηλάζῃ γάλα μὴ καθαρόν· τὸ δὲ γάλα γίγνεται τῇ τροφῷ οὐ καθαρὸν, ἐπὴν φλεγματώδεσι καὶ σιτίοισι καὶ ποτοῖσι χρῆται, [5] μὴ καθαροῖσι· ξυμβάλλεται γὰρ πάντα [6] τὰ ἐς τὴν κοιλίην [7] ἐμπίπτοντα ἐς τὸ γάλα. Ἔχει δὲ καὶ [8] τόδε οὕτως· ἢν ἡ τροφὸς μὴ ὑγιηρὴ ἔῃ, ἀλλὰ χολώδης, ἢ ὑδρωποειδής, ἢ αἱματώδης, ἢ φλεγματώδης, καὶ γάλα γίγνεται πονηρὸν τῷ παιδίῳ· ξυμβάλλεται γὰρ τὸ σῶμα πλεῖστον ἐς τὸ γάλα ὅ τι ἂν αὐτὸ πλεῖστον ἔχῃ ἐν ἑωυτῷ. Καὶ τὸ παιδίον ἢν θηλάζῃ ἀπὸ τῆς τροφοῦ γάλα μὴ καθαρὸν, ἀλλὰ χολῶδες, ὡς ἔλεξα, ἐπίνοσον αὐτὸ γίγνεται καὶ ἀσθενὲς, καὶ τὸ παρὸν

24. Quod autem attinet ad morbum calculosum, — initium ducit a lacte, ubi puerulus lac impurum ex mamma sugit; lac autem nutrici impurum fit, ubi pituitosis cum cibis tum potibus utitur, nec puris. Conferunt enim ad lac omnia, quae in ventriculum incidunt. Etiam ea res ad hunc modum se habet: si nutrix non recte valeat, sed biliosa, aut hydropica, aut sanguinea, aut pituitosa fuerit, lac quoque pravum fit puerulo; corpus enim ad lac plurimum confert quodcumque ipsum plurimum in se continet. Ac si puerulus a nutrice lac sugat non purum, sed biliosum, quemadmodum dixi, ipse morbosus fit et debilis et quoad lac pravum et morbosum sugit, in praesentia maxime affligitur. Et ubi suxerit lac minime purum,

[1] τείνοντι. — [2] μελανθῇ. — [3] ὑγιαίνεται. — [4] τοῦ νοσήματος αὐτῆς. — [5] μὴ καθαροῖσιν ἡ τρόφος συμβ. — [6] τά om. — [7] πίπτοντα ἐπ᾽ αὐτῶν ἐς τὸ γάλα. — [8] τοῦτο.

ταῦτα — κοιλίην.] Omnes ἔστι δ᾽ ὅτε (K. δ᾽ om.) ταῦτα σημήϊά ἐστιν ἕλμινθος πλατείης, in quibus ἔστι δ᾽ ὅτε incongruum, nam solita signa traditurum se dixit noster; nempe otiose id repetitum est e brevi antecedente ἔστι δ᾽ ὅτε, quare delevi. Vulgatum τείνοντι apud Merc., Lind., Mack., Littr. emendatum est; — iam vero δεινόν τι κάρτα οὐκ ἂν γένοιτο prorsus ridicule, quare πάθοι pro γένοιτο repono; — μόγις E. H.

ἢν μὲν — ξυγκαταγηράσκει.] μέν om. E.; — μελεδανθῇ Foës., alii eum secuti pro vulg., quam e V. enotavi.

τοῦτο — νοσήματος.] τῶν σημηΐων de meo scripsi pro ceterorum τὰ σημήϊα, quod non fero, quia hoc nomen a περί pendet; — αὐτῆς καὶ τοῦ νοσήματος E. H. Littr.; τοῦ ἐξ αὐτῆς νοσεύματος Lind.; vulgatam e V. notavi.

24. περὶ δὲ — τὸ γάλα.] ἀρχήν E. H. ἀρχή vulg.; — ἐγγίνεται E. H. J.; — post γάλακτος delevi τῇ νούσῳ de coniectura; — γίνεται ἐν τῇ τροφῇ vulg., ἐκ τῆς τροφῆς Lind., sed in K. supra vulgatam superscribitur ῷ ἐν τῇ τροφῇ, unde Littr. ἐν τῇ τροφῷ, equidem otiosum ἐν abieci. — Tum vulgo: φλεγματώδεσι τροφῇσι καὶ σιτίοισι καὶ ποτοῖσι, e quibus otiosum τροφῇσι reiicio. — Vulgo καθαροῖσι ἡ τροφός. sed ἡ τροφός omm. E. H. ν. Littr.; — πάντα τά Lind., Littr., τά om. vulg. — Equidem de meo ἐμπίπτοντα dedi, vulgo πίπτοντα, post quam vocem addi solet ἐπ᾽ αὐτῷ (αὐτῶν Parr. 6., cod. Serv. αὐτῇ K.′ Mack.). Mihi Littr. hocce ἐπ᾽ αὐτῷ recte reiicere visus est.

ἔχει δὲ καὶ τόδε — ἑωυτῷ.] κάρτα τούτῳ pro καὶ τόδε Parr. 2., — alius καί om.; — τοῦτο pro τόδε duo alii; — dein vulgo: ξυμβάλλεται γὰρ τὸ σῶμα [καὶ ἡ κοιλίη] πλεῖστον (δὲ ἄγει αὐτῷ) ἐς τὸ γάλα ὅ τι ἂν κ. τ. λ., in quibus pro αὐτῷ Mack. αὐτῇ, Littr. αὐτό. Mihi omnia, quae uncis intersepsi, emblemata aliena sunt visa. — In seqq. pro αὐτό ante πλεῖστον cod. J. αὐτῷ; — Mack. αὐτή et dein ἑωυτῇ.

καὶ τὸ παιδίον — ἐπίνοσον.] τροφῆς Ald. G.; — αὐτό ante γίγνεται adscivi ex E. H. ν.; — post ἀσθενές habent ἐκεῖνο E. G. alia manu, H.; — μέχρι E. H. sine ἄν; — ἐπίπονον H., sed alia manu ἐπίνοσον.

μάλιστα λυπέει, μέχρις ἂν θηλάζῃ γάλα πονηρὸν καὶ ἐπίνοσον. Καὶ ἐπὴν θηλάζῃ γάλα μὴ καθαρὸν, ἀλλὰ γεῶδες καὶ φλεγματῶδες, καὶ ἔχῃ τὸ παιδίον τὰς φλέβας τὰς ἀπὸ τῆς κοιλίης ἐς τὴν κύστιν τεινούσας, εὐρείας καὶ ὁλκοὺς, χωρέεται δὴ καὶ τὸ ποτὸν καὶ τὸ σιτίον ἀπὸ τῆς [1]τροφοῦ ἐς τὴν κοιλίην τοῦ παιδίου [2]ὁκοῖον ἕλκει τοῦ γάλακτος, καὶ ἀπὸ τῆς κοιλίης τὸ πᾶν ὁμοίως ὅ τι ἂν αἱ φλέβες διηθέειν δύνωνται ἐς τὴν [3]κύστιν· καὶ ἤν τι ἐπὶ τῷ γάλακτι μὴ καθαρὸν ᾖ, τὸ ἐπαυρισκόμενον ἐν τῇ κύστι γίγνεται λίθος τρόπῳ τοιῷδε. Ὥσπερ ἐφ' ὕδατι μὴ καθαρῷ ταραχθέντι ἐν κύλικι ἢ ἐν χαλκῷ καὶ καταστάντι ὑποστάθμη ἅλις γίγνεται ἐν τῷ μέσῳ, οὕτω καὶ ἐν τῇ κύστι ἀπὸ τοῦ οὔρου μὴ καθαροῦ ἐόντος· καὶ οὐκ ἐξουρέεται ἅτε ἐν τῳ κοίλῳ ἐοῦσα καὶ μάλιστα [4]ἁλὴς γιγνομένη ὑπὸ ὀδύνης οὐ διέρχεται διὰ τῆς οὐρήσιος· πήγνυται τε ὑπὸ τοῦ φλέγματος ὠμοῦ ἐόντος, κόλλα γὰρ γίγνεται τῇ ὑποστάθμῃ τὸ φλέγμα μεμιγμένον καὶ τὸ πρῶτον μικρὴ ἄχνη ἐπιγίγνεται, ἔπειτα τὸ ἐπιὸν ψαμμῶδες προσγίγνεται, κόλλης γενομένης τοῦ φλέγματος τοῦ ἐν τῇ κύστι ἐνεόντος ἀπὸ τοῦ γάλακτος καὶ αὔξεται καὶ ὅ τι μὲν ἂν ὑγρὸν ἐν τῇ κολλήσι ἐπιγένηται ἐξουρέεται. Αὖθις δὲ ἡ ὑποστάθμη στερεοῦται ἢ λιθοειδὴς γίγνεται· ὥσπερ σίδηρος ἐκ τῶν λίθων καὶ τῆς γῆς ξυγκαιομένης γίγνεται καὶ ἐν [5]μὲν τῇ πρώτῃ ἐς τὸ πῦρ ἐμβολῇ κεκόλληνται τῇ σκωρίῃ [6]οἱ λίθοι καὶ ἡ γῆ πρὸς ἄλληλα καὶ ἐπὴν τὸ

sed terrenum et pituitosum, et puerulus venas, quae a ventre ad vesicam tendunt, amplas habet et quae multum attrahant, potus et cibus a nutrice ad ventrem pueruli pervadit, quales de lacte attrahit et similiter a ventre ad vesicam omne, quidquid venae percolare valeant; ac si quid in lacte impurum insit, id quod hauritur in vesica calculus fit tali ratione. Quemadmodum in aqua impura conturbata in poculo, aut vase aeneo et sibi relicta copiosum in medio sedimentum fit, ita etiam in vesica ex urina, cum nimirum impura sit; neque cum urina emittitur, cum in cavo quodam sit et maxime, ubi copia insigne est, non demittitur cum urina propter dolorem; et cogitur a pituita, cum nimirum cruda sit; nam pituita cum sedimento mistum gluten fit ac primum parva lanugo oboritur, dein quod sequitur arenosum adhaeret, quum gluten factum sit e pituita, quae in vesica insit, de lacte et augetur, et quidquid in conglutinatione humidi superveniat cum urina reiicitur. Postea autem sedimentum solidum, aut lapideum efficitur, non secus ac ferrum ex lapidibus et terra simul adusta fit. Ac prima quidem in ignem iniectione ad ferri recrementum lapides et terra inter se agglutinantur. Sed ubi secundo et tertio in ignem coniecta fuerint, recrementum quidem liquatum ex ferro foras prodit, quod fieri oculis cernitur, ferrum autem in igne remanet et cedente recremento subsidet solidumque ac densum redditur; sic sane se habet sedimentum in vesica. Dum pituitae glutinum accedit, id quod ab

[1] τροφῆς. — [2] ὁκοίην. — [3] κοιλίην. — [4] ἅλις. — [5] μέν abest. — [6] οἱ om.

καὶ ἐπὴν — τρόπῳ τοιῷδε.] τάς ante ἀπὸ τῆς κοιλίης omm. E. F. G.; — καὶ εὐρείας E.; — pro χωρέεται Littr. χωρέηται; nempe infra inter παιδίον et ὁκοῖον de suo χωρέεται intulit; equidem malui h. l. δέ in δή mutare de meo. Ceteri καὶ τὸ ποτὸν καὶ τὸ γάλα, ubi rerum nexus τὸ ποτὸν καὶ τὸ σιτίον requirere mihi videtur. Omnes ὑπὸ τῆς τροφοῦ, manifesto ἀπό pro ὑπό legere oportet; pro τροφοῦ vero Ald., Parr. plures τροφῆς. Dein vulgo: ὁκοίην (ὁκοῖον P.′ Mack., Littr.) ἕλκει ἀπὸ τῆς κοιλίης ἀπὸ τοῦ γάλακτος, τὸ πᾶν ὁμοίως κ. τ. λ., quae sensu cassa sunt: locus mihi perturbatus est visus: iungendum est ὁκοῖον ἕλκει τοῦ γάλακτος et tum καὶ ἀπὸ τῆς κοιλίης τὸ πᾶν ὁμοίως κ. τ. λ. Ita demum haec cum antecedentibus congruunt. Porro vulgo: διωθέειν δύνωνται ἐς τὴν κοιλίην, ubi recte Littr. ἐς τὴν κύστιν dedit pro ἐς τὴν κοιλίην; sed neque διωθέειν ferendum, αἱ φλέβες non διωθέουσι, sed διηθέουσι, itaque διηθέειν scripsi.

ὥσπερ — ἐξουρέεται.] ἐν μέσῳ prima m. in H., sed τῷ restituitur alia m.; — οὗτος καί vulg., sed οὕτως καί Ald., codd. plures, οὕτω καί E. Littr.; — ἅλις vulg., ἁλής Littr.; — καὶ πρῶτον E. H. sine τό; — κόλλης γενομένης E. Littr., κόλλης γινομ. vulg.

αὖθις — σίδηρος.] αὖθίς τε H.; — οἱ ante λίθοι Littr. de suo; — οἱ ἔξω vulg., sed οἱ omm. E., prima m. in H., Mack., Littr.; — ὑπὸ τοῦ σιδ. L. Lind., cf. lectt. Voss.; — τὸ γενομ. Lind., Littr., τὸ γινομ. vulgo; — οὕτω δέ prima m. in H.; — τό ante τηκόμενον K.′ Mack., Littr., vulgo om.; — ἀπὸ τοῦ οὔρου H. P.′ Q.′ Lind., Mack.; — vulgo

δεύτερον καὶ τὸ τρίτον ἐς τὸ πῦρ ἐμβληθῇ, ἡ μὲν [1] σκωρίη ἔξω ἔρχεται τηκομένη [2] ἐκ τοῦ σιδήρου, καὶ ὄψι ὁρᾶται τὸ γενόμενον· ὁ δὲ σίδηρος λιμπάνεται ἐν τῷ πυρὶ καὶ ξυμπίπτει προσδιδούσης τῆς σκωρίης καὶ γίγνεται στερεός τε καὶ πυκνός· οὕτω δὴ καὶ ἡ ὑποστάθμη ἐν τῇ κύστι· κόλλης γενομένης τοῦ φλέγματος ἐξουρέεται [3] τὸ τηκόμενον ὑπὸ τοῦ οὔρου· αὐτὴ δὲ ξυμπίπτει καὶ πυκνὴ γίγνεται καὶ στερεοῦται ὥσπερ σίδηρος. Ἐπὴν δὲ ξυμπέσῃ καὶ στερεωθῇ, κλονέεται ἐν τῇ κύστι ἄνω καὶ κάτω καὶ πόνον παρέχει κόπτουσα τὴν κύστιν καὶ ἀποφέρει τι ἀπ' αὐτῆς, ἐπὴν ἰσχυρῶς κόπτῃ, καὶ ἑλκοῖ· τὸ δὲ [4] ἀποφερόμενον ἔτι μᾶλλον τῷ [5] ἐπιόντι ψαμμώδεϊ ξύμπηξιν ἐργάζεται· [6] καὶ ὁ λίθος γίγνεται τρόπῳ τοιῷδε ἀπὸ τοῦ γάλακτος [7] ἐν τῇ κύστι. Ἔστι δ' ὅτε γίγνεται [8] κὴν τὸ παίδιον ἐὸν γε ...... ἢ ἄλλη τις ἀπὸ τούτου γίγνεται· ἄλλοτε γὰρ καὶ ἄλλοτε, ἐπὴν οὐρήσῃ, ταχέως [9] ἐπιλαμβάνει τῆς οὐρήθρης. Ἢν δὲ τοῦ παιδίου ἤδη αὐξανομένου λίθος γένηται ἀπὸ γεωτρωγίης, ὁ πόνος οὐ πάρεστί [10] οἱ πρὶν ἢ σῖτον αὐτὸς ἑωυτῷ αἵρηται. Καὶ ταῦτα μὲν ἐς τοῦτο μοι εἴρηται. Σημήϊα δὲ ἡ νοῦσος ἔχει πέντε· ἐπήν τε οὐρῆσαι θέλῃ πονέεται καὶ τὸ οὖρον κατ' ὀλίγον ῥέει ὥσπερ στραγγουρικοῖσι καὶ ἔστι ὕφαιμον οἷα τῆς κύστιος ἡλκωμένης ὑπὸ τοῦ λίθου καὶ ἡ κύστις φλεγμαίνει· ἀλλὰ τοῦτο

urina liquefactum est, cum ea excernitur. Ipsum vero sedimentum subsidet, condensatur, ac solidescit, velut ferrum. Ubi autem subsederit et solidum redditum fuerit, sursum ac deorsum in vesica agitatur, vesicamque tundens dolorem exhibet, cumque vehementer tundat ac ulceret, ab ea aliquid aufert, quod vero abiicitur adhuc maiorem ei quod accessit arenoso concretionem efficit et ad hunc modum calculus in vesica ex lacte gignitur. Interdum vero fit etiam si puerulus ...... aut alia quaedam inde oritur. Subinde enim ubi reddiderit urinam, celeriter urinae fistulam occupat. Quodsi iam adulto puero calculus gignatur ex terrae esu, non ante ei dolor adest, quam ipse sibi cibum legit. Et de his quidem hactenus. Hic autem morbus quinque habet signa; cum urinaé reddere vult dolore afficitur et urina paulatim velut urinae stillicidio laborantibus effluit, et interdum subcruenta est, utpote vesica a calculo exulcerata et vesica inflammatione vexatur; verum id non apparet, indicio tamen est summa praeputii pars. Interdum vero arenosa cum urina demittuntur. Demittuntur vero propter tales res, quales dicam: interdum calculi duo, aut etiam plures alii parvi eodem oriuntur modo, quo unum nasci dixi. Fit autem etiam hac de causa: cum concretus fuerit calculus et arena quae separata sit stratum altum in vesica effecerit, advenientem vero arenam calculus non ad se

[1] σκωρίη οἱ ἔξω. — [2] ὑπό. — [3] τό om. — [4] ἐπιφερόμενον. — [5] ἀπιόντι. — [6] ἐξ οὗ λ. — [7] ἐς τὴν κύστιν. — [8] κὴν τὸ παιδίον ἐόν τε ἢ ἄλλη τις ἀπὸ τούτου γένηται. — [9] ἐπιλαμβάνηται. — [10] ἢ πρίν.

dein αὕτη δέ, de meo αὐτή, quod Foësius etiam Latine; — δὲ καὶ συμπίπτει E. Q.'

ἐπὴν δὲ — κύστι.] καὶ ἕλκῃ vulg., ἑλκώῃ K. Mack.; — cum Foësio in Latinis de coniectura ἑλκοῖ dedi; — τὸ δὲ ἐπιφερόμενον vulg., cum aliis et Littréo τὸ ἀποφερόμενον, dedi; — porro ἐργάζεται ὁ λίθος καὶ γίνεται τρόπῳ vulg., ἔτι μᾶλλον τοῦ ἀπιόντος ψαμμώδεος σύμπηξιν ἐργάζεται K.' Mack; — ἐργάζεται δὲ οὗ ὁ λίθος L. Lind.; — καὶ ὁ λίθος γίνεται τρόπῳ τ. Foës. in adn., Mack., Littr.; — ἐν τῇ κύστι E. H. Littr., ἐς τὴν κύστιν vulg.

ἔστι δ' ὅτε — οὐρήθρης.] ἔστι δ' ὅτε (δὲ ὅτε H., δὲ ὅτι E.) γίνεται κὴν τὸ παιδίον ἐόν γε (ἐόν τε L., cf. lectt. Voss.) ἢ ἄλλη τις ἀπὸ τούτου γένηται (γίνεται K.) vulg.; — ἔστι δ' ὅτε γίνεται κὴν τῷ παιδίῳ ἐόντι ἄση τις ἀπὸ τούτου γίνηται K.' Lind., Mack.; — Littréus contulit locum e lib. de aëre p. 258. vol. I.: καὶ ὁκόταν — οὐρήσιος et dedit ἔστι δ' ὅτε γίνεται πρὸς τὸ αἰδοῖον, ἢ ἄλλη τις κώλυσις γίνεται κ. τ. λ. Equidem locum expediri non posse credo: nempe lacuna est inter ἐόν γε et ἢ ἄλλη τις. Utrum ἐόν γε, sive ἐόν τε recte habeat, nec ne ignoro propter lacunam, Probabile puto γίνεται codicis K. datum fuisse a scriptore, γένηται vero librarios scripsisse, quum verbum a κὴν pendere putarent. — In iis, quae sequuntur, ἐπὴν οὐρῆσαι Ald. Parr. 5.; — ἐπιλαμβάνεται vulg., ἐπιλαμβάνει H. v. ἐπιλαμβάνῃ E.

ἢν δὲ — εἴρηται.] γεωτρωγίης lego cum Foës., Mack., pro γεωτραγίης vulgatae; — κρεωφαγίης de Mercurialis coniectura Lind. — Locus mihi difficultatem habere nullam videtur; pueruli quidquid in propinquo est arripientes et in os intrudentes, subinde arenam, terram ori indunt; hinc calculum oriri posse noster crediderit. — Pro οἱ Ald., Parr. 7. ἡ; — καί ante ταῦτα omm. Parr. 4.

σημήϊα — ψαμμώδεα.] ἴσχει pro ἔχει H.; — τε om. J.; — εἱλκωμένης H.; — καὶ ἡ κύστις φλεγμαινομένη G.; — ἔστι δ' ὅτε de meo scripsi, ceteri δ' omm.

μὲν ἀφανές· σημήϊον δὲ ἀκροποσθίη· ἔστι δ' ὅτε διουρέεται ψαμμώδεα. Ὑπὸ τοιούτων δὲ, οἵων ἐγὼ ἐρέω, διουρέεται· [1] ἔστι ὅτε λίθοι δύο ἢ καὶ [2] πλείονες ἕτεροι [3] σμικροὶ τρόπῳ τῷ αὐτῷ, ὥσπερ καὶ τὸν ἕνα εἴρηκα, [4] γίγνονται· γίγνεται δὲ [5] καὶ ὑπὸ τούτου· ἐπὴν ὁ λίθος ξυμπαγῇ καὶ βάθος γένηται ἐν τῇ κύστι τῇ ψάμμῳ τῇ γενομένῃ χωρὶς, ἐλθούσης δὲ τῆς ψάμμου ὁ λίθος μὴ προσλάβῃ πρὸς [6] ἑωυτῷ, ἀλλὰ βαρυτέρη καὶ πλείων γένηται ὥστε μὲν πήγνυσθαι αὐτὴν πρὸς ἑωυτὴν, καὶ οὕτως δύο λίθοι γίγνονται· γίγνονται δὲ καὶ πλείονες τρόπῳ τῷ αὐτῷ καὶ ξυγκρουομένων πρὸς ἀλλήλους ἐν τῇ κλονήσι περιθραύεται καὶ διουρέεται τὸ ψαμμῶδες. Ἔστι δ' ὅτε καὶ ἐπὴν κατέλθῃ ψάμμος [7] ἐς τὴν κύστιν καὶ μὴ προσπαγῇ.

attrahat, sed ea gravior et copiosior fiat, ita ut ipsa secum concrescat, atque ita duo fiunt calculi; fiunt autem plures etiam eodem modo et cum inter se colliduntur in agitatione comminuitur arenosum illud et cum urina evehitur. Interdum vero etiam ubi arena ad vesicam descenderit, neque in sese coierit.

κε'. Λέγουσι δέ τινες ὅτι τὸ πινόμενον ἐς τὸν πνεύμονα ἔρχεται, ἐκ δὲ τούτου ἐς τὸ ἄλλο σῶμα· οὗτοι δὲ οἱ ταῦτα λέγοντες διαβάλλονται τούτῳ, ᾧ μέλλω ἐρέειν· ὅτι ὁ πνεύμων κοῖλός ἐστι καὶ πρὸς αὐτῷ ἐστι σύριγξ· ὁ δὲ πνεύμων, εἰ μὴ κοῖλος ἦν καί [8] οἱ ἡ σύριγξ προσείχετο, οὐκ ἂν ἐφώνει τὰ ζῶα, [9] φθεγγόμεθα γὰρ ἀπὸ τοῦ πνεύμονος ὅτι κοῖλός ἐστι καί [10] οἱ ἡ σύριγξ πρόσεστι· διαρθροῖ δὲ τὸν φθόγγον τὰ χείλεα καὶ ἡ γλῶσσα· κάλλιον δέ μοι περὶ τούτου δεδήλωται ἐν τῇ περιπνευμονίῃ. Τοῖσι οὖν δοκέουσι τὸ ποτὸν ἐς τὸν πνεύμονα φέρεσθαι ἐναν-

25. At vero dicunt nonnulli id quod bibitur in pulmonem deferri ex eoque in reliquum corpus. Hi vero eo quod dicturus sum falluntur, quod pulmo cavus exsistit eique annexa est fistula. At si pulmo cavus non esset, neque ei adnasceretur fistula, animalia nullam vocem emitterent. Vocem enim ex pulmone edimus, quod cavus sit pulmo et fistula ei annexa sit. Vocem autem labra et lingua articulatam reddunt. De hoc autem a me exactius dictum est in pulmonis inflammatione. His igitur, qui putant ad pulmonem potum deferri, opponam quae hoc se habent modo. Potus in ventrem con-

[1] δὲ ἔστιν ὅτε λίθους. — [2] πλείονας. — [3] δὲ σμ. — [4] γίγνονται abest. — [5] καί om. — [6] ἑωυτήν καὶ οὕτως omissis intermediis. — [7] πρός. — [8] οἱ om. — [9] φθέγγεται. — [10] οἱ om.

ὑπὸ — ψαμμῶδες.] οἷον ἐγὼ ἐρέω prima m. in H.; — διουρέεται δ' (δέ I. J., δ' om. K.) ἔστιν ὅτε vulg.; — ἔστι δ' ὅτε διουρέεται λίθος ἢ δύο ἢ καὶ πλείονες Lind.: „je supprime δ', inquit Littr., et je mets un point en haut après διουρέεται." Hunc sequor. Dein λίθους δύο ἢ (ἤ om. E.) καὶ πλείονας ἕτεροι δὲ σμικροὶ (σμικροὺς γεννομένους pro ἕτεροι δὲ σμικροί K.') τρόπῳ vulg. — Littr. de suo λίθοι δύο ἢ καὶ πλείονες ἕτεροι σμικροὶ τρόπῳ κ. τ. λ. — Lindanus in seqq. pro vulgato τὴν μίαν dedit τὴν ψάμμον frustra, sed sine dubio pro τὴν μίαν legendum τὸν ἕνα, ut ad λίθον referatur. — Porro εἴρηκα (γίνονται K.' Foës. in not., Mack.) δέ vulg.; textum descripsi, uti Littréus. — Tum ὑπὸ τοῦ (τοῦ omm. Ald. Parr. 6., Littr.) τοιούτου vulgo; malo ὑπὸ τούτου dare; — βάθος γίνηται Parr. 4., γίνεται J.; — ἐν τῇ κύστι de meo, ἐς τὴν κύστιν cett., eadem supra confusa vidimus. Porro γινομένη χωρίς E. H.; — καὶ πλείω γένηται E.; — [ἢ] ὥστε Littr., sed quidquid dicat, ἤ addito opus non est; sed vulgatum μή ante πήγνυσθαι in μέν est mutandum; — ἐν τῇ κλονήσει Parr. 4. v. Lind., Mack., Littr., ἐν om. vulg.

ἔστι δ' ὅτε — προσπαγῇ.] ἐς τὴν κ. E. H. v.; Littr.; — πρὸς τὴν κ. vulg.

25. λέγουσι — περιπνευμονίῃ.] Post ὅτι H. fert ἄν alia m.; — τό omm. Ald., Parr. 6.; — ὃ μέλλω J.; — καὶ (addunt οἱ E. H. P'. Q'. Lind.) ἡ (ἡ om. prima m. in H.; οἱ pro ἡ Mack.) σύριγξ vulg.; textum descripsi ut Littréus; — φθεγγόμενα Ald., Parr. 7.; — καί οἱ Lind., Littr., vulgo οἱ om.; — πρόσετι vulg., πρόσεστι alii et Littr. — Post hoc vocabulum κοίλη addit H. alia m.; — διαρθροῖ Parr. plures, Lind., Littr., διαρθρεῖ vulg.

τοῖσι οὖν — ἐπαυρίσκεται.] τοῖσι οὖν δοκέουσι ἀνθρώποισι (ἄνθρωποι prima m. in H.) vulgo; — equidem ἀνθρώποισι pro glossemate abiicio. — Vossianam lect. ad οὕτως adnotatam e pluribus Parisiensibus excitat Littréus; — χωρέειν vulgo, χωρέει plura mss. et Littréus. Possis etiam e librorum lectt. apud Littréum notatis ἔχει δὲ ὧδε· χωρέει

τιώσομαι· ἔχει δὲ [1] οὕτως· χωρέει τὸ ποτὸν ἐς τὴν κοιλίην, ἀπὸ δὲ τῆς κοιλίης [2] τὸ ἄλλο σῶμα ἐπαυρίσκεται. Νοῆσαι δὲ χρὴ ὁκόσα μέλλω ἐρέειν· λέγω δὲ ἱστόρια, ὅτι [3] τὸ ποτὸν οὐ χωρέει ἐς τὸν πνεύμονα, ἀλλὰ ἐς τὴν κοιλίην, τάδε. Εἰ γὰρ τὸ ποτὸν χωρέοι ἐς τὸν πνεύμονα, ὁκόταν ὁ πνεύμων πλησθῇ, οὐκ ἂν ῥηϊδίως τὸν ἄνθρωπον ἀναπνέειν οὐδὲ φθέγγεσθαι δύνασθαι· οὐ γὰρ ἂν εἴη τὸ ἀντηχέον τῷ πνεύμονι πλήρεϊ ἐόντι· καὶ ἓν μὲν τοῦτο ἱστόριόν ἐστι. Ἔπειτα εἰ ἐχώρεε τὸ ποτὸν ἐς τὸν πνεύμονα, τὰ σιτία [4] ἂν ἡμῖν ξηρὰ ἐόντα οὐκ ἂν ὁμοίως ἐπέσσετο· δύο δὲ ἱστόρια ταῦτά ἐστι. Καὶ τὰ φάρμακα δὲ τὰ ὑπήλατα, ἐπὴν πίωμεν, [5] χωρέει ἡμῖν τῆς κοιλίης ἔξω. Ἔχει δὲ καὶ τόδε οὕτως· ὁκόσα φάρμακα καθαρτικά ἐστι ἢ ἄνω ἢ κάτω, ἢ καὶ ἀμφότερα ταῦτα ποιέει, πάντα καίει κάρτα, καὶ τὰ μὲν ἰσχυρὰ αὐτῶν ἢν τύχῃ ἅψασθαί τι τῶν ἁπαλῶν τοῦ σώματος, ἑλκοῖ· τὰ δὲ μαλακώτερα ἄραδον ποιέει, τοῦ χρωτὸς ὅ τι ἂν ἀλειφθῇ· εἰ δὲ ἔλθοι τι τούτων τῶν φαρμάκων ἐς τὸν πνεύμονα, δοκέει ἂν μοί τι μέγα ποιῆσαι κακόν· τὸ γὰρ φλέγμα τὸ ἀπὸ τῆς κεφαλῆς ἐν κάρτα ὀλίγῳ χρόνῳ ἑλκοῖ· ἁπαλὸν γὰρ καὶ ἀραιὸν χρῆμά ἐστι ὁ πνεύμων καὶ ἢν ἑλκωθῇ, οὐ καλῶς ἕξει κεῖνος διά γε πολλά. Ἡ δὲ κοιλίη ὑπὸ τοῦ φαρμάκου οὐχ ἑλκοῦται, ὅτι χρῆμά ἐστι ἰσχυρὸν [6] ὥσπερ δέρμα· καὶ τῶν μὲν Λιβύων χρέονται οἱ πλεῖστοι τῶν κτηνέων τοῖσι μὲν δέρμασι ἀντὶ ἱματίων, τῇσι δὲ κοιλίῃσι ἀντὶ θυλάκων· ἰσχυρὸν γὰρ χρῆμα

cedit, e ventre vero reliquum corpus eum haurit. Ad haec vero argumenta animum attendere oportet, quae proferam, cur potus in ventriculum, non in pulmonem concedat. Si enim potus ad pulmonem ferretur, ubi pulmo oppletus esset, non facile quis spiritum trahere, neque loqui posset. Neque enim pulmone pleno esset quod sonitum contra redderet. Et hoc quidem unum est argumentum. Deinde si potus ad pulmonem procederet, cibi, quum sicci nimirum essent, non ut nunc coquerentur. Istaque duo sunt argumenta. Quin et medicamenta ventrem subducentia ubi potu sumpserimus, nobis cedunt extra ventrem. Habet autem etiam haec res se ad hunc modum: quae medicamenta sursum aut deorsum, aut utroque modo purgant, omnia valde urunt et ex his quidem valentia, si forte mollem aliquam corporis partem attigerint, eam ulcerant; leniora vero turbationem in corporis superficie excitant, ubicumque illita fuerint. Sin aliquod ex his medicamentis ad pulmonem veniret, magnum aliquod malum mihi excitare posse videtur. Pituita enim ex capite veniens eum parvo admodum tempore exulcerat, cum tenerum quiddam et rarum sit pulmo; qui si ulceratus alicui fuerit, multis sane de causis is non bene haberet. Venter autem a medicamentis non exulceratur, cum robustum quiddam sit, velut corium scilicet. Et in Libya plerique ex incolis pecorum pellibus pro vestibus et ventribus pro sacculis utuntur. Ventriculus enim robustum quiddam est. Praeterea vero ubi homines vinum nigrum in-

[1] οὐχ ὥσπερ χωρέει. — [2] εἰς τὸ ἄ. σ. ἀπαύρισκεται. — [3] τό om. — [4] ἄν. — [5] χωρέει τῆς κοιλίης ἔξω. — [6] ὥσπερ δηλαδὴ δέρμα.

scribere. Ante ἀπὸ δὲ τῆς κοιλίης alia manus in H. addit, οὕτω καὶ εἰς τὸν πνεύμονα. Dein vulgo ἐς τὸ ἄλλο σῶμα ἀπαυρίσκεται; cum Heringa, Littréo omitto ἐς, sed cum E. J. P.′ ἐπαυρίσκεται scribo; — ἀπαυρίσκεται ex antecedente ἀπό exstitisse mihi videtur.

εἰ γὰρ τὸ ποτὸν — ἱστόριόν ἐστι.] ὁκόταν δὲ ὁ π. H., sed δέ alia m.; — Littréus de coniectura adscripsit φημί post ῥηϊδίως, quo mihi non opus esse videtur. — Ionismum ἀναπνέειν E. H. praebuere Littréo. Dein τούτω ἱστόριον E. H., nempe qui ita scripsit ἕν praepositionem ἐν esse credidit.

ἔπειτα — ταῦτά ἐστι.] ἐν pro ἄν ante ἡμῖν K.′ Mack., Littr. — puto Cornarium frustra ἐν dedisse; licet infra ἄν recurrat, non desunt exempla repetiti ἄν in eodem periodi membro, minime ubi participium sicuti h. l. ponitur.

καὶ τὰ φάρμακα — πολλά.] χωρέει ἡμῖν ἔξω τῆς κοιλίης E. H. P.′ Littr., vulgatam e V. notavi; — mihi ἡμῖν e vulgata excidisse videtur, sed potior in ea esse verborum ordo. Dein φάρμακα φθαρτικά E.; ἡμῖν φθαρτικά Q.′; — ταῦτα ποιέει vulgo; Littréus in his ταὐτά scripsit, mihi nihil mutandum videtur. Pro ἀλειφθῇ Lind. ἐλλειφθῇ, sed ληφθῇ E. K., quorum ille „vel ἐλλειφθῇ," unde Lindani lectio ducta; — μέγα τι E. H.; — ἕξει om. pr. m. in H.; — ἐκεῖνος E. H., qui γε omm., sed omnes κεῖνος s. ἐκεῖνος ὁ ἄνθρωπος, ubi ὁ ἄνθρ. pro emblemate alieno delevi.

ἡ δὲ κοιλίη — ἡ κοιλίη ἐστί.] δηλαδή, quod vulg. fert, cf. lectt. Voss., omittunt H., in quo al. m. rest., cod. ν., Littr.

ἡ κοιλίη ἐστί. Ἔπειτα ἐπὴν ὑπὸ οἴνου μέλανος θωρηχθῶσι οἱ ἄνθρωποι, ἀποπατέουσι μέλανα. Ταῦτα δὲ πάντα ἱστόριά ἐστι· καὶ ἐπὴν σκόροδα φάγωμεν ἤ τι ἄλλο ὀδμαλέον βρῶμα, διουρέομεν [1] ὄζον τοῦ βρώματος. Ταῦτα μὲν [2] τὰ ἱστόρια ἔξεστι σκέψασθαι, — καὶ τόδε, ὅ τι μέλλω ἐρέειν· εἴ τις κυκεῶνα [3] πίοι ἢ ἄλητον ἑφθὸν ῥοφοίη, ἤ τι ἄλλο τοιοῦτο, καὶ ἔλθοι ἐς τὸν πνεύμονα, δοκέομεν ἂν αὐτὸν οὐδὲ ζώειν οὐδὲ ὀλίγον χρόνον· ἐπὴν γάρ τι μικρὸν ἔλθῃ ἐς τὸν πνεύμονα φλέγμα ἢ ἐς τὴν σύριγγα αὐτοῦ, πολλὴ βὴξ τε καὶ ἰσχυρὴ γίγνεται καὶ σπασμός· εἰ δ' οὖν ἄρα καὶ ζώει ὁ ἄνθρωπος πιὼν τὸν κυκεῶνα ἢ τὸ ἄλητον ῥοφέων, πεσσομένου τοῦ ῥοφήματος, θέρμην ἂν δοκέω πολλήν τε καὶ ἰσχυρὴν τῷ σώματι γίγνεσθαι καὶ πόνον πολλὸν, [4] ὥστε οὐκ ἂν ἀποπατοίη κατὰ τρόπον, [5] εἰ ἐς τὸν πνεύμονα ἔλθοι. Ταῦτα δὲ ἱστόρια ἑπτά ἐστι· ἔπειτα τὸ γάλα πῶς ἂν ἔτρεφε τὰ παιδία, εἴ γε [6] χωρέοι πρὸς τὸν πνεύμονα; τοῦτο δὲ ἱστόριον ἄλλο μοι καὶ [7] οὐδ' ἂν ἐπηγαγόμην ἔγωγε τῷ λόγῳ τοιοῦτο ἱστόριον οὐδὲν, εἰ μὴ ὅτι πολλοὶ κάρτα τῶν ἀνθρώπων τὸ ποτὸν δοκέουσι ἐς τὸν πνεύμονα χωρέειν καὶ ἀνάγκη ἐστὶ πρὸς τὰ ἰσχυρῶς δοκέοντα πολλὰ τὰ ἱστόρια ἐπάγεσθαι, εἴ [8] τις μέλλει τὸν [9] ἀκούοντα ἐκ τῆς πρὶν γνώμης μεταστρέψαι τοῖσι [10] ἑωυτοῦ λόγοισι πείσειν. Καὶ διὰ τόδε οὐ χωρέει τὸ ποτὸν ἐς τὸν πνεύμονα, ἀλλ' ἐς τὴν κοι-

gesserint, nigra per alvum egerunt. Haec quidem omnia argumento sunt. Ac ubi allia, aut aliud gravis odoris edulium comederimus, urinam cibi odorem referentem excernimus. Et haec quidem argumenta, tum ea quae dicturus sum, spectare licet. Si quis cyceonem biberit, aut farinam coctam aut aliud quid huiusmodi sorbitione acceperit, idque ad pulmonem perveniat, hunc ne minimum quidem temporis victurum speramus. Ubi enim paulum quid pituitae ad pulmonem aut eius fistulam venerit, multa et valida tussis convulsioque oboritur. Si igitur utique vixerit, qui cyceonem biberit, aut farinam coctam sorbitione sumpserit, ubi concocta sorbitio fuerit, copiosum et vehementem calorem multumque dolorem in corpore excitatum iri censeo, quippe non ut fieri debet alvi excreta demitteret, si ad pulmonem devenisset. Illaque septem sunt argumenta. Praeterea qua ratione lac pueros enutriret, si quidem ad pulmonem concederet? Quod est aliud a me adductum argumentum. Ac ne illa quidem argumenta ad orationem nostram probandam adduxissem, nisi adeo multi potum ad pulmonem concedere existimarent. At necesse eum, qui velit auditorem a pristina sententia deducere, suisque verbis fidem facere, ad ea quae firmiter in opinione inhaerent, multa argumenta proferre. Atque ob eam causam potus non ad pulmonem, sed ad ventrem fertur, quod ei prope adiuncta est gula quae semper hiat et

[1] ὀζόμενον codd. — [2] τά om. tum ἱστόρια· ἔξεστι σκέψασθαι δὲ καὶ τόδε. — [3] πίοι om. — [4] ὥστε εἰ ἀποπ. — [5] ἤ. — [6] χωρέει. — [7] οὐδέν. — [8] τις om. — [9] ἀκούοντα. — [10] ἑωυτοῦ τε λόγ.

τοῦτο — βρώματος] ὀζόμενον vulgo, ὄζον de meo.

ταῦτα μὲν — ἔλθοι.] ταῦτα μὲν τὰ ἱστόρια ἔξεστι, σκέψασθαι δὲ καὶ τόδε κ. τ. λ. vulg., σκέψασθαι δὲ ἔξεστι Lind.; — ταῦτα μὲν τὰ ἱστόριά ἐστιν· ἔξεστι δὲ σκέψασθαι καὶ τόδε Littr. de suo. Equidem malui e vulgata δέ eximere, quo facto omnia rite procedunt. De Littréi coniectura πίοι scriptum est; nonnulli libri verbum omm., uti Voss., vulgata πιήσῃ habet, Ald. H. ποιήσῃ, E. ποιήσει. Vulgo ἐς τὸν πνεύμονα τοῦτο, ubi otiosum τοῦτο omisi. — Vulgo εἰ — ζώῃ, sed ζώει Littr. de suo; — καὶ πιών H. — Porro πεσσούμενον vulg., probam formam Littréo praebuerunt Parr. 3. — Tum γὰρ τοῦ ῥοφήμ. vulg., pro γάρ Corn., Foës., voluerunt γε, at γάρ omm. K. L. Littr.; — Dein ὥστε εἰ (ἤ pro εἰ E. Lind.) ἀποπατοίη κατὰ τρόπον ἢ ἐς τὸν πλ. ἔλθοι vulg.; — ὥστε ἀποθανεῖν κατὰ τρόπον, ἢν ἐς τὸν πλ. ἔλθοι K.'; — ὥστε οὐκ ἀποπατέειν (vel οὐκ ἂν ἀποπατοίη) κατὰ τρ., εἰ ἐς τὸν πλ. ἔλθοι Foës. in adn. — Littréus Foësii emendationem probat, sed exhibet tamen ὥστε μὴ ἀποπατοίη κατὰ τρόπον εἰ ἐς τὸν πλ. ἔλθοι. Equidem alteram Foësii correctionem ex toto amplector.

ταῦτα δὲ — πείσειν.] Vulgo καὶ ταῦτα οὐδ' ἂν ἐπηγαγόμην ἔγωγε τῷ λόγῳ τοιοῦτο (τοιοῦτον Parr. 5.) ἱστόριον οὐδέν κ. τ. λ., sed in his aut ταῦτα, aut τοιοῦτο ἱστόριον οὐδέν abundat, itaque ταῦτα reiicio. — Tum ceteri τὰ πολλὰ ἱστ. ἐπάγ.; de meo τά transposui. — Porro εἴ τις coniectura Cornarii est a Littréo recepta, vulgo τις om.; — ἄκοντα vulgo, ἀκούοντα Ald., Lind., Mack. H. J. K., cf. lectt. Voss.; equidem puto ἀκούοντα datum fuisse; — ad ἄκοντα ob mentem obversabatur comici οὔ με πείσεις, οὐδ' ἂν πείσῃς. Tandem ἑωυτοῦ τε vulg., sed τε omm. Parr. 7. Littr.

καὶ διὰ τόδε — εἴρηται.] ἀλλά plene E. H.; — αὐτῇ Corn., Littr., pro vulgata, quam e V. adscripsi, ἐστιν αὐτῷ

λίην, ὅτι προσαφὴς [1] αὐτῇ ἐστι ὁ στόμαχος ἀεὶ χάσκων καὶ χωρέει ἐς ἐκεῖνον, καὶ ἅμα ἐπικεῖται τῇ σύριγγι τοῦ πνεύμονος ὥσπερ κισσοῦ φύλλον, ὥστε οὐκ ἂν παρακαθίει ἐν τῇ καταπόσι, εἰ χωρέει ἐς αὐτόν. Καὶ ταῦτα ἐς τοῦτό μοι εἴρηται.

ad quam tendit, simulque pulmonis fistulae tanquam hederae folium ita incumbit, ut si ad eum feratur in devorando, minime in se demittat. Atque de his hactenus.

κϛ'. Χωρέει [2] δὲ τὸ ποτὸν ἐς τὴν κοιλίην καὶ ἐπὴν πλησθῇ, ὁ σπλὴν [3] ἀπ' αὐτῆς δέχεται καὶ διαδιδοῖ ἐς τὰς φλέβας καὶ ἐς τὸ ἐπίπλοον καὶ ἐς τὸ κάταντες, ἔς τε τὴν ὄσχην καὶ ἐς τὰ σκέλεα καὶ ἐς τοὺς πόδας, καὶ ἐπὴν νοῦσος ἐπιγένηται τῷ ὕδατι τῷ πολλῷ, χωρέει ἀπὸ τῆς κοιλίης ἐς τὸν σπλῆνα ἀεὶ ἐπὴν πίῃ ὁ ἄνθρωπος. Γίγνεται δὲ ἐπὶ τῆς νούσου ταύτης ὥστε μὴ πυρεταίνειν, ἀλλ' ἢν ἐν τῇ κοιλίῃ [4] καῦμά τι ᾖ καὶ ὁ ἄνθρωπος διψῇ, [5] ἡ δὲ κύστις καὶ ἡ κοιλίη μὴ διηθέωσι κατὰ τρόπον, μηδὲ ἐπιτηδείῃ διαίτῃ ὁ ἄνθρωπος χρῆται. Ὁ δὲ σπλὴν [6] ὑπονοσέων ἕλκει ἀπὸ τῆς κοιλίης τοῦ ποτοῦ, [7] καὶ ἡ ὄσχη διαφανὴς γίγνεται, καὶ αἱ κληῖδες καὶ ὁ τράχηλος καὶ τὰ στήθεα καταλεπτύνεται· [8] τήκεται γὰρ ὑπὸ τῆς νούσου καὶ καταρρέει ἐς τὴν κοιλίην τά τε κάτω ὕδατος πλέα ἐστὶ καὶ ἀσιτέει ἡ κοιλίη, καὶ ὁτὲ μὲν κάρτα στέγει, ὁτὲ δὲ καταρρέει, ἥ τε κύστις οὐ διηθέει κατὰ τρόπον ὡς ἐπὶ τὸ πλεῖστον φρίκη τε διαΐσσει ἄλλοτε καὶ ἄλλοτε διὰ τοῦ σώματος, καὶ πῦρ ἔστι ὅτε ἐπιλαμβάνει, καὶ τὸ πρόσωπον τῶν μὲν οἰδαλέον γίγνεται, τῶν δὲ οὔ· ἔστι δ' οἷσι καὶ καταρρήγνυνται αἱ κνῆμαι, ἐπὴν χρόνιον τὸ νόσημα γένηται,

26. In ventrem autem potus fertur, a quo, cum repletus fuerit, lien eum recipit et ad venas et omentum transmittit et ad declive deorsum, ad scrotum, ad crura et ad pedes demittit; cumque morbus supervenerit multae illi aquae, a ventre semper ad lienem concedit, cum homo biberit. In hoc autem morbo etiam accidit ut febris liberi sint, nisi ardor quidam in ventriculo insit, aut homo sitiat, vesica vero et venter non percolent, uti decet, neque idoneo victu homo utatur. Lien vero aliquantum aegrotans potum e ventriculo attrahit et scrotum pellucidum evadit et iugulum, cervix et pectus extenuatur, cum ex morbo colliquescat, et humor in ventrem defluat, inferioraque aquae plena sunt et venter cibum refugit et quandoque quidem valde adstrictus est, quandoque vero fluit, neque vesica probe transmittit ut plurimum et horror subinde corpus pervadit interdumque febris supervenit et quibusdam facies intumescit, quibusdam minime. Nonnullis vero, ubi morbus diuturnus exstiterit, tibiae rumpuntur indeque aqua effluit et insomnia corporisque imbecillitas praecipueque lumborum oritur et ubi quis vel paululum tantum plus comederit, aut biberit, lien affligitur crebrumque spiritum sem-

[1] αὐτῷ. — [2] δὲ καὶ τὸ π. — [3] τὲ ἀπ' αὐτῆς. — [4] καῦμά τι ᾖ om. — [5] ἢν δὲ ἡ κύστις. — [6] ὑπὸ νουσέων. — [7] ἡ δὲ ἡ νοῦσος γίνεται καὶ κ. τ. λ. [8] τήκηται δὲ ὑπό.

E. H.; — καὶ ἀεὶ χάσκων τοῦ ἀνθρώπου καὶ χ. E. H., in vulgata etiam ὁ στόμαχος τοῦ ἀνθρώπου, unde τοῦ ἄνθρ. eieci de coniectura; — χωρέοι al. m. H. et I. K.; αὐτόν J. K.' Littr., ἑωυτόν vulg.

26. χωρέει — ὁ ἄνθρωπος.] δὲ καὶ τὸ π. vulg., sed prima m. in H., et Littr. omm. καί; — tum σπλήν τε vulgo, sed τε recte reiicere mihi videtur Littr. Dein διαδιδοῖ pro vulgato διδοῖ cum Lindano scripsi. Porro καί ante ἐς τὸ ἐ. om. prima m. in H.; καὶ ἐς τὴν ὄσχην K. — ἐφ' ὕδατι πολλῷ K.'; — ego τῷ ante πολλῷ de meo interposui; — ἀπὸ τῆς κοιλίης K. vulgata ὑπὸ τῆς κ. Tum omnes χωρέει ὑπὸ τῆς κοιλίης [καὶ] ἐς τὸν σπλῆνα [ἔρχεται] ἀεὶ [ἀπὸ τοῦ ποτοῦ,] ἐπὴν πίῃ ὁ ἄνθρωπος. Quae scriptura loci inepta et me iudice interpolationibus, quas uncinis intersepsi, deturpata. Itaque emblemata aliena reiicio et cum K. ἀπό pro vulgato ὑπό lego.

γίγνεται — χρῆται.] πυρεταίνειν ἄλλην ἐν τῇ κοιλίῃ ἢ ὁκόταν ὁ ἄνθρωπος διψῇ vulgo; Littréus conferens locum similem e lib. I. de morbis mull. § 61. (p. 122. vs. ult. Littr.) dedit: πυρεταίνειν, ἀλλ' ἢ ἐν τῇ κοιλίῃ καῦμά τι ᾖ, ἢ ὁκόταν ὁ ἄνθρωπος διψῇ. Locus tamen e lib. I. l. vitiose descriptus est in vulgata lectione, cf. adnn., sed verissime ἀλλ' ἢν emendavit editor Parisiensis; id unum feci ut pro ἢ ὁκόταν solum καί darem de meo. Dein Lind., Mack., pro ἡ δὲ κύστις legerunt ἢν δὲ ἡ κύστις.

ὁ δὲ σπλὴν — ἀφίει.] post τοῦ ποτοῦ omnes ἡ δὲ (Lind. τε) νοῦσος γίγνεται, quae verba extra omnem cum reliquis nexum idoneum inferri mihi videntur, ita ut pro emblemate alieno ea reiiciam. Porro τήκεται δὲ ὑπό L. Lind., cf. lectt. Voss.; — τῆς νούσου ταύτης vulgo, sed ταύτης om. V.,

καὶ ῥεῖ [1] αὐτόθεν ὕδωρ καὶ ἀγρυπνίη ἐπιπίπτει καὶ ἀδυναμίη τοῦ σώματος καὶ μάλιστα τῆς ὀσφύος, καὶ ἐπήν τι φάγῃ ἢ πίῃ καὶ ὀλίγῳ πλέον, πονέεται ὁ σπλὴν, καὶ τὸ πνεῦμα πυκινὸν ἀεὶ ἀφίει. Ταῦτα δὲ σημήϊα ὕδρωπός εἰσι. Ἔστι δὲ καὶ περὶ τὴν κοιλίην μούνον, ἢ καὶ πυρὸς λαβόντος ἢ καὶ οὐχὶ, καὶ ἡ γαστὴρ μεγάλη γίγνεται καὶ πίμπλαται ὕδατος, τὰ δὲ ἄνω τοῦ σώματος λεπτὰ γίγνεται· [2] οὕτω δὲ διατεθεῖσι τὰ σημήϊα [3] πάντα βληχρότερά ἐστι καὶ ἅμα ἐν τοῖσι σκέλεσι ὕδωρ οὐκ ἐπιγίγνεται καὶ ὁ πόνος τοσούτῳ ἐλάσσων. Περὶ δὲ τὴν κοιλίην μούνον διὰ τόδε ὕδρωψ γίγνεται· ἐπὴν γὰρ ἁλὲς ἐπιγένηται καὶ ὁδὸς ἐν ἀρχῇσι μὴ γένηται ἐς τὸ κάτω, ἀλλ' [4] ἀποληφθῇ ἁλὲς ἐν τοῖσι φλεβίοισι, ἅτε ἀναπνοὴν μὴ [5] ἔχων μήτε ἄνω μήτε κάτω, ἀποστήριξιν ἔχει. Ὥσπερ εἴ τις ἄγγος μέγα μικρόστομον [6] ἀπολαβὼν καταστρέψειε ἐν τάχεϊ, εἶτα κατ' ἡσυχίην ἀπὸ τοῦ στόματος ἀφέλοι τὸ ἐπικείμενον καὶ ἢν τοῦτο ποιήσῃ, τὸ ὕδωρ οὐκ ἂν ῥεύσειε ἔξω· [7] οὐ γὰρ ἔχει ἀναπνοὴν, ἀλλ' [8] ἀποκέκλειται ἀπὸ τοῦ ἐντὸς πνεύματος· ἐνεὸν γὰρ τὸ πνεῦμα πληροῖ τὸ ἄγγος καὶ ἀντιστηρίζει τῷ ἔξω πνεύματι καὶ οὐκ ἔστι τῷ ὕδατι ἐκδρομὴ ὑπὸ τοῦ πνεύματος τοῦ πληροῦντος τὸ ἄγγος καὶ ἅμα ἐπικειμένου τῷ ὕδατι· εἰ δέ τις κλίνειε καθ' ἡσυχίην τὸ ἄγγος ἢ κατὰ πυθμένα τρήσειε, ἐξελεύσεται τὸ πνεῦμα ἐκ τοῦ ἄγγεος· ἐξιόντος δὲ τοῦ πνεύματος χωρέει καὶ τὸ ὕδωρ ἔξω. Οὕτω δὴ καὶ

per emittit. Atque ista aquae inter cutem sunt indicia. Consistit autem etiam in ventre solo sive febris prehenderit, sive non, et venter magnus fit et aqua impletur, superiores vero corporis partes gracilescunt. Iis vero, qui ita se habent, signa omnia debiliora sunt, simulque aqua in cruribus non inest laborque eo minor est. At vero circa ventrem solum aqua inter cutem istam ob causam exoritur. Nempe ubi magna copia accesserit, neque per exordia ad inferiores partes via detur, sed coacervata in venis resideat, nimirum ut quae respirationem non habeat neque sursum, neque deorsum, firmam habet sedem. Non secus ac si quis magnum vas angusti oris occlusum subito convertat, deinde sensim operculum ab ore detrahat, idque ubi fecerit, aqua foras non effluit, cum perspirationem non habeat, sed a spiritu qui intus est intercludatur. Spiritus enim internus vas opplet et externo spiritui obluctatur, neque aquae excursus datur, cum spiritus vas impleat simulque aquae superincumbat. At si quis vas sensim inclinet, aut in fundo perforarit, spiritus e vase effertur, quo egresso etiam aqua foras concedit. Ita sane in aqua intercute, si quidem sursum aut deorsum perspiratio per venas fiat per morbi initia, ad crura et pedes aqua fertur, sin minus, isthic solum circa ventrem volutatur. Ac de his quidem sic a me dictum est. Accidit autem mulieribus etiam hydrops in utero et ventre et cruribus et reliqua signa omnia habet eadem; de quo

[1] αὐτόθι. — [2] οὕτω οἰηθεῖσι. — τὰ δὲ σημήϊα κ. τ. λ. — [3] ἅπαντα. — [4] ἀποβληθῇ. — [5] ἔχον. — [6] ἀναλαβών. — [7] οὐδὲ γάρ. — [8] ἀποκέκλεισται.

quem sequor. Dein ἥ τε κύστις καὶ οὐ διηθέει Parr. 5.; — ὡς ἐπὶ τὸ πλεῖον vulgo, cum L. Lind., Mack., πλεῖστον scripsi. — In sequentibus κἔστι οἷσι H. et alia m. κἔστι δ' οἷσι. Sequens καί omm. Parr. 6.; — γίνηται Parr. 4.; — αὐτόθι K. L.; — πυκινόν E. H., πυκνόν ceteri.

ταῦτα — εἰσί.] εἰσί omm. H. v., sed in illo alia manu restituitur.

ἔστι δὲ καὶ — ἐλάσσων.] Vulgo καὶ τὰ σκέλεα πίμπλαται ὕδατος, quod quum cum vicinis pugnaret, Littréus τὰ σκέλεα οὐ πίμπλ. scripsit; mihi potius τὰ σκέλεα eiiciendum videtur, quippe in Littréi lectione δὶς ταὐτὸν ἡμῖν εἶπεν. Vulgo dein οὕτω οἰηθεῖσι τὰ δὲ σημήϊα; — Foësius vult οὕτως ἰηθεῖσι τάδε σημεῖα; — Littréus dedit οὕτω δ' ἔχουσι τὰ σημήϊα: — equidem putavi in οἰηθεῖσι potius latere διατεθεῖσι, quod δέ transponens recepi. Tandem καὶ ἅμα καὶ ἐν τοῖσι σκ. vulgo, ubi alterum καί om. K., quem sequor.

περὶ δὲ — ἔχει.] μὴ γίνηται vulg.. aoristum dedi e cod. J.; — ἀλλά plene Parr. 3.; — ἀποβληθῇ vulg. ἀποληφθῇ E., prima m. in H. K.', Mack., Littr.; — ἅτε καὶ ἀναπνοήν ceteri; otiosum καί abieci.

ὥσπερ — τὸ ὕδωρ ἔξω.] ἀναλαβών, ut V., L. Lind., Mack., non Littréus, cum quo vulgatam retinendam censeo; — καταστρέψει Parr. 2.; — ἐκρεύσεται sine ἄν Ald., Parr. 6.; — οὐ γάρ E. Littr., οὐδὲ γάρ vulg., οὔτε γάρ Parr. 5.; — ἀλλὰ plene E. H. — Vulgo πνοήν, ubi de meo ἀναπνοήν dedi; ἐπικειμένου τοῦ ἠέρος vulgo; Foësius in Latinis τοῦ ὕδατος; mihi τῷ ὕδατι requiri videtur. Tum ἢν δέ τις κλίνειε cett.; de meo εἰ scripsi.

οὕτω δὴ — τὴν κοιλίην.] οὕτω δέ prima m. in H.; — ἢ ἄνω E. H. Littr., ἄνω sine ἤ vulg.; — εἰ δὲ μή E. H.

τῷ ὕδρωπι· ἢν μὲν παραπνοὴ [1] ἢ ἄνω ἢ κάτω διὰ τῶν φλεβίων γένηται ἐν ἀρχῇ τῆς νούσου, ἔρχεται [2] καὶ ἐς τὰ σκέλεα καὶ ἐς τοὺς πόδας ὁ ὕδρωψ· ἢν δὲ μὴ, αὐτοῦ μοῦνον εἱλέεται περὶ τὴν κοιλίην. [3] Καὶ οὕτω μέν μοι περὶ τούτων εἴρηται. Γίγνεται δὲ καὶ τῇσι γυναιξὶ ὁ ὕδρωψ ἐν τῇσι μήτρῃσι καὶ ἐν τῇσι κοιλίῃσι [4] καὶ ἐν τοῖσι σκέλεσι, καὶ τἄλλα σημήϊα πάντα ταὐτὰ ἴσχει· ἀποπέφανται δέ μοι ἐν τοῖσι γυναικείοισι νοσήμασι περὶ αὐτοῦ. Αὗται αἱ τρεῖς ἰδέαι τῶν νοσημάτων ἀπὸ τοῦ ὕδρωπος. Γίγνεται δὲ τὰ νοσήματα πάντα ταχέως χαλεπὰ καὶ πάντα αὔξεται ταχέως· ἔτι δὲ χαλεπώτερα γίγνεται, ἢν ἐξ ἑτέρης νούσου τὸ σῶμα τηχθὲν ἐς τοῦτο περιέλθῃ. Ἢν μὲν οὖν ἐν τάχεϊ προσκαταλάβῃ τὸ νόσημα τὸν ἄνθρωπον, θνήσκει, ἅτε τῆς νούσου χρονιωτάτης γενομένης· ἐπὴν δὲ καὶ ἡ κοιλίη εὔροος γένηται, κάρτα θνήσκει ταχέως, ἐπαΐων τε καὶ διαλεγόμενος. Ταῦτα δέ μοι εἴρηται περὶ ὕδρωπος ὅθεν τε γίγνεται καὶ ὅτι τὰ σημήϊα αὐτοῦ τάδε.

a me in morbis mulierum dictum est. Atque tres hae sunt ab hydrope morborum formae. Hi autem omnes morbi celeriter difficiles sunt, celeriterque omnes increscunt. Longe vero graviores sunt, si corpus alio modo tabefactum ad hunc delapsum fuerit. Si hic morbus igitur subito hominem post alterum corripuerit, moritur, cum nimirum morbus admodum diuturnus fiat. Quodsi etiam alvus fluida fuerit, admodum cito tum sentiens, tum loquens moritur. Atque ista mihi de hydrope et eius ortu et quod ipsius haec signa sunt, dicta sunt.

[1] ἤ om. — [2] ἐπὶ τὰ σκ. sine καί. — [3] καί om. — [4] καὶ τοῖσι σκ.

καὶ οὕτω — εἴρηται.] καί omm. Parr. 5.
γίγνεται — περὶ αὐτοῦ.] ὁ ὕδρωψ omm. Parr. 2.; — καὶ ἐν τῇσι κοιλίῃσι sine τά J., vulgata καὶ τὰ ἐν τῇσι κοιλίῃσι καὶ τὰ ἐν τοῖσι σκέλεσι; — mihi rerum nexus iubere videtur utrumque τά abiicere. Dein τὰ ἄλλα σημεῖα H.; — πάντα ex E. H. recepi, ceteri omm.
αὗται — ὕδρωπος.] καὶ αὗται αἱ Lind., de suo, uti videtur.
ἢν μὲν — διαλεγόμενοι.] προκαταλάβηται ceteri; repono usitatum in his formulis activum, et προσκαταλάβῃ scribo, nam quid πρό huc faciat, non capio. Omnes ἐπὴν δὲ καὶ ἡ κοιλίη εὔροος γένηται, ubi ego potius exspectaveram ἢν δὲ καὶ ἡ κοιλίη μὴ εὔροος γένηται; veteres enim de diarrhoea hydropem tollente passim loquuntur; sed nil muto, quia nescio, quomodo noster de his iudicaverit. Dein κάρτα — τάχιστα ceteri; de meo ταχέως scripsi; nempe aut κάρτα delendum, aut quod dedi scribendum videtur.
ταῦτα — τάδε.] σημεῖα Parr. 3.

ΠΕΡΙ ΓΟΝΗΣ.
ΠΕΡΙ ΦΥΣΙΟΣ ΠΑΙΔΙΟΥ.

ΕΣΤΙ ΔΕ ΒΙΒΛΙΟΝ ΕΝ ΜΟΝΟΝ, Ο ΑΥΤΟΣ Ο ΣΥΓΓΡΑΨΑΣ ΟΝΟΜΑΖΕΙ ΤΟ ΠΕΡΙ ΦΥΣΙΟΣ ΠΑΙΔΙΟΥ ΤΟΥ ΕΝ ΤΟΚΩΙ· ΣΥΓΓΕΓΡΑΠΤΑΙ Δ' ΥΠΟ ΤΟΥ ΑΥΤΟΥ ΙΑΤΡΟΣΟΦΙΣΤΟΥ, ΥΦ' ΟΥ ΤΟ ΠΕΡΙ ΝΟΥΣΩΝ ΤΕΤΑΡΤΟΝ ΚΑΙ ΓΥΝΑΙΚΕΙΩΝ ΤΟ ΠΡΩΤΟΝ.

DE GENITURA.
DE NATURA PUERI.

EST AUTEM UNUS TANTUM LIBER, QUEM IPSE AUCTOR APPELLAT DE NATURA PUERI IN PARTU. CONSCRIPTUS VERO EST AB EODEM IATROSOPHISTA, A QUO QUARTUS DE MORBIS ET DE MORBIS MULIERUM PRIMUS.

ΠΕΡΙ ΦΥΣΙΟΣ ΠΑΙΔΙΟΥ ΤΟΥ ΕΝ ΤΟΚΩΙ.

α'. [1] Νόμος μὲν πάντα κρατύνει· ἡ δὲ γονὴ τοῦ ἀνδρὸς ἔρχεται ἀπὸ παντὸς τοῦ [2] ὑγροῦ τοῦ ἐν τῷ σώματι ἐόντος τὸ ἰσχυρότατον ἀποκριθέν· τούτου δὲ ἱστόριον τόδε, ὅτι [3] ἐπὴν λαγνεύσωμεν σμικρὸν οὕτω μεθέντες, ἀσθενέες γιγνόμεθα. Ἔχει δὲ οὕτω· φλέβες καὶ νεῦρα ἀπὸ παντὸς τοῦ σώματος τείνουσι ἐς τὸ αἰδοῖον, οἷσι ὑποτριβομένοισι καὶ θερμαινομένοισι καὶ πληρευμένοισι ὥσπερ κνησμὸς ἐμπίπτει καὶ τῷ σώματι παντὶ ἡδονὴ καὶ θέρμη ἐκ τούτου παραγίγνεται· τριβομένου δὲ τοῦ αἰδοίου καὶ τοῦ ἀνθρώπου κινευμένου, τὸ ὑγρὸν θερμαίνεται τὸ ἐν τῷ σώματι καὶ διαχέεται καὶ κλονέεται ὑπὸ τῆς κινήσιος καὶ ἀφρέει καθάπερ καὶ τἄλλα ὑγρὰ ξύμπαντα κλονεύμενα ἀφρέει· οὕτω δὲ κἀν τῷ ἀνθρώπῳ ἀποκρίνεται ἀπὸ τοῦ ὑγροῦ ἀφρέοντος τὸ ἰσχυρότατον καὶ πιότατον καὶ ἔρχεται ἐς τὸν νωτιαῖον μυελόν. Ἐπὴν δὲ ἔλθῃ ἐς τοῦτον

DE NATURA PUERI IN PARTU.

1. Lex quidem omnia sibi subiicit. At vero viri genitura ex universo humore, qui in corpore continetur, proficiscitur, a quo quod validissimum est excernitur. Cuius rei illud est argumentum, quod ubi rem veneream exercemus, tantillo emisso imbecilles evadimus. Istud vero sic se habet: ex toto corpore venae et nervi in pudendum procedunt, quorum attritu, excalefactione et repletione velut pruritus exoritur, indeque ad totum corpus voluptas et calor permanat. Trito autem pudendo et moto homine humor in corpore concalescit et diffunditur et motus agitatur et spumescit, non secus ac reliqui omnes humores agitati spumescunt. Sic vero etiam in homine quod validissimum est et pinguissimum a spumescente humore secernitur et ad spinalem medullam progreditur. Ad quam postquam genitura pervenerit, ad renes fertur; eò enim via tendit per venas; ac

[1] Inscriptio: ἱπποκράτους περὶ γονῆς. τοῦτο δὲ πολύβου εἶναι φησὶν ὁ γαληνός. — [2] ὑγιέος. — [3] ἐπάν.

1. νόμος — γιγνόμεθα.] παντὸς τοῦ ὑγιέος multi Parr. et Marc., Voss., Zuing. in marg.; — τοῦ X. P.' ε.; — τοῦτο δὲ ἱστόριον cod. E. Post τόδε omnes: ὅτι ἀποκρίνεται τὸ ἰσχυρότατον, quod non est nisi scholion ad τούτου olim adscriptum, quod abiicio. — Tandem ἐπάν H. P.'

ἔχει — μυελόν.] ᾗσι ὑποτριβομένῃσι καὶ θερμαινομένῃσι καὶ πληρευμένῃσι Parr. 5., ε.; — Marcianus ᾗσι, sed reliqua masculino genere; — ἡδόνης θέρμη cod. ε.; — καθάπερ — ἀφρέει omm. G. Voss.; — θερμαίνεται ἐν τῷ σώματι ceteri, de meo τό interposui; — ξύμπαντα C., Marcianus, Lind., Littr., σύμπ. vulgo; — οὕτω δή H. O.; — καὶ ἐς C. Marc.; — καὶ τὸ πιότατον vulg., sed τό omm. Parr. 4., ε. Voss., Littr. — Sequuntur iam apud ceteros haec: τείνουσι γὰρ (γάρ om. ε., γὰρ καί habent C., Marc., γὰρ [ὁδοὶ] Lind. et Mack. eum secutus, fortasse e Calvo) ἐς τοῦτον ἐκ παντὸς τοῦ σώματος καὶ διαχέει (διαχεῖται E., H. alia m., K., ε., διαχωρέει O.) ἐκ τοῦ ἐγκεφάλου εἰς (ἐς Marc.) τὴν ὀσφὺν καὶ ἐς πᾶν τὸ σῶμα καὶ ἐς (ἐς h. l. omm. Parr. 5. et ε.) τὸν μυελὸν καὶ ἐξ αὐτοῦ τείνουσι ὁδοὶ ὥστε καὶ ἐπιέναι τοῦ ὑγροῦ (τοῦ ὑγροῦ om. C.) ἐς αὐτὸν καὶ ἀποχωρέειν. — Ista quidem esse corrupta, nemo negabit, qui nihil aliud agens ea perlustraverit; nam in descriptione ita circumveheris, ut quorsum tandem appuleris si circumspicias, plane nescias: primum τείνουσι non habet, quorsum referatur, fortasse omnino ὁδοί excidit; διαχέεται si legas, nam διαχέει nihili est, verbum rursus subiectum non habet, quod ἡ γονή esse debebit, tum vero redit ad τὰς ὁδούς. Equidem, licet Foësius ea ita fere explicuerit, probare neutiquam possum. Neque vero exitum ex his reperire mihi contigit; sed plus est: nimirum si ad seqq. ἐπὴν δὲ ἔλθῃ ἐς τοῦτον [τὸν μυελὸν] ἡ γονή animum attendas, vides haec continuo excipere finem, quem esse affirmo periodi, τὸν νωτιαῖον μυελόν. Itaque sic censeo; corrupta illa referunt adnotationem marginalem, quam tum ceterorum abruptio arguit emblema alienum esse, tum ipsa oratio a vicinis diversa, etiamsi corruptelam non computes. His de causis verba illa reiicienda mihi sunt visa.

ἐπὴν δὲ — ἐχομένη.] ἐπεί C.; — ἐς τοῦτον τὸν μυελόν ceteri; sed noster ita scripsisse non est censendus, loquitur

ἡ γονὴ, χωρέει παρὰ τοὺς νεφρούς· ταύτῃ γὰρ ἡ ὁδός ἐστι διὰ φλεβῶν· κὴν οἱ νεφροὶ ἑλκωθῶσι, ἔστι ὅτε καὶ αἷμα ξυμφέρεται· παρὰ δὲ τῶν νεφρῶν ἔρχεται διὰ τῶν ὀρχίων μεσάτων ἐς τὸ αἰδοῖον· καὶ χωρέει οὐχ ὅπῃ τὸ οὖρον, ἀλλά οἱ ἄλλη ὁδός ἐστι ταύτης ἐχομένη. Καὶ οἱ ἐξονειρώσσοντες διὰ τάδε ἐξονειρώσσουσι· ἐπὴν τὸ ὑγρὸν τὸ ἐν τῷ σώματι διακεχυμένον ἔῃ καὶ διάθερμον, εἴτε ὑπὸ ταλαιπωρίης, εἴτε [1] καὶ ὑπὸ ἄλλου τινὸς, ἀφρέει καὶ ἀποκρινομένου ἀπ' αὐτοῦ ὁρᾶν παρίσταται [2] οἱ ἡ λαγνείη. Ἀλλ' οὔ μοι περὶ ὀνειρωσσόντων ὁ λόγος καὶ παντὸς τοῦ νοσήματος [3] ὅ τι ἐστὶ καὶ ὁκόσα ἐργάζεται, καὶ διότι πρὸ [4] λαγνείης. Καὶ ταῦτα μὲν ἐς τοῦτό μοι εἰρέαται.

si renes ulcerati fuerint, interdum etiam una sanguis defertur. A renibus autem per medios testes ad pudendum pervenit, neque qua via urinae est prodit, sed alia illi via est huic proxima. At vero qui per somnum veneris ludibrio tentantur ideo per somnum venerem exercent: postquam humor, qui corpori inest, diffusus est et excalefactus, sive ex vehementi exercitatione, sive ab alia quadam re, spumescit et dum ab illo secernitur, rei venereae imago quaedam illi obversatur. Sed neque de his, qui per somnum veneris ludibrio tentantur, neque de toto morbo, quid sit et quae efficiat, neque cur coitus loco sit, dicendum nobis est. Ac de his quidem hactenus.

β'. Οἱ δὲ εὐνοῦχοι διὰ [5] τάδε οὐ λαγνεύουσι, ὅτι σφέων ἡ δίοδος ἀμαλδύνεται τῆς γονῆς· ἔστι γὰρ δι' αὐτῶν τῶν ὀρχίων ἡ ὁδός· καὶ νεῦρα τείνει λεπτὰ καὶ πυκνὰ ἐς τὸ αἰδοῖον ἐκ τῶν ὀρχίων, οἷσι ἀείρεται καὶ καθίεται, καὶ ταῦτα ἐν τῇ τομῇ ἀποτέμνεται, [6] διὸ οὐχ ὑπάρχουσι οἱ εὐνοῦχοι χρηστοί· τῶν δὲ τάδε [7] ἐκτριβέντων ἡ ὁδὸς τῆς γονῆς ἐμπέφρακται· πωροῦνται γὰρ οἱ ὄρχιες· καὶ τὰ νεῦρα σκληρὰ καὶ μωρὰ [8] γενόμενα ὑπὸ τοῦ πώρου οὐ [9] δύναται τείνειν καὶ χαλᾶν. Ὁκόσοι δὲ παρ' οὖς τετμημένοι εἰσὶ,

2. At vero eunuchi eam ob causam venerem minime peragunt, quia geniturae transitus ipsis aboletur. Per ipsos enim testes ei via est et nervi tenues et crebri ex testibus in pudendum feruntur, quibus assurgit et demittitur, iique in ipsa exsectione dum castrantur rescinduntur, ideoque ad obeundam venerem inutiles exsistunt. Qui vero istorum attritionem passi sunt, iis geniturae via obstructa est. Callum enim contrahere testes solent, nervique a callo indurati et hebescentes neque pudendum intendere, neque laxare possunt. At qui iuxta aures sectionem

[1] καί om. — [2] οἱ ἡ λαγνείη. — [3] ἔτι ἐστὶ καί. — [4] μανίης. — [5] τάδε. — [6] διότι καὶ οὐχ. — [7] ἐκτριβόντων. — [8] γινόμενα. — [9] δύνανται.

de partibus corporis tanquam de rebus notis: in aprico est τὸν μυελόν glossema esse ad τοῦτον adscriptum, quare sustuli. Articulum ante γονή om. ε.; — μεσάτων om. X.; — ἄλλη omm. O. ε.; — αὐτῆς vulgo, de meo ταύτης repono; — ἐχομένης Ald.

καὶ — λαγνείης.] ἐπήν C. Marc., Littr., ἐπάν vulg.; — τό ante ἐν τῷ σ. de meo addidi; — εἴτε ὑπὸ ἄλλου τινός vulg.; εἴτε καί in his C. Marc., Littr., ὑπ' ἄλλου Marc.; — ὁρᾶν παρίσταται οἵη λαγνείη vulg.; — οἱ η in ea Marc., cf. lectt. Voss.; — οἵη πῶς ἐν τῇ λαγνείῃ Q.'; — οἵη περ ἐν τῇ λαγνείῃ Parr. 4., ε.; Littréus dedit οἷάπερ ἐν τῇ λαγνείῃ; equidem in Marciani et Vossiani lectione veram scripturam agnosco, aliae illae lectt. sunt otiosae correctiones; bene Graecum est ὁρᾶν παρίσταται αὐτῷ ἡ λαγνείη. — Porro post λαγνείη sequitur apud cett.: ἔχει γὰρ τὸ ὑγρὸν τοῦτο ὅπερ λαγνεύοντι, sed πάσχει γὰρ αὐτὸ τὸ ὑγρὸν τοῦτο E. K. P.', πάσχει γὰρ οὕτω τὸ ὑγρὸν τοῦτο in marg. al. m. H., πάσχει Zuing. in marg.; ἔξεισι pro ἔχει Lind., ἐξίει pro eodem Mack.; τούτῳ pro τοῦτο Mack., τοιοῦτον pro eodem C. Marc,, ὥσπερ pro ὅπερ Lind., Mack., recte ut puto, nam omnino legendum ἔχει γὰρ τὸ ὑγρὸν τοῦτο ὥσπερ λαγνεύοντι; — quod etiam Latine expressit Foësius. — Sed licet ista ita legenda videantur, non sunt tamen recipienda; adnotationem referunt lectoris nescio cuius. Pro ὀνειρωσσόντων C. Marc. ὀνειράτων; — τί ἐστί vulgo, ἔτι ἐστι multi Parr. et C.; ὅ τι mihi e Marc. excerptum est, quae vera lectio et latet in ἔτι illorum. Vulgo in ἀλλ' οὔ μοι περὶ ὀνειρωσσόντων abest ὁ λόγος, quae oratio tamen mihi non elliptica, sed vitiosa videtur, ita ut ὁ λόγος de meo suppleverim. Pro πρὸ λαγνείης Parr. 4. πρὸ μανίης, Marc. coniunctim. Littréus dubitat, num forte bona lectio sit μανίης; ego falsam esse arbitror; puto autem πρό recte interpretatum esse Foësium; de tempore hîc non ponitur.

2. οἱ δὲ εὐνοῦχοι — χαλᾶν.] διὰ ταῦτα vulg., διὰ τάδε Parr. 8., Marc., Voss.; — ἔστι δ' αὐτῶν τῶν ὀρχ. Marc., idemque e C. excerpsit Littr.; — ἐς τὸ αἰδοῖον etiam Marc.; — τοῦτ' ἐν C.; — διότι (διό C.) καὶ (καί omm. E. K.) οὐχ vulg.; textum descripsi uti Littréus. Porro ἐκτριβεόντων E. et H. supra lineam (ε), est autem dittographia ἐκτριβοντων. — Tum μωρὰ γενόμενα C., Marc., Littr., γινόμενα vulg.; — δύνανται C. H, ε., cf. lectt. V.

ὁκόσοι — γέγονε.] τό ante πλεῖστον om. ε.; — τὸ πλεῖ-

οὗτοι λαγνεύουσι μὲν καὶ ἀφιᾶσι, ὀλίγον δὲ καὶ ἀσθενὲς καὶ ἄγονον· χωρέει γὰρ τὸ πλεῖστον ἀπὸ τῆς κεφαλῆς παρὰ τὰ οὔατα ἐς τὸν νωτιαῖον μυελόν· αὕτη δὲ ἡ δίοδος ὑπὸ τῆς τομῆς οὐλῆς γενομένης στερεὴ γέγονε. Τοῖσι δὲ [1] παισὶ λεπτὰ τὰ φλέβια ἐόντα καὶ πληρεύμενα κωλύει τὴν γονὴν ἰέναι καὶ ὁ κνησμὸς οὐχ ὁμοίως παραγίγνεται· διὰ ταῦτα οὐδὲ κλονέεται ἐν τῷ σώματι τὸ ὑγρὸν ἐς ἀπόκρισιν τῆς γονῆς· καὶ τῇσι παρθένοισι μέχρις ἂν νέαι ἔωσι οὐ χωρέει τὰ καταμήνια δι' αἴτιον [2] τωὐτό. Ἐπὴν δὲ αὔξωνται καὶ παρθένος καὶ παῖς, αἱ φλέβες αἱ ἐς τὸ αἰδοῖον τείνουσαι τοῦ παιδὸς, καὶ τῆς παρθένου [3] ἐπὶ τὰς μήτρας, εὔροοι γίγνονται ὑπὸ τῆς αὔξης καὶ στομοῦνται καὶ δίοδος διὰ στενῶν γίγνεται, καὶ τὸ ὑγρὸν κλόνησιν τότε ἴσχει, εὐρυχωρίη γάρ οἱ τότε γίγνεται ἔνθα κλονήσεται· καὶ τῷ παιδὶ χωρέει, ἐπὴν [4] ἁδρὸς ἔῃ, διὰ τόδε, καὶ τῇ παρθένῳ τὰ καταμήνια. Ταῦτα δέ μοι οὕτως ἀποπέφανται.

γ'. Τὴν δὲ γονήν φημι ἀποκρίνεσθαι ἀπὸ παντὸς τοῦ σώματος καὶ ἀπὸ τῶν στερεῶν καὶ ἀπὸ τῶν μαλθακῶν καὶ ἀπὸ τοῦ ὑγροῦ παντὸς τοῦ ἐν τῷ σώματι. Εἰσὶ δὲ τέσσαρες ἰδέαι τοῦ ὑγροῦ, αἷμά τε καὶ χολὴ καὶ ὕδωρ καὶ φλέγμα. Τοσαύτας γὰρ ἰδέας ἔχει ξυμφυέας ὁ ἄνθρωπος ἐν ἑωυτῷ καὶ ἀπὸ τούτων αἱ νοῦσοι γίγνονται· δεδήλωται δέ μοι καὶ περὶ τούτων καὶ διότι ἐκ τούτων αἱ νοῦσοι γίγνονται καὶ αἱ ἐκ νούσων διακρίσιες. Καὶ

experti sunt, ii venerem quidem exercent, verum semen paucum, imbecillum et infoecundum emittunt. Maxima si quidem seminis pars e capite secundum aures in spinalem medullam fertur; ipse vero transitus sectione ad cicatricem perducta, solidior evadit. Pueris autem venae exiles et plenae genituram ferri prohibent, neque pruritus eodem modo excitatur, nec perinde humor in corpore agitatur, ut genitura secerni queat. Virginibus quoque eandem ob causam intra pubertatis annos menses minime prodeunt. Ubi vero adoleverint tum virgo, tum puer, venae, quae ad pueri pudendum et in virginis uterum feruntur, incremento accepto ampliores redduntur et aperiuntur, transitusque per illarum angustias patet, tuncque humor agitari incipit et spatia ampliora, in quibus agitetur, habet, pueroque cum adultus fuerit (semen) ob eam causam et virgini menstrua prodeunt. Atque ista mihi ad hunc modum se habere comperta sunt.

3. At vero genituram ex toto corpore et ex solidis et mollibus partibus et ex universo totius corporis humore secerni assevero. Humoris autem quatuor sunt species, sanguis, bilis, aqua et pituita. Homo enim tot sibi congenitas species habet in se, unde morbi fiunt. Exposui vero tum de his, tum de causa, quare inde morbi oriantur, eorumque iudicia fiant. Atque haec mihi quidem de genitura dicta sunt et unde et quanam ratione et quanam ex causa

[1] παιδίοισι. — [2] τὸ αὐτόν. — [3] καὶ ἐπί. — [4] ἀνήρ.

στον τοῦ γόνου vulg., sed τοῦ γόνου omm. C. Marc., quibus obtemperandum existimo, quum noster ἡ γονή dicere soleat; — τά ante οὔατα om. H., ubi rest. al. m., J.; — ἐς τὸν ν. μ. H., Marc., Littr., εἰς τ. ν. μ. vulgo.

τοῖσι δὲ — τωὐτό.] παισί C., Marc., Littr., παιδίοισι vulg.; μέχρι ἂν Marc.; — τωὐτό C., Marc., Littr., τὸ αὐτό vulg.

ἐπὴν — καταμήνια.] καὶ ἐπὶ τὰς μ. vulg., sed καί omm. Parr. 6., ε., Littr.; — εὔροοι Lind., εὔροαι vulg.. εὔροα C., εὐρεῖαι Martinus, Mack. — Tum καὶ ὁδὸς καὶ δίοδος ceteri, unde καὶ ὁδός abiicio: librarius καὶ ὁδός errore quodam scripserat, sed videns καὶ δίοδος se scribere debuisse, hoc item adposuit non deleto illo. — Dein καὶ τὸ ὑγρὸν — γίνεται om. C.; — κλόνου pro κλόνησιν H. in marg. al. m., et O.; — [ἡ γονὴ] χωρέει Lind., Mack.; — χωρέῃ E. — Denique ἀνδρός C.; ἀ..δρός (a p. m. ἀνδρός) Marc., ἀνήρ Parr. plurimi, ε., alii.

3. τὴν δὲ γονὴν — σώματι.] καὶ — μαλθακῶν omm. F., G., H., ubi rest. al. m., I. J., itemque in Voss. et Marc., sed in hoc m. rec. supplevit in marg.; τοῦ ἐν τῷ σώματι omm. C. Marc.

εἰσὶ δὲ — φλέγμα.] τε καί et καί ante ὕδωρ vulgo abest; adscripsi e C. Marc.

τοσαύτας — διακρίσιες.] συμφυέας C. Marc.; — αἱ νοῦσοι γίνονται C. Marc., Littr., νόσοι in his vulg.; — δεδήλωται δέ μοι καὶ (καί omm. C. Marc.) περὶ τουτέων καὶ διότι ἐκ τουτέων καὶ (αἱ pro καί Zuing. et Marc., Littr., οἱ pro eo C.) νοῦσοι γίνονται C. E. H. in marg. H. L. Q. ε., Zuing. in marg., Marc. a m. rec. in marg., Littr.; in vulg. haec omm., uti in Voss.; — ἢ αἱ ἐκ ν. δ. vulgo, sed cum H. καὶ αἱ scripsi; ἢ αἱ omm. E. H. L. Q.') νόσων vulg., νούσων alii et Marc.

καὶ — παρθένων.] ὁκόθεν τε γ. C. Marc., cett. τε omm.; — καὶ διά τι E. H. K. ε., cf. lectt. V.; — καί ante διότι om. C.; sed ante παρθ. addit idem.

ταῦτα μὲν εἰρέαταί μοι περὶ γονῆς, ὁκόθεν τε γίγνεται· καὶ ὅκως καὶ [1] διότι καὶ οἷσι οὐ γίγνεται ἡ γονὴ καὶ διότι οὐ γίγνεται καὶ περὶ καταμηνίων παρθένων.

δ'. Τῇσι δὲ γυναιξί [2] Φημι ἐν τῇ μίξι, τριβομένου τοῦ αἰδοίου καὶ τῶν μητρέων κινευμένων, ὥσπερ κνησμὸν ἐμπίπτειν ἐς αὐτὰς καὶ τῷ ἄλλῳ σώματι ἡδονὴν καὶ θέρμην παρέχειν. Μεθίει δὲ καὶ ἡ γυνὴ ἀπὸ τοῦ σώματος ὁτὲ μὲν ἐς τὰς μήτρας, αἱ δὲ μῆτραι ἰκμαλέαι γίγνονται, ὁτὲ δὲ καὶ ἔξω, ἢν χάσκωσι αἱ μῆτραι μᾶλλον τοῦ καιροῦ. Καὶ ἥδεται, ἐπὴν ἄρξηται μίσγεσθαι, διὰ παντὸς τοῦ χρόνου, μέχρις ἂν αὐτὴν μεθῇ ὁ ἀνήρ· κὴν μὲν ὀργᾷ ἡ γυνὴ μίσγεσθαι, πρόσθεν τοῦ ἀνδρὸς ἀφίει, καὶ τὸ λοιπὸν οὐκ ἔτι ὁμοίως ἥδεται ἡ γυνή· ἢν δὲ μὴ ὀργᾷ, ξυντελέει τῷ ἀνδρὶ ἡδομένη· καὶ ἔχει οὕτως ὥσπερ εἴ τις ἐπὶ ὕδωρ ζέον ἕτερον [3] ψυχρὸν ἐπιχέοι, παύεται [4] τὸ ὕδωρ ζέον· οὕτω καὶ ἡ γονὴ πεσοῦσα τοῦ ἀνδρὸς ἐς τὰς μήτρας σβέννυσι τὴν θέρμην καὶ τὴν ἡδονὴν τῆς γυναικός. Ἐξαΐσσει δὲ [5] ἡ ἡδονὴ καὶ ἡ θέρμη ἅμα τῇ γονῇ πιπτούσῃ ἐς τὰς μήτρας, ἔπειτα λήγει· ὥσπερ εἴ τις [6] ἐπὶ Φλόγα οἶνον ἐπιχέοι, ξυμβαίνει πρῶτον μὲν ἐξαΐσσειν τὴν Φλόγα καὶ αὔξεσθαι δι' ὀλίγου πρὸς τὴν ἐπίχυσιν τοῦ οἴνου, ἔπειτα λήγειν· ὡσαύτως δὲ καὶ τῇ γυναικὶ ἡ θέρμη ἐξαΐσσει πρὸς τὴν γονὴν τοῦ ἀνδρὸς, [7] ἔπειτα λήγει. Ἧσσον δὲ πολλῷ ἥδεται ἡ γυνὴ τοῦ ἀνδρὸς ἐν τῇ μίξι, πλείονα δὲ χρόνον [8] ἢ ὁ ἀνήρ· διότι δὲ μᾶλλον ὁ ἀνὴρ ἥδεται, — ἀποκρίνεται αὐτῷ ἐξαπίνης ἀπὸ τοῦ ὑγροῦ [9] ὑπὸ ταραχῆς ἰσχυροτέρης ἢ τῇ γυναικί. Ἔχει δὲ καὶ τόδε

ortum habeat et in quibus et quare nulla insit simulque de virginum mensibus.

4. Affirmo autem mulieribus in coitu attrito pudendo et commoto utero, veluti pruritum in eo fieri, quem reliquo corpori voluptatem et calorem praebere. Semen vero e corpore etiam emittit mulier, interdum quidem in uterum, ex quo humidus redditur, nonnumquam vero foras, si plus aequo uterus dehiscat. Illa etiam ubi coire coeperit, toto tempore voluptatem percipit, donec vir semen emiserit. Quodsi coitum ardenter quidem mulier appetat, ante quam vir illa semen emittit, neque deinceps eadem voluptate perfunditur. Sin venerem non vehementer appetat, una cum viro voluptate affici desinit. Ac habet se res ad hunc modum, ut si quis ad aquam ferventem frigidam affundat, fervere desinit, ita etiam virile semen in uterum illapsum mulieris calorem et voluptatem exstinguit. Effertur autem voluptas et calor simul ac semen in uterum decidit, deinde desinit, non secus ac si quis ad flammam vinum affundat, ea primum ad vini affusionem attollitur et paulatim increscit, deinde desinit: eodem modo in muliere calor ad viri semen effertur, postea desinit. At vero in venere exercenda longe minorem quam vir voluptatem mulier percipit, sed diuturniorem. Causa vero cur maiorem vir percipiat voluptatem haec est: ei repente ab humore maiore agitatione quam mulieri secernitur. Quin et haec res ita se habet in mulieribus: si cum viris rem habeant, magis sanae sunt, sin non habeant, minus: nam una

[1] διὰ τί καί. — [2] Φημι abest. — [3] ψυχρὸν ὕδωρ. — [4] τὸ ζέον sine ὕδωρ. — [5] ἡ om. — [6] ἐπιχέει οἶνον ἐπὶ Φλόγα. — [7] ἔπειτα λήγει abest. — [8] ἢ om. — [9] ἀπό.

4. τῇσι δὲ γυναιξὶ — παρέχει.] Φημι adscripsit Littr. e codd. nonnullis, vulgo om.; — κνησμός J.

μεθίει — τοῦ καιροῦ.] ὅτε tum h. l., tum infra C. Zuing., Lind., Mack.

καὶ ἥδεται — γυναικός.] ἄρχηται G.; — μίσγεσθαι — ἡ γυνή omm. C. H., sed in hoc rest. alia m.; — μεθῇ Ald., codd. 8. apud Littr., Marc., Voss., μεθιῇ vulgata. Tum πρόσθε Marc.; — ἀΦίησι C.; — articulum ante γυνή om. vulg., addunt edd. antt., mss. aliquot, etiam Marc., et Littr. — Dein οὕτω C. Marc.; — ἕτερον — ζέον om. C.; — ψυχρὸν ὕδωρ vulg., ὕδωρ omm. Ald. C. Marc., Littr.; — τὸ ὕδωρ ζέον C. Marc., Littr., ὕδωρ om. vulg.; — ἐπιχέοι de meo, ἐπιχέει cett.; — μήτρας τῆς γυναικός J.

ἐξαΐσσει — λήγει.] ἅτε pro ἅμα O.; — πεσούσῃ E. H. K. P.' ε. Zuing. in marg.; — οἶνον ἐπιχέει vulgo, de meo optativum dedi; — οἶνον ἐπιχέηι Marc.; — πρῶτον Marc., πρῶτα vulg.

ἧσσον — γυναικί.] ἢ ὁ ἀνήρ Merc. e cod. Vat., Zuing., Littr., ἤ om. vulg.; — ὑπὸ ταραχῆς de meo, ἀπὸ τ. ceteri.

ἔχει δὲ — νούσοισι.] ἔχει δὲ τόδε vulg., καί interponunt

οὕτω τῇσι γυναιξί· ἢν μὲν μίσγωνται ἀνδράσι, μᾶλλον ὑγιαίνουσι· ἢν δὲ μὴ, ἧσσον· ἅμα μὲν γὰρ αἱ μῆτραι οὐκ ἰκμαλέαι γίγνονται ἐν τῇ μίξι καὶ ξηραὶ ἐοῦσαι μᾶλλον τοῦ καιροῦ ξυστρέφονται, ξυστρεφόμεναι δὲ ἰσχυρῶς πόνον τῷ σώματι παρέχουσι· ἅμα δὲ ἡ μίξις τὸ αἷμα θερμαίνουσα καὶ ὑγραίνουσα ποιέει ὁδὸν ῥηϊτέρην τοῖσι καταμηνίοισι· τῶν δὲ καταμηνίων μὴ χωρεόντων τὰ σώματα τῶν γυναικῶν ἐπίνοσα γίγνεται· διότι δὲ [1] γίγνεται ἐπίνοσα, εἰρήσεταί μοι ἐν τῇσι γυναικείῃσι νούσοισι. Καὶ *ταῦτα μέν μοι εἰρέαται ἐς [2] τοῦτο.*

neque uterus humidus redditur in congressu et siccus quum sit plus iusto contrahitur, vehementerque contractus corpori dolorem affert; simulque coitus sanguinem excalefaciens et humectans, causa est cur menses facilius profluant, quibus minime prodeuntibus, morbis obnoxiae mulieres redduntur. Cuius rei causam in morbis muliebribus exponemus. Ac de his quidem haec dixisse satis sit.

ε'. Ἐπὴν δὲ μιχθῇ ἡ γυνὴ, ἢν μὲν [3] μὴ μέλλῃ λήψεσθαι πρὸς ἑωυτὴν, πρὸς τῷ ἔθεϊ χωρέει ἔξω ἡ γονὴ ἀπ' ἀμφοτέρων, ὁκόταν ἡ γυνὴ ἐθελήσῃ· ἢν δὲ μέλλῃ λήψεσθαι, οὐ χωρέει ἔξω, ἀλλ' ἐμμένει ἐν τῇσι μήτρῃσι ἡ γονή. Αἱ *γὰρ μῆτραι δεξάμεναι καὶ μύσασαι ἔχουσι ἐν ἑωυτῇσι, ἅτε [4] ἰλυσπασθέντος τοῦ στόματος ὑπὸ τῆς ἰκμάδος, καὶ μίσγεται ὁμοῦ τό τε [5] ἀπὸ τοῦ ἀνδρὸς ἐλθὸν καὶ τὸ ἀπὸ τῆς γυναικός· καὶ ἢν ἡ γυνὴ τόκων ἔμπειρος ἔῃ καὶ ἐννοήσῃ ὁκόταν ἡ γονὴ μὴ ἐξέλθῃ, ἀλλ' ἐμμείνῃ, εἰδήσει ᾗ ἡμέρῃ ἔλαβε [6] πρὸς ἑωυτήν.*

5. Post coitum autem, si quidem mulier minime conceptura sit, semen ab utrisque emissum pro more foras cum volet profluet. Sin conceptura sit, semen minime foras profluit, sed in ipso utero manet. Eo namque excepto uterus clauditur et retinet, osculo nimirum contracto per humiditatem simulque miscetur tum quod a viro, tum quod a muliere procedit. Quodsi mulier partum aliquando experta fuerit, et animadverterit quando genitura non exciderit, sed intus remanserit, sciet qua die conceperit.

ϛ'. Ἔχει δὲ [7] οὕτω καὶ τόδε· ὁτὲ μὲν [8] ἰσχυρότερόν ἐστι τὸ μεθιέμενον ἀπὸ τῆς γυναικὸς, ὁτὲ δὲ ἀσθενέστερον· καὶ τὸ ἀπὸ τοῦ ἀνδρὸς ὡσαύτως· καὶ ἔστι καὶ ἐν τῷ ἀνδρὶ [9] τὸ θῆλυ σπέρμα καὶ τὸ ἄρσεν καὶ ἐν τῇ γυναικὶ ὁμοίως· ἰσχυρότερον δέ ἐστι τὸ ἄρσεν τοῦ θήλεος· ἀνάγκη οὖν [10] ἀπὸ ἰσχυρο-

6. Et hoc quoque ita se habet. Alias validius est quod a muliere emissum est, alias imbecillius; et similiter id, quod a viro est emissum. Est autem in viro semen tum femininum, tum virile, et in muliere similiter. Validius autem est masculinum feminino; generationem igitur a robustiore fieri necesse est. Verum hoc

[1] *ἐπίνοσα γίνονται.* — [2] *τοσοῦτον.* — [3] *δὴ μὴ μέλλει.* — [4] *συσπασθέντος.* — [5] *ὑπό.* — [6] *πρός* om. — [7] *οὕτως.* — [8] *ἰσχυρόν.* — [9] *τὸ θῆλυ καὶ τὸ ἄρσεν σπέρμα.* — [10] *ὑπό.*

Parr. 5., ε., Marc., Voss., Littr.; — *οὕτω* C. Marc., Littr., *οὕτως* vulg.; — *τῇσι δὲ γυναιξί* cod. ε.; — *εἰ δὲ μή* C.; — *μὲν γάρ* C., Marc., Zuing., Lind., Littr., *γάρ* om. vulg. — Tum *αἱ μῆτραι ἰκμαλέαι γίγνονται ἐν τῇ μίξει καὶ οὐ* (*οὐ* om. Zuing., Foës. in adn., Lind., *αἱ* pro *οὐ* Mack. cum Martino, *εἰ* pro *οὐ* cod. ε.) *ξηραὶ ἐοῦσαι* vulg.; Littréus dedit de suo *καὶ οὐ ξηραὶ, ξηραὶ δὲ ἐοῦσαι*; — mihi negatio ante *ξηραί* auferenda et ante *ἰκμαλέαι* reponenda videtur, qua in debitum locum illata omnia rite procedunt. Tum vero post *ξυστρέφονται* legebatur *ἰσχυρῶς*, quod e sequenti otiose repetitum et delendum visum est. Porro *ἐπίνοσα γίνεται* C., Marc., Littr., *ἐπίνοσα γίνονται* vulg., et rursus *γίνεται ἐπίνοσα* iidem, ubi vulgatam e V. notavi.

καὶ — τοῦτο.] *ἐς τοῦτο* C. Marc., Littr., vulg. e V. notavi.

5. *ἐπὴν — γονή.*] *εἰ μέν* C.; — *δὴ μή* vulg., sed *δή* omm. E. Littr., *μή* omm. H. C., sed in illo restituitur alia m.; — *ὁκόταν ἡ γ. ἐθελ.* om. K.; *ὁκόταν ἂν ἡ* C.

αἱ γὰρ μῆτραι — ἑωυτήν.] *εἰλυσπασθέντες* codd. mss. Foësii, Zuing. in marg., Littréus — *εἰλισπασθέντες* H. K. O. ε., *ὑλησπασθέντος* cod. δ., *συσπασθέντος* vulg., *ἐκσπασθέντος* J., *σπασθέντος* Ald. G.; — *ὑπὸ τοῦ ἀ.* edd. antt., J., ut V.; — *τό* ante *ἀπὸ τῆς γυναικός* om. ε.; — *ἐς ἑωυτήν* vulg., *πρὸς ἑωυτήν* C., Marc., Littr.

6. *ἔχει — γίγνεσθαι.*] *οὕτω* etiam Marc. pro vulgato *οὕτως*; — *ἀνάγκη οὖν* vulg., *ἀνάγκη γάρ* C. Littr., non Marc.; — *ὑπὸ ἰσχ.* vulg., *ἀπό* E. P.' Littr.

τέρου σπέρματος γίγνεσθαι. Ἔχει δὲ καὶ τόδε οὕτω· ἢν μὲν ἀπ᾽ ἀμφοτέρων τὸ σπέρμα ἰσχυρὸν ἔλθῃ, ἄρσεν [1] γίγνεται· ἢν δὲ ἀσθενὲς, θῆλυ· ὁκότερον δ᾽ ἂν κρατήσῃ κατὰ πλῆθος, ἐκεῖνο καὶ γίγνεται· ἢν γὰρ πολλῷ πλέον τὸ ἀσθενὲς σπέρμα [2] ᾖ τοῦ ἰσχυροτέρου, κρατέεται τὸ ἰσχυρὸν καὶ μιχθὲν τῷ ἀσθενέϊ ἐς θῆλυ περιηνέχθη· [3] ἢν δὲ πλέον ἔῃ τὸ ἰσχυρὸν τοῦ ἀσθενέος, κρατηθῇ τε τὸ ἀσθενὲς, ἐς ἄρσεν περιηνέχθη. Ὥσπερ εἴ τις κηρὸν καὶ στέαρ μίξας ὁμοῦ, πλέον ποιήσας τὸ στέαρ, [4] τήξειε πρὸς πυρὶ, [5] μέχρι μὲν ὑγρὸν ἔῃ, οὐ διάδηλον γίγνεται τὸ κρατέον· ἐπὴν δὲ παγῇ, τότ᾽ ἐμφανὲς γίγνεται, ὅτι κρατέει τὸ στέαρ τοῦ κηροῦ κατὰ πλῆθος· [6] οὕτω δὲ ἔχει καὶ τοῦ [7] ἄρσενος καὶ τοῦ θήλεος [8] τῆς γονῆς.

ζ'. Ξυμβάλλεσθαι δὲ παρέχει ὅτι καὶ ἐν τῇ γυναικὶ καὶ ἐν τῷ ἀνδρὶ ἔστι γόνος καὶ θήλεος καὶ ἄρσενος τοῖσι ἐμφανέσι γιγνομένοισι· πολλαὶ γὰρ γυναῖκες ἤδη ἐθηλυτόκησαν παρ᾽ ἀνδράσι, παρὰ δὲ [9] ἑτέρους ἄνδρας ἐλθοῦσαι ἐκουροτόκησαν· καὶ οἱ ἄνδρες οἱ αὐτοὶ κεῖνοι παρ᾽ οἷσι ἐθηλυτόκεον ἑτέρων γυναικῶν ἐς μίξιν [10] ἀφικόμενοι, ἄρσενα γόνον ἐποίησαν, καὶ οἷσι ἄρσην γόνος ἐγίγνετο ἐς ἑτέρας γυναῖκας [11] ἐλθόντες θῆλυν γόνον ἐποίησαν. Οὗτος ὁ λόγος αἱρέει καὶ τὸν ἄνδρα καὶ τὴν γυναῖκα ἔχειν καὶ θῆλυν γόνον καὶ ἄρσενα· παρὰ μὲν γὰρ τοῖσι ἐθηλυτόκεον ἐκρατέετο ὁ ἰσχυρότερος, [12] πλέονος γενομέ-

quoque ita se habet: si ab utroque semen robustius proveniat, mas generatur; sin debilius, foemina. Utrumlibet vero copia superarit, illud ipsum procreatur. Si namque debilius semen multo maiore copia valentius superet, evincitur quod valentius est et debili permixtum ad foeminam transfertur. Quodsi validum debili copiosius fuerit, superatur debile et ad marem redigitur. Ac veluti si quis ceram et adipem simul commisceat, et adipe multo maiore copia addito, ea ad ignem liquefaciat, dum quidem liquida fuerint, quod copia superat manifestum non est; ubi vero concreta fuerint, tunc quod adeps ceram copia superat, conspicuum est. Ita rem se habere circa maris et foeminae genituram existimandum est.

7. Quod autem tam in muliere quam in viro tum foemininum, tum masculum semen insit, ex his, quae manifesto accidunt, coniicere licet. Multae enim mulieres viris foeminas pepererunt, quae cum aliis congressae ex iis filios susceperunt. Et viri illi ipsi, quibus foeminas pepererunt, cum aliis mulieribus congressi masculam prolem genuerunt et quibus masculus foetus suscipiebatur cum aliis mulieribus congressi foeminas genuerunt. Hic sermo docet, cum virum, tum mulierem habere et foemineum semen et masculum, nam quae foeminas suscipiebant, in iis validius semen, quum copiosius fieret debilius, superabatur et foeminae gigne-

[1] γίνεται τὸ τικτόμενον. εἰ δὲ ἀ. — [2] ᾖ om. — [3] εἰ — εἴη. — [4] τήξεται. — [5] μέχρις. — [6] οὕτω. — [7] ἄρρενος. — [8] ἡ γονή. — [9] ἑτέροις ἀνδράσι. [10] ἀπερχόμενοι. — [11] μιχθέντες. — [12] καὶ πλ.

ἔχει δὲ — περιηνέχθη.] ἐπ᾽ ἀμφοτέρων C. J. Marc.; — ἰσχυρόν dedi ex C., ubi vulgo ἰσχυρότερον; — vulgo ἄρσεν γίνεται τὸ τικτόμενον, sed τὸ τικτ. omm. C. X. Marc., Littr.; — ὁκόταν δὲ κρατήσοι cod. ε.; — καί post ἐκεῖνο omm. C. E. Marc.; — ᾖ vulgo abest, E. K. O. X. ε. Mack., Littr. habent. Tum καὶ μιχθὲν τῷ ἀ. om. X.; — καὶ ἐς ἄρσεν cod. ε.

ὥσπερ — γονῆς.] ὡς εἴ τις cod. ε.; — τήξειε C., Marc., Littr., τήκεται vulg.; — πρὸς πῦρ vulg., πρὸς πυρί cod. ε. Littr.; — μέχρις vulg.; — οὕτω δὲ ἔχει C. Marc., οὕτως ἔχει vulg.; — ἄρσενος O. Marc., Littr. et τῆς γονῆς iidem, ubi vulgatam e V. adnotavi.

7. ξυμβάλλεσθαι — θῆλυν γόνον ἐποίησαν.] ἄρρενος Parr. 2.; — παρ᾽ ἀνδράσιν ἰδίοις vulgo, sed ἰδίοις quod Ionice scriptum non est, omittitur in C. Marc. et insiticium videtur; — καὶ οἱ ἄνδρες αὐτοί C. ε.; — παρ᾽ οἷσι ἐθηλυτόκεον αἱ γυναῖκες ceteri; ego αἱ γυναῖκες reieci pro emblemate alieno; — ἀφικόμενοι C., E., H.. alia m., ε., Marc., Littr., vulgatam e V. notavi. Tum καὶ οἷσι — ἐποίησαν om. C.; — ἄρσην E. H. Littr., ἄρρην vulg.; — ἐς ἑτέρας H., Marc., Lind., Littr., εἰς vulg.; — ἐλθόντες de meo dedi pro μιχθέντες, nam ἐς γυναῖκα μιχθῆναι ineptum, ἐς γυναῖκα ἐλθεῖν congruum.

οὗτος ὁ λόγος — ἀλλοῖος.] ὁ λόγος ἐρέει ceteri, sed in varr. lectt. e Marc. a Cobeto excerptis hic adnotavit: „lege αἱρέει;" — certam emendationem recepi; — καί ante θῆλυν om. C.; θῆλυ E. O.; — γάρ Ald., Parr. 5., ε., Marc., Littr., vulgo abest. — Dein ὁ ἰσχυρότερος de meo, τὸ ἰσχυρότερον cett., nempe varr. lectt. docent alios neutro genere, alios feminino protulisse epitheta, quae si superiora consulas ad ὁ γόνος sunt referenda; scilicet ἡ γονή illi praecessisse putasse videntur, unde γενομένης τῆς ἀσθενέος C. Marc.,

νου [1] τοῦ ἀσθενέος καὶ [2] ἐγένετο θήλεα· παρὰ δὲ τοῖσι ἐκουροτόκεον [3] ἐκρατέετο ὁ ἀσθενέστερος καὶ ἐγένετο ἄρσενα· χωρέει δὲ οὐκ ἀεὶ ἀπὸ τοῦ αὐτοῦ ἀνδρὸς [4] ἰσχυρὸς, οὐδὲ [5] ἀσθενὴς ἀεὶ, ἀλλ' ἄλλοτε [6] ἀλλοῖος. Καὶ τῆς γυναικὸς οὕτως ἔχει ὡς μὴ θωυμάζειν τὰς αὐτὰς γυναῖκας καὶ τοὺς αὐτοὺς ἄνδρας γόνον καὶ ἄρσενα καὶ θῆλυν ποιέειν. Ἔχει δὲ καὶ τοῖσι κτήνεσι [7] οὕτω τὰ περὶ γονῆς θήλεος καὶ [8] ἄρσενος.

η'. Καὶ ἔν [9] σφι ἡ γονὴ ἔρχεται καὶ τῆς γυναικὸς καὶ τοῦ ἀνδρὸς ἀπὸ παντὸς τοῦ σώματος, καὶ ἀπὸ τῶν ἀσθενέων ἀσθενὴς καὶ ἀπὸ τῶν ἰσχυρῶν ἰσχυρή· καὶ τῷ τέκνῳ οὕτως ἐστὶ ἀνάγκη ἀποδίδοσθαι. Καὶ ὁκόθεν ἂν τοῦ σώματος τοῦ ἀνδρὸς πλέον ἔλθῃ ἐς τὴν γονὴν ἢ τῆς γυναικὸς, [10] κεῖνο κάλλιον ἔοικε τῷ πατρί· ὁκόθεν [11] δὲ ἂν πλέον ἔλθῃ ἀπὸ τῆς γυναικὸς [12] τοῦ σώματος, κεῖνο κάλλιον ἔοικε τῇ μητρί. Ἔστι δὲ οὐκ ἀνυστὸν πάντα τῇ μητρὶ ἐοικέναι, [13] τῷ δὲ πατρὶ μηδὲν, ἢ τὸ ἐναντίον τούτου, [14] οὐδὲ μηδετέρῳ ἐοικέναι μηδέν· ἀλλ' ἀμφοτέροισι ἀνάγκη ἐστι ἐοικέναι τινὶ, εἴπερ [15] ἄρα ἀπ' ἀμφοτέρων τῶν σωμάτων τὸ σπέρμα χωρέει ἐς τὸ

bantur; quae vero mares suscipiebant, in iis quod debilius erat superabatur et mares gignebantur. Neque vero ab eodem viro semper validum semen prodit, neque semper imbecillum, sed alio tempore aliud. Et in muliere eodem modo res se habet, ita ut mirum minime sit easdem mulieres et viros eosdem et masculam et foemineam prolem gignere. Eadem vero in brutis tum foeminam tum marem procreandi seminisque ipsius est ratio.

8. Et in iis tum mulieris tum viri semen provenit a toto corpore et ab imbecillis partibus imbecillum, et a validis validum et necesse est id proli ita distribui. Et a qua corporis parte plus a viro quam a muliere ad semen deveniat, ea magis similis est patri; a qua parte vero corporis plus deferatur de muliere, ea magis similis est matri. Fieri autem nequit ut proles omnibus suis partibus matri sit similis, minime vero patri, aut contra, neque ut nulla in re alterutri sit similis; sed necesse est ut aliqua in re utrique sit similis, si quidem a corpore utriusque semen ad prolem accedat. Uterlibet vero plus ad similitudinem conferat et a pluribus corporis locis, illi pluribus parti-

[1] τῆς. — [2] ἐγίνετο. — [3] ἐκράτεε τὸ ἰσχυρόν. — [4] ἰσχυρή. ἀλλ' οὐδέ. — [5] ἀσθενὴς ἐσαεί. — [6] ἀλλοίη. — [7] οὕτως. — [8] ἄρρενος. — [9] αὐτῇ σφι τῇ γ. — [10] τὸ τέκνον ἐκεῖνο. — [11] ἄν om. — [12] κεῖνο τοῦ σώματος. — [13] μηδὲν δὲ τῷ πατρὶ μηδὲ τὸ ἐναντ. — [14] μήτε μὴν μηδετέρῳ ἐοικέναι τινί — omissis intermediis ante τινί. — [15] ἄρα om.

τοῦ τῆς ἀσθενέος Parr. 2.; — ἐκρατέετο τὸ ἀσθενὲς καὶ ἐγένετο ἄρσενα Marc. alii, ἐκρατέετο τὸ ἀσθενέστερον καὶ ἐγίνετο ἄρσενα vulg., in qua lect. rursus masculinum de meo dedi, nempe aut Marciani aut vulgatam lect. mutatam dare oportet, aut ἐκράτεε ὁ ἰσχυρός s. ὁ ἰσχυρότερος, sed parallelismus membrorum facit, ut illud praeferam. — Dein οὐκ ἀεὶ τοῦτο cett. οὕτως pro τοῦτο Martinus, sed mihi τοῦτο emblema alienum est visum. Tandem ἰσχυρός, ἀσθενής, ἀλλοῖος de meo, ubi vulgatam e V. excerpsi; — ἀλλ' οὐδέ vulg., ἀλλ' omm. C. Littr., sed C. οὐδ' habet; — vulgo ἐς ἀεί, ubi ἐς omm. C. Marc., Littr., et vero ες ortum est e dittographia ἀσθενὴς (ἐς) ἀεί.

καὶ — ἄρσενος.] ἐπὶ τῆς γυναικός E., H. supra versum, cod. K. ε. Mack., ἐπὶ γυναικός codd. Regii Foësii. Tum ὥστε E., H. alia m. K. O. ε., θῆλυ E.; — ποιέεσθαι cod. ε. — Dein κτήμασιν Ald., Zuing. in marg.; — οὕτω C. Marc., Littr. et ἄρσενος iidem, vulgatam e V. notavi.

8. καὶ — ἀποδίδοσθαι.] καὶ ἐν αὐτῇ σφὶ τῇ γονῇ ἐξέρχεται κ. τ. λ. vulg., in quibus τῇ pro αὐτῇ cod. ε., αὐτῇσι Zuing. in marg., ἔρχεται C. Marc.; — Littr. καὶ ἐν αὐτῇφι τῇ γονῇ ἐξέρχεται scripsit. Mihi locus pessime corruptus videtur: ἐν τῇ γονῇ ἐξέρχεται incongruum est, neque enim subiectum sibi habet; tum vero, quum mox legatur ἀπὸ τῶν ἀσθενέων ἀσθενὴς καὶ ἀπὸ τῶν ἰσχυρῶν ἰσχυρή, constat non ἐν τῇ γονῇ, sed ἡ γονή fuisse scriptum; quod vero attinet ad αὐτῇ s. αὐτῇσι (αὐτοῖσι), id e dittographia σφι natum puto. Iam intelliges, quid in emendatione voluerim et quare ἔρχεται prae composito praetulerim.

καὶ — μητρί.] καὶ ὁκόθεν (ὅμου ἂν pro ὁκόθεν P.', Zuing. in marg.) ἀπὸ τοῦ (αὐτοῦ pro ἀπὸ τοῦ Ald.) σώματος vulg., — καὶ ὁκόθεν ἂν τοῦ σώματος Parr. 6., ε., Marc., Littr.; — sola haec lectio admittenda; — ἐς τὴν γονὴν — πλέον ἔλθῃ om. cod. ε.; — ἀπὸ τῆς γυναικός O. pro ἐς τὴν γ. ἢ τῆς γυν. Ante κεῖνο vulgo τὸ τέκνον, quod recte reiecit Littr., κεῖνο — γυναικός om. H. O., sed in illo rest. al. m.; — sequens ἄν de suo Littr.; — μηδετέρω κεῖνο τὸ τέκνον τοῦ σώματος pro τοῦ σώματος κεῖνο E. K. O. ε., τοῦ σώματος post κεῖνο in E. F. G. (H. cum τὸ τέκνον post κεῖνο) I. Ald.

ἔστι δὲ — τέκνον.] ὅτι pro ἔστι Ald., G. — ἐν αὐτῷ δὲ πατρί F. G.; — οὐδέ pro ἤ multi codd. Parr. alii et Marc.; — τοὐναντίον O.; — οὐδὲ μηδετέρῳ Parr. multi, alii libri. Littr., μηδετέρω, (οὐδ' ἑτέρω codd. Regii Foësii, οὐδὲ ἑτέρῳ Zuing. in marg., sine οὐδέ vulg.; — ἀνάγκη τίς ἐστι cett., sed τις h. l. otiose a librariis invectum est; itaque reieci; — ἄρα ex E. H., P.', Q.', ε. recepit Littr., vulgo om.

τέκνον. Ὁκότερος δ' ἂν πλέον ξυμβάλληται ἐς τὸ ἐοικέναι καὶ ἀπὸ πλεόνων χωρίων τοῦ σώματος, [1] κείνῳ τὰ πλείονα ἔοικε· καὶ ἔστι ὅτε θυγάτηρ γενομένη [2] ἔοικε κάλλιον τῷ πατρὶ ἢ τῇ μητρὶ καὶ κοῦρος γενόμενος ἔστι ὅτε κάλλιον ἔοικε τῇ μητρὶ ἢ τῷ πατρί. Καὶ ταῦτά μοι καὶ τοσαῦτα ἐστὶ ἱστόρια τῷ προτέρῳ λόγῳ, ὅτι ἔνεστι καὶ ἐν τῇ γυναικὶ καὶ ἐν τῷ ἀνδρὶ καὶ κουρογονίη καὶ θηλυγονίη.

bus similis est; atque interdum filia nata potius patri similis est quam matri et filius natus interdum potius matri quam patri est similis. Atque haec mihi tamque multa sunt superioris sententiae argumenta, quod tum in muliere, tum in viro et masculae et foemineae prolis generandae facultas inest.

θ'. Γίγνεται δὲ καὶ τόδε· ἔστι ὅτε τὰ τέκνα λεπτὰ καὶ ἀσθενέα γίγνεται ἐκ πατρὸς καὶ μητρὸς παχέων τε καὶ ἰσχυρῶν ἐόντων· κὴν μὲν πολλῶν ἤδη γενομένων τῶν παιδίων ἕν τι τοιοῦτον [3] γίγνηται, δῆλον ὅτι ἐν τῇσι μήτρῃσι ἐνόσησε τὸ ἔμβρυον [4] καὶ ἀπὸ τῆς μητρὸς [5] τῆς αὔξης αὐτοῦ ἔξω παρῄει, τῶν μητρέων χανουσέων μᾶλλον, καὶ διὰ τοῦτο ἀσθενὲς ἐγένετο· νοσέει δὲ τῶν ζῴων ἕκαστον κατὰ τὴν ἰσχὺν ἑωυτοῦ. Ἢν δὲ πάντα τὰ γενόμενα παιδία ἀσθενέα ἔῃ, αἱ μῆτραι αἴτιαί εἰσι στενώτεραι ἐοῦσαι τοῦ καιροῦ· ἢν γὰρ μὴ ἔχῃ εὐρυχωρίην, ἔνθα τὸ ἔμβρυον [6] θρέψεται, ἀνάγκη ἐστὶ λεπτὸν γίγνεσθαι· ἢν δὲ ἔχῃ εὐρυχωρίην καὶ μὴ νοσήσῃ, ἐπιεικές ἐστι μεγάλων τοκέων μέγα τὸ τέκνον [7] γίγνεσθαι. Ἔχει δὲ οὕτως, ὥσπερ εἴ τις σίκυον [8] ἤδη ἀπηνθηκότα, ἐόντα δὲ νεογνὸν

9. Quin etiam illud interdum accidit, ut tenues et imbecilli foetus ex parentibus crassis et robustis gignantur. Quodsi iam multis editis, unus eiusmodi nascatur, foetum in utero aegrotasse perspicuum est et incrementi eius, quod a matre est, partem extra praeteriisse, utero nimirum plus iusto hiante, eumque ideo debilem esse factum: animantium autem quodcumque pro virium suarum ratione aegrotare videtur. At vero si omnes editi liberi debiles exstiterint, uterus plus aequo angustus in causa esse existimatur. Si quidem cum desit amplum spatium in quo foetus nutriatur, debilem exsistere necesse est. Quodsi neque desit amplum spatium, neque foetus aegrotet, aequum esse videtur ut ex magnis parentibus magnus partus edatur. Istud autem hoc modo se habet, perinde ac si quis cucumerem iam deflorescentem,

[1] κείνω τὰ πλείω. — [2] τὰ πλείονα ἔοικε. — [3] γένηται. — [4] τὸ ἀπό. — [5] ἢ τῆς. — [6] τραφείη. — [7] γίνεσθαι. — [8] ἤδη om.

ὁκότερος — πατρί.] ξυμβάλληται H.; — καί ante ἀπὸ πλεόνων om. C. — Vulgo τὰ πλείονα ἔοικε κάλλιον τῷ πατρί, in quibus κατὰ πλείονα P.' Q.' ε., κάλλιον om. cod. ε. — In vulgata τὰ πλείονα otiosum esse docet parallelismus inter hoc et sequens membrum.

καὶ ταῦτα — θηλυγονίη.] ἱστορέαται pro ἐστιν ἱστόρια K.; — τῷ προτέρῳ λόγῳ edd. antt., codd. permulti, Littr., τῶν προτέρων λόγων vulg.

9. γίγνεται — ἑωυτοῦ.] τείνεται δὲ καὶ τόδε C., Marc.; — γινομένων K.; — ἕν τι recepi ex L. et Vossiano, ceteri omm. Articulum ante ἔμβρυον omm. E. K.; καί τι Lind., Mack., τὸ ἀπὸ τ. μ. L.; τῆς μήτρας legunt interpretes nonnulli; — ἢ τῆς αὔξης vulgo, τι τῆς αὔξης codd. Regii Foësii, Zuing. in marg.: Littréus significat illud τι τῆς αὔξης in mss., quos vidit, non legi, recteque animadvertit καί τι apud Lind., Mack. et τὸ ἀπὸ τ. μ. in L. esse emendandi conamina. Ipse Littréus εἰ τῆς αὔξης de suo dedit, quae coniectura mihi minime praestare videtur prae lectione codicum Regiorum Foësii et Zuingeri in marg.; sed me iudice ἢ prorsus recens emblema est, quo librarius nihil intelligens ἀπὸ τῆς μητρὸς ἢ τῆς αὔξης coniungere, aut si accuratius loqui velis, disiungere voluerit. Quod autem ad τι attinet, id item mihi videtur coniecturam referre, neque puto eo opus esse, ita ut nihil agendum censeam, nisi ut emblema ἢ auferatur, nec quidquam ei substituatur. Confer vero de morbis mull. I. § 21. καὶ μάλιστα ἐπὴν παραμεθίωσι τῆς αὔξης τῷ ἐμβρύῳ αἱ μῆτραι et § 25.: ταύτῃσι κεχήνασι αἱ μῆτραι μᾶλλον τοῦ καιροῦ καὶ παραμεθίασι τῆς αὔξης τοῦ ἐμβρύου; — unde patet parum recte in O. ε. τῆς τροφῆς legi pro τῆς αὔξης. Dein ἔξω αὐτοῦ C.; — παρείη Ald. G. ε.; — ἐγίνετο cod. ε.; — τῶν ante ζῴων om. vulg., sed e mss. restituit Littr., τῶν ζωίων recte Marcianus.

ἢν δὲ πάντα — γενέσθαι.] γεννώμενα H. alia m., K.; — στενότεραι vulgo, στενώτεραι cum H. scripsi; — θρέψεται C. Marc., vulgatam e V. notavi; — αὐτὸ λεπτὸν γενέσθαι, sed cum C. Marc. αὐτό omisi; — γίνεσθαι C. Marc., aoristum ferunt cett.; — post γίνεσθαι C. Marc. τὸ ἔμβρυον habent. At post γίγνεσθαι ceteri ἅτε οὐκ ἔχον τῇ αὔξῃ (τὴν αὐτήν h. l. addunt E. H. in marg. alia m., K. ε.) εὐρυχωρίην, quod adeo est supervacaneum et putidum post ἢν γὰρ μὴ — γίγνεσθαι, ut non nisi scholion referre videatur, quod abigo. Tum ἢν δὲ ἔχῃ εὐρυχ. om. E.; — γονέων C.; — τὸ τέκνον de meo, ceteri omnes τό omittunt; — γενέσθαι C. H. Zuing. in marg., Littr., γίνεσθαι vulg.

ἔχει — ἄγγεος.] Post ἀρυστῆρα addit στενόν Lind.; — ἴσος in multis mss. et in Marc., Voss., ponitur eo loco, quo

καὶ προσεόντα τῷ σικυηλάτῳ, θείη ἐς ἀρυστῆρα, ἔσται ἴσος τοῦ ἀρυστῆρος τῷ κοίλῳ καὶ ὁμοῖος· ἢν δέ τις ἐς ἄγγος θῇ μέγα, [1] ὅ τι ἐπιεικές ἐστι σίκυον χαδέειν, ἀλλὰ μὴ πολλῷ κάρτα μέζον τῆς φύσιος τοῦ σικύου, ἴσος ἔσται ὁ σίκυος τοῦ [2] ἄγγεος τῷ κοίλῳ καὶ ὁμοῖος· ἐρίζει γὰρ ἐν τῇ αὔξῃ τῷ κοίλῳ τοῦ ἄγγεος. Σχεδὸν δὲ [3] εἰπεῖν καὶ πάντα τὰ φυόμενα οὕτως ἔχει, ὅκως ἄν τις καταναγκάσῃ αὐτά. Οὕτω δὲ καὶ τὸ παιδίον, ἢν μὲν εὐρυχωρίη οἱ ἔῃ ἐν τῇ αὔξῃ, μέζον γίγνεται· ἢν δὲ στενοχωρίη, ἔλασσον.

ι'. Τὸ δὲ πηρωθὲν ἐν τῇσι μήτρῃσι παιδίον φημὶ ἢ φλασθὲν πηρωθῆναι τῆς μητρὸς πληγείσης κατὰ τὸ ἔμβρυον, ἢ πεσούσης, ἢ ἄλλου τινὸς βιαίου παθήματος προσγενομένου τῇ μητρί· [4] ᾗ δ' ἂν [5] φλασθῇ, ταύτῃ πηροῦται τὸ παιδίον· ἢν δὲ μᾶλλον [5] φλασθῇ τὸ ἔμβρυον τοῦ ὑμένος ῥαγέντος τοῦ περιέχοντος αὐτὸ, φθείρεται τὸ ἔμβρυον· ἢ ἑτέρῳ τρόπῳ τοιῷδε πηροῦται τὰ παιδία, ἐπὴν ἐν τῇσι μήτρῃσι τὸ χωρίον καθ' ὅ τι καὶ ἐπηρώθη στενὸν ἔῃ· ἀνάγκη γὰρ ἐν στενῷ κινευμένου τοῦ σώματος πηροῦσθαι κατ' ἐκεῖνο τὸ χωρίον· ὥσπερ καὶ τῶν δένδρων ἄσσα ἐν τῇ γῇ ἐόντα μὴ ἔχει εὐρυχωρίην, ἀλλ' ὑπὸ λίθου ἢ ὑπό [6] τευ ἄλλου ἀπελήφθη, ἀνατέλλοντα σκολιὰ γίγνεται, ἢ τῇ μὲν παχέα, τῇ δὲ λεπτά· οὕτω δὴ ἔχει [7] καὶ τὸ παιδίον, ἢν ἐν τῇσι μήτρῃσι κατά τι τοῦ σώματος στενώτερον ἔῃ [8] τὸ ἕτερον τοῦ ἑτέρου.

tenellum tamen et adhuc cucumerario adhaerescentem in vas aliquod angustum imposuerit, aequalis ac similis ipsius vasis angusti cavo evadet. Ac si quis in vas amplum imponat, quod probe cucumerem capere possit, neque eo multo maius sit, aequalis etiam et similis vasis cavo cucumis evadet. Increscendo enim vasis capacitatem aemulatur et quae e terra fere nascuntur omnia eodem, quo quis ipsa coegerit, proveniunt modo. Ad eundem quoque modum puer, si quidem in ampliore loco incrementum accipiat, maior, sin vero angustiore, minor evadit.

10. Quodsi mutiletur in utero puerulus, id ita fieri affirmo ut collidatur, sive mater percussa fuerit, qua parte puerulus erat, sive lapsa, sive aliud quid violentum matri acciderit; qua parte vero colliditur, ea mutilatur puer. Quodsi vehementius etiam collidatur, ita ut quae eum continet membrana rupta sit, corrumpitur foetus. Quin et alia huiusmodi ratione mutilantur pueri: ubi uteri locus, qua parte mutilati sint, angustus fuerit. Necesse enim est ut corpus in angusto loco motum mutilum fiat ipso illo loco. Non secus atque arbores, quae in terra sunt, neque satis amplum spatium habent, sed vel a lapide vel alia quapiam re detinentur, cum exoriuntur tortuosae evadunt, aut parte alia crassae, alia tenues. Ita quidem etiam puerulus se habet, si in utero circa aliquam corporis partem angustior prae aliis locus fuerit.

[1] ὅ τι καὶ ἐπ. — [2] ἀγγείου. — [3] εἰπεῖν om. — [4] ἤν. — [5] θλασθῇ utroque loco. — [6] τινός. — [7] κἂν τῷ παιδίῳ γίνεσθαι ἤν. — [8] τό om.

ipse descripsi, alii post *τῇ κοιλίῃ* inferunt; — *ὅ τι καὶ ἐπιεικές* vulgo, sed *καί* omm. C. Marc., E., ε.; — *ὁ σίκυος ἴσος ἔσται* C.; — *ἀγγείου*, ut V., permulti libri; — *τῷ κοίλῳ* om. ε.

σχεδὸν — αὐτά.] *εἰπεῖν* C. Marc., Zuing. in marg., Littr., vulg. *εἰπεῖν* om.; — *καί* om. O.; — *καὶ τὰ φ. οὕτω πάντα ἔχει* C. Marc.

οὕτω — ἔλασσον.] *οὕτω δὴ* (*δέ* C. Marc.) *ἔχει καὶ τῷ παιδίῳ* vulg., sed *ἔχει* omm. Parr. 6. ε. Littr. Quodsi *ἔχει* omittas, *τὸ παιδίον* scribendum erit, nisi sequens *οἱ* omittere velis. Mihi vero illud *ἔχει* omnino abundare videtur. Denique *μέζον* C. Marc., Littr., *μεῖζον* vulg.

10. *τὸ δὲ πηρωθὲν — τοῦ ἑτέρου.*] *φημὶ αὐτό* ceteri, ego otiosum *αὐτό* abieci; — *φλασθέν* similia alia plures libri scripti pro *θλασθέν* cett.; — *ἢν δὲ φλασθῇ* vulg., *ᾗ* pro *ἤν* Zuing. in marg., equidem *ᾗ δ' ἂν φλ.* de meo scripsi; *τά* ante *παιδία* vulgo om., addunt E. H. alia m., L., Voss., Lind. — Omnes *κατὰ τὸ χωρίον καθ' ὅ τι*, sed *κατά* ante *τὸ χ.* otiosum est et errore librariorum invectum, qui totum capitulum hoc pessime descripserunt. De meo *γάρ* post *ἀνάγκη* invexi, quod requirere putabam orationem. Dein *πειροῦσθαι* C.; — *ὅσα* idem pro *ἄσσα*; — *ἔχει* C. J. Littr., *ἔχῃ* vulg.; — *ἀλλὰ ὑπό* Marc.; — *τευ* C., Marc., Littr., *τινός* vulgata; — *ἀπελήφθη* de meo scripsi, *ἀποληφθῇ* vulgo, quod incongruum. De meo *ἀνατέλλοντα*, *σκολιά*, *παχέα*, *λεπτά* plurali numero dedi, ut ad *ἄσσα*, referrem, cum in libris omnibus *ἀνάτελλον* cett., sing. num. legatur. Porro *πῇ μὲν — πῇ δέ* E. H. K., Zuing. in marg. Lind. — Dein *οὕτω δὲ* (*δή* Parr. 5. Q.' Voss., Lind., Mack., Littr.,) *καὶ* (*κἂν* Parr. 8. Zuing. in marg. Voss.) *τῷ παιδίῳ γίνεσθαι* vulgo; *οὕτω δὲ ἔχει καὶ τὸ παιδίον* C. Marc.; — textum descripsi ut Littr.; — *στενώτερον* E. H. K., *στενότερον*

ια'. Ὅτι δὲ ἐκ πεπηρωμένων ἀνθρώπων ὑγιέα [1] γίγνονται τὰ παιδία, ὡς ἐπὶ τὸ πλεῖστον ξυμβαίνει· ἔχει γὰρ τὸν ἀριθμὸν πάντα τὸ πεπηρωμένον τωὐτὰ τῷ ὑγιέϊ· ἐπὴν δέ τί οἱ νόσημα προσπέσῃ καὶ τοῦ ὑγροῦ [2] αὐτοῦ, ἀφ' οὗ τὸ σπέρμα γίγνεται, αἱ τέσσαρες ἰδέαι ἐοῦσαι, ὁκόσαι ἐν φύσι ὑπῆρξαν, τὴν γονὴν οὐχ ὅλην παρέχουσι, ἀσθενέστερον δὲ τὸ κατὰ τὸ πεπηρωμένον· οὐ θαῦμα οὖν μοι δοκέει [3] εἶναι καὶ πηρωθῆναι, καθάπερ ὁ τοκεύς. Ταῦτα δέ μοι ἐς τοῦτο εἰρέαται· ἀναβήσομαι δ' αὖτις ὀπίσω ἐς τὸν λόγον, ὃν ἔλεγον.

11. Ut e mutilatis hominibus pueri nascantur sani, plerumque accidit; numero enim mutilatus omnia habet eadem quae sanus. Sed postquam morbus illi acciderit humoris quoque ipsius, e qua genitura fiat, quatuor illae species, quae natura adesse solent, semen non integrum praebent, sed debilius iuxta partem mutilatam. Itaque mirum non mihi videtur puerum etiam mutilari iisdem partibus, quibus parens. Haec hactenus mihi dicta sunt; redibo autem rursus ad sermonem, quem protuli.

ιβ'. Ἢν ἡ γονὴ μείνῃ ἀπ' ἀμφοῖν ἐν τῇσι μήτρῃσι, πρῶτον μὲν μίσγεται ὁμοῦ, ἅτε τῆς γυναικὸς οὐκ ἀτρεμεούσης, καὶ ἀθροίζεται καὶ παχύνεται θερμαινομένη. Ἔπειτα πνεῦμα ἴσχει, ἅτ' ἐν θερμῷ ἐοῦσα, τῆς μητρὸς πνεούσης, ἔπειτα δὲ τοῦ πνεύματος ὅταν πλησθῇ, ὁδὸν αὐτὸ ἑωυτῷ ἔξω ποιέει κατὰ μέσον τῆς γονῆς, [4] ᾗ ἔξεισι· ὅταν δὲ ὁδὸς γένηται τῷ πνεύματι ἔξω θερμῷ ἐόντι, αὖτις ἕτερον ψυχρὸν εἰσπνέει ἀπὸ τῆς μητρός· καὶ τοῦτο ποιέει διὰ παντὸς τοῦ χρόνου. Θερμαίνεται μὲν γὰρ ἅτ' ἐν [5] θερμῷ ἐοῦσα· ψυχρὸν δ' ἴσχει ἀπὸ τῆς μητρὸς πνεούσης· πάντα δὲ ὁκόσα θερμαίνεται πνεῦμα ἴσχει. Τὸ δὲ πνεῦμα ῥήγνυσι καὶ ποιέει ὁδὸν αὐτὸ

ἐστὶ ἀληθέα· τῇσι πρώτῃσι τῶν ἡμερέων ὁκόταν ἡ γονὴ ἐς τὰς μήτρας ἐμπέσῃ, ἐλάχιστον αἷμα ἔρχεται ἀπὸ τῆς γυναικὸς ἐς τὰς μήτρας, ἔπειτα δὲ ἐπὶ πλεῖον· εἰ γὰρ ἀθρόον καὶ πολὺ ἔλθοι ἐς ἅπαξ, οὐκ ἂν δύναιτο ἡ γονὴ πνοὴν ἔχειν, ἀλλ' ἀποπνιγείη ἂν τοῦ αἵματος ἰόντος πολλοῦ. Ἀνταποδίδοται δ' ἐν τῇ καθάρσι τοὐναντίον· χωρέει γὰρ ἡ κάθαρσις τῶν λοχείων ἐν τῇσι πρώτῃσι τῶν ἡμερέων πλείστη, εἶτα ἐπ' ἐλάσσω, ἕως [1] ἂν λήξῃ. Πολλαὶ δ' ἤδη γυναῖκες διέφθειραν κοῦρον ὀλίγῳ πρόσθεν τριήκοντα ἡμερέων καὶ ἄναρθρον ἐφαίνετο· ὁκόσα δὲ ὕστερον ἢ ἅμα τῇσι [2] τριήκοντα ἡμέρῃσι, διηρθρωμένα ἐφαίνετο ἐόντα· καὶ ἐπὶ τῇ κούρῃ κατὰ λόγον τῶν τεσσεράκοντα καὶ δύο ἡμερέων, ὁκόταν διαφθαρῇ, φαίνεται ἡ διάρθρωσις τῶν μελέων· καὶ ἤν τε πρόσθεν φθαρῇ τὸ παιδίον ἤν τε ὕστερον, ὧδε φαίνεται καὶ λόγῳ καὶ ἀνάγκῃ ἡ διάρθρωσις ἐοῦσα ἐπὶ μὲν τῇ κούρῃ ἐν τεσσεράκοντα καὶ δύο ἡμέρῃσι, ἐπὶ δὲ τῷ κούρῳ ἐν τριήκοντα· ἱστορέουσι γὰρ αἱ ἐξαμβλώσιες τῶν παιδίων καὶ τῶν λοχείων αἱ καθάρσιες. Αἴτιον δ' ἐστὶ ὅτι τὸ θῆλυ πήγνυται ὕστερον καὶ διαρθροῦται, ὅτι ἡ γονὴ ἀσθενεστέρη ἐστὶ καὶ ὑγροτέρη τῆς θηλείης ἢ τοῦ ἄρσενος· καὶ ἀνάγκη [3] καὶ κατὰ τοῦτον τὸν λόγον ὕστερον πήγνυσθαι τὸ θῆλυ ἢ τὸ ἄρσεν· καὶ ἡ κάθαρσις χρονιωτέρη τούτου εἵνεκεν ἐπὶ τῇ [4] θηλείῃ γίγνεται ἢ ἐπὶ τῷ ἄρσενι. Ἀναβήσομαι δὲ αὖθις ὀπίσω ὅθεν ἀπέλιπον.

autem modo rependitur in purgatione: procedit enim purgatio ex partu primis diebus plurima, dein sensim minor, donec cesset. Multae vero mulieres iam puerum abortu perdiderunt paulo ante triginta dies et membris destitutus apparuit; — qui vero post triginta dies, vel hoc ipso tempore, ii apparuerunt membra distincta habentes; et in filiola pro ratione dierum quadraginta duarum, cum abortu reiecta fuit, apparuit membrorum distinctio; et sive puerulus ante sive post abortione perdatur, sic apparet et ratiocinio et necessitate distinctio membrorum facta in puella intra dies quadraginta duas, in puero vero intra triginta; documento enim sunt puerulorum abortiones et purgamenta ex partu. Causa autem cur foemina tardius cogatur et membra in ea distinguantur, haec est, quod genitura femineae prolis debilior et humidior est quam masculae; et secundum hanc argumentationem etiam necesse est, ut tardius cogatur foeminea proles quam mascula, ideoque diuturnior est purgatio post filiolam in lucem editam, quam post puerulum emissum. Sed eo redeundum mihi est, unde digressus sum.

ιθ'. Ὁκόταν δὲ διαρθρωθῇ τὸ παιδίον τὰ εἴδεα τῶν μελέων, [5] αὐξομένου αὐτοῦ τά τε ὀστέα ἐπισκληρότερα [6] γίγνεται καὶ κοι-

19. Cum vero puer artus distinctos nactus fuerit, ipso crescente et ossa circum duriora fiunt et excavantur; quae res a spiritu fiunt;

[1] ἄν om. — [2] τριήκοντα abest. — [3] ἐστὶ κατά. — [4] θηλείῃ ἢ τῷ ἄρσενι. — [5] αὐξανομένου. — [6] γίνονται.

ἀνταποδίδοται — λήξῃ.] δ' C. ξ., δέ vulg.; — εἶτ' ἐπ' ἐλάσσω C. ξ. Marc.; — ἄν E., H. al. m., K. O. P.' π. Zuing., Mack., Littr., vulgo om., λήξει C. ξ.

πολλαὶ — καθάρσιες.] πολλαὶ δὲ γυναῖκες ἤδη vulg., secutus sum C. ξ. Marc.; — ὀλίγον H.; — τριηκονθ' ἡμ. C. ξ. Marc.; — τῇσι ante τριήκοντα omm. Ald. G.; — τριήκοντα — καί om. K.; — ὁκόταν γὰρ διαφθαρῇ E. H. alia m., K. O. P.' Q.' Lind., — καὶ ἤν τε dedi de meo, ceteris καί omittentibus; — πρόσθε φθαρῇ Marc.

αἴτιον — ἀπέλιπον.] δ' cod. ξ. Marc., δέ vulg.; — ἀρθροῦται C. Marc. pro διαρθρ.; — ἄρσενος Marc. ξ. Littr., per ρρ vulg.; — τὸ θῆλυ πήγνυσθαι ἢ τὸ ἄρσεν Marc., ἄρσεν etiam C. ξ. pro vulg. ἄρρεν. Etiam Marc. θηλείῃ fert; — γίγνεται vulgo abest, sed e pluribus mss. γίνεται Littr., quod Marc. etiam fert; — ἢ ἐπί alii libri et Marc., et Littr., vulgo ἐπί om.; — ἀπέλειπον vulg., ἀπέλιπον cum mss. 7. Littréus.

19. ὁκόταν — πιότατον.] ἔτι σκληρότερα E., H. al. m., K. O. P.' π.; — γίνονται, uti V., codd. 6. Littréi; — αἵματος C., E. supra versum, αἱμάσιος librorum lectio est apud Foës. memorata et apud Zuing. in marg.; — ἐμοὶ δοκεῖ τοῦ αἵματος cod. δ. in marg.; — πιώτατον H. Bas., Zuing., Lind. — Lubet autem verbulo monere de structura periodi, de qua agimus: scilicet notandum τὰ εἴδεα τῶν

λαίνεται· καὶ τοῦτο ὑπὸ τοῦ πνεύματος γίγνεται· κοῖλα δὲ ἐόντα ἕλκει ἐς ἑωυτὰ [1] ἀπὸ τῶν σαρκῶν τοῦ αἱμάλωπος τὸ [2] πιότατον. Καὶ χρόνῳ διοζοῦται αὖθις τὰ ἄκρα τῶν ὀστέων, ὥσπερ δενδρέου τὰ ἀκρότατα ὕστατα ὀζοῦται· καὶ οὕτω καὶ τοῦ παιδίου διΐστανται ἀπ' ἀλλήλων οἱ δάκτυλοι τῶν χειρῶν καὶ τῶν ποδῶν. Ἐπὶ δ' αὖ τῶν ἄκρων οἱ ὄνυχες φύονται· τελευτῶσι γὰρ αἱ φλέβες αἱ τοῦ ἀνθρώπου πᾶσαι ἐς τοὺς δακτύλους τῶν ποδῶν καὶ τῶν χειρῶν· καὶ παχύταται μέν εἰσι ἐν τῷ σώματι φλέβες [3] αἱ ἐν τῇ κεφαλῇ, ἔπειτα δὲ αἱ ἐν τοῖσι σκέλεσι καὶ τοῖσι βραχίοσι καὶ τοῖσι πήχεσι, ἐν δὲ τοῖσι ποσὶ καὶ τῇσι χερσὶ λεπτόταται καὶ πυκνόταται καὶ πλεῖσται φλέβες εἰσὶ καὶ νεῦρα λεπτότατα καὶ πυκνότατα καὶ πλεῖστα, καὶ ὀστέα ἐλάχιστα τῷ μεγέθεϊ· τῶν [4] δὲ χειρῶν καὶ τῶν ποδῶν [5] ἐν τοῖσι δακτύλοισι ταῦτα μάλιστά ἐστι. Ἐκ δὲ τῶν δακτύλων, ἅτε πυκνὰ ἐχόντων ὀστέα σμικρὰ καὶ φλέβας καὶ νεῦρα, οἱ ὄνυχες φύονται λεπτοὶ καὶ πυκνοί· καὶ ἀπολαμβάνουσι τῶν φλεβῶν τὰ ἄκρα, ὥστε μηκέτι αὔξεσθαι μηδὲ προέχειν ἑτέρην ἑτέρης· ὥστε μὴ θαυμάζειν ὅτι οἱ ὄνυχες ἐξωτάτω τοῦ σώματος πυκνότατοί εἰσι.

cum autem cava sunt, ad se trahunt e carnibus quod in sanguine est pinguissimum. Et temporis tractu extrema ossa in ramos dein diducuntur, quemadmodum arborum summae partes postremo in ramos excrescunt; atque ita etiam in puero manuum et pedum digiti a se invicem disiunguntur. Atque in eorum extremis dein ungues oriuntur; venae enim omnes corporis humani in pedum et manuum digitos desinunt; et crassissimae corporis venae in capite sunt, deinde in cruribus, brachiis et cubitis; at in pedibus et manibus tenuissimae, densissimae et plurimae venae sunt, itemque nervi tenuissimi, densissimi et plurimi, ossaque magnitudine minima, eaque praecipue in manuum ac pedum digitis. Ex digitis autem, nimirum cum ossa densa et parva habeant, venas etiam ac nervos, ungues tenues et densi oriuntur, qui extremas venas comprehendunt, adeo ut neque ulterius progrediantur, neque alia aliam excedat; ut proinde minime mirum videri debeat, si ungues exteriore corporis parte densissimi sint.

κ'. Ἅμα δὲ τοῖσι ὄνυξι καὶ αἱ τρίχες ἐν τῇ κεφαλῇ ῥιζοῦνται· ἔχει δὲ ὧδε τὰ ἀμφὶ

20. Quin etiam una cum unguibus pili in capite radices accipiunt, eorumque natura ita

[1] ὑπό. — [2] πιώτατον. — [3] καὶ αἱ. — [4] τε. — [5] κἂν.

μελέων esse accusativum pendentem ab antecedente διαρθρωθῇ, ita ut τὸ παιδίον dicatur διαρθροῦσθαι τὰ εἴδεα τῶν μελέων. Est sane perfamiliaris in Graecorum scriptis eiusmodi structura, neque de illa monerem, nisi factum esset, ut aliquando lacunam esse existimarem post αὐξομένου αὐτοῦ. Nimirum putabam τὰ εἴδεα τῶν μελέων esse principium apodosios, quia in Littréi editione post παιδίον commate distinguitur. Lacunam igitur esse opinatus eo, quem significavi, loco legere volebam ὁκόταν δὲ διαρθρωθῇ τὸ παιδίον, τὰ εἴδεα τῶν μελέων ἐπιφανέστερα τά τε ὀστέα ἐπισκληρότερα γίγνεται καὶ κοιλαίνεται καὶ τοῦτο ὑπὸ τοῦ πνεύματος γίνεται· κ. τ. λ. — Sed postea longe aliter sentire coepi atque animadverti me prope abfuisse, quin minus recta loci interpunctione in pessimum errorem inducerer et moverem quae minime tangenda sunt.

καὶ χρόνῳ — τῶν ποδῶν.] καί ante οὕτω de meo adscripsi; sin οὕτω δὲ καί malis, non adversor.

ἐπὶ δ' αὖ — μάλιστά ἐστι.] Ante ἐπί Littr. recepit καί, quod H. in marg. habet, sed al. m.; mihi minime recipiendum videtur. Vulgo αὐτῶν τῶν ἄκρων, sed αὖ τῶν ἄκρων C. E. H. Marc., Littr.; — τῶν χειρῶν καὶ τῶν ποδῶν cod. π., sed paulo post etiam crura ante brachia memorantur; — εἰσιν αἱ ἐν τῷ σώματι φλ. ceteri; — καὶ αἱ ἐν τῇ κεφ. Ald. et codd. plerique Littréi et Marc. Voss.; vulgo καί abest; — de meo interposui αἱ ante ἐν τοῖσι σκέλεσι; — ἐν τοῖσι βραχ. C. J., ἐν τοῖσι πηχ. C.; — καὶ πλεῖστα om. Marc.; — καὶ ὀστέα — μεγέθει omm. C. H., ubi rest. al. m., δ. π.; — post μεγέθει ferunt καὶ πυκνότατα καὶ πλεῖστα H., alia m., E., Marc.; — καὶ τοῖσι δακτύλοισι C. I. J.

ἐκ δὲ τῶν — εἰσί.] καὶ σμικρά nonnulli codd. et Lind., Mack.; vulgo οὕτως οἱ ὄνυχες φύονται ἐξ αὐτῶν, sed Lind., Mack.: οὕτως. Οἱ δ' ὄνυχες κ. τ. λ. — Et loci orationem perplexam esse recte vidit Lind., sed me iudice οὕτως et ἐξ αὐτῶν pro emblematis alienis repudianda sunt. quod si feceris omnia facile procedunt. Porro αὔξεσθαι αὐτάς vulgo, sed ego otiosum pronomen abiicio; — ἔξωθεν τοῦ σωμ. E. H. al. m., K. O. π.; — εἰσὶ ἐκ γὰρ τῶν πυκνοτάτων εἰσί vulgo, sed postremum omm. E. H., ubi alia m. rest., C. J. δ.; — mihi additamentum alienum videtur esse.

20. ἅμα δὲ τοῖσι — ἔχει.] ἄνω H., qui ἅμα al. m.

τῶν τριχῶν τῆς φύσιος· φύονται μὲν γὰρ μέγισται καὶ πλεῖσται, ὅκου τοῦ σώματος ἡ ἐπιδερμὶς ἀραιοτάτη ἐστὶ καὶ ὅκου ἡ θρὶξ μετρίην ἰκμάδα ἐς τὴν τροφὴν ἔχει. Καὶ [1] ὅκου ἡ ἐπιδερμὶς ὕστερον ἀραιὴ γίγνεται, ἐκεῖ καὶ ὕστερον αἱ τρίχες φύονται ἐπί τε τῷ γενείῳ καὶ τῇ ἥβῃ καὶ εἴ που ἄλλοθι. Ἅμα [2] γὰρ τῷ γόνῳ γιγνομένῳ ἡ σὰρξ ἀραιὴ γίγνεται καὶ ἡ ἐπιδερμὶς καὶ τὰ φλέβια στομοῦται μᾶλλον ἢ ἐν τῷ πρὶν χρόνῳ· παιδὶ γὰρ ἐόντι [3] λεπτῶν τῶν φλεβίων ἐόντων οὐκ ἐκχωρέει δι' αὐτῶν ἡ γονή· καὶ τῇσι παρθένοισι περὶ τῶν καταμηνίων ωὑτὸς λόγος· ἅμα δὲ ὁδὸς προσγίγνεται καὶ τοῖσι καταμηνίοισι καὶ τῇ [4] γονῇ καὶ τριχοῦται ἡ ἥβη τοῦ παιδὸς καὶ τῆς παρθένου, ἀραιῆς τῆς ἐπιδερμίδος γενομένης· καὶ ἅμα ἡ θρὶξ ἰκμάδα μετρίην ἐς [5] τὴν τροφὴν ἔχει καὶ οὐκ ἐλάσσονα. Οὕτω δὲ καὶ [6] ἐπὶ τοῦ γενείου τοῦ ἀνδρὸς ἔχει· ἀραιὴ γὰρ γίγνεται ἡ ἐπιδερμὶς, χωρεούσης ἐς αὐτὴν τῆς ἰκμάδος ἀπὸ τῆς κεφαλῆς· ἅμα μὲν γὰρ [7] ἐν τῇ λαγνείῃ, ἅμα δὲ καὶ ἐν τῷ μεταξὺ χρόνῳ ἡ θρὶξ μετρίην ἔχει τὴν ἰκμάδα ἐς τὴν τροφὴν τότε μάλιστα, ὁκόταν χρόνος ἐγγένηται τῷ ὑγρῷ τῷ ἀπὸ τῆς κεφαλῆς καταβαίνοντι ἐν τῇ λαγνείῃ, ἀπέχοντι ἀπὸ τῶν στηθέων, ἐπὶ τὸ γένειον. Σημήϊον δὲ ὅτι ἐν τοῖσι ἀραιοτάτοισι τῆς ἐπιδερμίδος φύονται αἱ τρίχες· εἴ τις ἐθέλοι ἐπικαῦσαι τὴν ἐπιδερμίδα καὶ φλύκταιναν μοῦνον ποιῆσαι καὶ [8] ὑγιάσαι, πυκνὴ γενομένη ἡ ἐπιδερμὶς κατὰ τὴν οὐλὴν

se habet: Nascuntur quidem maximi et plurimi, qua summa corporis cuticula rarissima est, et ubi pilus moderatum habet humorem, quo nutriatur. Ac sicubi summa cuticula postea rara evadit, ibi postea quidem pili nascuntur, veluti in mento, pube, aliisque locis. Nam simul ac genitale semen oritur, caro et extrema cuticula rarior evadit, venulaeque magis quam antea aperiuntur. Cum enim adhuc puer est, venulaeque tenues exsistunt, neque per eas genitura ferri potest; eademque ratio est de mensibus virginum. At simul ac mensibus et geniturae via patet, puero et virgini extrema cuticula rarescente, pilus in pube nascitur, simulque moderatum, neque pauciorem, quo alatur, humorem habet. Ad eundem modum de pilo in viri mento se res habet: rarescit enim summa cuticula, delato in eam a capite humore; si quidem simul et in coitu et intermedio tempore moderatum humorem, quo nutriatur, pilus habet; tumque maxime cum humor in coitu a capite descendens in mento longe a pectore restiterit, ibique moram fecerit. In rarissimis autem summae cuticulae partibus pilos enasci indicio est, quod si inusta extrema cuticula pustulam solum excites eamque persanaveris, ubi summa cutis densior evaserit, nullum ex cicatrice pilum emittet. Qui vero aetate puerili eunuchi fiunt, eam ob causam neque in pube, neque in mento pilos habent, levesque toti sunt, quod cum nondum via geniturae facta sit, nusquam rarescit summa superficiei cuti-

[1] ὅκου ὕστερον omissis intermediis.. — [2] γάρ om. — [3] καὶ τῶν φλεβίων λεπτῶν ἐόντων. — [4] γονῇ τῇσι παρθένοισι καὶ τρ. — [5] τήν om. — [6] ἡ ἐπί. [8] καὶ ἐν. — [7] ὑγιῆναι.

fert, I. J. O. δ.; — μέν. omm. C. ξ. Marc.; — ἴσχει C. ξ.

καὶ ὅκου — ἄλλοθι.] ἐκεῖ om. X., καὶ ὅκου pro ἐκεῖ καί Ald., Parr. multi, ξ. π. Marc.; — καὶ τῇ ἥβῃ om. Lind.

ἅμα γὰρ — ἐλάσσονα.] τοῦ γόνου γινομένου al. m. H.; — στομοῦται e pluribus codd. Littr. pro vulgato στομοῦνται, etiam Marc. στομοῦνται; — ἐόντι καὶ τῶν φλεβίων λεπτῶν, vulg. — ἐόντι λεπτῶν τῶν φλεβίων, C., ξ. sine τῶν, Marc., Littr.; — ἐκχωρέει C. Marc., Littr., ἐγχ. vulgo. Post γονῇ vulg. τῇσι παρθ. (cf. lectt. Voss.), quas voces reiecit Littr; — γενομένης C. ξ. Marc., Littr. ubi vulg. γινομ.

οὕτω — ἐπὶ τὸ γένειον.] καὶ ἡ ἐπί vulg., καὶ ἐπί C., E. H. K. π. Littr.; — τότε δὲ μάλιστα Zuing. in marg., Lind., Mack.; — ὁκόταν ὁ χρόνος vulg., ὁκόταν χρόνος C. ξ. Marc., quos sequor; — ἀπέχων (ἀπέχον Ald., Parr. multi, ἀπέχοντι coniicit Foës.) (addunt ἀπό multi codd. apud Littr., Marc.) τῶν στηθέων vulg.; — ἐν τῇ λαγνείῃ ἐπὶ τὸ γένειον καὶ ἀπέχοντι ἀπὸ τῶν στηθέων Lind.; — ὁκόταν τῷ ὑγρῷ ἐν τῇ λαγνείῃ ἀπὸ τῆς κεφαλῆς καταβαίνουσι ἐπὶ τὸ γένειον, ὁ χρόνος ἐγγένηται ἀπέχοντι τῶν στηθέων Mack.; Littréus legit ἀπεχόντων τῶν στηθέων, quod quid in hoc ratiocinationis cursu sibi velit, non satis capio. Equidem cum Lind. et Mackio ad Foësii ἀπέχοντι confugio.

σημήϊον — ἐκφύσει.] σημεῖον E.; — θέλοι J. μοῦνον C. ξ. Marc., Littr., μόνον vulg., ὑγιῆσαι Lind., ὑγιάσαι de meo; — τάς om. K.; — ἐκφύσει C. ξ. Littr., ἐκφύσεται vulg.

τὰς τρίχας οὐκ [1] ἐκφύσει. Ὁκόσοι δὲ εὐνοῦχοι παῖδες ἐόντες γίγνονται, διὰ τοῦτο οὔτε ἡβῶσι, οὔτε γενειῶσι, λεῖοί τε γίγνονται ὅλοι, ὅτι ἡ ὁδὸς τῇ γονῇ οὐκ ἐπιγενομένῃ οὐκ ἀραιοῖ τὴν ἐπιδερμίδα ἐπὶ τῷ ξύμπαντι σώματι· ἀπολέλαπται γὰρ ἡ ὁδὸς τῆς γονῆς, ὥσπερ μοι εἴρηται ὀλίγῳ πρότερον. [2] Καὶ αἱ γυναῖκες δὲ λεῖαι γίγνονται τό τε γένειον καὶ [3] τὸ σῶμα, ὅτι ἐν τῇ λαγνείῃ σφέων τὸ ὑγρὸν οὐχ ὁμοίως κλονεόμενον ὡς τὸ τοῦ ἀνδρὸς τὴν ἐπιδερμίδα οὐ ποιέει ἀραιήν. Ὁκόσοι δὲ φαλακροὶ γίγνονται, οὗτοι δὴ φλεγματώδεές εἰσι· καὶ ἐν τῇ κεφαλῇ αὐτῶν ἅμα τῇ λαγνείῃ κλονεόμενον καὶ θερμαινόμενον τὸ φλέγμα, [4] προσπῖπτον πρὸς τὴν ἐπιδερμίδα καίει τῶν τριχῶν [5] τὰς ῥίζας καὶ ἐκρέουσι αἱ τρίχες· οἱ δὲ εὐνοῦχοι διὰ τοῦτο οὐ γίγνονται φαλακροὶ, ὅτι σφέων οὐ γίγνεται κίνησις ἰσχυρὴ, οὐδὲ θερμαινόμενον τὸ φλέγμα ἐν τῇ λαγνείῃ καίει τῶν τριχῶν τὰς ῥίζας. Αἱ δὲ πολιαὶ διὰ τοῦτο γίγνονται, ὅτι ἐν [6] πολλῷ χρόνῳ διϊκνευμένου τοῦ ὑγροῦ ἐν τῷ ἀνθρώπῳ, ἀποκρίνεται τὸ λευκότατον καὶ πίπτει πρὸς τὴν ἐπιδερμίδα· καὶ ἡ θρὶξ λευκοτέρην ἰκμάδα ἕλκουσα ἢ ἐν τῷ πρὶν χρόνῳ λευκοτέρη γίγνεται [7] καὶ ἡ ἐπιδερμὶς, ὅκου αἱ πολιαί εἰσι, λευκοτέρη τῆς ἄλλης γίγνεται· καὶ ὁκόσοι ἐκ γενετῆς πολιόν τι ἔχουσι ἐν τῇ κεφαλῇ, κείνοισι ἡ ἐπιδερμὶς, ὅκου αἱ πολιαί εἰσι, λευκοτέρη τῆς ἄλλης [8] ἐστί· ἐκεῖ γὰρ τὸ λευκότατον ὑγρόν ἐστι. Ἔχει δὲ καὶ τόδε ὧδε· ὁκοίην ἂν ἡ σὰρξ ἰκμάδα ἕλκῃ, [9] ἥν τε λευκὴν ἥν τε πυρρὴν ἥν τε μέλαιναν, τοιαύτη τὴν χροιὴν καὶ ἡ

cula. Nam quemadmodum paulo ante a me dictum est, intercepta est geniturae via. Mulieres autem mento et toto corpore glabrae sunt, quod ipsis in actu venereo non perinde agitatus humor ac viris summam cuticulam raram efficere nequeat. At qui calvescunt, ii sane pituita redundant, quod per coitum in eorum capite agitatum et incalescens in summam cuticulam illapsum pilorum radices exurit, ita ut pili effluant. Eunuchi autem eam ob causam non calvescunt, quod neque vehementius moveantur, neque pituita in coitu incalescens pilorum radices exurat. Cani autem ob id fiunt, quod longo tempore permeante in homine humido, id quod candidissimum est secernitur et in summam cuticulam illabitur, ita ut attracto candidiore humore pilus quam antea candidior evadat, ipsaque summa cuticula eo praesertim loco, ubi cani sunt, quam quovis alio candidior exsistit. Quique a prima origine canos habent in capite, illis summa cuticula ubi cani sunt, quam alia quaevis candidior est, quod illic albissimus humor inest. Sic autem se res habet. Qualem humorem caro attraxerit, sive album, sive flavum, sive nigrum, talem etiam colorem capillus habet. Ac de his quidem hactenus. Deinceps vero quod est reliquum persequar.

[1] ἐκφύεται. — [2] αἱ δὲ γυν. sine καί. — [3] τό om. — [4] προσπῖπτον πρὸς τὴν ἐπιδ. abest. — [5] τὰς ῥίζας οἷα δὴ ὡς προσπῖπτον πρὸς τὴν ἐπιδερμίδα καὶ ἐκρ. — [6] πολλῷ om. — [7] ἥ τε ἐπιδ. sine καί et tum pergit καὶ μᾶλλον ὅκου αἱ πολλαὶ εἰσί omissis intermediis. — [8] γίνεται. — [9] ἥν τε λευκήν om.

ὁκόσοι — πρότερον.] διὰ τοῦτ' οὐδ' ἡβῶσιν cod. ξ. Marc.; — ἀραιεῖ C.; — ἐπὶ τῷ ξύμπαντι δέρματι vulg., σώματι in his Zuing. et Marc. in marg.; puto esse coniecturam, sed eam recipiendam esse arbitror; — ἀπολέληπται vulg., ἀπολέλαπται C. I. J. ξ. Marc., Littr.; idem autem latet in aliorum librorum scriptura ἀπολέλειπται.

καὶ αἱ γυναῖκες — ἀραιήν.] καὶ αἱ γυναῖκες C. ξ. Marc., Littr., καί om. vulg., et αἱ δὲ γυναῖκες fert.

ὁκόσοι δὲ — ῥίζας.] οὗτοι δὲ φλεγματώδεες cod. ξ., Marc.; — καὶ προσπῖπτον E. K. X.; — προσπῖπτον πρὸς τὴν ἐπιδ. omm. Parr. nonnulli; — τριχῶν τὴν ῥίζαν Marc. Post τὰς ῥίζας ferunt οἷα δὴ ὡς προσπίπτον πρὸς τὴν ἐπιδερμίδα F. G. H., in quo erasum al. m., I. J. O., cf. lectt. V.; — γίγνονται C., γίνονται cett.

αἱ δὲ πολιαὶ — ὑγρόν ἐστι.] καὶ αἱ πολιαί X.; — ἔχουσα pro ἕλκουσα C. ξ.; — καί ante ἡ ἐπιδ. omm. H., ubi alia m. restit., J., X.; — ante ὅκου vulgata fert καὶ μᾶλλον, quod omm. C. ξ. Marc.; — καὶ ὁκόσοι — ἐστί omm. H., ubi al. m. rest., I. J.; — ἐκ γενεῆς Marc., sed al. m. γενετῆς.

ἔχει δὲ — γίγνεται.] ἥν τε λευκήν omm. H., ubi al. m. rest., I. J.; — ἥν τε πυρρήν omm. E., ubi rest. al. m., π.

θρὶξ γίγνεται. Ταῦτα δέ μοι ἐς τοῦτο εἴρηται. Ἐλεύσομαι δὲ αὖθις ἐς τὸ [1]ἐπιλιπὲς τοῦ λόγου.

κα΄. Ὅταν δὲ δὴ τὰ ἄκρα τοῦ σώματος τοῦ παιδίου ὀζωθῇ ἔξω καὶ οἱ ὄνυχες καὶ αἱ τρίχες ῥιζωθῶσι, τότε δὴ καὶ κινέεται καὶ ὁ χρόνος ἐς τοῦτο γίγνεται τῷ μὲν [2]ἄρσενι τρεῖς μῆνες, τῇ δὲ θηλείῃ τέσσαρες· ὧδε γὰρ [3]ὡς ἐπιτοπλεῖστον ξυμβαίνει· ἔστι δὲ ἃ καὶ πρόσθεν τῶν παιδίων τούτου τοῦ χρόνου [4]κινέεται. Κινέεται δὲ πρόσθεν τὸ ἄρσεν ὅτι ἐστὶ ἰσχυρότερον τοῦ θήλεος· καὶ [5]πρόσθεν πήγνυται τὸ ἄρσεν, ἀπὸ γὰρ ἰσχυροτέρης καὶ παχυτέρης γονῆς γίγνεται. Ὁκόταν δὲ κινηθῇ τὸ ἔμβρυον, τότε δὴ καὶ τὸ γάλα ἐπισημαίνει τῇ μητρί· οἱ γὰρ μαζοὶ [6]ἀείρονται καὶ αἱ θηλαὶ ὀργῶσι· τὸ δὲ γάλα οὐ χωρέει· καὶ τῇσι μὲν πυκνοσάρκοισι τῶν γυναικῶν ὕστερον τὸ γάλα ἐπισημαίνει καὶ ἔρχεται, τῇσι δὲ ἀραιοσάρκοισι πρόσθεν. Δι᾽ ἀναγκαίην δὲ τοιήνδε γίγνεται τὸ γάλα· ὁκόταν αἱ μῆτραι ὀγκηραὶ ἐοῦσαι ὑπὸ τοῦ παιδίου πιέζωσι τὴν κοιλίην τῆς γυναικὸς, [7]τῆς δὲ κοιλίης πλήρεος ἐούσης ὁ [8]ἐκπιεσμὸς γένηται, [9]ἀποπιδύει τὸ πιότατον ἀπό τε τῶν [10]βρωτῶν καὶ τῶν ποτῶν ἔξω ἐς τὸ ἐπίπλοον καὶ τὴν σάρκα· ὥσπερ δέρμα εἴ τις ἀλείψειε ἐλαίῳ πολλῷ καὶ ἐῴη ἀναπιεῖν, καὶ, ἐπὴν ἀναπίῃ, πιέζοι τὸ δέρμα, [11]διαπιδύοι ἂν πιεζομένου τοῦ δέρματος ἔξω τὸ ἔλαιον· οὕτω δὲ καὶ τῆς κοιλίης τὸ πιαρὸν ἐν ἑωυτῇ ἐχούσης ἀπὸ τῶν βρωτῶν καὶ τῶν ποτῶν, πιεζο-

21. Postea autem quam summae corporis pueri partes ramos foras emiserint, unguesque ac capilli radices egerint, tunc sane etiam movetur: ad idque masculo trium mensium tempus conceditur, foemellae vero quatuor. Sic enim ut plurimum fit, etsi etiam quidam pueri ante hoc tempus moventur. Prius autem mas movetur, quod foemellâ sit robustior; prius quoque còncrescit masculus, cum ex validiore et crassiore genitura constet. Cum autem foetus movetur, etiam lac de se significationem matri exhibet. Mammae enim attolluntur et papillae turgescunt, neque tamen lac prodit. Et mulieribus quidem, quae denso sunt corporis habitu, tardior est lactis significatio seriusque fertur, citius vero his, quae rarum habent corporis habitum. Lac autem hac de causa necessario gignitur: cum uterus foetu intumescens mulieris ventrem comprimit, si eo pleno compressio illa accidat, quod in cibo et potu est pinguissimum foras in omentum et carnem prosilit. Ac veluti si corium copioso oleo perunctum quis imbibi sinat, eoque imbibito corium premat, quo compresso foras oleum promanaverit, sic certe ubi venter pinguedinem a cibis et potibus continet et ab utero comprimitur, quod pingue est in omentum et carnem transit. Atque si raro habitu mulier fuerit, hanc exsudationem facilius percipit, sin minus, tar-

[1] ἀπολειπές. — [2] ἀρσενικῷ. — [3] ὡς abest. — [4] κινέεται om. — [5] πρῶτον. — [6] αἴρονται. — [7] τῆς δ᾽ ὁκόταν πλήρεες κ. τ. λ. — [8] πιεσμός. — [9] ἀποπηδᾷ codd. — [10] τροφῶν. — [11] διαπηδοίη.

ταῦτα — λόγον.] ἀπολειπές vulg., etiam Marc., ἐπιλιπές J.; — ἐπιλειπές Zuing. in marg., Littr.; — ἀπολιπές C. ξ.

21. ὅταν δὲ — κινέεται.] ἐρριζώθησαν codd. et edd.; recepi ῥιζωθῶσι, quod dandum esse iam Littréus vidit; — ὡς ἐπιτοπλ. E., H. al. m., K. O. P.′ Q.′ π.; — ἔστι δὲ ἃ C. Marc., ἔστι δ᾽ ἃ vulgata.

κινέεται — γίγνεται.] γίνεται pro κινέεται C.; — tum πρόσθεν C. ξ. Zuing. in marg., Marc., Littr., pro vulgato πρῶτον; — τὸ ἄρσεν τοῦ θήλεος Zuing. in marg.; — καὶ πρῶτον πήγνυται vulg., sed πρόσθεν C., H. al. m., Marc., Littr.; — post γίγνεται C. ξ. Marc. τὸ ἄρσεν τοῦ θήλεος.

ὁκόταν — πρόσθεν.] ἐπισημαίνει καὶ τὸ γάλα vulgata; dedi ordinem verborum ex C. ξ. Marc.; — ἀείρονται al. m. in marg. H., Littr., vulgatam e V. notavi; — pro ὀργῶσι nonnulli libri ἀραιαὶ γίνονται; — codd. nonnulli καὶ ἐξέρχεται.

δι᾽ ἀναγκαίην — σάρκα.] διαναγκάζειν C. I. ξ., δι᾽ ἀναγκαίην Marc., corrector vero ἀνάγκην. — Vulgo τῆς δ᾽ ὁκόταν; in Kühniana ὁκόταν uncinis interseptum est; mihi Littréi emendatio κοιλίης pro ὁκόταν legentis recipienda visa est. — Porro ἐκπιεσμός E., H. al. m., K. P.′ π.; — γίνεται J.; — Littréus ἀποπιδύει cett. scripsit, ubi libri formas a πηδάω ferunt; illum secutus sum, quemadmodum feci Epid. V. 16. — Dein ἀπό γε Littr. de suo, sed τε non est tangendum; — ἐῴηι ἀναπιεῖν Marc., ἀναπίνειν cod. X.; — πιέζῃ vulgo, πιέζοι Parr. 4. ξ., πιεζέοι C. O.; — διαπηδοίη C., διαπηδοίοι H. J. Marc., in quo manifesto latet

μένης ὑπὸ τῶν μητρέων, [1] *διαπιδύει τὸ πῖαρ ἐς τὸ ἐπίπλοον καὶ ἐς τὴν σάρκα.* [2] *Κὴν ἀραιόσαρκος ἔῃ ἡ γυνὴ, θᾶσσον αἰσθάνεται τῆς* [3] *διαπιδύσιος· ἢν δὲ μὴ, ὕστερον. Καὶ τὰ ἐν γαστρὶ ἔχοντα κτήνεα, ἢν μή τι νοσέῃ, ὑπὸ τοῦ αὐτοῦ ποτοῦ καὶ σίτου πιότερα γίγνεται διὰ τοῦτο· ὁμοίως δὲ καὶ ἡ γυνή. Ἀπὸ γὰρ τοῦ πίονος διαθερμαινομένου καὶ λευκοῦ ἐόντος τὸ γλυκαινόμενον ὑπὸ τῆς θέρμης τῆς ἀπὸ τῶν μητρέων ἀποθλιβόμενον ἔρχεται ἐς τοὺς μαζούς· καὶ ἐς τὰς μήτρας δὲ ὀλίγον ἔρχεται διὰ τῶν αὐτέων φλεβῶν· τείνουσι γὰρ ἐς τοὺς μαζοὺς καὶ ἐς τὰς μήτρας φλέβια* [4] *ταὐτά τε καὶ παραπλήσια ἄλλα. Καὶ ὁκόταν ἀφίκηται ἐς τὰς μήτρας, ἰδέην ἴσχει τοῦ γάλακτος καὶ τὸ παιδίον ἀπ' αὐτοῦ ἐπαυρίσκεται ὀλίγον, οἱ δὲ μαζοὶ δεχόμενοι τὸ γάλα* [5] *ἀείρονται πιμπλάμενοι· καὶ ὁκόταν τέκῃ, ἀρχῆς κινήσιος ὑπογενομένης, χωρέει τὸ γάλα ἐς τοὺς μαζοὺς, ἢν θηλάζῃ. Ἔχει γὰρ οὕτω· θηλαζομένοιν τοῖν μαζοῖν εὐροώτερα γίγνεται τὰ φλέβια ἐς τοὺς μαζούς· εὐροώτερα δὲ γενόμενα ἀπὸ τῆς κοιλίης ἕλκοντα τὸ πιαρὸν τοῖν μαζοῖν διαδιδόασι. Καὶ* [6] *γὰρ καὶ ὁ ἀνὴρ ἢν λαγνεύῃ* [7] *πολλὰ, εὐροώτερα γιγνόμενα τὰ φλέβια μᾶλλον ἐπάγει τὴν λαγνείην.*

dius. Quin et pecora cum uterum gerunt, nisi morbo aliquo laborent, potu ciboque eodem pinguiora evadunt, itidemque mulier. Pingui namque incalescente et candido effecto, quod uteri calore edulcatum est in mammas expressum tendit et in uterum quoque exigua portio per easdem venas fertur. Ad mammas enim et uterum eaedem venulae tendunt et similes aliae. Cumque ad uterum pervenerit, lactis formam habet eoque exiguo puer fruitur. Mammae vero ubi lac exceperint, attolluntur et implentur. Atque ubi mulier pepererit, suborto motus initio lac in ipsas mammas fertur, si puerum lactaverit. Sic enim se res habet: dum mammae exsuguntur, venae, quae ad eas tendunt, ampliores redduntur et ampliores effectae quod pingue est a ventre attrahunt et in mammas transmittunt. Vir enim si venerem crebro exerceat, ampliores venae redditae semen magis attrahunt.

κβ'. Ἔχει δὲ καὶ τόδε ὧδε· ἡ τροφὴ καὶ ἡ αὔξησις τῶν παιδίων γίγνεται, ὅκως ἂν ἐν τῇσι μήτρῃσι ἔῃ τὰ ἀπὸ τῆς μητρός· καὶ ὅκως ἂν ἡ μήτηρ ἔχῃ ὑγιείης ἢ ἀσθενείης,

22. Quin etiam haec res se habet ad hunc modum, incrementum foetuum fit pro ratione qua se habet id quod a matre in utero adest et prouti mater se habet, sive quod attinet ad

[1] *διαπηδᾷ.* — [2] *κἂν.* — [3] *διαπηδήσιος* codd. — [4] *ταῦτα.* — [5] *αἴρονται.* — [6] *γὰρ καί* abest. — [7] *πολλῷ.*

διαπιδύοι; — vulg. *διαπηδᾷ*, Littr. *διαπιδύει*. Tum cett. omnes *πιεζευμένου* et mox *πιεζευμένων*; item reliqui *ἐν αὐτῇ ἐχούσης*. — Articulum ante *πῖαρ* omm. E. *π.*, *πιαρόν* O.; *ἐς* ante *τὴν σάρκα* om. C.

κὴν — ὕστερον.] *κήν* libri sex Littréi, hic ipse, Marc., *κἄν* vulg.; — *εἴη* C.; — *διαπηδήσιος* vulg., *διαπιδύσιος* Littr.; — *εἰ δὲ μή* C. Marc.

καὶ τὰ — γυνή.] *ποτοῦ ἢ σίτου* libri aliquot apud Littr. et Marc.; — *πιώτερα* H. O.

ἀπὸ — ἄλλα.] *γάρ* omm. Ald., codd. multi apud Littréum, Marc., ipse Littr.; mihi non abiiciendum videtur. Porro *τοῦ* ante *πίονος* om. C.; — *καί* ante *λευκοῦ* om. J.; — *τό* ante *γλυκαινόμ.* omm. Ald., Parr. multi, Marc.; — *λευκαινόμενον* pro *γλυκαιν.* (E. cum *τε* post *λευκαιν.* et *γλυκαινόμενον* supra versum al. m.) X. P.' Q.' Post *γλυκαινόμ.* addunt *τε* H. al. m. et K.; — *ἀπὸ τῆς θέρμης* vulg., *ὑπό* de meo; — *αὐτῶν φλ.* C. ξ.; — *γάρ* post *τείνουσι* om. X.; — *ταῦτά τε* C. H. Mack.

καὶ ὁκόταν — θηλάζῃ.] *ἰδέην ἴσχει* omm. multi libri apud Littr., Ald., Marc. Post *γάλακτος* Lind. *καὶ ἀείρονται*; — *καί* ante *τὸ παιδίον* omm. Ald., Parr. multi, Marc.; — *τὸ δέ* pro *καὶ τό* Lind.; — *ἀπαυρίσκέται* libri nonnulli, *ἐπαυρίσκεται ἀπ' αὐτοῦ* E. X. *π.*; — *ἀείρονται* E., H., al. m. in marg., X. P.' *π.*, *αἴρονται* vulg.; — *ἐς τοὺς μαζοὺς τούτους* vulg., ego otiosum *τούτους* abiicio.

ἔχει — διαδιδόασι.] *θηλαζομένων τῶν μαζῶν* aliquot mss.; — *καί* pro *εὐροώτ. δὲ γενόμενα* X.; — *γινόμενα* pauci codd.

καὶ — λαγνείην.] *καὶ γὰρ ἀνὴρ, ἢν κ. τ. λ.* C. ξ. Marc.; — *γίνεται* pro *γινόμενα* C., ξ., Zuing. in marg.; — *καὶ μᾶλλον* C., ξ., Zuing. in marg.

22. *ἔχει δὲ — ἔχει.*] *ὁκόταν ἐν τῇσι μήτρῃσι ἴῃ* (*εἴη* C. Zuing.) vulg., — Littréus dedit *ὅκως ἂν τῇσι μήτρῃσι ἴῃ τὸ ἀπὸ τῆς μητρός*; mihi *ἐν* non negligendum videtur, sed quum *ἰέναι ἐν τῇσι μήτρῃσι* pariter incongruum sit atque

[1] ὧδε καὶ τὸ παιδίον ἔχει. Ὥσπερ καὶ τὰ ἐν τῇ γῇ φυόμενα τρέφεται ἀπὸ τῆς γῆς καὶ ὅκως ἂν ἡ γῆ ἔχῃ, οὕτω καὶ τὰ φυόμενα ἔχει ἐν τῇ γῇ· τό τε γὰρ σπέρμα ὁκόταν καταβληθῇ ἐς τὴν γῆν, ἰκμάδος [2] πίμπλαται ἀπ' αὐτῆς· ἔχει γὰρ ἐν ἑωυτῇ ἡ γῆ ἰκμάδα παντοίην ὥστε τρέφειν τὰ φυόμενα· ἰκμάδος δὲ πλησθὲν τὸ σπέρμα φυσᾶται καὶ οἰδέει· καὶ ἀναγκάζεται ὑπὸ τῆς ἰκμάδος ξυστρέφεσθαι ἡ δύναμις, ἥ ἐστι κουφοτάτη ἐν τῷ σπέρματι. Ξυστραφεῖσα δὲ ἡ δύναμις ὑπὸ τοῦ πνεύματος καὶ τῆς ἰκμάδος, φύλλα [3] γενομένη ῥήγνυσι τὸ σπέρμα· καὶ ἀνατέλλει [4] ἔξω πρῶτον τὰ φύλλα. Ἀνατείλαντα δὲ ὁκόταν μηκέτι δύνηται τρέφεσθαι ὑπὸ τῆς ἰκμάδος τῆς ἐν τῷ σπέρματι ἐνεούσης, [5] ῥήγνυταί τε ἐς τὸ κάτω τὸ σπέρμα καὶ βιώμενον ὑπὸ τῶν φύλλων μεθίησι τῆς δυνάμιος ἐς τὸ κάτω ἣ ἐν αὐτῷ ὑπολείπεται διὰ τὴν βαρύτητα, καὶ γίγνονται αἱ ῥίζαι ἐκ τῶν φύλλων διατεταμέναι. Ὁκόταν δὲ κάτω βεβαίως ῥιζωθῇ τὸ φυὲν καὶ τὴν τροφὴν ἀπὸ τῆς γῆς ποιέηται, τότ' ἤδη ἠφάνισται πᾶν καὶ ἀνήλωται ἐς τὸ φυὲν, πλὴν τοῦ λεπυρίου, ὅτι στερεώτατόν ἐστι· αὖτις δὲ τὸ λεπύριον σαπὲν ἐν τῇ γῇ ἄδηλον γίγνεται· χρόνῳ δὲ καὶ ὀζοῦταί τινα τῶν φύλλων. Ἐκ σπέρματος γοῦν ἅτε ἀφ' ὑγροῦ γενόμενον, ἕως μὲν ἁπαλὸν ἔῃ καὶ ὑδαρὲς, ἐς αὔξησιν [6] ὡρμημένον καὶ ἐς τὸ κάτω καὶ ἐς τὸ ἄνω, οὐ δύναται τὸν καρπὸν [7] ἐκβάλ-

sanitatem, sive ad valetudinem adversam, ita se habet etiam puer. Quemadmodum quae a terra gignuntur e terra nutriuntur, quae et eodem, quo terra, se habent modo. Semen enim cum in terram demissum fuerit, humore ab ipsa impletur, cum cuiusvis generis humorem terra in se contineat, quo quae ex ea nascuntur nutrire possit. At semen humoris plenum flatu distenditur et intumescit et vis, quae in semine levissima est, ab humore cogitur, illaque vi spiritus coacta et humore in folia verso semen rumpit et primum folia foras emergunt. Quae cum emerserint, ubi amplius ab humore, qui in semine inest, nutriri non possunt, semen versus inferiora rumpitur et a foliis coactum partem facultatis deorsum demittit, quae ei relicta est propter suam gravitatem, et nascuntur radices e foliis dependentes. Ubi vero planta firmas radices in terram iecerit, ex eaque alimentum sumpserit, tum sane totum evanescit et in plantam, excepto cortice, qui solidissimus est, absumitur. Qui rursus etiam in terra putrescens progressu sane temporis evanescit et folia quaedam in ramos finduntur. Ex semine igitur, utpote ex humido, ortum, quamdiu quidem molle et aquosum fuerit, ad incrementum tum inferiore tum superiore parte fertur et nullum fructum edere potest. Neque enim facultas valida et pinguis inest, ut ex ea semen cogatur. Ubi vero temporis successu magis solida facta plantula fuerit et firmiores

[1] ὧδε om. — [2] τινὸς ἐμπίπλαται. — [3] γενομένης. — [4] πρῶτον ἔξω. — [5] ῥήγνυταί τε. — [6] ὡρμημένον. — [7] ἐκβαλεῖν.

ἰέναι τῇσι μήτρῃσι, dedi ἔῃ, pro ἴῃ; neque enim aliud quidquam congruum est. In seqq. καί ante ὅκως om. O.; — ἔχοι J.; — καὶ ἀσθενείης C. Marc.; — ὧδε omm. F., G., H., ubi al. m. rest., I., J., cf. lectt. Voss.

ὥσπερ — σπέρματι.] ἡ γῆ ἔχοι J.; — ἔχει καὶ τὰ ἐν τῇ γῇ C. Marc., sed in hoc manus sec. delevit καὶ τά; — ἰκμάδος τινός vulg., sed τινός omm. C. ξ. Marc., Littr.; πίμπλαται Ald. multi codd. Littréi, hic ipse, Marc., ἐμπίμπλαται vulg.; — ἀπὸ τῆς γῆς pro ἀπ' αὐτῆς C. ξ. Marc.; — ἐν αὐτῇ vulg., de meo ἑωυτῇ scripsi.

ξυστραφεῖσα — φύλλα.] γενομένη C. ξ. Marc., Littr., γενομένης vulgo; — ἔξω πρῶτον C. ξ. Littr., vulgatam e V. notavi.

ἀνατείλαντα — διατεταμέναι.] ὅταν O.; — τὰ φύλλα omnes post τρέφεσθαι, mihi emblema alienum est visum; — τε, quod vulg. fert post ῥήγνυται (cf. lectt. Voss.), omittunt E. H. K. π. Littr.; — sed dein τό τε σπέρμα καὶ τὰ φύλλα legitur, ubi ego τε eximo et τὰ φύλλα deleo: nempe τε post ῥήγνυται me impulit ut circumspicerem, num forte fortuito adscriptum esset, nec ne; sed constat veram lectionem esse ῥήγνυταί τε et inepte illata esse quae eiicio; quid quaeso sibi vult ῥήγνυται ἐς τὸ κάτω τὰ φύλλα? Absurdum est. — Porro ἐς τὰ κάτω pro ἐς τὸ κάτω utroque loco nonnulli libri; αἱ ῥίζαι E. H. al. m., K. P.′ Q.′, Lind., Mack., Littr.; vulgo αἱ abest.

ὁκόταν — τῶν φύλλων.] τότ' C. Marc., τότε vulg. — Post πᾶν addunt nonnulli libri τὸ σπέρμα, quod receperunt Lind., Mack.; — ἀνάλωται Ald. F. G.; — αὖτις per τ e Marc. scripsi; — ἄδηλον ἅπαν E, H. al. m., K. O. P.′ π.; — χρόνῳ δή vulg., χρόνῳ δέ nonnulli libri et Lind., quos sequor; — ἔς τινα τῶν φ. E. H. al. m.

ἐκ σπέρματος — ξυστραφήσεται.] οὖν C. ξ. Marc.; — ἐφ' J.; — γενόμενον ἅπαν Q.′; — ἕως nonnulli codd. et Littr., τέως vulg.; — ὄν pro ἔῃ Zuing. in marg.; — καὶ ἐς αὔξ. C. Zuing. in marg.; — πίειρα vulg., πικρά F. G. Littr.

λειν· οὐ γάρ ἐστι αὐτῷ δύναμις ἰσχυρὴ καὶ [1]πίειρα, ἐξ ἧς τὸ σπέρμα ξυστραφήσεται. Ὁκόταν δὲ στερεωθῇ μᾶλλον καὶ ῥιζωθῇ τὸ [2]ἐκπεφυκὸς ὑπὸ χρόνου, τότ' ἤδη καὶ φλέβας ἴσχει εὐρείας καὶ ἐς τὸ ἄνω καὶ ἐς τὸ κάτω· καὶ τότε δὴ ἐκ τῆς γῆς ἕλκεται οὐκ ἔτι ὑδαρὲς, ἀλλὰ παχύτερον καὶ πιότερον καὶ πλεῖον, ὃ δὴ θερμαινόμενον ὑπὸ τοῦ ἡλίου ἐκζέει ἐς τὰ ἄκρα καὶ γίγνεται καρπὸς κατὰ τὸ ξυγγενὲς ἐξ ὁκοίου καὶ ἐγένετο. Καὶ πολὺς ἐξ ὀλίγου διὰ τόδε γίγνεται, ὅτι ἕλκει ἕκαστον τῶν φυομένων ἐκ τῆς γῆς δύναμιν πλείονα ἢ ἐξ οὗ ἐγένετο καὶ ἐκζέει οὐ κατὰ ἓν, ἀλλὰ κατὰ πολλά· ὁκόταν δὲ ὁ καρπὸς ἐκζέσῃ, τρέφεται ὑπὸ τοῦ φυομένου· ἕλκον γὰρ τὸ φυόμενον ἀπὸ τῆς γῆς τῷ καρπῷ ἐκδίδωσι· ὁ δὲ ἥλιος πέσσει καὶ στερεοῖ τὸν καρπὸν, τὸ ὑδαρέστατον πρὸς ἑωυτὸν ἕλκων ἀπ' αὐτοῦ. Καὶ ταῦτα μὲν εἴρηταί μοι περὶ τῶν ἐκ σπέρματος φυομένων ἀπὸ τῆς γῆς καὶ τοῦ ὕδατος.

radices egerit, tum iam etiam venas amplas tum superiore tum inferiore parte obtinet, tuncque sane ex terra non amplius aquosum attrahit, sed crassius, pinguius et copiosius, quod quidem calefactum a sole in extrema effervescit et fructus nascitur, cum eo ex quo ortum est cognationem habens. Multusque ex pauco oritur, quod quae e terra nascuntur copiosiorem ex ea vim trahunt quam ex quo orta sunt, neque uno in loco, sed pluribus effervescunt. Quo ex fervore prodiens fructus planta sua nutritur, quae quicquid ex terra trahit in fructum transfert. Sol autem ab ipso aquosum ad se alliciens fructum coquit et solidiorem reddit. Atque haec a me quidem dicta sunt de his, quae ex semine de terra et aqua producuntur.

κγ'. Τὰ δ' ἐκ φυτευτηρίων ἀπὸ δενδρέων δένδρεα γίγνεται τρόπῳ τοιῷδε· τρῶμα ἴσχει ὁ κλάδος ἐν τῷ [3]κάτω τῷ πρὸς τὴν γῆν, ᾗ ἀπὸ τοῦ δένδρου ἐκλάσθη, ὅθεν αἱ ῥίζαι ἀφίενται. Τρόπῳ δὲ τοιούτῳ μεθίενται· ὁκόταν τὸ φυτὸν τὸ ἐν τῇ γῇ ἐνεὸν ἰκμάδα λάβῃ ἀπὸ τῆς γῆς, οἰδέει καὶ πνεῦμα ἴσχει, τὸ δὲ ὑπὲρ τῆς γῆς οὐδέπω· τὸ δὲ πνεῦμα καὶ ἡ ἰκμὰς ξυστρέψασα ἐν τῷ κάτω τοῦ φυτοῦ τὴν δύναμιν, ὅση ἦν βαρυτάτη, ἔρρηξε ἐς τὸ κάτω καὶ γίγνονται ἐξ αὐτῆς ῥίζαι ἁπαλαί. Ὁκόταν δὲ ἐς τὸ κάτω λάβηται, τότε δὴ ἕλκει ἐκ τῆς ῥίζης ἰκμάδα καὶ διαδίδωσι τῷ ὑπὲρ γῆς ἐόντι· καὶ [4]τότε αὖτις τὸ

23. At deplantatis in terram surculis ex arboribus aliae arbores hunc in modum producuntur. Ramus in infima ad terram parte, qua ab arbore evulsus est, vulnus habet, unde radices prodeunt, quod hac fit ratione. Cum planta in terram defixa ab ea humorem acceperit, intumescit et spiritum concipit, quod non facit quod terrae supereminet. Spiritus autem et humor, collecta in inferiore plantae parte vi, efficiunt ut quod gravissimum est deorsum erumpat, ex eoque tenerae radices oriuntur. Cum autem inferiore parte acceperit, tunc sane ex radice attractum humorem ei, quod supra terram eminet, transmittit, tuncque rursus su-

[1] πίειρα. — [2] πεφυκός. — [3] κατωτάτω πρός. — [4] τότε δή.

ὁκόταν δὲ — ἐγένετο.] μᾶλλον om. H., sed rest. al. m., — τὸ ἐκπεφυκός C. ξ. Littr., τὸ πεφυκός vulg. Dein τότε vulg., τότ' C. ξ. Marc.; — πιώτερον C. O. — Tum καὶ πλεῖον· τὸ δὴ θερμ., sed πλειόνως C. ξ. τὸ δή omm. C. E. H., ubi al. m. erasum, K. P.' ξ. π.; — equidem in πλειόνως latere puto πλεῖον. ὅ et τό, non δή cum mss. illis omittendum arbitror; — ἐκζέει Lind., Mack., Littr.; hic quidem e mss. pluribus, ἐκζῇ vulg.

καὶ πολὺς — αὐτοῦ.] ἐκζέει Lind., Mack., Littr., quorum hic e mss. pluribus, ἐκζῇ vulg., ἐκζεῖ Marc.; — τὸ ὑδαρέστατον Marc., τὸ ὑδαρέστερον cett.

καὶ — ὕδατος.] τοῦ omm. C. Marc.

23. τὸ δὲ — ἀφίενται.] δ' cod. ξ., δέ plene vulg.; — ἐν τῷ κάτω πρὸς τῷ C., H. al. m., K. O.; vulgatam e V. notavi, textum descripsi, uti Littr.

τρόπῳ — ἁπαλαί.] δέ omm. C. H., ubi rest. al. m.; — τοιῷδε C. ξ.; — τό ante ἐν omm. E. H. K. O.; — ἐόν pro ἐνεόν C. O. ξ. Marc.; — ἐξ αὐτοῦ ceteri.

ὁκόταν — κάτω.] τότε ἕλκει δή C. ξ. Marc. — Articulum ante γῆς ex C. addidit Littr., cett. omm.; — καὶ τότε δή vulg., sed δή omm. C. ξ. Littr.; — αὖτις per τ̄ cod. ξ. et Marc.; — γενομένη C. ξ.

ἄνω οἰδέει καὶ πνεῦμα ἴσχει· καὶ ὅση δύναμις ἐν τῷ φυτῷ κούφη ἔνεστι, ξυστραφεῖσα φύλλα γιγνομένη βλαστάνει καὶ ἐς τὸ ἄνω ἤδη τὴν αὔξησιν ποιέεται καὶ ἐς τὸ κάτω. Οὕτως ἐς τὸ ἐναντίον ξυμβαίνει ἤδη τῶν ἐκ τοῦ σπέρματος γιγνομένων καὶ τῶν ἐκ τοῦ φυτευτηρίου περὶ τοῦ βλαστοῦ· πρότερον γὰρ ἐκ τοῦ σπέρματος τὸ φυλλὸν ἀνατέλλει, ἔπειτα αἱ ῥίζαι ἐς τὸ κάτω ἀφίενται· τὸ [1] δὲ δένδρον ῥιζοῦται πρῶτον, ἔπειτα φυλλοῦται διὰ τόδε, ὅτι ἐν μὲν τῷ σπέρματι αὐτῷ ἰκμάδος πλῆθος ἔνεστι καὶ ἐν τῇ γῇ παντὶ ἐόντι τροφὴ ἔνεστι τὸ πρῶτον τῷ φύλλῳ ἀρκέουσα, ὅθεν τὸ φύλλον θρέψεται μέχρις ἂν ῥιζωθῇ· ἐν δὲ τῷ κλάδῳ οὐ γίγνεται, οὐ γὰρ γίγνεται ἐξ ἑτέρου [2] ὅθεν τὸ φύλλον τὸ πρῶτον τροφὴν ἕξει, ἀλλ' αὐτὸς ὁ κλάδος ἐστὶ ὥσπερ καὶ [3] τὸ δένδρεον ἔχει, καὶ τοῦτο ὑπὲρ γῆς ἐστι πουλὺ, ὥστε οὐκ ἂν δύναιτο ὑπὲρ [4] γῆς ἰκμάδος πλησθῆναι, εἰ μὴ ἐκ τοῦ κάτω μεγάλη τις δύναμις ἐλθοῦσα τῷ ἄνω ἐκδώσει τῆς ἰκμάδος. Καὶ πρῶτον τὸ φυτευτήριον ἀνάγκη ἐστὶ ἑωυτῷ τροφὴν ποιήσασθαι ἀπὸ τῆς γῆς τῇσι ῥίζῃσι, ἔπειτα οὕτως [5] ἀπὸ τῆς γῆς ἕλκον ἄνω [6] ἀποδιδόναι καὶ φύλλα ὁρμῆσαι ἐς βλαστόν τε καὶ αὔξησιν.

periore parte intumescit, et spiritum concipit et collecta facultate, quae in planta levis inest, folia germinant, iamque tam superiore quam inferiore parte incrementum capessit. Sic iam contrario modo germinant quae ex semine et quae ex taleis in terram defixis proveniunt. Prius enim ex semine folium oritur, deinde radices ad inferiora demittuntur. At arbor primum radices agit, deinde folia accipit, quandoquidem in ipso semine humoris copia inest, et ei, quod totum terra continetur, tantum per initia alimenti suppetit quantum ad alendum folium satis sit, donec radices egerit. Quod in talea non fit. Neque enim ex alio nascitur unde folium primum alatur, verum ramus ipse arboris loco est eiusque magna pars supra terram prominet, ut proinde humore repleri nequeat, nisi ex inferioribus partibus magna vis quaedam proveniat, quae ad superiora humorem transmittat. Et primum quidem necesse est taleam a terra sibi ad radices alimentum subministrare, deinde a terra attractum sursum transmittere indeque folia erumpere et increscere.

κδ'. Ὅταν δὲ αὔξηται τὸ φυτὸν, ὀζοῦται ὑπ' ἀνάγκης τοιῆσδε, ἣν ἐρέω· ὁκόταν ἰκμάδος αὐτῷ πλεῖον προσγένηται ἐκ τῆς γῆς ἑλκομένης, ὑπὸ τοῦ πλήθεος ῥήγνυσι ᾗ ἂν πλείστη ἔῃ καὶ ταύτῃ ὀζοῦται τὸ φυτόν. Αὔξεται δὲ [7] καὶ ἐς τὸ εὖρος καὶ ἐς τὸ ἄνω καὶ ἐς τὸ κάτω διὰ τόδε, ὅτι τὸ κάτω τῆς γῆς τοῦ μὲν χειμῶνος θερμόν ἐστι, τοῦ δὲ θέρεος ψυχρόν. Τοῦτο δὲ διὰ τόδε ἐστι, ὅτι ἡ γῆ ἰκμαλέη ἐστὶ τοῦ χειμῶνος ὑπὸ τοῦ

24. Cum autem planta incrementum ceperit, ista de causa necessario ramos emittit. Ubi magnam humoris copiam e terra attraxerit, prae copia erumpit qua parte abundat, illicque planta ramos emittit. Increscit autem et in latum tum supra, tum infra, quia inferiores terrae partes hieme calidae sunt, aestate vero frigidae. Quod ea de causa accidit, quoniam terra hieme imbribus a coelo delabentibus madet, iisque gravioribus exsistentibus in sese

[1] δέ om. — [2] ὥστε et mox ἕξειν. — [3] τό om. — [4] γῆς ἐόν. — [5] ἀπὸ τῆς ἰκμάδος τῆς γῆς. — [6] ἀποδιδόναι. — [7] καί om.

οὕτως — ἰκμάδος.] οὕτω codd. ξ., π.; — καὶ ἐν C.; — γενομένων C. ξ.; — ἐκ τοῦ φυτευτηρίου cett., Voss., τοῦ om.; — ὅταν pro ὅτι ἐν C.; — ἄν post μέχρις omm. C. Marc., ὥστε τὸ φύλλον τὸ πρῶτον τροφὴν (καρπόν F. G.) ἕξειν Parr. 7. P.' π., cf. lectt. Voss.; — τὸ δένδρεον Marc., τὸ δένδρον vulg.; — πουλύ Marc., πολύ vulg.; — ὑπὲρ γῆς ἐὸν ἰκμ. vulg., sed ἐόν omm. C. Marc.; — δύναμίς τις C. ξ. Marc.; — τὸ ἄνω C. ξ. π.

καὶ πρῶτον — αὔξησιν.] ἀπὸ τῆς γῆς om. C. ante ἕλκον; — ἕλκων C.; — ἐς Lind. εἰς cett.

24. ὅταν δὲ — τὸ φυτόν.] γένηται H. pro προσγένηται.

τοῦτο δὲ — θερμόν ἐστι.] ἐν χειμῶνι vulgo, τοῦ χειμῶνος dedi cum C. ξ. Marc.; — πιεζεῖται C. Marc., Littr.; —

ὕδατος τοῦ ἐκ τοῦ οὐρανοῦ πίπτοντος καὶ πιέζεται ἐφ' ἑωυτῇ, ἅτε βαρυτέρης ἐούσης τῆς ἰκμάδος· πυκνοτέρη δ' ἐστὶ ὑπὸ τούτου καὶ οὐκ ἔχει διαπνοὴν οὐδεμίαν· οὐ γὰρ ἔτι ἔνεστι μέγα τὸ ἀραιὸν καὶ διὰ τοῦτο τὸ κάτω τῆς γῆς τοῦ χειμῶνος θερμόν ἐστι. Καὶ γὰρ ἡ κόπρος ἡ νενασμένη μὲν [1] ἐνθερμοτέρη ἐστὶ ἢ ἡ ἀραιὴ ἐοῦσα καὶ ἄλλως τὰ μὲν ἰκμαλέα καὶ πεπιεσμένα ὑπὸ σφῶν αὐτῶν ἐκθερμαίνεται καὶ ἐν τάχεϊ κάρτα ὑπὸ τῆς θερμασίης ξυγκαιόμενα σήπεται· οὐ γὰρ [2] δίεισι τὸ πνεῦμα δι' αὐτῶν, ἅτε πυκνῶν ἐόντων· ἢν δὲ ξηρὰ ἔῃ καὶ ἀραιῶς κείμενα, πολλῷ ἧσσω θερμαίνεται καὶ σήπεται. Οὕτω δὲ καὶ πυροὶ καὶ κριθαὶ νοτερὰ ἐόντα καὶ [3] βεβυσμένα ἐνθερμότερά ἐστι ἢ εἰ ξηρὰ εἴη καὶ [4] μανῶς κείμενα· καὶ ἱμάτια ξυνδεδεμένα καὶ κατεσφηνωμένα ἰσχυρῶς [5] κατακαίεται ὑπὸ σφέων αὐτῶν, ὡς ἐγὼ ἤδη εἶδον, ὥσπερ ὑπὸ πυρὸς ἐκκαέντα· καὶ τἄλλα εἴ τις θέλοι ἐνθυμηθῆναι, πάντα ὅσα πεπίεκται ὑπὸ σφῶν αὐτῶν, θερμότερα εὑρήσει ἢ τὰ ἀραιῶς κείμενα· οὐ γὰρ ἔχει [6] διάπνοον ψυχρὸν ὑπὸ τῶν ἀνέμων. Οὕτω δὲ καὶ τῆς γῆς τὸ κάτω, πλείης ἐούσης καὶ αὐτῆς ὑφ' ἑωυτῆς πεπιεσμένης, ἅτε βαρείης καὶ πυκνῆς ἐούσης ὑπὸ τῆς ἰκμάδος, θερμόν ἐστι τοῦ χειμῶνος· οὐ γάρ ἐστι [7] αὐτῇ διάπνοος οὐδεὶς τοῦ θερμοῦ·

comprimitur ideoque densior evadit et nullam prorsus transspirationem habet. Neque enim amplius magna raritas adest, ideoque terrae inferior pars hieme calida est. Nam et fimum densius pressum maiorem in se calorem habet quam quod rarum est, praetereaque humecta quidem et compressa per se ipsa incalescunt et brevi a calore exusta putrescunt, quod cum densa sint per ea spiritus permeare nequit. Sicca vero et rara multo minus incalescunt et putrescunt. Sic etiam triticum et hordeum humidum et coacervatum multo citius incalescit quam si siccum fuerit et rarum; quin et vestes vehementer colligatae et compressae per se exuruntur, velut ego vidi, non secus ac si igne conflagrarint. Ac si cui reliqua in considerationem adhibere placeat, is ea omnia quae compressa sunt calidiora ex se comperiet, quam quae laxius sunt composita, cum perflari nequeant. Sic quoque cum terrae inferiora humore plena sunt ipsaque, cum humore gravis sit et densa, per se comprimatur, per hiemem incalescit, quod nullam prorsus habet caloris perspirationem. Verum posteaquam de coelo aqua in ipsam delapsa fuerit, in eaque spiritum excitarit, is ultra propter terrae gravitatem permeare non potest, sed contra in aquam fertur, eamque ob causam fontes hieme quam aestate

[1] ἐνθερμότερος. — [2] δίησιν. — [3] βεβρεγμένα. — [4] ἀραιῶς. — [5] δορικά κατακ. — [6] ἀναπνέειν. — [7] αὐτῇ om.

ἐούσης C. H. π. Marc., Littr., οὔσης vulg.; — δ' ἐστιν C. ξ., δέ ἐστιν vulg.; — ἔνεστι ἔτι ἑωυτῇ E. (ἕως τῇ cod. π.); post ἔνεστι ferunt ἑωυτῇ H. al. m., Q.', αὐτῇ Lind., Mack., ἐν ἑωυτῇ K.; — μέγα τὸ ἀραιόν permulti codd. Littréi, hic ipse, Marc., Voss., τὸ ἀραιὸν μέγα vulg.

καὶ γὰρ — καὶ σήπεται.] ἡ νεναγμένη vulgata, quam lect. etiam in Marc. vidit Cobetus: Lind. ἡ νενασμένη, quod recipio cum Mackio, qui tamen ἡ omisit; apud Aristoph. perf. pass. verbi νάττω est νένασμαι. — Vulgo dein εὐθερμοτέρη, tum εὐθερμοτέρα et εὐθερμότερος aliae librorum lectiones sunt; ego de meo repono ἐνθερμοτέρη. — Porro ἢ ἀραιὴ ἐοῦσα sine ἡ Ald., C. O. ξ. Marc.; — διίεισι K. O., δίησι C. O. ξ. Marc.

οὕτω δὲ — ἀνέμων.] δή E. Littr.; — βεβρεγμένα vulg., βεβυσμένα H. al. m. in marg., H. O. Littr.; — εὐθερμότερα cett., ἐνθερμ. de meo; — μανῶς C. ξ. Littr. idemque apud Marc. in marg. legitur, ἀραιῶς vulgo. — Dein vulgata fert δορικά ante κατακαίεται, quod in C. ξ. π. Marc. δωρικά scribitur; ac δορικά interpretari solent *pellicea*, alii vero Δωρικά voluerunt, monente Foës. in adn. et *Dorica* reddiderunt, v. c. Calvus; nempe contulerunt ἐσθῆτα Δωρίδα Herod. V. 87. Littréus credidit δορικά natum esse e dativo δορί et prima syllaba verbi sequentis κατακαίεται, ita ut daret ἱμάτια συνδεδεμένα καὶ κατεσφηνωμένα ἰσχυρῶς δορὶ κατακαίεται. Sed κατεσφηνωμένα iam significat σφηνί illam constrictionem fuisse factam ita ut δορί minus apte addatur, minime vero apte eo loco, quo habetur in Littréi textu. Equidem nihili vocabulum δορικά s. δωρικά repudiavi. Vel locus, quo epitheton infertur eiusmodi est, ut ibi adiectivum ἱμάτια definiens minime exspectes. Unde syllabae illae provenerint, nescio, sed otiosae sunt. — Porro κατακαίοντα K.; — ἐκκαέντα omm. C. Marc.; — πεπίεκται E. H. K. ξ. Marc., ad cuius lectionem Cobetus adscripsit „recte opinor.” — πεπίεσται vulg., πεπίενται Ald., mss. 4. apud Littr., πεπιεῦνται et πεπίευται lectt. sunt a Foësio memoratae. — Tum denique ἀναπνέειν vulg., διαπνέειν E. H. al. m. H. P.' Q.' Lind., διευπνέειν cod. π.; mihi διάπνοον legendum est visum; vid. infra in hac §.

οὕτω δὲ — ἔρχεται.] ἐφ' ἑωυτῆς C. Marc.; — θερμόν ἐστι τοῦ χειμῶνος C. π. Marc., θερμαίνεται ἐν χειμῶνι vulg.; — αὐτῷ E. H. al. m. K. π. Littr., αὐτῆς vulg.; — διαπνοὴ οὐδείς vulg., διαπνοὴ οὐδεμία interpretes nonnulli,

ἀλλ' ὁκόταν πέσῃ ἐκ τοῦ οὐρανοῦ τὸ ὕδωρ ἐς αὐτὴν, ὅταν ἀποπνέῃ ἐν τῇ γῇ ἀπ' αὐτοῦ, οὐ δίεισι πρόσω, ἅτε πυκνῆς ἐούσης τῆς γῆς· ἀλλ' ἡ πνοὴ ὀπίσω ἐς τὸ ὕδωρ ἔρχεται. Καὶ διὰ τοῦτο [1] αἱ πηγαὶ θερμότεραί εἰσι τοῦ χειμῶνος καὶ μέζους ἢ τοῦ θέρεος· ὅτι ἀποπνέον τὸ πνεῦμα ὀπίσω ἔρχεται ἐς τὸ ὕδωρ, ἅτε τῆς γῆς πυκνοτέρης ἐούσης καὶ οὐ διιείσης δι' ἑωυτῆς τὸ πνεῦμα. Καὶ τὸ ὕδωρ πολὺ ἐὸν ἢ ἂν [2] τύχῃ ῥήγνυσι χωρέον, καὶ ὁδὸν ἑωυτῷ ποιέεται εὐρυτέρην ἢ εἰ ὀλίγον εἴη· τὸ γὰρ ὕδωρ ἐν τῇ γῇ οὐχ ἕστηκε, [3] ἀλλ' ἀεὶ χωρέει ἐς τὸ κάταντες· εἰ δὲ [4] διιείη τοῦ χειμῶνος ἀπὸ τοῦ ὕδατος τὸ πνεῦμα ἡ γῆ δι' ἑωυτῆς, ἔλασσον τὸ ὕδωρ ἂν ἐχώρεε ἐξ αὐτῆς καὶ αἱ πηγαὶ οὐκ ἂν ἦσαν τοῦ χειμῶνος μεγάλαι. [5] Ταῦτα πάντα εἴρηταί μοι ὅτι τῆς γῆς τὸ κάτω θερμότερον φαίνεται ἐὸν τοῦ χειμῶνος ἢ τοῦ θέρεος.

tum calidiores, tum copiosiores sunt. Excitatus namque spiritus, cum propter terrae densitatem per eam permeare nequeat, in aquam convertitur, quae sua copia quocumque fertur, eo prorumpit viamque sibi ampliorem facit quam si modica esset. Neque enim aqua in terra consistere potest, sed semper in declivem locum fertur. Quod si spiritum ex aqua provenientem terra per hiemem transmitteret, paucior ex ipsa aqua prodiret, neque per hiemem fontes increscerent. Atque ista omnia eo a me dicta sunt, quo terrae inferiora hieme quam aestate calidiora esse constet.

κε'. Νῦν δ' ἐθέλω εἰπεῖν διότι τοῦ θέρεος τὸ κάτω τῆς γῆς ψυχρότερον φαίνεται [6] ἐὸν ἢ τοῦ χειμῶνος· τοῦ γὰρ θέρεος ἀραιή ἐστι ἡ γῆ καὶ κούφη, ἅτε τοῦ ἡλίου σφοδρότερον [7] προσβάλλοντος καὶ ἕλκοντος ἀπ' αὐτῆς πρὸς ἑωυτὸν [8] τῆς ἰκμάδος· ἔχει δὲ ὕδωρ ἡ γῆ [9] ἐν ἑωυτῇ ἀεὶ πλέον ἢ ἔλασσον· τὰ δὲ πνεύματα ἡμῖν ἐστι πάντα ἀφ' ὕδατος· τούτου δὲ [10] πέρι πάρα ξυμβάλλεσθαι, ὅτι οὕτως ἔχει, ἀπὸ γὰρ τῶν ποταμῶν πάντων [11] πνεῦμα χωρέει ἑκάστοτε καὶ τῶν νεφέων,

25. Nunc vero dicendum est, cur terrae inferiora aestate quam hieme frigidiora esse appareat. Terra aestate rara est et levis, nimirum cum sol vehementius irruat et de ea ad se humorem attrahat. Aquam autem plus minusve terra semper in se continet. Spiritus vero omnes nobis ex aquis proveniunt. Hanc rem autem coniicere licet ita se habere hinc: ex omnibus enim fluminibus et nubibus semper spiritus prodit, sunt autem nubes aqua in aëre continua. Ac tunc sane terra per aestatem rara

[1] αἱ πηγαὶ καὶ ἡ θάλασσα θερμ. — [2] τύχῃ τοῦτο ῥ. — [3] ἀλλὰ ἀεί. — [4] δίισι. — [5] πάντα ταῦτα. — [6] ἐόν. ἡ γῆ τοῦ θέρεος ἀραιή ἐστι καὶ κούφη. [7] προβαλλ. — [8] τὰς ἰκμάδας. — [9] ἐν ἑωυτῇ om. — [10] πέρι ἐπιδείξω συμβαλέσθαι. — [11] πνεῦμα.

διάπνοος οὐδείς multi codd. apud Littr., διάπνοος οὐδεείς (sic) Marc.

καὶ διὰ τοῦτο — πνεῦμα.] Post πηγαί vulgata fert καὶ ἡ θάλασσα, sed has voces omm. C. ξ. Marc., Littr.; — ἀποπνέοντος τοῦ πνεύματος ceteri; — διείσης Ald., multi Parr., Marc.; — ἑωυτῆς de meo, αὑτῆς et αὐτῆς ceteri.

καὶ τὸ ὕδωρ — μεγάλαι.] ᾗ ἢν τύχῃ Ald., non pauci Parr., Marc., ᾗ ἢν τύχῃ C. — Post τύχῃ vulgo τοῦτο δή, alii et Marc. τοῦτο δέ, solum τοῦτο H. π.; τοῦτο δή om. E., ubi rest al. m.; — cum Littréo voculas abundantes omisi. — Porro οἱ αὐτῷ vulg., ἑωυτῷ E. H. al. m. K. π.; — οὐκ vulgo, sed οὐχ codd. 10. apud Littr., hic ipse, Lind.; — ἀεί om. K.; — διίησι vulg., διίεισι codd. 4., διιείη Littréus de suo; — ὕδωρ ἐχώρεε vulg., ὕδωρ ἀεὶ ἐχώρεε nonnulla mss., ὕδωρ ἂν ἐχώρεε Littréus ἀεί in ἄν mutans.

25. νῦν δ' ἐθέλω — ἐν ἠέρι.] νῦν δὲ θέλω vulg., secutus sum Marcianum; — διότι de meo pro vulgato ὅτι; solus οὔτι C. pro ὅτι; — ἢ τοῦ χειμ. omm. codd. nonnulli Parr.; — τοῦ γὰρ θέρεος ἀραιὴ κ. τ. λ. manus pr. in Marc., secunda τοῦ θ. γάρ, ut vulg.; τοῦ θέρεος γὰρ ἀραιή ἐστι ἡ γῆ καὶ κούφη C. ξ. et Marc. in horum postremis, ἡ γῆ τοῦ θέρεος ἀραιή ἐστι καὶ κούφη vulg.; — σφοδρότερον προσβάλλοντος καί omm. C. ξ. Marc.; — τῆς ἰκμάδος C. Marc., Lind., Littr., vulgatam e V. notavi; ἐν αὑτῇ vulg., ἐν ἑαυτῇ O. Littr., de meo Ionismum dedi; — ἀεί omm. C. J. ξ.; — πέρι παρασυμβάλλεσθαι C. ξ. Marc., quam lect. descripsi uti Littr.; — vulgata pro πάρα fert ἐπιδείξω inepte. Porro πνεῦμα χωρέει codd. 8. apud Littr. et Voss., vulgo πνεύματα χωρέει, sed mihi singularis numerus praestare videtur. Tum τὰ δὲ νέφεά ἐστιν vulg., sequor C. ξ. Marc.; — ἠέρι C. Marc., Mack., Littr., ἀέρι vulg.

τὰ νέφεα δ' ἐστὶ ὕδωρ ξυνεχὲς ἐν ἠέρι. Καὶ τότε δὴ ἡ γῆ [1] ἀραιή ἐστι καὶ κούφη καὶ ὕδωρ ἐν ἑωυτῇ ἔχουσα· καὶ τὸ ὕδωρ ῥέει [2] ἐς τὸ κάταντες. χωρέοντος δὲ τοῦ ὕδατος αἰεὶ ἀποπνέει αὐτόθεν ἕτερον ἐξ ἑτέρου πνεῦμα· τὸ δὲ ἀποπνέον διὰ τῆς γῆς ἔρχεται κούφης καὶ ἀραιῆς ἐούσης καὶ ψῦχος τῇ γῇ ποιέει καὶ αὐτὸ τὸ ὕδωρ ξυμψύχεται. Ἔχει δὲ οὕτως ὥσπερ εἴ τις ἐν ἀσκῷ ὕδωρ ἐνεὸν ἀποπιέσειε ἰσχυρῶς καὶ παραπνοὴν τῷ ὕδατι ποιήσειε νύγματι βελόνης ἢ μικρῷ μέζονι καὶ τὸν ἀσκὸν κρεμάσας αἰωροίη, οὐδὲν γὰρ διὰ τοῦ τετρημένου πνεῦμα χωρήσει, ἀλλ' ὕδωρ· οὐ γὰρ ἔχει εὐρυχωρίην, ᾗ ἀποπνεύσεται [3] τὸ ὕδωρ· ὧδε δὲ ἔχει καὶ τοῦ χειμῶνος τῷ ὕδατι ἐν τῇ γῇ. Ἢν δὲ τῷ ὕδατι ἐν τῷ ἀσκῷ τὴν εὐρυχωρίην ποιήσῃς, καὶ κρεμάσας αἰωροίης τὸν ἀσκὸν, πνεῦμα διαχωρήσει διὰ τοῦ τετρημένου, εὐρυχωρίη γάρ ἐστι τῷ πνεύματι ἀπὸ τοῦ ὕδατος [4] κινευμένου διαχωρέειν διὰ τοῦ ἀσκοῦ, καὶ διὰ τοῦ τετρημένου [5] τὸ πνεῦμα διὰ τόδε δίεισι· ὧδε δὲ ἔχει καὶ τοῦ θέρεος ἐν τῇ γῇ τῷ ὕδατι· εὐρυχωρίη γάρ ἐστι αὐτῷ, ἅτε τῆς γῆς ἀραιῆς ἐούσης, καὶ, τοῦ ἡλίου ἕλκοντος ἀπ' αὐτῆς τῆς ἰκμάδος πρὸς ἑωυτὸν, [6] διΐησι τὸ πνεῦμα, ἅτε ψυχρὸν ἐὸν ἀπὸ τοῦ ὕδατος δι' ἑωυτῆς ἀραιῆς ἐούσης καὶ κούφης, καὶ διὰ τοῦτο ψυχρόν ἐστι αὐτῆς τὸ κάτω τοῦ θέρεος, καὶ τὸ ὕδωρ [7] μᾶλλον τοῦ πνεύματος τοῦ ἐν τῇ γῇ ψυχρὸν ἐὸν καὶ αὐτὸ ἀφίησι ἀπὸ ἑωυτοῦ τὸ πνεῦμα ἐς τὴν γῆν. Καὶ ἅμα τὸ ἀντλεόμενον ἐν

est et levis, aquamque in se continet, quae in declive profluit; eaque decurrente alius ex alio spiritus inde semper excitatur. Is autem spiritus per terram levem et raram fertur terramque ita refrigerat, ut simul quoque aqua perfrigeretur. Ita autem se res habet, veluti si quis aquam utre contentam vehementer premat et per acus puncturam vel paulo maiorem aquae perspiramentum exhibeat, utremque in sublimi suspendat; spiritus enim nullus, sed aqua solum per foramen prodibit, quod amplum satis spatium quo exhalet aqua non habeat. Ad eundem autem modum aqua in terra per hiemem se habet. Sin utre sublimi suspenso aquae in eo contentae amplius spatium concesseris, per foramen spiritus exibit. Spatium enim amplius, quo per utrem exeat, aqua mota habet, eamque ob causam per foramen spiritus pervadit. Sic autem per aestatem in terra aqua etiam se habet. Amplum enim satis locum ob terrae raritatem obtinet et quod sol ab ea ad se humorem attrahit; ipsaque terra quum rara et levis sit, spiritum per se transmittens, ideo frigida est aestate parte sua inferiore; et quum aqua frigidior sit quam qui in terra inest spiritus, eum in terram emittit. Simul quoque aquam, quae ex puteo hauritur, semper spiritus velut flabellum agitat, qui et aquae frigus inducit. Quae vero non hauritur aestate, sed immota manens densatur, ea neque perinde ut illa spiritum a terra in sese suscipit, neque ex sese in terram transmittit, simulque a sole et aëre

[1] ἀραιή ἐστι καὶ κούφη τοῦ θέρεος. — [2] εἰς τὸ κάταντες. — [3] τὸ ὕδωρ om. — [4] κινεομένου. — [5] καὶ τὸ πν. — [6] διιεῖσα. — [7] μᾶλλον.

καὶ τότε — ξυμψύχεται.] δέ E. H. K.; — καὶ κούφη τοῦ θέρεος vulgo, sed Littréus cum C. ξ. Marc.; τοῦ θέρεος καὶ κούφη; ego vero τοῦ θέρεος omitto, τότε iam id significat et τοῦ θέρεος glossema est; — αὐτῇ vulg., ἑωυτῇ de meo; — τὰ κατάντεα vulg., τὸ κάταντες L. Voss., Lind., Mack., τὰ κάταντες J.; — ἀεί C. H. Marc.; — αὐτόθι E. H. P.′ π.; — τὸ ὕδωρ ante συμψύχεται om. L.

ἔχει δὲ — ἐν τῇ γῇ.] γάρ post οὐδέν de meo intuli; — οὐ γὰρ ἂν ἔχῃ J.; — ἀποπνεύσεται sine τὸ ὕδωρ Lind. — Tum ὧδε δὴ ἔχει vulg., sed δή om. C., ego δέ scripsi de meo. Sequens καί omm. C. ξ.; — τῷ omm. E. K. π.; — ἐν δὲ τῇ γῇ. Ἢν δὲ τῷ ὕδατι om. J.

ἢν δὲ τῷ ὕδατι — τὴν γῆν.] κινεόμενον E. H., uti V.; διίεισιν vulgo, διίησιν C. O., δίισιν Ald.. δίεισιν e Lind., Mack., Littr.; — ὧδε δὲ ἔχει C., ὡδὲ δὴ ἔχει vulg.; — τὴν ἰκμάδα pro τῆς ἰκμάδος E. H. al. m. P.′ Q.′ π., τὰς ἰκμάδας L.; — tum διεῖσα vulgo, sed hoc quum non habeat, quorsum referatur, mutavi in διΐησι; — δι' αὐτῆς vulgo, δι' ἑωυτῆς de meo. — Tum καὶ διὰ τοῦτο E., reliquis καί non habentibus; — ψυχρόν ἐστι Littr. de suo, ψυχρὸν ἐόν vulgo. Pro μᾶλλον Littréus de suo αἴτιον, qua in re illum non sequor; sed quum vulgo legitur καὶ τὸ ὕδωρ μᾶλλον τοῦ πνεύματος τοῦ ἐν τῇ γῇ ψυχροῦ ἐόντος. καὶ αὐτὸ ἀφίησι ἐς ἑωυτὸ (ἑωυτόν J.) τὸ πνεῦμα καὶ ἐς τὴν γῆν, de meo dedi ψυχρὸν ἐόν et pro ἐς ἑωυτό scripsi ἀπὸ ἑωυτοῦ.

καὶ ἅμα — ἀντλεομένου.] διακονέει C.; — δέχεται τὸ πνεῦμα ἐς ἑωυτόν J.; — ἀφ' ἑωυτοῦ vulg., sed ἀπό Parr. 8., Voss.; — ἠελίου cod. π.; — ἠέρος C. H. al. m., Lind., Mack., ἀέρος vulg.; — οὐ om. H.; — παρὰ τῷ φρέατι Ald.; — τό ante μὴ ἀντλεόμενον om. O.

τῷ Φρέατι ἀεὶ διακινέει τὸ πνεῦμα ὥσπερ ῥιπὶς καὶ ποιέει αὐτὸ ψῦχος παρέχειν τῷ ὕδατι· τὸ δὲ μὴ ἀντλεόμενον τοῦ ὕδατος τοῦ θέρεος, ἀλλ' ἑστηκὸς, πυκνὸν ἐὸν, οὐχ ὁμοίως δέχεται τὸ πνεῦμα ἐς ἑωυτὸ ἀπὸ τῆς γῆς, οὐδ' ἐς τὴν γῆν [1] ἀπὸ ἑωυτοῦ ἀποδίδωσι καὶ ἅμα ὑπὸ τοῦ ἡλίου καὶ τοῦ ἠέρος οὐ σκιδναμένου ἐν τῷ Φρέατι, ἀλλὰ στασίμου ἐόντος, θερμαίνεται πρῶτον αὐτοῦ τὸ ἐπιπολῆς· ἔπειτα τὸ ἕτερον ἐπὶ τῷ ἑτέρῳ ἐς τὸ κάτω διαδίδωσι τὴν θερμασίην· καὶ διὰ τοῦτο τὸ μὴ ἀντλεόμενον ὕδωρ τοῦ θέρεος θερμότερόν ἐστι τοῦ ἀντλεομένου. Αἵ τε πηγαὶ αἱ βαθεῖαι μάλα τοῦ θέρεος ἀεὶ ψυχραί εἰσι. Καὶ ἀρυσθὲν τὸ ὕδωρ τοῦ χειμῶνος [2] ἐκ τῆς γῆς θερμῆς ἐούσης, [3] τὸ μὲν παραυτίκα θερμόν ἐστι, ὅταν δὲ χρόνος ἐγγένηται, ψυχρόν ἐστι· ἐξαεροῦται γὰρ ὑπὸ τοῦ ἀνέμου καὶ τὸ πνεῦμα δι' αὐτοῦ διηθέει· καθάπερ καὶ τὸ ἀντλεόμενον ὕδωρ τοῦ θέρεος, ὁκόταν ἀρυσθῇ, ψυχρὸν αὐτίκα ἐστὶ, θερμὸν δὲ γίγνεται διὰ τόδε, ὅτι τῆς γῆς ἀραιῆς ἐούσης καὶ πνεύματος ἐόντος ἐν αὐτῇ ψύχεται, ὅταν δὲ ἀρυσθέντι χρόνος ἐγγένηται, στάσιμον γίγνεται καὶ θερμόν· θερμαίνεται γὰρ ὑπὸ τοῦ ἠέρος θερμοῦ ἐόντος, ὥσπερ καὶ τὸ μὴ ἀντλεόμενον ὕδωρ ἐν τῷ Φρέατι τοῦ θέρεος [4] διὰ τοῦτο θερμὸν γίγνεται. Ταῦτα μὲν ἐς τοῦτό μοι εἴρηται.

per puteum minime dispersae, sed stabilis manentis summa superficies primum incalescit, deinde altera pars alteri ad imum usque calorem communicat. Eaque causa est cur aqua, quae aestate non hauritur, sit calidior. Quin et fontes multum profundi aestate semper frigidi sunt et aqua ex iis per hiemem hausta, quando terra calet, calida quidem est, intercedente vero tempore frigida est; a vento quippe perflatur et per eam spiritus percolatur. Quemadmodum etiam aqua per aestatem protinus ac hausta fuerit, frigida est, incalescit autem hac de causa, quod cum terra rara sit et spiritus ea contineatur refrigeratur; cum vero tempus processerit, immota manet et calida fit. Incalescit enim ab aëre calido, quemadmodum etiam aqua non hausta in puteo aestate ideo calida redditur. Atque illa quidem hac de re a me dicta sunt.

κϛ'. Ἀναλήψομαι δ' αὖθις ὅτι τοῦ θέρεος τὸ κάτω τῆς γῆς ψυχρόν ἐστι, τοῦ δὲ χειμῶνος θερμὸν, τὸ δὲ ἄνω τῆς γῆς τοὐναντίον τούτου καὶ δεῖ τῷ δένδρεϊ μὴ δύο θερμὰ ὁμοῦ προσγίγνεσθαι, μηδὲ δύο ψυχρὰ ὁμοῦ, ἣν μέλλῃ ὑγιαίνειν· ἀλλ' ἣν μὲν ἐκ τοῦ ἄνω-

26. Rursus autem repetam, quod inferior terrae pars aestate frigida est, hieme vero calida, superior autem terrae pars contrario se habet modo; neque arbori opus est, si modo valere debeat, geminum simul calorem aut frigus adesse. Verum si superiore quidem parte

[1] ἀπό. — [2] ἐκ om. — [3] ἐκ ταύτης τὸ μὲν κ. τ. λ. — [4] διὰ τοῦτο θ. γίγνεται om.

αἱ δὲ πηγαὶ — εἰσί.] μάλιστα E. P.' Q.' Lind., μάλα cett.; — εἰσὶν τοῦ ὕδατος in fine periodi C. ξ.
καὶ ἀρυσθὲν — γίγνεται.] ἐκ τῆς γῆς C. Littr. ἐκ om. vulg.; — ἐκ ταύτης τὸ μὲν παραυτίκα vulg., sed ἐκ ταύτης omm. C. ξ. Littr.; — τὸ παρ' αὐτίκα μέν C., μέν om. ξ. — ἐγγένηται C. ξ., pro quo διίῃ vulg. — Post ψυχρόν ἐστι legi solet: ὑπὸ τοῦ ἠέρος δηλονότι γενόμενον (δηλ. γεν. omm. C. ξ., γινόμενον ferunt H. π.) ψυχροῦ ἐόντος. Sed manifesto scholion est; sequentibus enim ἐξαεροῦται κ. τ. λ. ipse auctor rationem exponit, quare aqua frigescat. Porro ἐξαραιοῦται H. al. m., K. P.' Q.' Mack.; — διαθέει nonnulli libri; — ψυχρὸν αὐτίκα, γίνεται θερμὸν διὰ τόδε C. ξ.; — ἀρυσθέντος H. al. m., K. O.; — καὶ θερμὸν ὁρᾶται vulg., quod totum omm. C. ξ., ego ὁρᾶται delevi pro emblemate alieno; — καὶ διὰ τοῦτο θερμὸν γίνεται C. ξ., sed plures libri apud Littr., quemadmodum Voss., ista verba omittunt.
26. ἀναλήψομαι — προσγίνεσθαι.] δ' C., δέ cett.; — ψυχρότερον C.; — προσγένηται cod. π.; — καὶ πάλιν — προσγίγνεσθαι omm. C. ξ.; — προσγίνηται E. H. O., Littr., προσγένηται vulg.; — αὐτῷ omm. E., ubi rest. al. m., H. I. O.

θεν προσγίγνηται θερμὸν, ἐκ τοῦ κάτωθεν δεῖ ψυχρὸν αὐτῷ προσγίγνεσθαι καὶ πάλιν ἢν ἐκ τοῦ ἄνωθεν προσγίγνηται ψυχρὸν, ἐκ τοῦ κάτωθεν δεῖ θερμὸν [1] αὐτῷ προσγίγνεσθαι. Αἵ τε ῥίζαι [2] ὅ τι ἂν ἑλκύσωσι, τῷ δένδρεϊ προσδιδόασι καὶ τὸ δένδρεον τῇσι ῥίζῃσι. Καὶ γίγνεται οὕτω ταμιείη καὶ ψυχροῦ καὶ θερμοῦ· ὥσπερ [3] καὶ τῷ ἀνθρώπῳ ἐσιόντων ἐς τὴν κοιλίην σιτίων, ἄσσα πεσσόμενα θερμαίνει, δεῖ ψύξιν ἀποδίδοσθαι ἀπὸ τοῦ [4] πότου, οὕτω καὶ [5] τῷ δένδρεϊ δεῖ ἀνταποδίδοσθαι ἐκ τοῦ κάτω πρὸς τὸ ἄνω, καὶ ἀνάπαλιν. Καὶ αὔξεται τὸ δένδρον καὶ ἐς τὸ ἄνω καὶ ἐς τὸ κάτω διὰ τόδε, ὅτι οἱ τροφή ἐστι [6] καὶ ἐκ τοῦ κάτωθεν καὶ ἐκ τοῦ ἄνωθεν. Καὶ ἕως μὲν ἂν ἁπαλὸν [7] ᾖ σφόδρα, οὐ καρποφορέει· οὐ γάρ ἐστι αὐτῷ πίειρα δύναμις, οὐδὲ παχεῖα, ἥτις ἐς καρπὸν ξυμβάλλεσθαι οἵη τέ ἐστι· ὁκόταν δὲ χρόνος ἐγγένηται, τότ' ἤδη ἐν αὐτῷ αἱ φλέβες εὐρεῖαι γενόμεναι ποιεῦνται ἐν αὐτῷ ἐκ τῆς γῆς πίειραν καὶ παχεῖαν τὴν ῥύσιν· ὁ δὲ ἥλιος διαχέων αὐτὴν ποιέει ἐκζεῖν ἅτε κούφην ἐοῦσαν ἐς τὰ ἄκρα καὶ καρποῦσθαι· καὶ τὴν μὲν λεπτὴν ἰκμάδα ἀπὸ τοῦ καρποῦ ἀποφέρει, τὴν δὲ παχεῖαν πέσσων ὁ ἥλιος καὶ θερμαίνων γλυκαίνει· τὰ δὲ οὐ καρποφορέοντα τῶν δενδρέων οὐκ ἔχει πῖαρ ἐν ἑωυτοῖσι, ὅσον ἐς τὸν καρπὸν ἐκδώσεσθαι. Τὸ δὲ πᾶν δένδρεον ὁκόταν ὑπὸ χρόνου στερεωθῇ καὶ λάβηται ἐκ τοῦ κάτω τῇσι ῥίζῃσι ἤδη βιαίως, πέπαυται αὐξόμενον [8] πάντῃ. Ὁκόσοισι δὲ ἐς δένδρεα ἀφ' ἑτέρων δενδρέων ὀφθαλμοὶ ἐνετέθησαν καὶ δένδρεα [9] γενόμενα ἐν τοῖσι δένδρεσι ζῇ καὶ καρποφορέει καρπὸν οὐχ ὁμοῖον οἷσι ἐγκείμενά ἐστι, [10] τρόπῳ τοιῷδε

calor adsit, inferiore refrigerari oportet, contraque si superiore parte frigus accedat, eam inferiore parte incalescere necesse est. Ac quodcumque radices attraxerint, id arbori communicant arborque radicibus, sicque calidi et frigidi mutua fit dispensatio. Atque haud aliter quam in homine ingestis in ventriculum cibis, qui dum concoquuntur calefaciant, frigus a potu reddi oportet, sic et in arbore mutua quaedam retributio ex imis ad summa et contra fieri debet. Ideoque tum inferiore, tum superiore parte arbor increscit, quod alimentum ex inferioribus et superioribus partibus capessit. Et quamdiu tenella admodum fuerit, fructum non profert. Neque enim vis illi pinguis et crassa inest, quae ad fructum satis esse possit. Procedente vero tempore, tunc iam ampliores venae redditae in eam ex terra pinguem et crassum humoris fluxum deducunt, quem sol diffundens et cum levis sit fervescentem in summas partes educit fructumque profert et ab eo tenuem quidem humorem deducit, crassiorem vero concoquens et calefaciens condulcat. Quae vero arbores fructum non ferunt, non tantam habent in se pinguedinem, quae in fructum consumatur. Quaecumque autem arbor temporis spatio robur acceperit et firmas radices egerit, iam penitus omni ex parte crescere desiit. At vero arbores, quae ex aliarum inoculatione proveniunt, eae non illarum similem, in quas insitae sunt, fructum ferunt. Quod hoc modo fit. Principio quidem oculus germinare incipit, si quidem alimentum habeat, primum quidem ab arbore, a qua avulsus est, tum vero ab ea, in quam insitus est. Ubi vero

[1] αὐτῷ om. — [2] ὅταν. — [3] καί om. — [4] τόπου. — [5] τῷ om. — [6] καί om. — [7] ἐῄ. — [8] πάντῃ om. — [9] γινόμενα. — [10] τρόπῳ δὲ τοιῷδε.

αἵ τε ῥίζαι — ῥίζῃσι.] ὅ τι ἄν pro vulgato ὅταν Littr. ex E. H., ubi al. m. ita scriptum, K., Lind., Mack.; — ἐκδιδόασι C. ξ.

καὶ γίγνεται — καὶ ἀνάπαλιν.] καί ante τῷ ἀνθρώπῳ C. E. H. al. m., O. Littr., καί om. vulg.; — ἅσσα C., ὅσα vulg.; — δεῖ καὶ ἀνταποδ. E. K. O. π.; — τόπου, uti V., multi codd. apud Littr.; — ἐκ τοῦ κάτω δεῖ ἀνταποδίδοσθαι C.; — πρὸς τὰ ἄνω.

καὶ αὔξεται — ἄνωθεν.] οἱ ante τροφή E. K. π., Littr., ἡ pro οἱ vulg., uti Voss.

καὶ ἕως μὲν ἂν — ἐκδώσεσθαι.] τότ' C. ξ., τότε vulg.; — εὐρεῖαι γενόμεναι cod. ξ., εὐρεῖαι γινόμεναι vulg.; — ἐκζῆν O., ἐκζέειν Lind., Mack.; — ὁ ante ἥλιος om. C.; — ἐν ἑωυτοῖσι de meo pro vulg. ἐν αὐτοῖσι itemque de meo ἐκδώσεσθαι pro ceterorum ἐκδώσεται.

τὸ δὲ πᾶν — πάντῃ.] ἐκ τοῦ κάτω Lind., Mack.; — τὴν ῥίζαν H. al. m., K.; — αὐξανόμενον iidem; — πάντως K., sed πάντῃ omm. libri decem apud Littr., in quorum duobus restituitur alia manu.

ὁκόσοισι δὲ — γίγνεται.] ἀνετέθησαν C.; — γενόμενα C. Littr., γινομ. vulg.; — καὶ καρπόν C.; — τόδε γίνεται C. ξ.

τοῦτο γίγνεται. Ξυμβαίνει τῷ ὀφθαλμῷ πρῶτον [1] μὲν βλαστάνειν, τροφὴν γὰρ εἶχε πρῶτον μὲν ἀπὸ τοῦ δενδρέου, ἀφ' οὗ ἀπηνέχθη, ἔπειτα ἐν ᾧ ἐνετέθη· ὁκόταν δὲ βλαστήσῃ οὕτω, μεθίησι ἐς τὸ δένδρεον ῥίζας ἀπὸ ἑωυτοῦ λεπτάς· καὶ πρῶτον [2] ἐπαυρίσκεται ἀπὸ τῆς ἰκμάδος τῆς ἐν τῷ δενδρέῳ ἐνεούσης, ἐν ᾧ ἔγκειται· ἔπειτα χρόνου ἐγγενομένου ἀφίησι ῥίζας ἐς τὴν γῆν διὰ τοῦ ἐν ᾧ ἐνετέθη καὶ ἐπαυρίσκεται ἀπὸ τῆς γῆς ἕλκον τὴν ἰκμάδα καὶ τροφὴ αὐτῷ ἐκεῖθέν ἐστι· ὥστε μὴ θαυμάζειν ἑτερόκαρπα εἶναι τὰ ἔνθετα τῶν δενδρέων, ζῇ γὰρ ἀπὸ τῆς γῆς. Ταῦτά μοι εἴρηται περὶ τῶν δενδρέων καὶ τῶν καρπῶν διὰ τόδε, ὅτι οὐχ οἷόν τε ἦν μοι τὸν λόγον ἡμιτελέα καταλιπεῖν.

pullularit, tenues ex se radices in arborem demittit primumque arboris humore, in quem insitus est, fruitur. Deinde temporis spatio radices in terram demittit per eam in quam insitus est et attracto e terra humore fruitur indeque alimentum sumit, ut proinde minime mirum videri debeat, si insitae arbores alios fructus proferant, cum e terra vivant. Haec quidem de arboribus et fructibus illam ob causam dicta sunt, quod imperfecta oratio relinqui a me non debuerit.

κζ'. Ἀναβήσομαι δ' αὖτις ὀπίσω οὗ εἵνεκά μοι λόγου τάδε ἀμφὶ τῶνδε εἴρηται. Φημὶ γὰρ τὰ ἐν τῇ γῇ φυόμενα πάντα ζῆν ἀπὸ τῆς γῆς τῆς ἰκμάδος καὶ ὅπως ἂν ἡ γῆ ἔχῃ ἰκμάδος ἐν ἑωυτῇ, οὕτω καὶ τὰ φυόμενα ἔχειν· οὕτω δὲ καὶ τὸ παιδίον ζῇ ἀπὸ τῆς μητρὸς ἐν τῇσι μήτρῃσι καὶ ὅκως ἂν ἡ μήτηρ ὑγιείης ἔχῃ, οὕτω καὶ τὸ παιδίον ἔχει. Ἢν δέ τις βούληται ἐννοεῖν τὰ ῥηθέντα ἀμφὶ τούτων ἐξ ἀρχῆς ἐς τέλος, εὑρήσει τὴν φύσιν πᾶσαν παραπλησίην ἐοῦσαν τῶν τε ἐκ τῆς γῆς φυομένων καὶ τῶν ἐξ ἀνθρώπων. Καὶ ταῦτά μοι ἐς τοῦτο εἴρηται.

27. Nunc vero ad ea revertar, quorum gratia illa a me dicta sunt. Quae ex terra nascuntur, ea omnia ex terrae humore vivere assero et quemadmodum terrae humor habet, ita et se habere quae ex ipsa oriuntur. Ita autem puer quoque in utero ex matre vivit et ut valet mater, ita et puer. Quodsi quis quae de istis dicta sunt ab initio ad finem usque secum reputare volet, is eorum quae e terra nascuntur et hominum naturam per omnia similem esse comperiet. Ac de his satis.

κη'. Τὸ δὲ παιδίον ἐν τῇσι μήτρῃσι ἐὸν τὼ χέρε ἔχει πρὸς τῇσι γένυσι καὶ τὴν κεφαλὴν πλησίον τοῖν ποδοῖν· καὶ οὐκ ἔστι [3] ἀτρεκείῃ κρῖναι, οὐδ' ἂν ἴδῃς ἐν τῇσι μήτρῃσι τὸ παιδίον, πότερον τὴν κεφαλὴν ἄνω

28. At vero puer ubi in utero exsistit, manibus ad genua adhaeret caputque pedibus proximum habet, neque certo dignoscere queas, etiamsi puerum in utero videas, utrum caput sursum an deorsum vergat. Quae autem

[1] μέν om. — [2] ἀπαυρίσκεται. — [3] ἀτρεκείη.

ξυμβαίνει — γῆς.] ἐν ᾧ ἐτέθη O.; — οὕτω C. ξ. π. Littr., οὕτως vulg.; — ἀπὸ ἑωυτοῦ de meo, ἀπ' αὐτοῦ vulg.; — ἐπαυρίσκεται C. E. H. al. m., K., ἀπαυρίσκ. vulg.; — ἐν τῷ δένδρῳ C.; — ἐν ᾧ ἐτέθη O.; — ἕλκων Lind., Mack.; — κεῖθεν C.

ταῦτα — καταλιπεῖν.] ἦν om. C.

27. ἀναβήσομαι — εἴρηται.] αὖτις C. ξ., αὖθις vulg.; — εἴρηνται C. ξ.

Φημὶ — ἔχει.] καὶ ὅκως — ἰκμάδος omm. F. G. H., ubi al. m. ἰκμάδος ἔχῃ, I. J. Voss.; — ἰκμάδος ἔχει O. (ἔχῃ cod. π.); — δέ post οὕτω de meo intuli, ceteri non ferunt; — ζῆν al. m. H.; — τύχῃ pro ἔχῃ O., τύχοι m. sec. in H., τύχῃ m. prima.

ἢν δέ τις — εἴρηται.] Post τις addit ἐξ ἀρχῆς ἐς τέλεον cod. δ.; tum βούληται om. J.; — ἐκ γῆς vulg., ἐκ τῆς γῆς C. E. Littr.; — τὴν ἀνθρωπίνην pro τῶν ἐξ ἀνθρώπων C. ξ. Marc.; — καὶ ταῦτα μέν sine μοι J.; — ταὐτό ex C. ξ. adnotat Littr., ταυτὸ (sic) ex Marc. mihi excerptum est.

28. τὸ δὲ παιδίον — αὐτό.] χέρε E. H. I. K. π. Littr., χεῖρε vulg.; — ἔχει om. O.; — τῇσι C. E. X., τοῖσι vulg.; γέννυσι Bas., Parr. 4., γόνυσι Zuing. in marg. Porro ἀτρεκείη ceteri, sed ἀτρεκείῃ Marc., quem sine dubio sequi oportet; — οἱ ante ὑμένες omm. E. H. O.; — αὐτόν J.; — αὐτῶν C. ξ. Zuing. in marg.; — οἱ post ὑμένες de meo.

ἔχει ἢ κάτω· ἐκ δὲ τοῦ ὀμφαλοῦ τεταμένοι εἰσὶ οἱ ὑμένες οἱ ἀντέχοντες αὐτό.

eum sustinent membranae ex umbilico protenduntur.

κθ'. Νῦν δὲ ἐρῶ τὴν διάγνωσιν, ἣν ἔφην ἀποφανέειν ὀλίγῳ πρότερον, ὡς ἀνυστὸν ἀνθρωπίνῃ γνώμῃ ἐμφανέα ἐοῦσαν παντὶ τῷ θέλοντι εἰδέναι τούτου πέρι, ὅτι ἥ τε γονὴ ἐν ὑμένι ἐστὶ καὶ κατὰ μέσον αὐτῆς ὁ ὀμφαλός ἐστι, κἀκείνῃ πρῶτον τὴν πνοὴν ἕλκει ἐς ἑωυτὴν καὶ μεθίησι ἔξω, καὶ ἐκ τοῦ ὀμφαλοῦ ὑμένες εἰσί· καὶ τὴν ἄλλην φύσιν τοῦ παιδίου, [1] ἣν εἴρηκα, ὧδε ἔχουσαν εὑρήσεις πᾶσαν μέχρις ἐς τέλος, ὅκως μοι ἐν τοῖσι λόγοισι ἀποπέφανται, εἰ βούλεταί τις τοῖσι ἱστορίοισι, ὁκόσοισι μέλλω λέγειν χρῆσθαι. Εἰ γάρ τις [2] ἐθέλοι ᾠὰ εἴκοσι [3] ἢ καὶ πλείονα, ὅκως [4] ἐκλαπήσεται, ὑποθεῖναι [5] ἀλεκτορίσι εἴτε δυσὶ [6] εἴτε πλείοσι καὶ ἑκάστης ἡμέρης ἀπὸ τῆς δευτέρης ἀρξάμενος μέχρι τῆς ὑστάτης, ἧ ἐκλέψει τὸ ᾠὸν, ὑφαιρέων [7] καταγνύναι, σκοπῶν εὑρήσει ἔχοντα πάντα κατὰ τὸν ἐμὸν λόγον, ὡς ὄρνιθος [8] φύσιν ξυμβάλλειν ἀνθρώπου φύσι. Ὅτι γὰρ ὑμένες εἰσὶ ἐκ τοῦ ὀμφαλοῦ τεταμένοι καὶ τἄλλα, ὁκόσα εἴρηται περὶ τοῦ παιδίου, οὕτως ἔχοντα ἐν τῷ ᾠῷ τῷ ὀρνιθείῳ εὑρήσεις ἐξ ἀρχῆς ἐς τέλος καίτοι εἴ τις μηδέπω εἶδε, θαυμάσει ἐν ὀρνιθείῳ ᾠῷ ἐνεόντα ὀμφαλόν. Ἔχει δὲ ὧδε τάδε καὶ ταῦτά μοι ὧδε εἴρηται.

29. Nunc vero rationem eam explicabo, quam paulo antea me demonstraturum dixi, quae quantum humanum ingenium consequi potest, aperta est iis omnibus, qui ea de re nosse volent, quod genitura membrana continetur et in eius medio umbilicus exstat, per quem primum spiritum ad se attrahit et foras emittit, quodque ex umbilico membranae protenduntur. Quin et reliquam pueri naturam, velut a me demonstrata est, ita prorsus se habere comperiet, qui his argumentis, quae a me proferentur, uti volet. Si quis enim ova viginti, aut etiam plura gallinis duabus, aut pluribus, ut excludantur, supponat et singulis diebus a secundo exorsus ad ultimum usque, quo pullus ex ovo prodibit, subtrahat et frangat, diligenter inspiciens videbit in eo quo dixi modo omnia se habere, quantum avis naturam cum humana conferre licet. Ex umbilico enim membranas protendi aliaque omnia, quae de puero dicta sunt, eodem prorsus se habere modo in ovo gallinaceo comperies. Quamquam qui haec nondum observavit, is in ovo gallinaceo umbilicum inesse mirabitur. Atque ista, quae a me dicta sunt, ad hunc modum se habere conspicient.

λ'. Ὁκόταν δὲ [9] γυναικὶ ὁ τόκος παραγένηται, ξυμβαίνει τότε τῷ παιδίῳ [10] κινευμένῳ καὶ ἀσκαρίζοντι χερσί τε καὶ ποσὶ ῥῆξαί τινα τῶν ὑμένων τῶν ἔνδον· ῥαγέντος δ' [11] ἑνὸς ἤδη

30. Quando vero mulieri partus instat, tum se movente puero et manibus et pedibus se iactante, membrana quaedam interna ut rumpatur accidit. Qua rupta ceterae imbecilliores

[1] ἣν εἴρηκα om h. l., sed legitur post τέλος. — [2] ἐθέλοι. — [3] ἢ καί. — [4] ἐκλεπίσηται. — [5] ἀλεκτορίοισι. — [6] ἢ καὶ πλ. — [7] καὶ καταγν. — [8] φύσιν om. — [9] τῇ γυναικί. — [10] κινεομένῳ. — [11] ἤδη ἑνός.

29. νῦν δὲ ἐρῶ — χρῆσθαι.] καὶ ἐν ὑμένι ἐστί cod. O.; — ἐπεὶ κατὰ μέσον vulg., sed Littréus e multis mss. καὶ κατὰ μέσον, quod Marc. item fert. Articulum ante ὀμφαλός omm. C. ξ. Marc.; — πνοιήν Lind., Mack., τὴν πνοὴν πρῶτον O.; — ἣν βούληταί τις C. ξ. Marc.

εἰ γάρ τις — φύσι.] ἐθέλοι codd. multi apud Littr. et Marc.; — ἐθέλει vulg.; — ἢ καὶ πλείονα vulg., καί omm. C. Marc., Littr., πλείω O.; — ἐκλαπήσεται ex Erotiano legendum esse pro ἐκλεπίσηται vulgatae docuit Cobetus in Mnemos., ἐκλεπήσεται Marc.; — ἀλεκτορίοισι Ald., multi codd. Littréi, Voss., Marc.; — ἢ πλείοσι e multis libris adnotat Littr. pro εἴτε πλείοσι; — εἴτε καί vulg., sed καί omm. C. Littr.; — τῆς ante δευτέρης omm. E. H. π.; — ἐκλείψει nonnulli codd. apud Littr. et Marc.; — ὑφορέων al. m. H.; — καὶ καταγνύων vulgo, καί om. Littr. cum libris multis, omittit etiam Marcianus; sed ego καταγνύων non ferendum puto, auctor enim καταγνύναι scripserit, quod ab ἐθέλοι pendet; — σκοπεῖν in marg. alicuius libri vidit Littr., in quo tentamen correctionis agnosco ipsius illius vitii, quod alio modo tollere studui. — Vulgo ὡς χρὴ ὄρνιθος κ. τ. λ., ego otiosum χρή abieci.

ὅτι γὰρ — ὀμφαλόν.] ἐν τῶι ὠιῶι Marc.; — ἤν τις — εἶδε vulgo, E. οἶδε; de meo εἰ pro ἤν dedi; — θαυμάσειεν ἐν et θαυμάσειεν sine ἐν pauci libri; — rursus ὠιῶι Marc.; — ἐόντα C. ξ.

ἔχει — εἴρηται.] καὶ ταῦτα δέ μοι vulgo, δέ vero omm. C. ξ., quos sequor; — μου Parr. 3.

30. ὁκόταν δὲ — ὕστατος.] ἀναγκάζοντι pro ἀσκαρί-

καὶ οἱ ἄλλοι ἀκινδυνοτέρην δύναμιν ἔχουσι· καὶ ῥήγνυνται πρῶτον μὲν οἱ κείνου ἐχόμενοι· ἔπειτα ὁ ὕστατος. Ὁκόταν δὲ ῥαγῶσι οἱ ὑμένες, τότε λύεται [1] τοῦ δεσμοῦ τὸ ἔμβρυον καὶ χωρέει ἔξω κλονηθέν· οὐ γὰρ ἔτι ἔχει σθένος τῶν ὑμένων προδόντων, οὐδ' αἱ μῆτραι δύνανται ἔτι τὸ παιδίον ἴσχειν τῶν ὑμένων, ὡς ἔφην, προδόντων καὶ ἀπενεχθέντων· προσλαμβάνονται γὰρ οἱ ὑμένες καὶ τῶν μητρέων, ὁκόταν ἀμφὶ τὸ παιδίον ἑλίσσωνται, οὐ πολλῇ δυνάμι. Ὁκόταν δὲ χωρέῃ τὸ παιδίον, βιᾶται καὶ εὐρύνει τὰς μήτρας ἐν τῇ διεξόδῳ, ἅτε ἀπαλὰς ἐούσας· χωρέει δὲ ἐπὶ κεφαλὴν, [2] ἢν κατὰ φύσιν ἴῃ· βαρύτατα γάρ ἐστι αὐτῷ τὰ ἄνω ἐκ τοῦ ὀμφαλοῦ σταθμεόμενα. Ἐν δὲ τῇσι μήτρῃσι [3] ἐὸν ἐγκρατὲς μᾶλλον γίγνεται ἐς τῶν ὑμένων τὴν κατάρρηξιν ἅμα δεκάτῳ μηνὶ, ὅτε ὁ τόκος τῇ μητρὶ παραγίγνεται. Ἢν δὲ βιαιόν πάθημα πάθῃ τὸ παιδίον, καὶ πρόσθεν τοῦ ὡρισμένου χρόνου ῥαγέντων τῶν ὑμένων ἐξέρχεται· καὶ ἢν ἡ τροφὴ πρόσθεν λήξῃ ἀπὸ τῆς μητρὸς τῷ παιδίῳ, καὶ οὕτω πρόσθεν ὁ τόκος τῇ μητρὶ παραγίγνεται [4] καὶ θᾶσσον δέκα μηνῶν ἐξέρχεται. Ἀλλ' ὅσαι δὴ ἔδοξαν πλείονα

sunt, primumque rumpuntur quae illam contingunt, deinde postrema. Ruptis autem membranis tum foetus vinculo exsolvitur et agitatus foras prodit; neque enim laxatis membranis robur amplius habet, neque uterus puerum continere valet, ruptis, uti dixi, membranis et avulsis. Neque enim membranae, cum puerum circumplectuntur admodum magna vi utero adhaerescunt. Cum vero puer prodit, utero dilatato, qui mollis est, vi sibi viam aperit et in caput fertur, si secundum naturam exeat. Gravissimae enim illi sunt superiores partes ex umbilico libratae. Quamdiu autem in utero manet, validior semper evadit, dum membranas decimo mense perrumpat, quando matri partus instat. Quodsi vero vis quaedam puero accidat, etiam ante praefinitum tempus ruptis membranis foras prodit. Quin etiam si alimento a matre prius destituatur, sic quoque ante tempus matri partus ingruit et ante decimum mensem puer egreditur. At vero si quae ultra decem menses utero gestare sibi visae sint, quod iam saepe audivi, eae hoc, quem referam, modo falluntur. Cum uterus a ventre flatum suppeditante spiritu distenditur et intu-

[1] ἀπὸ τοῦ δ. — [2] εἰ. — [3] ἐνεόν. — [4] θᾶσσον δέ sine καί.

ζοντι J., Zuing. in marg.; — δ' ἑνός Marc., δέ plene cett.; — ἤδη ἑνός vulg., ἑνὸς ἤδη C. ξ. Marc., Littr.; — καί ante αἱ ἄλλαι omm. C. ξ. Marc.; — ἐκείνου C.

ὁκόταν — κλονηθέν.] ἀπὸ τοῦ δεσμοῦ vulg., sed ἀπό omm. C. ξ. Marc., Littr. — Iam vero post κλονηθέν vulgata fert: οὐ γὰρ ἔτι ἔχει σθένος τῶν ὑμένων προδόντων, οὐδὲ αἱ μῆτραι δύνανται ἔτι τὸ παιδίον ἴσχειν τῶν ὑμένων, ὡς ἔφην, προδόντων καὶ τούτων ἀπενεχθέντων· προσλαμβάνονται γὰρ οἱ ὑμένες καὶ τῶν μητρέων, ὁκόταν ἀμφὶ τὸ παιδίον ἑλίσσωνται, οὐ πολλῇ δυνάμει. post prius προδόντων Merc. in marg. addit καὶ τούτων ἀπενεχθέντων; — cod. J. αἵδε αἱ μῆτραι pro οὐδὲ αἱ μ. fert; — ad ἔτι Merc. οὐκ ἔτι ἴσως in marg.; — τῶν ὑμ., ὡς ἔφην, προδ. in nonnullis libris non legi adnotat Zuing. in marg. — E Marciano excerptum lego: ἴσχειν ἅτε τῶν ὑμένων προδόντων καὶ τούτων ἀπεν. — In codd. C. ξ. Littr. vidit: οὐ γὰρ ἔτι ἔχει σθένος τῶν ὑμένων προδόντων καὶ τούτων ἀπενεχθέντων αἱ μῆτραι ἔτι τὸ παιδίον ἴσχειν· προσλαμβ. κ. τ. λ. — Quam lect. editor Paris. recepit, nisi quod οὐδὲ αἱ μῆτραι δύνανται ἔτι scripsit e vulgata. Marc. in his οὐδ' αἱ μῆτραι legit. — Adnotat Littréus: „cette phrase me parait douteuse. Il faut supposer que δεσμός est le sujet de ἔχει et la construction ne l'indique pas. Quant au reste je prends la leçon C. seulement rectifiée à l'aide de vulg." Equidem non sum certus re ipsa δεσμός esse debere subiectum verbi ἔχει, non referri debere ad τὸ ἔμβρυον, quod dicatur non amplius vim habere, qua valeat se continere intra uterum. Sed me advertit καὶ τούτων ἀπενεχθέντων, unde saltem otiosum τούτων abigo; cum ἀπενεχθέντων vero conferendus locus e § 24. libri IV. de morbis, ubi de calculo vesicae: καὶ ἀποφέρει τι ἀπ' αὐτῆς; simili enim sensu utroque loco verbum usurpatur. Tum vero arbitror antiquam lectionem loci in vulgata haberi, non in lectione codicum C. ξ. — Id unum tandem noto articulum ante ὑμένες in C. omitti.

ὁκόταν — σταθμεόμενα.] βιῆται vulg., — βιᾶται de meo; — ἀεὶ κινεῖ H. al. m. in marg.; — ἤν ante κατὰ φύσιν C. Marc., Littr., εἰ vulg.; — αὐτοῦ ὀμφ. pro ἐκ τοῦ ὀμφ. C.

ἐν δὲ τῇσι — παραγίγνεται.] ἐόν C. ξ. Marc., Littr.; ἐνεόν vulg.; — ἐκ τῶν ὑμένων non pauci libri Littréi et Marc., vitiose tamen et ex εἰς ortum, pro quo ἐς Lind., Littr.; — ἅμα δ' ἑκάστῳ Ald. et multi codd.; — ὁ ante τόκος om. π.

ἢν δὲ — ἐξέρχεται.] τούτου τοῦ pro τοῦ ὡρισμένου C. H. K. ξ. Marc., ὁρισμ. vulg., ὡρισμ. Littr. e libris non paucis; — καί ante θᾶσσον E. H. al. m. K. O. P.', Littr., καί om. vulg., sed haec θᾶσσον δέ, quum δέ omm. E. H. K. P.' π. Littr.

ἀλλ' ὅταν — ἡμέρῃσι.] διεβλήθησαν recte etiam Marc.; dedit autem Littr. e nonnullis libris et Erot.; in plerisque mss. vario modo corruptum legitur. Dein ᾧ μέλλω λέγειν C. ξ. Marc.; — ἐφ' ἑωυτάς pro ἐς σφᾶς αὐτάς E. H. al. m., K. π., ἐς ἑωυτάς P.' Q.' Lind.; — dein σφέας ex E. H. sec. m., Littr., σφᾶς vulgo. De meo articulum τά ad-

χρόνον δέκα μηνῶν ἔχειν, — ἤδη γὰρ τοῦτο πολλάκις ἤκουσα, — κεῖναι [1] διεβλήθησαν τρόπῳ τοιῷδε, ᾧ μέλλω ἐρέειν· ὁκόταν αἱ μῆτραι πνεῦμα λάβωσι [2] ἐς σφᾶς αὐτὰς ἀπὸ τῆς κοιλίης φῦσαν παρεχούσης καὶ ἐξαρθῶσι, — γίγνεται γὰρ τοῦτο, — δοκέουσι [3] δὴ αἱ γυναῖκες πρὸς σφέας ἔχειν τότε· καὶ ἢν τὰ καταμήνια μὴ χωρέοντα ξυστραφῇ ἐν τῇσι μήτρῃσι καὶ ἔῃ χρονιώτερα, ἀεὶ διαρρεῖ ἐς τὰς μήτρας, ἔστι μὲν ὅτε ξὺν τῷ ἀπὸ τῆς κοιλίης πνεύματι, ἔστι δ' ὅτε καὶ θερμαινόμενα, καὶ δὴ καὶ τότε ἐν γαστρὶ δοκέουσι ἔχειν αἱ γυναῖκες, ἅτε τῶν καταμηνίων μὴ χωρεόντων καὶ τῶν μητρέων ἠρμένων· εἶτα ἔστι ὅτε τὰ καταμήνια ἐρράγη αὐτόματα, ἢ ἑτέρων ἐπικατελθόντων ἀπὸ τοῦ σώματος ἐς τὰς μήτρας καὶ κατενεγκάντων τὰ πρότερα καὶ [4] ἡ φῦσα ἐξῆλθε. καὶ πολλῇσι ἤδη εὐθὺς μετὰ τὴν τῶν καταμηνίων λύσιν αἱ μῆτραι ἔχανον καὶ κατὰ τὸ αἰδοῖον ἐστράφησαν καὶ τηνικαῦτα μιχθεῖσαι ἀνδράσι ἔλαβον πρὸς σφᾶς τὸν γόνον αὐθημερὸν ἢ ἅμα ὀλίγῃσι ἡμέρῃσι. Λογίζονται δ' αἱ γυναῖκες αἱ ἄπειροι τούτων τῶν λόγων καὶ τῶν πρηγμάτων [5] κατ' ἐκεῖνον τὸν χρόνον ἐν γαστρὶ ἔχειν, ὅτε τὰ καταμήνια οὐκ ἐχώρεον αὐτῇσι καὶ αἱ μῆτραι ἠρμέναι ἐτύγχανον. Ὅτι δ' οὐκ ἔστι χρονιώτερον δέκα μηνῶν ἐν γαστρὶ ἔχειν, ἐγὼ φράσω· ἡ τροφὴ καὶ ἡ αὔξησις ἡ ἀπὸ τῆς μητρὸς κατιοῦσα οὐκ ἔτι ἀρκέουσα τῷ παιδίῳ [6] ἐστὶ, ὁκόταν οἱ δέκα μῆνες παρέλθωσι καὶ τὸ ἔμβρυον αὐξηθῇ· ἕλκει γὰρ ἀπὸ τοῦ αἵματος ἐς ἑωυτὸ τὸ γλυκύτατον, ἅμα δε καὶ ἀπὸ τοῦ γάλακτος ἐπαυρίσκεται ὀλίγον· ὁκόταν δ' αὐτῷ σπανιώτερα

mescit, — id enim fit, — tunc mulieres se concepisse existimant. Et si menses minime prodeuntes in utero collecti fuerint longioremque moram fecerint, subinde alii eo confluunt, interdum quidem flatibus qui a ventre procedunt permixti, interdum vero incalescentes. Tunc quoque sane non prodeuntibus mensibus et in tumorem sublato utero, mulieres gravidae esse sibi videntur. Deinde quandoque menses sua sponte erumpunt, aut cum alii insuper ad uterum e corpore ferantur et priores deturbent, etiam flatus egreditur ac multis iam statim post menstruam purgationem uterus dehiscit et ad pudendum convertitur, atque eo tempore cum viris congressae, eodem ipso die, vel paulo post concipiunt. Atque mulieres harum rationum ac rerum ignarae eo tempore se concepisse reputant, quo menses suppressi erant et uterus intumuerat. Cur autem non longiore quam decem mensium spatio foetum utero gestari accidat referam. Post exactos decem menses ubi foetus grandior est, alimentum et incrementum, quod a matre demittitur, non amplius puero sufficere potest. Quod enim in sanguine dulcissimum est ad sese attrahit, simulque aliquantula lactis portione fruitur. Quae cum ipsi pauciora sint, puerque iam plenior factus plus alimenti quam adsit requirat, ipse sese iactans membranas disrumpit. Idque frequentius experiuntur mulieres, quae primum pariunt. Neque enim pueris alimentum ad decimum mensem satis esse potest. Quod hoc modo deficit: mulieribus quibusdam quidem menstruae purgationes abundantes, quibusdam pauciores expurgantur. Quod si in natura et in genere

[1] διελύθησαν. — [2] ἐς om. — [3] δή om. — [4] ἡ om. — [5] κἀκείνων. — [6] ἐστὶ μὲν ὁκόταν.

scripsi ante καταμήνια μὴ χωρέοντα. Pro ξυστροφῇ ferunt συσχεθῇ libri nonnulli, quorum duo supra versum; — καί ante ἀεί Zuing. in Marg., Lind., sed otiosum est; — ἀπὸ κοιλίης J.; — ἀπὸ τοῦ σώμ. omm. C. ξ.; — κατενεγκόντων H.. — Articulum ante φῦσα e multis libris addidit Littr. — Heringa καταμηνίων λύσιν ex Erot. refert ad locum nostrum, ubi mss. κάθαρσιν, — equidem antiquam lectionem restitui; — καὶ μιχθεῖσαι τότε C. ξ. Marc.; — αἱ γυναῖκες ἔλαβον iidem; — αὐθήμερον et αὐθημερόν in mss. habetur; hoc etiam Marc. fert et mihi dandum est visum.

λογίζονται — ἐτύγχανον.] δ' C. ξ. Marc., δέ cett.; — αἱ γυναῖκες vulgo abest, addidit Littt. e multis libris, ferunt etiam Marc., Voss.; — κατ' ἐκεῖνον E. H. al. m., K. π. Littr., vulgatam e V. notavi; — ἦσαν pro ἐτύγχανον C. ξ. Marc.

ὅτι δὲ οὐκ — ῥήγνυσι.] δ' C. ξ., δέ vulg.; — ἡ ante ἀπό omm. E. H., in quo erasum, K. X. P.', Mack.; — ἀρκέουσα H. al. m. in marg., ἀρκοῦσα cett.; — ἐς ἑαυτόν J.', ἐς αὐτό C. ξ. Marc.; — σπανιώτερον E. K., σπανιότερα Zuing.; — γένηται vulg., γίνεται C., γίνηται Littr.; —

[1] ταῦτα γίγνηται καὶ ἁδρὸν ἔῃ τὸ παιδίον, ποθέον πλείονα τῆς ὑπαρχούσης τροφῆς, ἀσκαρίζει καὶ τοὺς ὑμένας ῥήγνυσι. Καὶ μᾶλλον τοῦτο πάσχουσι αἱ τῶν γυναικῶν [2] πρωτοτόκοι· ἐπιλείπει γὰρ τοῖσι παιδίοισι ἡ τροφὴ ἐς τὸ ἀρκέσαι [3] ἄχρι τῶν δέκα μηνῶν. Ἐπιλείπει δὲ διὰ τρόπον τοιόνδε· εἰσὶ τῶν [4] γυναικῶν, αἳ μὲν [5] ἀρκέοντα τὰ καταμήνια [6] ἀποκαθαίρονται, αἳ δὲ ἐλάσσονα· τοῦτο δ' [7] ἢν ἀεὶ γίγνηται ἐν φύσι καὶ ἐν γένεϊ, μητρῷόν σφίν ἐστι· αἱ δὲ τὰ καταμήνια ὀλίγα μεθιεῖσαι, αὗται καὶ τοῖσι παιδίοισι τοῦ χρόνου τὸ ὕστατον, ὅταν ἤδη ἁδρὸν ἔῃ, τὴν τροφὴν σπανιωτέρην παρέχουσαι, ποιέουσι ἀσκαρίζειν καὶ πρόσθεν τῶν δέκα μηνῶν ἐξελθεῖν ἐπείγεσθαι· ὀλίγον [8] γὰρ ἀπ' αὐτέων χωρέει τὸ αἷμα. Ὡς δὲ ἐπὶ τὸ πλεῖστον ξυμβαίνει καὶ ἀγαλάκτους [9] μᾶλλον εἶναι ταύτας τὰς γυναῖκας, τὰς ὀλίγα τὰ καταμήνια μεθιείσας· ξηρότεραι γὰρ καὶ πυκνοσαρκότεραί εἰσι. Τούτῳ δὲ τῷ λόγῳ, ὅτι ἐπιλειπούσης τῆς τροφῆς ἐξέρχεται τὸ ἔμβρυον, ἢν μή τι αὐτῷ βίαιον πάθημα προσπέσῃ, [10] ἱστόριον τόδε ἐστί. Τὸ ὄρνεον γίγνεται ἐκ τοῦ ᾠοῦ τοῦ χλωροῦ τρόπῳ τοιῷδε· ἐπικαθιζομένης τῆς μητρὸς θερμαίνεται τὸ ᾠόν· καὶ [11] τὸ ἐν τῷ ᾠῷ ἐνεὸν ἀπὸ τῆς μητρὸς κινέεται· θερμαινόμενον δὲ πνεῦμα ἴσχει τὸ ἐν τῷ ᾠῷ ἐνεὸν καὶ ἀντισπᾷ ἕτερον ψυχρὸν ἀπὸ τοῦ ἠέρος διὰ τοῦ ᾠοῦ· τὸ γὰρ ᾠὸν ἀραιόν ἐστι οὕτως ὡς πνοὴν ἑλκομένην ἀρκέουσαν

semper accidat, ipsis maternum est. At quibus pauciora menstrua effluunt, hae pueris quoque suis postremum tempus, ubi iam auctiores fuerint, cum parcius alimentum suppeditant, eos ut iactentur cogunt, et ut ante decimum mensem prodeant, compellunt; paucus enim ab iis sanguis defertur. Ut plurimum vero quae pauca menstrua demittunt, eae ut sine lacte sint accidit; sicciores enim sunt et densiore corporis habitu. Quod vero deficiente alimento foetus exeat, nisi vis quaedam inferatur, hoc argumento comprobatur. Avis ex ovi luteo nascitur hoc modo. Ubi mater insidet, ovum incalescit et quod in ovo continetur a matre profectum movetur concalefactumque spiritum concipit et alium frigidum ab aëre per ovum attrahit. Ovum enim adeo rarum est, ut attractum spiritum satis copiosum ei quod inest transmittat. Et increscit avis in ovo et eodem prorsus consimilique modo in membra distinguitur, velut puer, uti iam antea a me dictum est. Procreatur autem avis ex ovi luteo, alimentum vero et incrementum ei est ab albo, quod in ovo inest. Quod quidem omnibus, qui animum adverterint, conspicuum esse potest. Cum autem alimentum ex ovo pullo deficit, neque satis ei suppetit, unde vivat, copiosius alimentum postulans vehementer movetur in ovo et membranae circumcirca disrumpuntur. Et ubi avis pullum vehementer moveri senserit, putamen tundendo frangens ipsum excludit. Atque

[1] γένηται sine ταῦτα. — [2] προτότοκοι. — [3] ἄχρις ἂν τῶν. — [4] γυναικῶν τινὲς, αἳ. — [5] ἀρκεόντως. — [6] καθαίρονται. — [7] ἤ. — [8] δὲ ἀπὸ τῶν νέων μητρέων χωρέει. — [9] μᾶλλον om. — [10] καὶ ἱστόριον. — [11] τό om.

ῥήγνυσι ἀρχὴν ἀποκυήσιος παρέχει τῇ μητρί Lind., τὴν ἀρχὴν ἀποκυήσιος Mack., uterque vero e Gal.

καὶ μᾶλλον — μηνῶν.] καὶ τῶν γυναικῶν αἱ πρωτοτόκοι τοῦτο πάσχουσι μᾶλλον C. ξ.; — καὶ τῶν γυναικῶν αἱ πρωτοτόκοι τοῦτο πάσχουσι μᾶλλον ἄχρις τῶν δέκα μηνῶν πρότερον. ἐπιλείπει δὲ ταύτῃσι διὰ τότε e Marc. excerptum lego; — ἄχρι C. E. K.; — ἄχρις ἄν vulg., sed ἄν cum pluribus mss. et Mack. omisit Littr.; — οὗ pro ἄν O.; — post μηνῶν C. E. H. al. m. K. ξ. π. addere πρότερον adnotat Littr.

ἐπιλείπει δὲ — τὸ αἷμα.] ταύτῃσι διὰ τόδε pro διὰ τρ. τοιόνδε C. ξ. et Marc., uti vidimus supra; — τωύτῃσι vel τόδε Zuing. in Marg.; — τῶν γυναικῶν τινές vulg., sed τινές omm. C. ξ. Marc.. Littr.; — ἀποκαθαίρονται iidem, καθαίρ. vulg.; — δ' ἥν cod. ξ., δὲ ἥν vulg.; — ἀεὶ μὴ γίνηται E. K., in H. μή al. m.; — τοῖσι ante παιδίοισι etiam Marc.; — ἔῃ τὸ παιδίον libri nonnulli; — ἐπείγεται P.' Q.' Lind., Mack., ἐπείγεσθαι omm. Ald. C. ξ. Marc., γάρ omm. prima m. in E., tum H. J. O. π.; — ἀπ' αὐτέων C. ξ. Marc., Zuing. in marg., vulgatam e V. notavi, nisi quod μητρῶν fert, μητέρων vero prima m. in E.. P.', Q.' Lind.

ὡς δὲ ἐπὶ τὸ πλεῖστον — εἰσί.] καὶ ἐπί vulg., καί omm. C. ξ. Marc.; — πλεῖον C. Marc.; — μᾶλλον C. ξ. Marc., Zuing. et Merc. in marg., Littr., — vulgo om.

τούτῳ — ἐστί.] κὴν μή τι P.' Mack.; — αὐτό C.; — μὴ αὐτῷ βιαιόν τι O.; — καὶ ἱστόριον vulg., καί omm. C. ξ. Marc., Littr.

τὸ ὄρνεον — ἐόντι.] ὄρνεον C. ξ. non Marc.; — ἐκ τοῦ χλ. τοῦ ὠοῦ K.; — τοῦ ante χλωροῦ om. J.; — τό ante ἐν τῷ om. idem; — ἀπὸ — ἐνεόν om. idem; τὸ ἐν τῷ ᾠῷ ἐνεόν om. O.; — ἐνεόντι C.

διϊέναι τῷ ἔνδον ἐόντι. Καὶ αὔξεται τὸ ὄρνεον ἐν τῷ ᾠῷ, καὶ διαρθροῦται τρόπῳ τῷ αὐτῷ τε καὶ παραπλησίῳ [1] ᾧπερ καὶ τὸ παιδίον, ὥς μοι ἤδη καὶ πρότερον εἴρηται. Γίγνεται δ' ἐκ τοῦ χλωροῦ [2] τοῦ ᾠοῦ, τροφὴ δὲ καὶ αὔξησίς ἐστι ἀπὸ τοῦ λευκοῦ τοῦ ἐν τῷ ᾠῷ ἐνεόντος· καὶ τοῦτ' ἤδη πᾶσι ἐμφανὲς ἐγένετο, ὁκόσοι προσέσχον τὸν νόον, [3] ὁκόταν ἐπιλείπῃ ἡ τροφὴ τῷ νεοσσῷ ἐκ τοῦ ᾠοῦ, οὐκ ἔχων ἀρκέουσαν, ἀφ' ἧς ζήσεται, κινέεται ἰσχυρῶς ἐν τῷ ᾠῷ, ζητέων τροφὴν πλείονα, καὶ οἱ ὑμένες περιρρήγνυνται καὶ ὁκόταν ἡ ὄρνις [4] αἴσθηται τὸν νεοσσὸν κινηθέντα ἰσχυρῶς, κολάψασα ἐξέλεψε· καὶ ταῦτα ξυμβαίνει γίγνεσθαι ἐν εἴκοσι ἡμέρῃσι. Καὶ ἐμφανές ἐστι ὅτι ὧδε ἔχει· ὁκόταν γὰρ κολάψῃ τὸ ὄρνεον ἐπὶ τοῖσι λεπυρίοισι τοῦ ᾠοῦ, ὑγρὸν ἔνεστι οὐδὲν ὅ τι καὶ ἄξιον λόγου· ἐξανήλωται γὰρ ἐς τὸν νεοσσόν. Οὕτω δὲ καὶ τὸ παιδίον, ὁκόταν αὐξηθῇ, οὐκ ἔτι δύναται ἡ μήτηρ τροφὴν παρέχειν ἀρκέουσαν· ζητέον οὖν πλείω τροφὴν τῆς παρεούσης τὸ ἔμβρυον ἀσκαρίζον ῥήγνυσι τοὺς ὑμένας καὶ λυθὲν τοῦ δεσμοῦ χωρέει ὁμοῦ ἔξω· καὶ ταῦτα γίγνεται ἐν δέκα μησὶ τὸ μακρότατον. Καὶ κατὰ τοῦτον τὸν λόγον [5] καὶ τοῖσι κτήνεσι καὶ τοῖσι θηρίοισι ὁ τόκος παραγίγνεται ἐν χρόνῳ, ᾧ ἕκαστον τίκτει, οὐ μακρότερον· ἑκάστῳ γὰρ τῶν ζῴων ἀνάγκη ἐστὶ χρόνον εἶναι, ἐν ᾧ ἡ τροφὴ σπανιωτέρη ἔσται τῷ ἐμβρύῳ καὶ ἐπιλείψει καὶ ὁ τόκος παρέσται· καὶ τὰ μὲν ἐλάσσω τροφὴν [6] τοῖσι ἐμβρύοισι ἔχοντα θᾶσσον τίκτει, τὰ δὲ πλείω ὕστερον. Καὶ ταῦτα μὲν ἐς τοῦτό μοι εἴρηται.

haec intra viginti dies accidere solent et ita id se habere manifestum est. Nam ubi volucris ovi testam contundendo fregit, nihil penitus humoris, quod alicuius sit momenti, in ea inest, quod totus in pullum absumptus est. Sic etiam cum puer increverit, mater ei sufficiens alimentum amplius suppeditare non potest. Plus itaque alimenti quam quod adsit foetus postulans sese iactando membranas disrumpit, simulque vinculis solutus foras prodit. Atque ista ut longissime decimo mense accidunt. Eaque est ratio cur brutis et feris eo ipso tempore, quo quaeque parere consuerit, nec tardius, partus ingruat. Unicuique enim animanti tempus esse necesse est, quo foetui parcius alimentum suppetat ac deficiat, tumque partio instat. Et quae quidem minus alimenti foetui suppeditant, celerius pariunt, quae vero plus, tardius. Ac de his quidem hactenus.

λα'. Τὸ δὲ παιδίον, ὅταν περιρραγῶσι οἱ

31. Puer autem, ubi circumcirca disruptae

[1] ὥσπερ. — [2] τοῦ ᾠοῦ τὸ ὄρνεον τροφὴν δὴ καὶ αὔξησιν ἔχει τὸ λευκὸν ἐν τῷ ᾠῷ· τοῦτο ἤδη. — [3] ὁκόταν δὲ ἐπιλ. — [4] εἴσηται. — [5] καὶ οἱ τῇσι κτήνεσι. — [6] ἐν τοῖσι.

καὶ αὔξεται — εἴρηται.] ἀρθροῦται C.; — ᾧ περ H., Zuing., Littr., ὥσπερ vulg.; — ἤδη om. Marc.

γίγνεται — ἡμέρῃσι.] δ' cod. ξ. Marc., δέ vulg.; — sed vulg. fert: γίνεται δὲ ἐκ τοῦ χλωροῦ τοῦ ᾠοῦ τὸ ὄρνεον τροφὴν δὲ καὶ αὔξησιν ἔχει (παρέχει Lind.) τὸ (τῷ H.) λευκὸν τὸ ἐν τῷ ᾠῷ. — Cum Littréo sequor C. ξ. Marc., in duobus illis tamen ἐόντος, ubi e Marc. ἐνεόντος recepi. Porro καὶ τοῦτ' C. ξ. Marc., Littr., τοῦτο sine καί vulg.; — τὸν νόον προσέσχον C. ξ. Marc.; — ὁκόταν δέ vulg., sed δέ omm. C. ξ. Littr.; — ἔχων Mack. et Foës. idem voluit, ἔχον cett.; — ζητέων Mack., ζητέον vulg.; — ἡ μήτηρ pro ἡ ὄρνις C. ξ., ἡ μῆρ (sic) Marc.; — εἴσηται, uti V., multi codd. apud Littr.; — συμβαίνει C. ξ. Mack.

καὶ ἐμφανὲς — νεοσσόν.] ἐξανάλωται Ald., G.

καὶ κατὰ τοῦτον — ὕστερον.] ἐπί pro ἐστί ante χρόνον εἶναι Parr. 6., π.; — ἐν τοῖσι ἐμβρύοισι ἔχοντα vulg., uti V., sed ἐν omm. C., Marc., Littr.

καὶ — εἴρηται.] μοι omm. C. Marc.

31. τὸ δὲ παιδίον — αὐτῇσι.] δή Zuing. pro δέ; — κρατήσῃ Ald. G. pro ἐπικρατήσῃ; — τοῦτο C. ξ. Marc., Littr.

ὑμένες, ἢν μὲν δὴ ἐπικρατήσῃ ἡ ἐπὶ τὴν κεφαλὴν ῥοπὴ, ῥηϊδίως τίκτει ἡ γυνή· ἢν δὲ πλάγιον [1] ἢ ἐπὶ πόδας χωρήσῃ, — γίγνεται γὰρ [2] τοῦτο, ἢν οὕτως ἡ ῥοπὴ τύχῃ γενομένη, [3] ἢ ὑπὸ εὐρυχωρίης [4] γε τῶν μητρέων, ἢ καὶ ἢν ἡ μήτηρ ἐν τῇ ὠδῖνι μὴ ἡσυχάσῃ τὸ πρῶτον· — κἢν οὕτω χωρέῃ, χαλεπῶς τέξεται ἡ γυνή· πολλαὶ δὲ ἤδη ἢ αὐταὶ ὤλοντο, ἢ τὰ παιδία, ἢ ἅμα αἱ μητέρες καὶ τὰ ἐν αὐτῇσι. Ἐκ δὲ τῶν τικτουσῶν μάλιστα πονέουσι αἱ πρωτοτόκοι διὰ τὴν ἀπειρίην τῶν πόνων καὶ πονέουσι μὲν πᾶν τὸ σῶμα, μάλιστα δὲ τὴν ὀσφύν τε καὶ τὰ ἰσχία· διΐσταται γὰρ σφέων τὰ ἰσχία· αἱ δὲ μᾶλλον ἔμπειροι τόκων ἧσσον πονέουσι τῶν πρωτοτόκων, αἱ δὲ πουλυτόκοι πάνυ ἧσσον πονέουσι. Ἢν δ' ἐπὶ κεφαλὴν ἴῃ τὸ ἔμβρυον, ἡ κεφαλὴ πρῶτον ἔξω χωρέει, ἔπειτα τἄλλα μέλεα ἑπόμενα, ὕστατος δὲ ὁ ὀμφαλός· ἐκ [5] δὲ τοῦ ὀμφαλοῦ τὸ χόριον τεταμένον ἐστί. Μετὰ δὲ ταῦτα ὕδρωψ ἔρχεται αἱματώδης ἀπό τε τῆς κεφαλῆς καὶ τοῦ ἄλλου σώματος ἀποκριθεὶς ὑπὸ βίης τε καὶ πόνου καὶ θέρμης καὶ ὁδὸν ὑφηγήσατο τῇ τῶν λοχείων καθάρσι· μετὰ δὲ τὴν ἔξοδον τοῦ ἰχῶρος ἡ κάθαρσις γίγνεται χρόνον τὸν πρόσθεν εἰρημένον. Καὶ οἵ τε μαζοὶ καὶ τἄλλα [6] μέλεα ὁκόσα ὑγρότερά ἐστι καταρρήγνυται τῶν γυναικῶν, ἥκιστα μὲν ἐν τῷ πρώτῳ τόκῳ, ἔπειτα δὲ, ὡς ἂν πλειόνων πειρέωνται τόκων ἐπὶ μᾶλλον καταρρήγνυται [7] διὰ κενουμένων τῶν φλεβῶν ὑπὸ τῆς καθάρσιος τῶν λοχείων. Ταῦτά δέ μοι ἐς τοῦτο εἴρηται.

λβʹ. Δίδυμα δὲ [8] γίγνεται μὲν ἀφ' ἑνὸς

sunt membranae, si quidem suo momento in caput magis inclinet, facile mulier parit. Quodsi in latus aut in pedes prodeat, id enim fit, si illuc momentum vergat, vel propter uteri amplitudinem, vel si mater in ipso partus dolore primum quiescere non potuerit, si sic, inquam, prodeat, difficilem partum mulier sentiet. Iam vero ex his plurimae, vel ipsi foetus, vel una etiam cum suis foetibus matres perierunt. Ex puerperis autem praecipue laborant quae primos partus experiuntur, eo quod doloribus non assueverint, et totum quidem corpus dolor occupat, praecipue vero lumbos et coxendices, quae ipsis diducuntur. Quae vero magis partus expertae sunt, minores dolores sentiunt quam quae primum pariunt. At quae multoties peperere, omnium minime dolent. Quodsi foetus in caput feratur, primum caput foras prodit, deinde reliqua membra consequuntur; postremus vero est umbilicus, ex quo secundae dependent. Post haec humor exit cruentus e capite et reliquo corpore vi doloris et caloris secretus, qui viam partus purgamentis facit. Post exitum autem saniei purgatio procedit, quo ante dictum est tempore. Et iam mammae, tum aliae partes humidiores mulieribus effunduntur, minimum quidem in ea, quae primum parit, ac in aliis deinceps, quo plures partus expertae sunt, eo magis effunduntur per venas a puerperii purgationis evacuatione inanitas. Atque ista a me hac de re dicta sunt.

32. Gemelli vero ex uno veneris complexu

[1] ἢ om. — [2] οὕτω πολλάκις. — [3] ἢ om. — [4] γε om. — [5] δέ om. — [6] ἑπόμενα. — [7] διακενεουμένων. — [8] γίνονται.

ubi οὕτω πολλάκις vulg., vid. lectt. Voss.; — γε C. ξ. Marc., Littr., γε om. vulg.; — in ἢ καὶ ἢν ἡ μ. particulam disiunctivam omm. C. ξ. Marc.; — αἱ μητέρες καὶ τὰ ἐν αὐτῇσι omm. C. ξ. Marc.

ἐκ δὲ — πονέουσι.] τίκτουσαι δὲ αἱ γυναῖκες pro ἐκ δὲ τῶν τικτουσῶν C. ξ. Marc., Merc. et Zuing. in marg.; — καὶ μάλιστα πονέουσι μὲν τὴν ὀσφύν τε καὶ τὰ ἰσχία, πονέουσι δὲ καὶ πᾶν τὸ σῶμα C. ξ.; — πουλυτόκοι Ionice ex C. ξ. Littréus, πολυτ. vulg.; — πάνυ ἧσσον vulg., sed πάνυ omm. C. ξ.; — ἧσσον πονέονται itemque in fine πονέονται C. ξ. Marc. pro ἧσσον πονέουσι et πονέουσι.

ἢν δ' ἐπὶ — ἐστί.] δ' C. ξ. Marc., δέ vulg.; — κεφαλῇ J.; — τὰ ἄλλα μέλεα C. ξ. Marc.; — ἐκ τοῦ δ' ὀμφαλοῦ C. ξ. Marc. aliique Parr. nonnulli.

μετὰ δὲ — εἰρημένον] δή H. pro δέ; — ἀπὸ βίης H.; — ἀφηγήσατο vulgo. ὑφηγήσατο de meo; — ἐν τῇ τῶν permulti codd. et Lind., τῶν λοχίων τῆι καθάρσει C. ξ. Marc.

καὶ οἵ τε μαζοὶ — εἴρηται.] καταρρήγνωνται Parr. 5.; — διακενεουμένων H., uti Voss., διακενουμένων vulg.; sitne a Ionico κενέος formatum κενεοῦν? — Manifesto autem διὰ κενουμένων auctor scripsit; — λοχείων J.. λοχίων vulg.

32. δίδυμα — ὄρνεα.] γίνεται C. ξ. Marc., γίνονται vulg.; — μέν ex C. Marc. recepi; — οὕτως omm. C. ξ. Marc.; — ἔχοισι δὲ κολποὺς (sic) καὶ γαμψοὺς αἱ μῆτραι

λαγνεύματος οὕτως· ἔχουσι αἱ μῆτραι κόλπους συχνοὺς καὶ [1] γαμψούς, τοὺς μὲν τηλοτέρω, τοὺς δὲ πλησιαιτέρω τοῦ αἰδοίου· καὶ τὰ πουλύγονα τῶν ζῴων πλείους ἔχει τῶν ὀλίγα κυεόντων· ὁμοίως δὲ καὶ τὰ πρόβατα, θήριά τε καὶ ὄρνεα. Ὅταν δὲ ἡ γονὴ τύχῃ σχισθεῖσα εἰς δύο κόλπους ἀπικομένη καὶ αἱ μῆτραι δέξωνται τὴν γονὴν [2] καὶ τοῖν κόλποιν μηδέτερος ἐς τὸν ἕτερον χαλάσῃ, [3] χωρισθεῖσα δὴ ἐν ἑκατέρῳ κόλπῳ ὑμενοῦται καὶ ζωοῦται τῷ αὐτῷ τρόπῳ, ᾧπερ καὶ τὸ ἓν [4] εἴρηται. Ὅτι δ' ἀφ' ἑνὸς λαγνεύματος δίδυμα γίγνεται ἱστόριον τόδε ἐστί· κύων καὶ ὗς καὶ τἄλλα ζῷα, ἅσσα ἀφ' ἑνὸς λαγνεύματος τίκτει καὶ δύο καὶ πλείονα, καὶ ἕκαστον τῶν ζῴων ἐν τῇσι μήτρῃσι ἐν κόλπῳ καὶ ὑμένι ἐστὶ καὶ ταῦτα αὐτοὶ ὁρέομεν γιγνόμενα καὶ ταῦτα τίκτει τῇ αὐτῇ ἡμέρῃ πάντα ὡς ἐπιτοπλεῖστον. Ὧδε δὲ καὶ τῇ γυναικὶ ἀπὸ μιῆς μίξιος γιγνόμενα τὰ παιδία ἑκάτερον ἐν κόλπῳ καὶ χορίῳ ἐστὶ, καὶ τίκτει τῇ αὐτῇ ἡμέρῃ ἀμφότερα καὶ πρότερον θάτερον χωρέει ἔξω καὶ τὸ χόριον αὐτοῦ. Ὅτι δὲ θῆλυ καὶ ἄρσεν δίδυμα γίγνεται, [5] Φημὶ ἐν τῇ γυναικὶ καὶ ἐν τῷ ἀνδρὶ καὶ ἐν παντὶ ζῴῳ ἑκάστῳ γονῆς ἐνεῖναι καὶ ἀσθενέστερον καὶ ἰσχυρότερον· καὶ οὐκ ἐς ἅπαξ χωρέει ἡ γονή, ἀλλὰ καὶ ἐς δὶς καὶ τρὶς ἀποβράσσεται· καὶ οὐκ ἀνυστὸν ἀεὶ [6] ὁμοίως εἶναι πᾶν ἰσχυρὸν, τό τε πρόσθεν ἐξιὸν καὶ τὸ ὕστερον. Ἐς ὁκότερον δ' ἂν οὖν τῶν κόλπων τύχῃ ἡ γονὴ παχυτέρη καὶ ἰσχυροτέρη

procreantur ad hunc modum. Uterus sinus plures et incurvos habet, hos quidem longius distantes, illos vero pudendo viciniores. Et ex animalibus quae plura gignunt plures sinus habent quam quae pauca. Quod in ovibus, feris et volucribus ad eundem se habet modum. Cum autem genitura ad duos sinus divisa pervenerit, eamque uterus receperit, neque sinus alter ad alterum transmiserit, ea utroque sinu separata membrana vestitur vitamque eo modo accipit, quo et unus foetus dictus est. Quod vero ex uno congressu gemini procreantur, hoc argumento constat: canis, sus et reliqua animalia, quae uno congressu duos et plures foetus pariunt, quorum quisque in utero suo sinu et membrana conditur. Atque haec ipsi fieri cernimus eaque omnia eodem ut plurimum die parere. Ad eundem quoque modum in muliere ex uno veneris complexu nati gemelli, uterque suo sinu et membrana conditur et eadem die in lucem prodit, alterumque prius cum suo involucro foras egreditur. Quod autem ex gemellis unus mas sit, alter foemina, id ideo fieri assevero. In muliere et in viro et in quovis animalium genere in unoquoque tum imbecillior, tum valentior genitura inest, neque unico impetu genitura procedit sed et secunda et tertia iactatione emittitur, neque fieri potest ut quae prius et quae posterius exit eiusdem sint roboris. Quemcumque igitur sinum crassior validiorque genitura subierit, in eo mas procreatur, quemcumque vero humidior atque

[1] γναμψούς. — [2] οἱ κόλποι τε μὴ ἕτερος πρὸς ἕτ. — [3] ἡ χωρισθ. — [4] οὗ εἵνεκεν εἴπομεν. — [5] Φημὶ ἔστιν ἐν. — [6] ὅμοιον.

συχνούς e Marc. mihi excerptum est et ex C. adnotat Littréus; — πουλύγονα C. Marc., Littr., πολυγ. vulg.; — ἔχει κόλπους vulg., sed κόλπους omm. C. ξ. Marc.; — κυόντων cod. π.

ὅταν δὲ — εἴρηται.] ἀπικομένη C. ξ. Marc., ἀφικομένη vulg.; — καὶ τῶν κόλπων C. ξ. Marc., καὶ τῶν κόλπων τε Zuing. et Merc. in marg., vulgatam e V. notavi; — μηδ' ἕτερον ἐς τὸν ἕτερον C., ξ., Marc., sed duo hi ἕτερον κόλπον, — μὴ ἕτερος πρὸς τὸν ἕτερον vulg.; — χανώσῃ Zuing. et Merc. in marg., Mack.; — ἡ χωρισθ. vulg., ut V., sed ἡ omm. C. Marc., Littr.; — δή C. ξ. Marc., Zuing. et Merc. in marg., Littr., δή om. vulg.; — ὥσπερ Mack.; — εἴρηται C. ξ. Marc., Littr., οὗ εἵνεκεν εἴπομεν vulg., ut V.

ὅτι δὲ ἀφ' ἑνὸς — ἐπιτοπλεῖστον.] δ' C. Marc., δέ vulg.; — γίγνεται cod. ξ., γίνεται cett. mss.; — ἄλλα vulgo, τἄλλα de meo scripsi; — ἐστιν ἅσσα C. ξ. Marc. pro vulgato ὅσα sine ἐστίν; — ὑμένι ἐστὶ τινί E. K. Zuing. et Merc. in marg.; — ἐρέομεν C. J. Marc., sed in hoc m. secundâ corrigitur; — γενόμενα E. H. I.; — τίκτει πάντα C., πάντα omm. K. Marc., sed in hoc m. secundâ adponitur supra versum; — ὡς ἐπὶ τὸ πλεῖον C. Marc.

ὧδε δὲ — αὐτοῦ.] καὶ ἐν χορίῳ C. ξ.; — θάτερον om. E., sed rest. al. m.; — καὶ ἐς τὸ χόριον E. K. P.' Q.' Lind.

ὅτι δὲ — ὕστερον.] γίνεται αἴτιον Φημι· ἐν δὲ τῇ γυναικί Lind.; — ἐνεῖναι Marc., Zuing. et Marc. in marg., Littr., ἐνῆναι C. ξ., ἔνι E. π., ἐνῇ vulg.; — ἂν ὁμοίως pro ἀεὶ ὁμοίως Ald., ὅμοιον multi codd. Littréi, Marc., Voss., Mack.

ἐς ὁκότερον — γίγνεται.] δ' C. ξ. Marc., alii apud Littr., vulgo δ' abest; — οὖν omm. libri 7. apud Littr. et Marc.; —

ἐσελθοῦσα, κεῖθι ἄρσεν γίγνεται· ἐς ὁκότερον δ' ἂν ὑγροτέρη καὶ ἀσθενεστέρη, κεῖθι θῆλυ γίγνεται· ἢν δ' ἐς ἄμφω ἰσχυρὴ ἐσέλθῃ, ἄμφω [1] *ἄρσενα γίγνεται· ἢν δὲ ἀσθενὴς* [2] *ἐς ἄμφω, ἄμφω θήλεα γίγνεται.*

Οὗτος ὁ λόγος ὧδε εἰρημένος ἅπας τέλος ἔχει.

imbecillior, in eo foemella generatur. At si in utrumque valida subeat, ambo mares nascuntur, sin debilis in utrumque ambo foemellae.

Atque omnis ista oratio ad hunc exposita modum ad finem perducta est.

[1] *ἄρσεν.* — [2] *ἐς* om.

articulum ante *γονή* om. Lind.; — *εἰσελθοῦσα* C., Zuing. et Merc. in marg., *ἐσελθοῦσα* Marc., *ἐπελθοῦσα* cod. ξ. pro vulgato *ἐσιοῦσα.* — Vulg. *ἐς ὁκότερον δ' αὖ*, sed *ἂν* pro *αὖ* habent C. ξ. Marc.; — *ἢν δ' ἐς ἄμφω* omm. C. ξ.; — *ἐς* omm. Parr. 5.; — *ἐσέλθῃ* etiam Marc.; — *ἐς ἄμφω* omm. C. ξ. Marc.; — *ἐς* om. π.

ΓΥΝΑΙΚΕΙΩΝ ΤΟ ΠΡΩΤΟΝ.

ΣΥΓΓΕΓΡΑΠΤΑΙ ΥΠΟ ΤΟΥ ΑΥΤΟΥ ΙΑΤΡΟΣΟΦΙΣΤΟΥ, ΥΦ' ΟΥ ΤΟ ΠΕΡΙ ΝΟΥΣΩΝ ΤΕΤΑΡΤΟΝ ΚΑΙ ΤΟ ΠΕΡΙ ΦΥΣΙΟΣ ΠΑΙΔΙΟΥ ΤΟΥ ΕΝ ΤΟΚΩΙ.

DE MORBIS MULIERUM LIBER PRIMUS.

CONSCRIPTUS EST AB EODEM IATROSOPHISTA, A QUO DE MORBIS QUARTUS ET LIBER DE NATURA PUERI IN PARTU.

ΓΥΝΑΙΚΕΙΩΝ

ΤΟ ΠΡΩΤΟΝ.

α'. Τὰ δὲ ἀμφὶ γυναικείων νούσων [1] ὧδε ἔχει· Φημὶ γυναῖκα ἄτοκον ἐοῦσαν ἢ τετοκυῖαν χαλεπώτερον καὶ θᾶσσον ἀπὸ [2] τῶν καταμηνίων νοσέειν· ὁκόταν γὰρ τέκῃ, εὐροώτερά οἱ τὰ φλέβιά ἐστι ἐς τὰ καταμήνια, εὔροα δέ σφι ποιέει ἡ [3] λοχείη κάθαρσις· καὶ ἣν καταρραγῇ, τοῦ σώματος τὰ πλησιάζοντα μάλιστα τῆς τε κοιλίης καὶ τῶν μαζῶν καταρρήγνυται· καταρρήγνυται δὲ καὶ τὸ ἄλλο σῶμα· ὑπ' ὅτευ δὲ γίγνεται, εἴρηταί μοι ἐν τῇ φύσι τοῦ παιδίου τοῦ ἐν τόκῳ· καταρραγέντος δὲ τοῦ σώματος, ἀνάγκη τὰς φλέβας μᾶλλον στομοῦσθαι καὶ εὐροωτέρας γίγνεσθαι ἐς τὰ καταμήνια καὶ τὰς μήτρας μᾶλλον στομοῦσθαι, οἷα τοῦ παιδίου χωρήσαντος διὰ σφέων καὶ βίην καὶ πόνον παρασχόντος καὶ τούτων ὧδε ἐχόντων τὰ καταμήνια ἀκαματώτερον [4] ἀποκαθαίρεται ἡ γυνὴ, ἐπὴν λοχείων ἔμπειρος γένηται. Εἰ

DE MORBIS MULIERUM.

LIBER PRIMUS.

1. Morbi autem mulierum ita se habent: affirmo mulierem, quae numquam peperit, maiore cum molestia et celerius ex mensibus profluentibus affici quam quae partum experta est. Ubi enim peperit, venulae ei ad mensium descensum sunt ampliores; amplas autem ipsis reddit puerperiorum effluxus, qui cum deorsum erumpit, corporis partes, quae prope ventrem et mammas sunt, affatim effunduntur; evacuatur autem etiam reliquum corpus. Quod quare fiat, a nobis est commemoratum in pueri natura cum partu in lucem editur. Corpore vero universim effuso necesse est venas magis aperiri et ad mensium profusionem ampliores fieri, uterumque magis patere, nimirum puero per eum non sine vi et dolore egresso. Quibus ita constitutis mulier, quae puerperii purgamenta experta fuerit, cum minore labore purgationem menstruam sustinet. Quin si mulieri, quae

[1] ὧδε φημί. — [2] τῶν om. — [3] λοχίη κάθαρσίς τις εοῦσα. — [4] καθαίρεται.

1. τὰ δὲ — γένηται.] In vulgata ὧδε φημί sine ἔχει; quod de meo supplevi: Littréus secutus codd. C. θ. τὰ δὲ ἀμφὶ γυν. νούσων· φημὶ γυναῖκα κ. τ. λ. scripsit. Me iudice arbitraria correctio est in mss. illis et vulgata ad pristinam lect. ducit, qualem restituisse mihi videor. Ceterum notandum libri initium, qualem relictum habemus, potius referre videri continuationem operis maioris de morbis, quam principium scripti integri. Tum vero circa primas periodos observo, eas in mss. ita tradi, ut nisi coniecturis utaris eas non intelligas; malui tamen textum vulgarem pro fundamento novi textus usurpare, quam librorum C. θ., in quibus sine dubio sunt correctiones arbitrariae. His praemonitis pergo: τῶν ante καταμηνίων omm. C. H. J. K. θ.; — ὅταν εὐροώτερα cod. θ. sine γὰρ τέκῃ; — σφιν vulgo; σφι J., σφέα C., σφε cod. θ.; — ποιέει γίνεσθαι Littr. e C., vulgo γίνεσθαι abest, quod nec requiri puto; — κάθαρσίς τις ἐοῦσα vulg., sed τις ἐοῦσα cum C. θ. om. Littr., qui dein pro vulgato καὶ ἢν καταρραγῇ e C. dedit ἡ καταρραγή, quae correctio sine dubio in illo libro est falsa et arbitraria. Ad verba τοῦ σώματος τὰ πλησιάζοντα μάλιστα τῆς τε κοιλίης καὶ τῶν μαζῶν καταρρήγνυται· καταρρήγνυται δὲ καὶ τὸ ἄλλο σῶμα et dein καταρραγέντος δὲ τοῦ σώματος et infra οἷα τοῦ σώματος καταρραγέντος cf. locum e fine § 30. libri de Nat. pueri. Inde constat singulis locis re ipsa τὸ σῶμα, τοῦ σώματος esse legendum. Moneo quia ipse primum in errorem inductus veri specie, αἵματος, αἷμα singulis locis corrigere volui; collato vero loco, ad quem ipse scriptor dimittit, res in luce posita est. In seqq. iam τὰ πλησιάζοντα δὲ μάλιστα C. Littr.; — ὑπό τευ Edd. antt., Parr. 6., Lind.; — τοῦ ἐν τῷ τόκῳ C.; — τοῦ παιδίου χωρέοντος C.; — παρέχοντος idem; — ἀποκαθαίρεται C. θ. Littr., καθαιρ. vulg.; — λοχείων cod. θ., λοχίων vulg.

εἰ δὲ καὶ — αἱ φλέβες.] τά ante καταμήνια Ald. Parr. 6. θ. Littr., cett. omm.; — ἐλθόντα εὖ cum C. θ. om. Littr.; — ἢν pro vulgato ᾖ ex C. θ. Littr.; — εἴη mihi praebuit V.; — ἐθάδες duo Parr. — Vulgo καὶ ἅμα εὐρυχ. πολλὴ κ. τ. λ.; —

δὲ καί τι πάθημα τῇ γυναικὶ γένοιτο [1] τῇ ἤδη τετοκυίῃ, ὥστε [2] τὰ καταμήνια μὴ δύνασθαι ἐλθόντα εὖ καθαρθῆναι, ῥηΐτέρως τὸν πόνον [3] οἴσει ἢ εἰ ἄτοκος [4] εἴη· ἠθάδες γὰρ αἱ μῆτραι καὶ τὸ σῶμα ἐπιτήδειον πληροῦσθαι, ἅτε ἐν γαστρὶ [5] ἐχούσῃ εὐρυχωρίῃ πολλή ἐστι ἐν τῷ σώματι, [6] πλείων δὲ καὶ γίγνεται ἐπὴν τέκῃ, οἷα τοῦ σώματος καταρραγέντος, — καὶ ἐν εὐρυχωρίῃ ἐόντος τοῦ αἵματος τὸ σῶμα ἀπονώτερον γίγνεται, ἢν μὴ ὑπερπιμπλῶνται αἱ φλέβες καὶ ὑπερπονέωσι. Ἀτόκῳ δὲ ἐούσῃ [7] τοῦ σώματος οὐ ξυνήθεος ἐόντος, ἐπὴν πληρωθῇ, καὶ ἰσχυροτέρου τε καὶ στερεωτέρου καὶ πυκνοτέρου ἐόντος, [8] ἢ εἰ λοχείων ἔμπειρος γένοιτο, καὶ τῶν μητρέων ἀστομωτέρων ἐουσέων, τὰ ἐπιμήνια ἐπιπονωτέρως χωρέει καὶ τὰ παθήματα προσπίπτει πλείονα, ὥστε τὰ καταμήνια ἀποφράσσεσθαι, ἐπὴν ἄτοκος ᾖ. Ἔχει δὲ ὧδε, [9] ὥς μοι καὶ πρὶν εἴρηται· φημὶ τὴν γυναῖκα ἀραιοσαρκοτέρην καὶ ἁπαλωτέρην εἶναι ἢ τὸν ἄνδρα· καὶ τούτου ὧδε ἔχοντος, ἀπὸ τῆς κοιλίης ἕλκει τὴν ἰκμάδα καὶ τάχιον [10] καὶ μᾶλλον τὸ σῶμα τῆς γυναικὸς ἢ τοῦ ἀνδρός. Καὶ γὰρ εἴ τις ὑπὲρ ὕδατος [11] ἢ καὶ χωρίου ὑδρηλοῦ δύο ἡμέρας καὶ δύο εὐφρόνας θείη εἴρια καθαρὰ καὶ εἷμα καθαρὸν καὶ βεβυσμέ-

φλέγμα, γλῶσσα λευκὴ καὶ οὔρησις, κοιλίης ἔκλευκος ψυχρὴ τάραξις, δυσκινησίη. Ἐπὴν δὲ τέκῃ, χωρήσει οἱ ἡ κάθαρσις φλεγματώδης καὶ φανεῖται ὑμενώδης καὶ ὥσπερ ἀράχνια διατεταμένα ἐν [1] αὐτῇ ἔσται· καὶ πείσεται μὲν τὰ αὐτὰ πάντα καὶ ᾗ τὰ καταμήνια ἐχώρει φλεγματώδεα, ἐλάσσονα δὲ χρόνον νοσήσει καὶ κινδύνους τοὺς αὐτοὺς ἡ νοῦσος ἕξει καὶ σημήϊα καὶ μεταλλαγάς· ξυμβήσεται [2] γὰρ αὐτῇ ἔμετον γενέσθαι φλεγματώδεα καὶ παθήματα ὁμοῖα [3] κείνῃ χρονίσαντα. Ἐξήρτηται γὰρ τῷ αὐτῷ τρόπῳ τὰ λοχεῖα καὶ τὰ καταμήνια τὰ φλεγματώδεα, ἐλάσσονα δὲ χρόνον [4] μένει τῶν καταμηνίων. Καὶ ἢν μὴ ῥαγῇ αὐτῇ ἡ κάθαρσις χρονισθεῖσα, θνήσκει ἐν πέντε καὶ τεσσαράκοντα ἡμέρῃσι· καὶ ἢν οἱ φλεγματώδης ἡ λοχείη κάθαρσις [5] χωρέῃ, ἐλάσσονα τῶν ὑγιηρῶν χωρήσει, μελεδαινομένη δὲ ἡ γυνὴ ὑγιὴς ἔσται καὶ φυσηθήσεται ἐξ ἀρχῆς [6] μέχρις ἂν ὑγιασθῇ· χαλεπὸν γάρ. Ταύτῃ χρὴ διδόναι φάρμακον, ὅ τι φλέγμα ἄγει καὶ [7] ἐπιπίνειν γάλα ἑφθὸν αἴγειον ξὺν μέλιτι· ἢν [8] δὲ μὴ ἐσακούῃ, κάρδαμον ἢ κνῆκον ἢ κνέωρον ἢ πουλυπόδιον ἢ ὀῤῥὸν, ἢ τὸ [9] ἀπὸ πολλῶν ξυντιθέμενον διδόναι καὶ ὅσα φλέγμα χαλᾷ τε καὶ ἄγει.

aegre movetur. Ubi autem pepererit, purgatio pituitosa procedet et in qua membranulae et veluti araneorum telae distentae apparebunt, iisdemque quidem omnibus afficietur, quibus ea, cui menstrua pituitosa ferebantur, minus tamen diu aegrotabit morbusque eadem pericula, signa et commutationes habebit; accidet enim illi vomitus pituitosus et eaedem affectiones quae superiori, sed longiores. Eadem enim ratione dependent puerperii purgamenta et menses pituitosi, sed minus longum tempus manent quam menses. Ac nisi purgatio, quae diu moram traxit, affatim ei erumpat, intra quinque et quadraginta dies perit. Quodsi puerperii purgatio pituitosa ei prodierit, minus longum tempus prodibit, diligenti tamen curatione adhibita mulier convalescet, sed statim flatu distendetur, donec sana evaserit; gravis enim est morbus. Huic medicamentum, quod pituitam educit, exhibendum et lac caprinum coctum cum melle superbibendum. Quibus oblatis si non cedat, nasturtium exhibendum, aut carthamum, aut cneorum, aut polypodium, aut serum, aut ex multis compositum medicamentum et quaecumque pituitam laxant et foras educunt.

λ'. Ἢν δὲ γυνὴ ἐν γαστρὶ ἔχουσα σπληνώδης ᾖ ὑπὸ παθημάτων, ὧν εἴρηται ἐν τῇ [10] τὰ καταμήνια τὰ ὑδρωποειδέα καὶ φλεγματοειδέα ἀφιείσῃ, τὰ λοχεῖα χωρήσει ὑδρωποειδέα, καὶ ἐλεύσεται ὁτὲ μὲν πολλὰ,

30. Sed si mulier, quae utero gerit, lienosa fuerit ex affectionibus commemoratis in ea, cui menses aquosi et pituitosi fluunt, purgatio puerperii aquosa prodibit, ac feretur alias multa, alias parca et fit interdum quasi aqua

[1] ταύτῃ. — [2] δ' αὐτῇ. — [3] κείνῃ χωρήσαντα. — [4] νοσήσει καὶ ἢν μὴ ῥ. — [5] χωρήσει omissis intermediis. — [6] ἢν ὑγ. — [7] μίσγειν. — [8] δὲ πολλάκις μή. — [9] ἀπὸ ἀλῶν. — [10] νούσῳ τῶν καταμηνίων τὰ ὑδρωπ.

λύβδῳ cod. θ.: — τήν ante χροιήν om. C.: — οὔρησις κοινὴ ἐκλ.. vulgo, κοινῇ Q.' Cord., Lind., sed κοιλίης Littr. ex θ.

ἐπὴν δὲ — χρονίσαντα.] φαίνεται C.; — ἐν ταύτῃ vulg., sed rectius αὐτῇ cod. θ., idemque latet in αὐτή codicis C.; — καὶ πείσεται τὰ αὐτά cod. θ. sine μέν; — ταῦτα πάντα vulg., τὰ αὐτὰ π. Littr. ex θ.; — ᾗ κατὰ μῆνα C.; — τὰ φλεγμ. vulg., sed τά omm. θ., Littr.; — σημήϊα Ionice ex C. Littr.; — ξυμβ. δ' αὐτῇ cod. Serv., Lind.; — ἔμετον γίγνεσθαι C.; — κείνῃ χωρήσαντα vulg.. ἐκείνῃ, χρονίσ. C. θ. Littr.

ἐξήρτηται — καταμηνίων.] χρόνον μὲν (μέν om. K.) τῶν vulg., χρόνον μὲν νοσήσει τῶν cod. Serv., Lind.; — χρόνον βαίνει τῶν C.; — χρόνον μένει τῶν cod. θ., Vatt., Littr.

καὶ ἢν μὴ ῥαγῇ — γάρ.] λοχίη καθ. vulg., λοχίη om. θ., λοχείη κ. Parr. 6.; — ἐλάσσονα τῶν ὑγιεινῶν C. (ὑγιηρῶν cod. θ.) om. in vulg., sed ex illis libris dedit Littr.; — φυσηθήσεται δέ cod. θ.; — μέχρις ἄν ex C. Littr., vulgata pro his ἤν; — χαλεπὸν γὰρ τοῦτο ἔσται (τό h. l. C.) νόσημα vulg., χ. γὰρ τουτέστι τὸ νόσημα cod. θ.; Littréus redundantia resecuit.

ταύτῃ χρὴ — ἄγει.] χρή omm. C. θ.; — ἐπιπίνειν cod. θ. Littr., μίσγειν vulg.; — ἐν μέλιτι cod. θ.; — ἢν δὲ πολλάκις μή vulg., πολλάκις cum C. θ. om. Littr.; — κνῆκος Ald. C. θ., κνίκον D., κνίκος J.; — ἀπὸ ἀλῶν vulg., ὑπὸ (ἀπό Vatt.) πολλῶν C. Vatt., quae mihi antiqua videtur lectio; — πνεύματα pro φλέγμα C.; — τε καί cod. θ., τε om. vulg.

30. ἢν δὲ γυνὴ — πήγνυται.] ἐν τῇ (τῇ om. Ald.) νούσῳ (τῇ interponunt C. θ.) τῶν καταμηνίων (τὰ καταμήνια

ὁτὲ δὲ ὀλίγα καὶ γίγνεται [1] ὁτὲ μὲν ὥσπερ ἀπὸ κρεῶν [2] ὕδωρ, ὁτὲ δὲ [3] ὀλίγῳ παχύτερα καὶ οὐ πήγνυται. Καὶ πείσεται ταὐτὰ πάντα καὶ ᾗ τὰ καταμήνια τὰ ὑδατοειδέα [4] ἐχώρεε καὶ κινδύνους τοὺς αὐτοὺς ἡ νοῦσος ἕξει καὶ μεταλλαγάς· ξυμβήσεται γάρ οἱ ῥόον γενέσθαι ὑδατώδεα, ἢ κρυφθῆναι τὴν κάθαρσιν καὶ τραπέσθαι [5] πρὸς τὴν κοιλίην καὶ τὰ σκέλεα ἢ ἐς τὸ στέρνον ἤ τι τούτων καὶ κίνδυνοι ἔσονται οἱ αὐτοὶ, οἳ καὶ πρόσθεν εἴρηνται.

λα'. Ἢν κύουσα οἰδέῃ, κνίδης καρπὸν ὡς πλεῖστον καὶ μέλι καὶ οἶνον κεκρημένον εὐώδεα διδόναι ποτὸν δὶς τῆς ἡμέρης. Ἢν κύουσαν χολὴ λυπέῃ, πτισάνης χυλὸν δίδου, ῥόον ἐπιπάσσων τὸν ἐρυθρὸν ἢ τὸν ἐκ τῆς συκαμίνου, ψυχρὸν δὲ ῥοφεέτω καὶ καταστήσεται.

λβ'. Ἢν δὲ πνὶξ προσπέσῃ ἐξαπίνης ἐχούσῃ ἐν γαστρὶ, γίγνεται δὲ τοῦτο μάλιστα ἐπὴν ἡ γυνὴ [6] ταλαιπωρήσῃ καὶ ἀσιτήσῃ, θερμανθεισέων τῶν μητρέων ὑπὸ τῆς ταλαιπωρίης καὶ ἐλάσσονος τῆς ἰκμάδος γενομένης τῷ ἐμβρύῳ, ἅτε [7] κενεωτέρης τῆς κοιλίης τοῦ καιροῦ ἐούσης, ἰθύει τὸ ἔμβρυον πρὸς τὸ ἧπαρ καὶ τὰ ὑποχόνδρια, [8] ἅτε ἰκμαλέα ἐόντα, καὶ πνίγα [9] ποιέει ἰσχυρὴν ἐξαπίνης. Ἐπιλαμβάνει γὰρ τὸν διάπνοον τὸν ἀμφὶ τὴν κοιλίην, καὶ ἀναυδίῃ ἴσχει τὴν γυναῖκα καὶ τὰ λευκὰ ἀναβάλλει τῶν ὀφθαλμῶν καὶ τἄλλα πάσχει πάντα ὅσα περ

a carnibus lotis, interdum paulo crassior, neque cogitur. Et patietur eadem omnia, quae cui menses aquosi fluebant, eademque pericula easdemque mutationes morbus habebit. Accidet illi enim fluxus aquosus, aut occultabitur purgatio et vertetur ad ventrem et crura, aut ad pectus, simileve aliud, eademque erunt pericula, quae etiam ante dicta sunt.

31. Si gravida intumescat, urticae semen quam plurimum cum melle et vino odorato temperato bis die in potu exhibendum. Si praegnantem bilis molestia afficiat, ptisanae succum exhibeto, rhoë rubro aut ex moro arbore asperso; frigidum autem sorbendum dato et conquiescet.

32. Si suffocatio derepente in utero gerenti accidat, quod fit potissimum ubi mulier vehementi labore et inedia confecta fuerit, cum per vehementem exercitationem uterus incalescat et paucior foetui suppetat humor, quippe ventre magis quam oportet vacuo, foetus ad hepar et praecordia, humore nempe scatentia, recta fertur vehementemque derepente suffocationem affert. Perspirationem enim, quae circa ventrem fit, intercipit et loquendi impotentia mulierem detinet, oculorum partes albas sursum convertit, reliquaque universa patitur, quae mulier, quam uterum suffocare dixi, et simul

[1] ὁτέ abest. — [2] ὕδωρ ὡς εἴ τις κρέα αἱματώδεα ἀποπλύνει. — [3] παχύτερον ὀλίγον. — [4] χωρέει. — [5] καὶ περὶ τ. κ. — [6] ταλαιπωραίῃ. — [7] τῆς μήτρης κενεωτέρης τὴν κοιλίην τοῦ κ. — [8] ἅτε om. — [9] ποιήσει.

C. θ.) τὰ ὑδρωποειδέα καὶ φλεγματοειδέα (φλεγματώδεα C.) ἀφίησι (ἀφιείσῃ Parr. 4.) καὶ (καί omm. Ald. Parr. 7.) τὰ λοχεῖα χωρήσει (χωρέει C.) vulg., inde textum dedi, qualem Littréus, nisi quod τῇ νούσῳ non recepi; — ὡς pro ὥσπερ C.; — post ὕδωρ ceteri: ὡς εἴ τις κρέα αἱματώδεα ἀποπλύνοι; — est autem scholion ad ὥσπερ ἀπὸ κρεῶν ὕδωρ, quod reiicio. Dein παχύτερον vulg., sed plur. num. C. J. θ. Littr.

καὶ πείσεται — εἴρηνται.] ταῦτα πάντα (πάντα ταῦτα cod. θ., καὶ εἰ (ἢ C. Cord., Lind., ἡ cod. θ.) τὸ (τό om. C.) vulg.; textum Littréi servo. Dein ὑδατώδεα C., ὑδαρέα cod. θ.; — χωρέει vulg., ἐχώρεε C. θ. Littr.; — ἡ νοῦσος Ald. J.; ἢ νόσους alii 4.; — ὑδατωείδεα D. E. Q.', ὑδατοείδεα Lind., ὑδαρέα cod. θ.; — περὶ τὴν κοιλίην vulg., de meo πρός scripsi; καὶ περί Parr. 4.; — πρόσθεν omm. C. θ.

31. ἢν κύουσα — ἡμέρης.] τρίτης pro δὶς τῆς cod. θ.

ἢν — καταστήσεται.] χυλόν om. θ.; — ῥυφίτω i. e. ῥυφείτω cod. θ.

32. ἢν δὲ πνὶξ — ἐξαπίνης.] γυναικὶ ἐν γ. ἐχ. sine ἐξαπίνης cod. θ.; — ταλαιπωρέῃ vulg., ταλαιπωρήσῃ C., Littr.; — γινομένης vulg. γενομ. C. K. θ. Cord., Lind.; — ἐμβρύῳ καὶ ἅτε τῆς μήτρης κενεωτέρης τὴν κοιλίην τοῦ καιροῦ ἐούσης vulg., in qua emendant καὶ τῆς κοιλίης pro τὴν κ. Corn., Foës., alii aliam viam tenuerunt, Littréus τῆς μητρός pro τῆς μήτρης tentavit, sed mihi alia ratio ineunda est visa: in vulgata non habemus nisi dittographiam καὶ ἅτε τῆς μήτρης κενεωτέρης τῆς κοιλίης τοῦ καιροῦ, e qua tollere oportet τῆς μήτρης, — quo semel illato τῆς κοιλίης nescio quo modo in τὴν κοιλίην abiit; — πνίγα ποιέει C. θ., π. ποιήσει vulg.

ἐπιλαμβάνει — ἕλκειν.] ἐπιλαμβάνεσθαι vulg., ἐπιλαμβάνει C. θ. Littr.; — τοῖν ὀφθαλμοῖν cod. θ. Littr.; — τὰ ἄλλα C. — In vulg. distinguitur puncto post εἴρηται, tum pergitur: ἢν (δέ cod. Serv. h. l.) ἐφεῖσα (C. θ. ἔφησα) τὰς μήτρας πνιγείῃ (πνίγειν C. θ.); cum Littréo codd. C. θ. sequor, puncto post εἴρηται sublato et ἥν pro ἢν scribens, uti

[1] εἴρηται, ἥν τινα ἔφησα τὰς μήτρας πνίγειν, καὶ ἅμα ἄρχεταί τε ἡ πνὶξ γίγνεσθαι τῇ ἐν γαστρὶ ἐχούσῃ γυναικὶ καὶ ἀπὸ τῆς κεφαλῆς καταρρεῖ φλέγμα ἐς τὰ ὑποχόνδρια, οἷα τοῦ σώματος μὴ δυναμένου τὴν ἀναπνοὴν ἕλκειν. Καὶ ἢν μὲν ἅμα τοῦ φλέγματος τῇ κατελεύσι ἴῃ τὸ ἔμβρυον ἐς χώρην τὴν ἑωυτοῦ, [2] οἷα τὴν ἰκμάδα ἑλκύσαν καὶ [3] κατενεχθὲν ὑπὸ τοῦ φλέγματος, ὑγιὴς γίγνεται ἡ γυνή· τρυσμὸς δὲ γίγνεται [4] ἀπιόντος τοῦ ἐμβρύου ἐς χώρην τὴν ἑωυτοῦ καὶ ἡ γαστὴρ ὑγρὴ γίγνεται ὡς ἐπὶ τὸ πλεῖον τῆς γυναικός. Ἢν δὲ [5] μὴ ἴῃ τὸ ἔμβρυον ἐν τάχεϊ ἐς χώρην τὴν ἑωυτοῦ, δύο ἤδη γίγνεται τὰ πονέοντα τὸ ἔμβρυον, τὸ φλέγμα τὸ κατελθὸν ἀπὸ τῆς κεφαλῆς, βαρύνει τε γὰρ καὶ ψύχει [6] ἐπιγενόμενον, καὶ ἡ ἀήθεια τοῦ χωρίου· καὶ κινδυνεύσει, εἴ γε μή τις ἐν τάχεϊ ἐπιτηδειοτέρως διαιτῴη· ἀποπνιγείη γὰρ ἂν ἡ γυνή. [7] Καὶ ἀμφὶ μὲν τούτων ὧδε ἔχει.

suffocatio fieri incipit mulieri gravidae et a capite pituita defluit in praecordia, corpore nimirum spiritum trahere non valente. Quodsi una cum pituitae descensu foetus in suum locum venerit, quippe attracto humore et a pituita delatus, mulier convalescit. Excitatur autem stridor dum foetus locum suum deserit, mulierisque venter fere fluidus redditur. Sed si brevi ad suum locum foetus non veniat, duo foetui molestiam afferunt, pituita, quae a capite deorsum delata ipsum superveniens gravat et refrigerat, et loci insolentia. Tumque is periclitabitur, nisi quis brevi magis accommodatam victus rationem adhibuerit; nam mulier suffocabitur. Ac de his quidem sic se res habet.

λγ'. Ἢν δὲ γυναικὶ ἐν γαστρὶ ἐχούσῃ ὁ χρόνος ἤδη τοῦ τόκου παρῇ, καὶ ὠδὶς ἔχῃ, καὶ ἐπὶ πολλὸν χρόνον ἀποφυγεῖν ἡ γυνὴ τοῦ παιδίου μὴ οἵη τε ᾖ, ὡς ἐπίπαν ἔρχεται πλάγιον ἢ ἐπὶ πόδας, [8] χρειὼ δ' ἐπὶ κεφαλὴν χωρέειν. [9] Ὧδε δὲ γίγνεται τὸ πάθημα· ὥσπερ εἴ τις ἐς λήκυθον σμικρόστομον πυρῆνα ἐμβάλοι, οὐκ εὐφυὲς ἐξελεῖν πλαγιούμενον, οὕτω [9] δὴ καὶ τῇ γυναικὶ χαλεπὸν πάθημα τὸ ἔμβρυον, ἐπειδὰν [10] λοξωθῇ· οὐκ ἔξεισι γάρ. Χαλεπὸν δὲ καὶ ἢν ἐπὶ πόδας χωρήσῃ καὶ πολλάκις ἢ αἱ μητέρες ἀπώ-

33. Si vero mulieri uterum gerenti iam pariendi tempus instet, ac partus dolores detineant, diuque in enitendo laboret, foetus transversus, aut in pedes fere exit, in caput autem prodire debet. Sic autem affectio oritur: perinde ac si quis in ampullam oleariam angusti oris olivae nucleum immittat, hic non facile eximitur transversus, ita etiam mulieri difficilis affectio est si foetus transversus sit: neque enim exibit. Grave vero etiam est, si in pedes prodeat, et plerumque aut matres, aut puelli, aut ambo etiam perierunt. Id quoque magnopere

[1] προείρηται. — [2] ὅλην τὴν ἰ. — [3] κατενεχθῇ. — [4] λιπόντος τοῦ ἐμβ. τὴν χ. — [5] καὶ ἴῃ. — [6] ἐπιγενόμενον. — [7] καὶ — ὧδε ἔχει om. — [8] χρειῶδες δ' ἐπὶ κ. χ. καὶ ἢν πλάγιον ἴῃ χαλεπὸν γίνεται τὸ πάθημα. ὡς γὰρ εἴ τις. — [9] δή. — [10] λοξευθῇ καὶ γὰρ χαλεπὸν ἐξελθεῖν.

ille recte suasit; sed neque post πνίγειν nisi commate interpungendum. In seqq. vulgo τε post ἅμα, cum θ. Littréo post ἄρχεται intuli.

καὶ ἢν μὲν — γυναικός.] ἑωυτοῦ ὅλην τήν vulg., sed ὅσα Ald., Parr. 6.; ὡς ἄν K., οἷα C. θ. Littr. pro ὅσην; — τρυλλισμός C., τρυλισμός cod. θ.; — λιπόντος τοῦ ἐμβρύου τὴν χώρην vulg., cum Littréo C. θ. sequor; — ὡς ἐπὶ τὸ πλεῖστον C. D. K.

ἢν δὲ μὴ — ἔχει.] εἰ D.; — vulgo δύο γίν. ἤδη, sed C. sequor; — πονεῦντα idem; — γάρ omm. C. θ.; — ἐπιγενόμενον pro ceterorum ἐπιμένον cod. Serv., Lind.; — ἀηδίη C. θ. sine articulo; — καὶ ἢν μή τις cod. θ., κἢν μέν τις C.; — γάρ omm. Parr. 6. θ.; — ἤν γε ceteri; — καὶ τὰ μὲν ἀμφί vulg., C. om. καὶ τά et ἀμφὶ μέν habet, hinc mea scriptura nata est.

33. ἢν δὲ — χωρέειν.] ἢν δέ om. cod. θ., δέ om. C., — χρειῶδες δ' ἐπί vulg., χρειὼ δ' ἐπί C. Littr.

ὧδε — γάρ.] καὶ ἢν πλάγιον ἴῃ, χαλεπὸν γίνεται τὸ πάθημα vulgo, — ὧδε (δέ interponit θ.) γίνεται τὸ πάθημα C. θ. Littr.; — ὡς γὰρ εἰ vulg. C, ὥσπερ εἰ . θ. Littr.; — ἐμβάλλοι vulg., ἐμβάλοι I. J. θ.; — πλαγιούμενον cod. θ. πλαγιεύμενον vulg.; — οὕτως δέ C.; — λοξευθῇ Parr. 7.; — καὶ γὰρ χαλεπὸν ἐξελθεῖν vulg.; — οὐκ ἔξεισι γάρ C. θ. Littr.

χαλεπὸν — ἄμφω.] χαλεπώτερα C.; — ἀμφότερα C. θ.

λοντο, ἢ τὰ παιδία, ἢ καὶ ἄμφω. Ἔστι δὲ καὶ τόδε μέγα αἴτιον τοῦ μὴ ῥηϊδίως ἀπιέναι, ἢν νεκρὸν ἢ ἀπόπληκτον ἢ διπλόον ᾖ.

in causa est cur non facile exeat, si mortuus, aut sideratus, aut duplicatus foetus fuerit.

λδ'. Ἐπὴν ἐν γαστρὶ ἡ γυνὴ ἔχῃ, χλωρὴ γίγνεται πᾶσα, ὅτι [1] τοῦ αἵματος αἰεὶ τὸ ἀκραιφνὲς καθ' ἡμέρην [2] ὑπολείβεται ἐκ τοῦ σώματος καὶ κατέρχεται ἐπὶ τὸ ἔμβρυον καὶ αὔξη οἱ γίγνεται, καὶ ἐλάσσονος τοῦ αἵματος ἐόντος ἐν τῷ σώματι ἀνάγκη εἶναι χλωρὴν, καὶ ἱμείρεται ἀλλοκότων αἰεὶ βρωμάτων [3] καὶ ἀσᾶται· καὶ ἀσθενεστέρη γίγνεται, ὅτι τὸ αἷμα μινύθει. Φημὶ [4] δὲ γυναῖκα ἢν ἐπίτεξ ᾖ, πνεῦμα πυκνὸν ἀφιέναι καὶ ἢν [5] ἡ κάθαρσις ἄρχηται, ἡ κοιλίη πλήρης ἐστὶ καὶ θερμὴ πιεζομένη. Μάλιστα δ' ἀναπνέει πυκινὸν, ἐπὴν τόκου πελάζῃ καὶ τὴν ὀσφὺν τότε μάλιστα πονέεται· [6] φλᾶται γὰρ καὶ ἡ ὀσφὺς ὑπὸ τοῦ ἐμβρύου· καρδιώσσει δὲ ἐν τῷ μεταξὺ ξύμπαντι χρόνῳ ἄλλοτε καὶ ἄλλοτε, ἅτε τῆς κοιλίης περιστελλομένης ἀμφὶ τὸ ἔμβρυον, μάλιστα δὲ τῆς ὑστέρης. Καὶ ἢν [7] τεκούσῃ ἡ ὑστέρη ἐξανεμωθῇ, ἧπαρ ὄϊος ἢ αἰγὸς ἐς τέφρην κρύψαι καὶ μετέπειτα ἕψειν καὶ λαμβάνειν καὶ οἶνον, ἢν μή τι κωλύῃ, πίνειν ζωρότερον παλαιὸν ἐπὶ τέσσαρας ἡμέρας, ἢν πορρωτέρω ᾖ ἀπὸ τῆς τέξιος. Ἢν δὲ τὰς ἰξύας ἀλγέῃ, ἄνησον καὶ κύμινον Αἰθιοπικὸν πινέτω καὶ [8] θερμῷ λουέσθω. Ἢν δ' ἆσθμα λάζηται, θείου ὅσον

34. Ubi uterum gestat mulier, tota pallida redditur, quia pura pars sanguinis semper quotidie e corpore aliquantum stillat et ad foetum fertur eique in alimentum cedit, cumque paucus in corpore sanguis exsistat, eam pallidam esse necesse est semperque insuetos cibos appetit et vomituritione laborat, et debilior etiam redditur, quod sanguis imminuitur. Mea autem sententia mulier, ubi partui vicina est, crebrum spiritum emittit, sique purgatio incipiat, venter plenus est et calidus cum comprimitur. Tum vero potissimum crebrum spiritum ducit, ubi partui proxima est, tumque praecipue lumborum dolore affligitur; lumbi enim a foetu colliduntur. Toto vero intermedio tempore oris ventriculi dolore subinde premitur, cum nimirum venter, ac praecipue uterus, foetum undique complectatur et comprimat. At si puerperae uterus flatu impleatur, ovis aut caprae iecur cineribus contectum, deinde coctum, in cibum sumendum, et vinum vetus meracius, si nihil prohibeat, per dies quatuor bibendum, si longius absit a partu. Quodsi lumborum dolore conflictetur, anethum et cuminum Aethiopicum bibat et calida lavet. Si vero frequens anhelatio prehendat, sulfuris fabae quantitatem,

[1] αὐτέης τοῦ αἵμ. — [2] ὑπολείπεται. — [3] καὶ ἐπὶ κοιλίην αἱματώδεα ἰέναι καὶ ἀσθ. — [4] δὴ γ. — [5] ἡ om. — [6] θλᾶται. — [7] τεκούσης ὑστ. — [8] τῷ θ. λ.

ἐστὶ — ᾖ.] καὶ τόδε δὲ μετὰ αἴτιον cod. C.; — διάπλοον ἴῃ C. (Vatt. cdd. ᾖ.).

34. ἐπὴν — μινύθει.] αὐτῆς τοῦ αἵματος cett., sed αὐτῆς otiosum est, quare reiicio; — αὔξη γίνεται cod. θ. sine οἱ; — ἀτόπων C. θ. pro ἀλλοκότων; — καὶ ἐπὶ κοιλίην αἱματώδεα ἰέναι post βρωμάτων vulg., sed ἠσσᾶται pro ἰέναι cod. C. — Littréus illud καὶ ἐπὶ κοιλίην αἱματώδεα ἰέναι intelligi non posse opinatur, qua in re cum eo consentio; cum lectione codicis C. contulit Galenum in gloss. ἀσᾶται ex primo de m. mull. citantem; itaque ex vulgata effecit et re ipsa dedit καὶ ἐπ' ὀλίγοισι ἐμετώδεα ἀσᾶται. Verum ἀσᾶται ἐμετώδεα Graecum non est, ἀσᾶσθαι ἐμετώδεα τρόπον fortasse ferri possit; facilis est transitus ab ἐμετώδεα εἶναι ad αἱματώδεα ἰέναι, sed ab ἐπ' ὀλίγοισι, ut putat Littr., ad ἐπὶ κοιλίην non est transitus facilis. Itaque ego sic sentio ἀσᾶται antiqua lectio est, quae in ἀσᾶσθαι abiit, cuius verbi interpretatio ἐμετώδεα εἶναι, quod ipsum postquam in αἱματώδεα ἰέναι abierat, demum utcumque expleverunt ἐπὶ κοιλίην adponendo. Ego igitur solum ἀσᾶται recipiam simulque ἱμείρεται scribo pro ceterorum omnium scriptura ἱμείρεσθαι. — In seqq. ἀσθενεστέρα γίγνεται C.; — μινυθεῖ cod. θ.

Φημὶ δὲ γυναῖκα — πιεζομένη.] ἐπιτεύξῃ vulgo, ἐπίτεξ ᾖ C. cod. Serv., Cord., Lind., Littr.; — ἡ ante κάθαρσις om. θ. — θέρμη vulg., θερμή D. Littr.

μάλιστα — ὑστέρης.] δ' Parr. 6., δέ vulg.; — πυκνόν cod. θ.; — θλᾶται Parr. 4., σπᾶται cod. θ.; — μεταξύ omm. C. θ.; — ξύμπαντι omm. Parr. 3.; — ἅτε om. θ.; — idem autem post ἔμβρυον addit ἢν τίκτῃ; — μάλιστα δὲ τῆς ὑστέρης om. C.

καὶ ἢν τεκούσῃ — τῆς τέξιος.] καί om. C.; — τεκούσῃ C. Littr., τεκούσης vulg., sed cod. θ. om. participium; ἡ ante ὑστέρη ex C. dedit Littr.; — ἐξανημωθῇ vulg., multi tamen Parr. recte scriptum ferunt; — ἐξινεμωθῇ cod. θ. et in marg. ἀντὶ τοῦ ἐκδυναμωθῇ, quod tamen nullius pretii, cf. Oecon., Foësii in voce.

ἢν δὲ τὰς — λουέσθω.] πονέῃ J. pro ἀλγέῃ; — λούσθω cod. θ.

ἢν δ' ἆσθμα — ἀπεχέσθω.] ταῦτα τρίψας vulgo, τρίψαι

κύαμον καὶ καρδαμώμου ἴσον καὶ πηγάνου καὶ κυμίνου Αἰθιοπικοῦ τρίψας καὶ διεὶς οἴνῳ δίδου πιεῖν νήστι [1] πυκινὰ καὶ σιτίων ἀπεχέσθω. Ἢν ἐν τόκῳ κάθαρσις ἴῃ πολλὴ, ἡ ὑστέρη ξυνέλκεται καὶ ἡ κύστις καὶ τὸ ἔντερον καὶ οὔτε τὸ κόπριον κατέχουσι οὔτε τὸ οὖρον, προΐενται δέ· ᾠὰ οὖν ῥοφεῖν δίδου καὶ ἄρτον ἐγκρυφίην τρώγειν καὶ ἄσσα λοιπὰ γέγραπται. Ἢν δὲ ᾖ ἐν τόκῳ ἐοῦσα ξηρὴ καὶ δύσικμος, ἔλαιον πίνειν καὶ καταιονᾶν τὰ χωρία ἐλαίῳ θερμῷ, ἢ μαλάχης ὕδατι, κηρωτῇ τε ὑγρῇ διαχρίειν καὶ ἔγχυτον χηνὸς ἄλειφα ξὺν ἐλαίῳ. Ἢν δὲ μὴ δύνηται τίκτειν, ὑποθυμία ῥητίνην ἢ κύμινον ἢ πίτυος [2] φλοιόν. Ἄσσα δὲ οἰδήματα γίγνεται ὑστερικὰ ἐν τόκῳ ἢ ἐκ νόσου, οὐ χρὴ στύφειν, οἷα οἱ ἰητροὶ ποιέουσι· [3] φάρμακα δὲ τάδε ἄριστα προσφέρειν, κύμινον Αἰθιοπικὸν, ὅσον τοῖσι τρισὶ δακτύλοισι καὶ [4] ἀνήσου καὶ σεσέλιος, γλυκυσίδης χηραμίδος ἥμισυ τῆς ῥίζης, ἢ καὶ τοῦ σπέρματος, ταῦτα ἐν οἴνῳ λευκῷ ἡδυόδμῳ μάλιστα νήστι διδόναι· ἢ δαύκου ῥίζαν Αἰθιοπικοῦ, σέσελι, γλυκυσίδης ῥίζαν τὸν αὐτὸν τρόπον· ἢ ἱπποσελίνου, ἢ δαυκοῦ Αἰθιοπικοῦ καρπὸν ὡσαύτως· ἢ κρήθμου ῥίζαν, ἢ κυμίνου Αἰθιοπικοῦ Ἀττικὸν τετρώβολον, ἢ πέπερι, ἄνησον, δαῦκον, ἀκτέης, γλυκυσίδης [5] ῥίζαν ἐν οἴνῳ τρίβειν καὶ διδόναι πίνειν· ἢ μυρτιδάνου κλωνία δύο ἢ τρία καὶ κύμινον Αἰθιοπικὸν, γλυκυσίδης ῥίζαν, ἢ καὶ λίνου [6] σπέρμα, ὃ καὶ

cardamomi, rutae et cumini Aethiopici parem modum, haec trita vino macerata, ieiunae potui exhibeto frequenter et cibis abstineat. Si in partu purgatio copiosa decurrat, uterus contrahitur et vesica et intestinum et neque stercus neque urinam continent, sed emittunt. Ova igitur sorbenda dato et panem subcineritium edendum et quae scripta sunt reliqua. Si quae adhuc in partu est, sicca fuerit, nec nisi aegre humectetur, oleum bibendum et loci oleo calido perfundendi aut malvae decocto et cerato liquido illinendi, adeps etiam anserinus cum oleo infundatur. Sin autem parere nequeat, resinam aut cuminum, aut pini corticem ad suffitum adhibeto. Qui in partu, aut ex partu uteri tumores fiunt, eos, uti medici faciunt, constringere non oportet; verum haec medicamenta sunt praestantissima, quae adhibeantur: cumini Aethiopici quantum tribus digitis continetur, et anethi et seselios, radicis paeoniae, aut etiam seminis concham testae maioris dimidiam. Haec ex vino albo grati odoris ieiunae praecipue exhibeto. Aut dauci Aethiopici radicem, seseli, paeoniae radicem ad eundem modum. Aut hipposelini aut dauci Aethiopici semen eodem modo, aut crethmi radicem, aut cumini Aethiopici quatuor Atticorum obolorum pondus. Aut piper, anethum, daucum, sambuci, paeoniae radicem, haec ex vino albo trita propinato; aut myrtidani duos vel tres surculos et cuminum Aethiopicum et paeoniae radicem, aut etiam lini se-

[1] πυκινά om. h. l. sed post ἀπεχέσθω legitur. — [2] φλοιόν. καὶ τούτῳ ὑποθυμιᾶν. — [3] τὰ δὲ φ. ἄρ. — [4] τοῦ ἀνν. καὶ τοῦ σεσ. πέντε ἢ ἕξ. — [5] ῥίζα ταῦτα ἐν. — [6] σπέρμα ὁμοίως, ὃ καὶ.

Parr. 6.; ego vero ταῦτα abegi; — in vulg. πυκινά post ἀπεχέσθω, in cod. θ. πυκνά post νήστι.

ἢν ἐν τόκῳ — γέγραπται.] εἰ J.; — δ' ἐν cod. θ.; — τὸ ἔντερον cod. θ. Lind., Littr., vulgo τό om.; — vulgata καὶ τὸ οὖρον, sed θ. Lind., Littr., οὔτε τὸ οὖρον; — σὺν ῥόῳ pro οὖν C.; — ῥοφῆν J.; — δίδου om. C., διδόναι cod. θ.; — λοιπά omm. C. θ.

ἢν δὲ ᾖ — ἐλαίῳ.] οὖσα omm. C. θ. Littr.; — καταιονεῖν Parr. 2. et Q.'; — ἔλαιον θερμὸν μ. ὕδωρ vulgo, dativum ex θ. dedit Littr.; — ego ἤ ante μαλάχης de meo intuli; — κηρώτῃ τε cod. θ. Littr., vulgo τε om., Lind. δέ dedit; — ἄλειφαρ D.

ἢν δὲ μὴ — φλοιόν.] post φλοιόν ceteri καὶ τούτῳ (τοῦτο K.) ὑποθυμία (ὑποθυμιᾶν cod. θ.); — cum Cordaeo otiosa verba omitto.

ἄσσα δὲ — πεφρυγμένῳ.] δέ et paulo post οὐ om. C.; — τὰ δὲ φ. ἄριστα προσφ. vulg., φάρμακα δὲ τάδε ἄριστα cod. θ. sine προσφέρειν; — τοῖσι Parr. 6. θ. Littr., vulgo om.; — τοῦ ante ἀνήσου cum θ. omisi; — καὶ τοῦ σεσέλιος vulg., sed καὶ τοῦ om. C., ego τοῦ omisi; — iam vero post σεσέλιος legebatur πέντε ἢ ἕξ, quod ad nihil in superioribus apte referri potest, adeo ut omiserim; nescio quo errore illatum esse videtur; — χηραμύδος vulg., per ῑ cod. K.; — καὶ δαύκου αἰθ. καρπὸν ὡσαύτως cod. θ., Littr.; — ὡσαύτως ἢ κρ. ῥίζαν om. C.; — ἀκταίης vulg., ἀκταίη cod. θ., ἀκταῖα C., ἀκτέα Littr., ῥίζαν Parr. 3.; — ῥίζα vulgo, sed praeterea ταῦτα ἐν οἴνῳ vulgo; equidem ταῦτα abieci; — πίνειν om. θ.; — ῥυκυσίδης ῥίζα cod. θ.; — ἢ καὶ λίνου σ. vulgo, καί omm. C. θ. Littr.; — ᾧ καὶ τὰ π. J.; — praeterea post λίνου σπέρμα vulgo ὁμοίως, quod quum parum apte inter nomen et pronomen relativum interponatur, delevi; — ξὺν ᾠῷ ὀπτῷ λεκίθῳ vulg., ᾠοῦ recte cod. Serv.,

τὰ παιδία βήσσοντα ψωμίζουσι, ξὺν ᾠοῦ ὀπτοῦ λεκίθῳ ξὺν σησάμῳ πεφρυγμένῳ. Ἢν [1] παιδούσσῃ ἀφθᾷ τὰ αἰδοῖα, ἀμύγδαλα τρίψας καὶ βοὸς μυελὸν ἐν ὕδατι ἕψειν καὶ ἀλήτου ἐμβαλὼν σμικρὸν διαχρίειν τὰ αἰδοῖα καὶ διακλύζειν τῷ ὕδατι τῷ ἀπὸ τῶν μύρτων.

men, quod etiam tussientibus pueris in cibo exhibent, cum ovi assati vitello et sesamo torrefacto. Si puerperae pudenda ulcere superficiario laborent, amygdalas tritas et medullam bubulam aqua decoquito paucaque farina iniecta pudenda illinito ac myrtillorum decocto eluito.

λε'. Νῦν δ' ἐρέω ἀμφὶ λοχείων καὶ τῶν μετὰ τὸν [2] τόκον ἰόντων. Ὅταν γυναικὶ ἢ τὰ λοχεῖα μὴ καθαρθῇ, ἢ τὰ ἐπιμήνια μὴ ἴῃ, ἢ καὶ ἡ ὑστέρη σκληρὴ ᾖ, ὀδύνη ἔχει τὴν ὀσφὺν, καὶ τοὺς μὲν κενεῶνας καὶ βουβῶνας καὶ μηροὺς καὶ πόδας ἀλγέει πικρῶς καὶ ἡ γαστὴρ ἐπαίρεται καὶ φρῖκαι διὰ τοῦ σώματος διαΐσσουσι, ἐκ δὲ τῶν τοιούτων πυρετοὶ γίγνονται ὀξέες. [3] Ταύτην, ἢν μὲν ἄπυρος ᾖ, διαιτᾶν λουτροῖσι, λιπαίνειν δὲ καὶ τὴν κεφαλὴν ἐλαίῳ ἀνθινῷ· ἕψειν δὲ μαλάχην, καὶ ἔλαιον κύπρινον ἐς τὸ ὕδωρ ἐγχέειν καὶ ἐγκαθίζεσθαι παρηγορικῶς· ἐν πάσῃσι δὲ τῇσι νούσοισι, ἐφ' ὧν πυρίη ἀρήγει, ἄμεινον ὕστερον χρίεσθαι [4] λίπα· ἢν δὲ πῦρ ἔχῃ, λουτρῶν ἀπέχεσθαι· [5] πυριᾶν δὲ καὶ χλιάσμασι τὴν νείαιραν γαστέρα καὶ τὴν ὀσφὺν θεραπεύειν· διδόναι δὲ πίνειν τῶν φαρμάκων τῶν ὑστερικῶν, παραμίσγοντα ἢ τῆς σηπίης τῶν ᾠῶν ἢ τοῦ [6] καστορίου· μετὰ [7] δὲ ῥοφέειν διδόναι ἄλητον ξὺν πηγάνῳ ἑφθὸν ἢ πτισάνης χυλόν.

35. Iam vero de puerperii purgamentis et quae post partum prodire solent, nobis est dicendum. Ubi mulieri aut puerperii purgamenta non expurgantur, aut menses non eunt, aut induratur uterus, lumborum dolor adest et laterum quidem inanitates, inguina, femora et pedes acerbe dolent, venter attollitur et horrores per corpus cum impetu erumpunt, ex his vero febres acutae oriuntur. Hanc, siquidem febris expers sit, balneis curato, caputque oleo anethino illinito. Malvae decoctum et in id affusum oleum cyprinum ad insessum doloris leniendi gratia adhibeto. In omnibus autem morbis, in quibus fotus conducit, praestiterit post fotum pingui aliquo perungi. At si febris detineat, a balneo abstinendum, fotibus autem et tepefacientibus imus venter et lumbi curandi. Ex medicamentis autem, quae ad uterum faciunt, quaedam potui sunt exhibenda, admixtis sepiae ovis et castorio. Deinde farinam cum ruta coctam aut ptisanae succum sorbendum dato.

λς'. Ἢν δὲ γυναικὶ μετὰ τοῦ παιδίου ἐν τῷ τόκῳ μὴ ἴῃ τὸ ὑγρὸν ὡς χρὴ, ἀλλὰ

36. Si vero mulieri una cum puero in partu humor, ut convenit, non effluat, sed minus,

[1] παιδίου. — [2] τοκετόν. — [3] ταύτην τὴν οὕτως ἔχουσαν. — [4] καὶ λ. — [5] πυρίῃσι. — [6] κάστορος. — [7] δὲ τοῦτο.

Cord., Lind., λεπτοῦ pro ὀπτῷ cod. Serv.; — utrumque genitivo describere oportet.

ἢν παιδούσσῃ — μύρτων.] ἢν (addunt δέ cod. θ. Lind., addit διά Cord.) παιδίου (παιδίον K., παιδιούσῃ Foës. emendat, παιδεούσῃ Lind.) ἀφθᾷ vulg.; — Littr. ἢν παιδοῦσα ἀφθᾷ provocans ad § 100. libri de Nat. mul. ubi παιδίουσα vulg., παιδίουσσα J.; notum est παιδοῦς, παιδοῦσσα, παιδοῦν, unde παιδούσσῃ dedi, pro quo si παιδοέσσῃ malis, non adversor. Fortasse etiam παιδιοῦς bene habet, sed huius exempla ex aliis non succurrunt nunc. Dein ἄλητον vulg., de meo genitivo descripsi.

35. νῦν δ' ἐρέω — ἰόντων.] δ' D., δέ cett.; — τόκετον Parr. 3., τοκετόν C. Lind., τοκηγόν cod. θ.

ὅταν — ὀξέες.] Vulgo ὅταν γυνὴ ἢ τὰ λοχεῖα κ. τ. λ., in quibus de coniectura γυναικί scripsi; nam iste nominativus, licet in primo membro periodi per se constare possit, non congruit cum sequentibus; — ἢ ὑστέρη vulgo, ἢ καὶ ἡ ὑστ. cod. θ., Littr.; — ᾖ omm. Parr. 8., in quorum uno restituitur; — ἢ ὀδύνη ἔχει vulg., sed ἤ omm. C. θ. Littr.; — μέν omm. C. θ.; — πικρῶς om. C.

ταύτην — χωλόν.] Vulgo ταύτην τὴν οὕτως ἔχουσαν, sed C. θ. solum ταύτην; est omnino dittographia ταύτην et τὴν οὕτως ἔχουσαν, itaque cum C. θ. haec omisi. Dein ἀπύρετος K. θ.; — καὶ τήν om. C.; — ἢ ἔλαιον vulgo, de meo καί pro ἤ dedi, de meo etiam τό ante ὕδωρ adscripsi; — ἐγκαθέζεσθαι idem; — ἐν πάσῃσι νούσοισι idem; — πυρίη ἁρμόζει idem; — καὶ λίπα vulg., sed καί omm. C. θ. Littr.; — λιπᾷν Cord.; — πυρίῃσι δέ vulg., πυριᾶν δέ cod. θ. Littr.; — μετὰ δὲ τοῦτο vulg., τοῦτο om. θ.; — ῥυφεῖν idem; — σὺν πτ. χυλῷ J. pro ἢ πτ. χ.

36. ἢν δὲ γυναικὶ — πόρρω.] ἀλλὰ μὴν (μεῖον C. pro μήν) ἢν (εἰ C. θ., qui dein ἔχει) vulg.; cum Littréo μεῖον recepi; — ὀλίγῳ C. θ., ὀλίγον vulg.; — δ' cod. θ., δέ vulg.; — συνθῇ Parr. 5., ἔλθῃ pro συθῇ C.; — διαταράξειεν cod. θ.

μεῖον, ἢν μὲν ἐν τῇ κεφαλῇ ἔχῃ τὸ ὑγρὸν ὑπὸ θέρμης εἰρυσθὲν, ἐν τόκῳ καὶ πρὶν ὀλίγῳ κεφαλαλγήσει· ἢν δ' ἐς τὴν κοιλίην ἔλθῃ ἁλὲς, ἐπειδὰν συθῇ, [1] διαταράξει αὐτὴν καὶ οὐχὶ πόρρω. Τιμωρέειν δὲ ὡς μὴ ἐκ τούτου διάρροια ἐπιγενομένη σώματι φλαύρως ἔχοντι πονήσει μιν. Ἢν δὲ ἀπὸ κεφαλῆς ἐλθὸν τὸ ῥεῦμα ἐς τὴν λοχείην κάθαρσιν τραπῇ καὶ πολλὰ συθῇ, ῥηΐζει· ἢν δὲ πλέον τοῦ μετρίου, μελεδαίνειν· ἢν δὲ ἐς τὴν κοιλίην, ῥηϊτέρη ἂν ἡ ἔξοδος τῷ παιδίῳ γένοιτο. Εἰ δὲ ἡ κάθαρσις τῇ γυναικὶ ὀλίγη χωρέει, πόνος λάζεται ἰσχυρὸς [2] τὰς ἰξύας τε καὶ τὸν ἀμφὶ τὰ αἰδοῖα πάντα χῶρον καὶ οἰδέει καὶ οἱ μηροὶ πίμπρανται καὶ ἐκ τοῦ στόματος καὶ ἐκ τῶν ῥινῶν ῥέει φλέγμα [3] ὑδαρὲς καὶ ἀλγέει κεφαλὴν καὶ πῦρ ἔχει καὶ φρίκη καὶ [4] οἱ ὀδόντες βρύχουσι [5] καὶ ἀψυχέει καὶ ἡ γαστήρ οἱ στεγνὴ ἔσται καὶ ἡ κύστις καὶ τὤμματα ἀναδινέει καὶ ζοφοειδὲς ὁρᾷ. Γυναικὶ δὲ ἐκ τόκου ἐούσῃ [6] ἢν ἡ κάθαρσις, ἐπὴν ἴῃ, [7] μὴ εὐμαρέως χωρέῃ, οἷα τῶν μητρέων ἐν φλογμῷ γενομένων καὶ τοῦ στόματος σφέων μύσαντος, — περιϊδνοῦται δὲ ὁ στόμαχος τοῦ αἰδοίου μετὰ τὸ παιδίον ποιήσασθαι τὴν ἐκχώρησιν, — [8] ἢν δὲ τούτων τι ᾖ, οὐ χωρήσει οἱ ἡ κάθαρσις· [9] ἢν δὲ μὴ χωρέῃ, ξυμβήσεται ὥστε μιν πυρεταίνειν καὶ φρίκην ἔχειν καὶ τὴν γαστέρα μεγάλην εἶναι· ἢν δὲ [10] ψαύσῃς, ἀλγέει πᾶν τὸ σῶμα, μά-

si quidem caput in se humorem calore attractum contineat, in partu et paulo ante caput ei dolebit; quodsi cumulatus in ventrem veniat, ubi commotus fuerit, ipsum conturbabit, nihilque amplius. Succurrendum autem ut ne corpore male affecto succedens inde alvi profluvium ipsam affligat. Quodsi ex capite delata fluxio ad puerperii purgationem se convertat, multaque defluant, melius habet; si vero plus aequo, diligentem curam adhibeto; sin ad ventrem se convertat, facilior utique puello exitus. At si parca purgatio mulieri procedat, vehemens dolor lumbos occupat, omnesque partes pudenda complectentes et caput intumescunt femoraque inflantur, ex ore et naribus pituita aquosa effluit, caput dolet, febris et horror detinet, dentes fremunt, animo linquitur, venter et vesica ei constringuntur, oculos obvertit et caliginosa cernit. Mulieri vero si ex partu purgatio cum fluat non facile procedat, quippe utero incenso eiusque osculo clauso, — contorquetur autem pudendi orificium postquam foetus egressus sit; — si quid horum acciderit, purgatio ei non procedet; — quodsi non fluat, fiet ut febricitet et horreat et venter magnus fit; — quodsi eam attingas, dolet toto corpore, praecipue vero si ventrem attingas, interdumque oris ventriculi morsu tentatur et lumbis dolet et cibi aversatio et vigiliae et corporis compunctio infestant. Deinde quinto aut septimo die quandoque venter conturbatur

[1] ταράξει. — [2] τάς om. — [3] ἰσχυρῶς ὑδαρές. — [4] οἱ om. — [5] καὶ ἀψ. abest. — [6] ἢν ἡ om. — [7] οὐκ. — [8] ἢν δὲ — κάθαρσις om. — [9] ἢν δὲ μὴ χ. οἱ καθ. — [10] ψαύσῃ αὐτῆς ἀλγέειν.

Littr., ταράξειεν vulg.; futurum requiritur, quod de meo intuli.

τιμωρέει — πονήσει μιν.] πονήσῃ vulg., πονήσει C. θ. Littr.

ἢν δὲ — γένοιτο.] τράπηται cod. θ.; — πολλόν cod. Serv., Lind.; — μελεδαίνει vulg., μελεδαίνειν alii codd., Lind.. Littr., μελεδαινομένη C.; — ἤν om. idem.

εἰ δὲ — ὁρᾷ.] χωρέει C. J.; — λάζηται vulg., λάζυται D. Littr., λάζεται C. K. θ. Lind.; — τάς ante ἰξύας e C. adscripsi, qui γε καί fert; — ῥινέων vulg., ῥινῶν ῥεῖ cod. θ.; — φλ. ἰσχυρῶς ὑδαρές vulg., ἰσχ. omm. C. θ. Littr.; — κεφαλή J.; — φρίκην Lind., φρίττει Cord.; — καὶ οἰδέει vulg., φρίκη, post ἰδίει Parr. 6., cod. Serv., Cord., Lind., Littr.; καὶ οἰδέει sive ἰδίει omitto cum θ.; — articulum ante ὀδόντες omm. Parr. 5., θ.; — καὶ ἀψυχέει om. vulg., C. θ. Lind., Littr., habent, nisi quod C. ἀψύχει scribit; — τὰ ὄμμ. vulg., τωμμ. C .θ. Littr.; — ὁρῇ vulg.; ορχι cod. θ.

γυναικὶ — νυγμός.] δέ omm. C. θ.; — ἤν de meo intuli, eoque illato μὴ — χωρέῃ pro οὐκ — χωρέει scripsi; — articulum ante κάθαρσις omm. cett., sed C. θ. Littr. habent; — ἴῃ vulg., ᾖ C. Littr., ego ἴῃ praefero; — γενομένων ex D. θ. Littr., pro vulg. γινομ.; — περιιδνοῦται γάρ cod. θ. Littr., π. δέ vulg.; — ὁ στ. ὁ τοῦ α̉ cod. θ.; — παιδίου omm. Parr. 7., in quorum uno rest. al. m. Dein ἢν γὰρ τούτων τι ᾖ vulgo, de meo δέ pro γάρ dedi, sed ἢν — κάθαρσις omm. Parr. 7.; — εἴη pro ᾖ cod. C.; — χωρέῃ οἱ ἡ κάθαρσις C. θ. Littr., vulgo ἡ om.; — ego οἱ ἡ κάθαρσις h. l. omisi, quum otiosum sit; — εἰ δὲ ψαύσοι D.; — vulgo ἢν δὲ ψαύσῃ (τις addit θ.) αὐτῆς, ἀλγέει πᾶν τὸ σῶμα, μάλιστα ἤν τις τῆς γαστρὸς ψαύσῃ, de meo ψαύσῃς dedi utroque loco τις omittens, tum delevi αὐτῆς et δ' ἢν τῆς γ. ψ. scripsi; — ἀλγέειν vulgo, de meo ἀλγέει scribo; — μάλιστα δὲ ἢν

λιστα δ' ἢν [1] τῆς γαστρὸς ψαύσῃς, καὶ καρδιώσσει ἄλλοτε καὶ ἄλλοτε καὶ [2] τὴν ὀσφὺν πονέει καὶ ἀσιτίῃ καὶ ἀγρυπνίῃ καὶ νυγμός. Ἔπειτα ἡμέρῃ πέμπτῃ ἢ ἑβδόμῃ ἔστι ὅτε ἡ κοιλίη ταράσσεται καὶ ὑποχωρέει μέλανα καὶ κάκοδμα κάρτα ἄλλοτε καὶ ἄλλοτε καὶ ὡς ὄνειον οὖρον, καὶ ἢν ὑπέλθῃ, δοκέει οἱ ῥηΐτερον εἶναι καὶ μελεδαινομένη ἐν τάχεϊ ὑγιὴς γίγνεται· ἢν δὲ μή, κινδυνεύσει διαρροίης αὐτῇ ἰσχυρῆς [3] ἐπιπεσούσης καὶ τὰ λοχεῖά οἱ [4] κεκρύψεσθαι. Ἢν δὲ ἡ κοιλίη οἱ μὴ ταράσσηται μηδὲ ἡ κάθαρσις χωρέῃ αὐτομάτη, μηδέ οἱ προσφέρηται ἐν τάχεϊ τὰ ἐπιτήδεια, ὁ δὲ χρόνος προΐῃ, πονήσει πολλὰ τὰ προειρημένα καὶ ἐπὶ τούτοισι κινδυνεύσει πελιδνὴ γενέσθαι ὡς μόλιβδος, καὶ ὑδερωθῆναι καὶ ὁ ὀμφαλὸς [5] ἐκστήσεται, ἀειρόμενος ὑπὸ τῶν μητρέων καὶ ἔσται μελάντερος τῶν πέριξ. Καὶ ἐπὴν ταῦτα γένηται, οὐχ οἵη τε [6] ἔσται περιγενέσθαι ἡ γυνή· θνήσκουσι δὲ ἄλλαι ἄλλῳ χρόνῳ, ὅκως [7] ἂν καὶ τὰ τοῦ σώματος ἔχωσι καὶ τὰ τῆς πάθης, [8] μίαν δὲ καὶ εἴκοσι ἡμέρας οὐχ ὑπερβάλλουσι ὡς ἐπὶ τὸ [9] πλέον. Ἢν δέ οἱ ῥαγῇ ἡ κάθαρσις εἴτε καὶ ὑπὸ φαρμάκων, εἴτε καὶ αὐτομάτη, — γίγνεται γὰρ καὶ τοῦτο, ἢν χαλάσωσι τὸ στόμα αἱ μῆτραι [10] βιασθεῖσαι ὑπὸ τοῦ αἵματος ἀλέως ἐξαπίνης κατελθόντος, — ἀποκαθαίρεται δύσοδμα καὶ πυώδεα, ἔστι δ' ὅτε καὶ μέλανα, καὶ ῥηΐτερον ἔσται καὶ μελεδανθεῖσα [11] ὑγιαίνει. Γίγνε-

et nigra snbindeque admodum graveolentia demittit et urina qualis asinina redditur; quae si subeant, melius illi esse videtur curaque adhibita brevi convalescit, alioqui in periculum veniet ne vehemens alvi profluvium succedat, et puerperii purgamenta in occulto delitescant. At si venter ei non conturbetur, neque purgatio sponte prodeat, neque ei cito convenientia adhibeantur remedia, tempus autem procedat, a multis commemoratis affligetur, quibus accedet ut in periculum veniat, ne velut plumbum livescat et in aquam intercutem incidat eique umbilicus ab utero sublatus prominebit et nigrior quam circumambientes partes evadet. Quae ubi evenerint, superesse mulier non poterit; pereunt autem aliae alio tempore, prout corpus et affectio se habet; plerumque tamen primum ac vigesimum diem non excedunt. At si illi vel per medicamentum, vel sponte purgatio eruperit, — id enim etiam usu venire solet, ubi uterus a sanguine cum impetu derepente confertim delato os relaxarit, — graveolentia et purulenta repurgantur interdumque etiam nigra, tumque melius erit et adhibita cura convalescit. Ulcera autem in utero etiam oriuntur, putrefactis nimirum puerperii purgamentis. Quae si oboriantur, maior cura adhibenda erit, ne ulcera illa increscant et computrescant; periculum enim est ne moriatur aut sterilis evadat. Si vero ulcera in utero sint, haec signa sunt: cum procedit purgatio, velut

[1] τις τῆς γ. ψαύσῃ. — [2] τήν om. — [3] ἐπεισπεσούσης. — [4] κρύψεται. — [5] ἐκστήσεται αὐτῇ. — [6] ἔστι. — [7] τε καί. — [8] μιῆς — ἡμερέων. — [9] πλέον οὕτω ξυμβαίνει. — [10] ἢ βιασθ. — [11] ὑγιαίνεται.

vulg., sed δέ omm. Parr. 8. θ. Littréus; ego δ' dedi; — μυγμός cod. θ., νυγμὸς ἕπεται· ἡμέρῃ δέ (Cord. sine δέ) Lind.

ἔπειτα — κεκρύψεσθαι.] ὑγιαίνεται C. θ., quod vitiosum quidem, sed advertit, quia cum ὑγιὴς γίνεται alternat; — εἰ δὲ μή C. θ.; — κινδ. αὐτὴν διαρροίη ἰσχυρὴ ἐπιπεσοῦσα ἀπίναι καί cod. θ.; — κινδ. αὐτὴ διαρροίη ἰσχυρὴ περιπεσοῦσα καί C.; — ἐπεισπεσούσης cod. Serv., Lind.; — κρύψεται vulg., κεκρύψεται C. J. θ., unde de meo infinitivum dedi.

ἢν δὲ ἡ κοιλίη — πέριξ.] οἱ omm. C. θ.; — πονήσει πολλὰ τὰ πρόσθεν vulg., sed πολλά omm. C. θ. Littr. et post πρόσθεν C., quem Littr. sequitur, μᾶλλον addit; ego cur bene Graecam vulgatam repudiem causam video nullam; — ὡς ὁ μόλιβδος vulg., ὁ omm. C. θ. Littr.; — ἐκστήσεται αὐτῇ ceteri, pronomen otiosum omisi.

καὶ ἐπὴν — ἐπὶ τὸ πλέον.] οὐχ οἵη τε ἔσται C. θ. ἐστί vulgo; — θνήσκουσι γάρ C.; — ὅκως τε καί vulg., ἄν pro τε C. θ. — Post πλέον ceteri οὕτω ξυμβαίνει, quod pro otioso emblemate reiicio; Lind. πλέον [δέ]; nempe sensit aliquid incongrui in oratione inesse. Tum vero legebatur μιῆς δὲ καὶ εἴκοσι ἡμερέων οὐχ ὑπερβάλλουσι, in quibus puto genitivum ortum esse ex antecedente; nam ὑπερβάλλειν accusativum regit.

ἢν δὲ οἱ ῥαγῇ — ὑγιαίνει.] ἡ καθ. Cord., Littr., vulgo articulus om.; — ἤν τε καὶ ὑπό cod. θ.; — ἢ βιασθεῖσαι vulg., sed ἤ omm. θ. Lind., Littr.; — ἀλέως vulg. ἀλέος Ald., Parr. 6.; — post κατελθόντος ceteri καὶ ἢν ῥαγῇ, quod emblema alienum, orationem misere impediens, sustuli; — ὑγιαίνεται cett., ὑγιαίνει de meo.

γίγνεται δὲ καὶ — γενέσθαι.] ἢν γὰρ ἐγγένηται πλείονος vulg., — καὶ ἢν γένηται πλέονος cod. θ. Littr.; — διη-

ται δὲ καὶ ἕλκεα ἐν τῇσι μήτρῃσι, οἷα τῶν λοχείων σαπέντων· καὶ ἢν γένηται, πλέονος μελεδώνης δεήσεται, ὅκως μή οἱ τὰ ἕλκεα μεγάλα καὶ σηπεδονώδεα ἔσται· κίνδυνος [1] γὰρ ἀποθανεῖν, ἢ ἄφορον γενέσθαι. Σημήϊα δὲ ταῦτα γίγνεται ἢν ἕλκεα ἐνῇ· ἐπὴν χωρέῃ ἡ κάθαρσις, δοκέει ὡς ἀκάνθια διὰ τῶν μητρέων ἰέναι καὶ πῦρ μιν λάζεται [2] καὶ τὴν κοιλίην ἀλγέει ἐπαφωμένη τὸ κάτω τοῦ ὀμφαλοῦ, ὡς ἕλκεος καθαροῦ νευρώδεος εἰ θίγοις· ἔπειτα ὀδύναι ἰσχυραὶ ἄλλοτε καὶ ἄλλοτε ἐμπίπτουσι ἐς τὰς μήτρας καὶ πυρετὸς ἔστι ὅτε πρὸς χεῖρα βληχρὸς, καὶ ἄλλοτε καὶ ἄλλοτε ὑποκακοήθεα χωρέει τὰ λοχεῖα, πυώδεα, δύσοδμα· ταῦτα τὰ σημήϊά ἐστι, ἢν ἕλκεα ᾖ ἐν τῇσι μήτρῃσι, καὶ δέεται πολλῆς [3] μελεδώνης. Ἢν δὲ ἡ κάθαρσις ἡ λοχείη τὰς μὲν πρώτας ἡμέρας τρεῖς ἢ τέσσαρας χωρήσῃ, ἔπειτα [4] δ' ἀπολῆται ἐξαπίνης, πάσχει παθήματα τῇ προτέρῃ ἀδελφέα, ἥσσονα δέ· καὶ ἢν μεταπίπτῃ ἡ νοῦσος, ἐς τωὐτὸ μεταπεσεῖται· χρονίη δὲ καὶ βληχροτέρη ἔσται τῆς προτέρης. Διαιτωμένη δὲ ἡ γυνὴ περιγίγνεται ἢν ἁρμοῖ μελεδαίνηται. [5] Ἀμφὶ ταύτης τῆς νούσου ὧδε ἔχει.

spinae uterum pervadere videntur et febris eam prehendit et ad tactum venter dolet parte, quae est infra umbilicum, quasi ulcus purum in nervo contigeris. Deinde vehementes in uterum dolores subinde incidunt interdumque febris ad manum mitis et quandoque deferuntur puerperii purgamenta maligna, purulenta et graviter olentia. Istaque signa se produnt, si ulcera in utero fuerint, magnaque cura indigent. Quodsi puerperii purgatio primis quidem tribus aut quatuor diebus prodierit, deinde derepente supprimatur, in similes, sed minores quam superior affectiones incidit eandemque morbus subit commutationem, diuturnus tamen et priore lenior erit. Recte autem instituta victus ratione mulier superest, si cito eius cura suscipiatur. Ac de hoc morbo sic se res habet.

λζ'. Ἢν δὲ ἐκ [6] τόκου μὴ καθαρθῇ, οἰδέει ἡ γαστὴρ καὶ ὁ σπλὴν καὶ τὰ σκέλεα καὶ πῦρ ἔχει καὶ ῥῖγος λαμβάνει καὶ ὀδύναι ἀΐσσουσι πρὸς τὰς ἰξύας, ἔστι δ' ὅτε καὶ πρὸς τὰ σπλάγχνα καὶ [7] ἀποψύχει τε καὶ σφυ-

37. Si vero ex partu non purgetur, venter intumescit et lien et crura, tum febris detinet et rigor prehendit, dolores ad lumbos irrumpunt interdumque etiam ad viscera et animo linquitur, pulsus debiles sunt, interdum vero etiam

[1] δὲ ἢ θανεῖν. — [2] μάλιστα τὴν κ. ἐπιλαμβάνειν· ἀλγέει δὲ κ. τ. λ. — [3] μελεδώνης ταύτης μὲν οὖν ἀμφὶ τῆς νούσου τόσαι τελευταί εἰσι. — [4] ἀπόλωλεν ἐξαπ. ταύτῃ πάσχει. — [5] ἀμφὶ δὲ τῆς ν. τ. — [6] τοῦ τόκου. — [7] ἀποψύχεται καὶ πῦρ ἔχει σφ.

θήσεται C.; — κίνδυνος δὲ ἢ θανεῖν vulgo, sed ego codicis θ. lectionem dedi.

σημήϊα δὲ — μελεδώνης.] ἀκάνθια C. Lind., Littr., ἄκανθα vulg.; — καὶ πῦρ μιν λάζεται (καί interponunt Cord., Lind.) μάλιστα τὴν κοιλίην ἐπιλαμβάνειν (ἐπιλαμβάνει D. K. Cord., Lind.) ἀλγέει δὲ ἐπ. vulg.; — καὶ πῦρ μιν (μιν om. θ.) λάζεται μάλιστα (μάλιστα om. θ.) τὴν κοιλίην, φιλέει δὲ ταῦτα ἐπιλαμβάνειν (Vatt., Foës., μάλιστα δὲ τὴν κοιλίην φιλέει ταῦτα ἐπιλαμβάνειν) ἀλγέει δὲ (δέ om. θ.) ἐπαφ. C. θ., quos fere sequitur Littréus. In vulgata abundat ἐπιλαμβάνειν, in C. θ. abundat φιλέει δὲ ταῦτα ἐπιλαμβάνειν; nempe librarii utcumque expleverunt otiosum ἐπιλαμβάνειν vulgatae. Iam puto intelligetur, quare locum, quemadmodum feci, exhibeam. — Littréus σημήϊα Ionice ex C.; — ᾖ vulgo post μήτρῃσι, cum C. θ. ante ἐν collocavi. — Post μελεδώνης ceteri: ταύτης μὲν νῦν (οὖν C. J. Littr.) ἀμφὶ τῆς νούσου τόσαι τελευταί εἰσι (τοσαίδε τελευταῖαι C.) Quae verba pro emblemate alieno abieci.

ἢν δὲ ἡ κάθαρσις — τῆς προτέρης.] εἰ C.; — ἡ λοχίη C.; — χωρήσει idem; — ἀπόλωλεν (ἀπολεῖται cod. θ.) ἐξαπ. ταύτῃ (αὕτη C. θ.) πάσχει vulg.; — Littréus ἀπόληται dedit et αὕτη recepit, mihi pronomen neutrum dandum videtur. Porro καὶ εἰ μεταπίπτει C.; — μεταπείσεται ceteri, in quo latet μεταπεσεῖται.

διαιτωμένη — ἔχει.] Vulgo διαιτεομένη, cui formae quum fidem non habeam, διαιτωμένη scripsi; — τε pro δέ C. θ.; — ἀμφὶ δέ vulgo, δέ omisi cum θ.; — τῆς ν. ταύτης vulgo equidem sequor codicem C.

37. ἢν δὲ — ἐλλείποντες.] ἐκ τοῦ τόκου vulg., τοῦ omm. C. θ. Littr.; — ἀΐσσουσαι C.; — ἀποψύχεται vulgo, sed cod. Serv. λιποψυχέει; dedi ἀποψύχει τε, quod credebam inde natam esse vulgatam; tum vero delevi πῦρ ἔχει ante σφυγμοί, in quo τὸ πῦρ legit θ.; nempe supra iam πῦρ ἔχει dixit et pulsus descriptio, quae sequitur, pertinet ad illud

γμοὶ βληχροὶ, ἔστι δ' ὅτε καὶ ὀξέες, ἄλλοτ' ἀειρόμενοι, ἄλλοτ' ἐλλείποντες. Ταῦτα πάσχει ἀρχομένης τῆς [1] νούσου· ἢν δὲ προΐῃ τοῦ χρόνου, [2] οἱ κύκλοι τοῦ προσώπου ἐρυθροὶ γίγνονται. Ὅταν ὧδε ἔχῃ, διδόναι κοῦφα σιτία· κἢν ὀργᾷ, φάρμακον πῖσαι κάτω· ἢν μὲν χολώδης ᾖ, ὅ τι χολὴν καθαίρει, ἢν δὲ φλεγματώδης, ὅ τι φλέγμα· μετὰ [3] δὲ πυριῆσαι τὰς ὑστέρας εὐώδεσι καὶ προσθεῖναι μαλθακτήριον τὴν ἡμέρην. Ἢν δὲ στερεὸν ᾖ τὸ στόμα, πυριῆν ἅπασαν ἡμέρην καὶ τὰ μαλθακτήρια προστιθέναι· ἔπειτα λοῦσαι θερμῷ ὕδατι καὶ ἐντιθέναι τοὺς μολίβδους· μετέπειτα δὲ ἁλὸς χόνδρους καὶ σμύρναν ἐς τρυχίον ἀποδήσας καὶ τὴν πίσσαν τὴν ἐφθὴν ἐν εἰρίῳ, ἡδύσματα ξυμμίξας, ἴσον ἑκάστου, ποιέειν ἴσον [4] κηκίδι σμικρῇ· προσκείσθω δὲ ἡμέρην καὶ εὐφρόνην· μετὰ [5] δὲ διαλιπεῖν ἡμέρας τρεῖς καὶ πυριῆσαι τοῖσι αὐτοῖσι· προστιθέναι δὲ καὶ κόκκους ἐκλέψας ὅσον δύο πόσιας [6] πεπέριος τρίψας λεῖα, παραμίξας ἔλαιον Αἰγύπτιον λευκὸν καὶ μέλι ὡς κάλλιστον, [7] ἐμπλάσας ἐν εἰρίῳ, [8] περιελίξας περὶ πτερὸν, [9] προστιθέναι ἡμέρην καὶ εὐφρόνην, καὶ ἤν σοι δοκέῃ κεκαθάρθαι, ἄμεινον ἐᾶν· ἢν δὲ δοκέῃ [10] ἔτι δέεσθαι καθάρσιος, δύο ἡμέρας διαλιπεῖν καὶ αὖτις τὸ ξὺν τῇ σικύῃ ἡμέρην καὶ εὐφρόνην προστιθέναι· κἄπειτα νέτωπον καὶ ῥόδινον ἔλαιον ὡς εὐωδέστατον καὶ ἐλάφου στέαρ τήξας ἐν εἰρίῳ προστιθέναι μίαν ἡμέρην καὶ λούειν πολλῷ

acuti, modo elati, modo deficientes. Haec ineunte morbo patitur, procedente autem tempore genae rubescunt. Quibus ita habentibus cibos leves exhibeto et si quidem turgeat, medicamentum per inferiora purgans propinato, si biliosa quidem fuerit, quod bilem purget, sin autem pituitosa, quod pituitam; post vero utero fomentum ex odoratis adhibendum et interdiu emolliens in subdititio apponendum. At si durum fuerit osculum, per totum diem fovendum et emollientia supponenda, dein calida lavandum et fistulae plumbeae imponendae. Post haec vero salis grana et myrrham in panniculum lacerum illigatam et picem coctam in vellere exceptam admistis aromatis, ita ut par cuiusque sit modus et parvae gallae magnitudinem aequet, per diem et noctem supponito. Deinde vero intermissis tribus diebus ex iisdem foveto. In subdititio vero etiam decorticata grana peperios, quantum ad duas potiones satis erit, tenuissime trita, oleo Aegyptio albo et melle quam optimo admistis; hoc lana obductum et circum pennam involutum toto die ac nocte supponito. Et si tibi purgata videatur, sinere praestiterit; sin adhuc purgatione etiam indigere videatur, duobus intermissis diebus rursus medicamentum ex cucumere sylvestri per diem et noctem supponito; deinde netopum, rosaceum odoratissimum et cervi adipem liquatum per diem unum in vellere subiicito et calida copiosa quam blandissime fieri poterit lavato.

[1] νούσου καὶ ὧδε ἔχει. — [2] τὰ κοῖλα — ἐρυθρὰ γ. — [3] δὲ τοῦτο. — [4] κικήδια μικρῇ. — [5] δὲ τοῦτο καταλιπεῖν. — [6] καὶ πεπ. — [7] τοῦτο ἐμπλ. — [8] καὶ π. — [9] προσθεῖναι ἡμέρην ἅπασαν καὶ ἐ. — [10] ἔτι om.

ἀποψύχειν. — In seqq. καί ante ὀξέες omm. C. θ.; — ἄλλοτε — ἄλλοτε plene C.

ταῦτα — γίγνονται.] Ceteri post νούσου ferunt καὶ ὧδε ἔχει, quod otiosum et probabiliter e seq. ὅταν ὧδε ἔχῃ natum, ita ut deleverim; — προείη τὰ τοῦ χρ. cod. θ. — Vulgo τὰ κοῖλα τοῦ προσώπου ἐρυθρὰ γίνεται, sed κυλά cod. θ., κῦλα Littr.; — falsa sunt haec: τὰ κύλα τῶν ὀφθαλμῶν aliud est, aliud οἱ κύκλοι τοῦ προσώπου, qui h. l. spectantur, itaque hoc nomen dedi et reliqua ad id accommodavi; — γίνονται fert cod. θ.

ὅταν — τὴν ἡμέρην.] καὶ ἥν cod. θ.; — μετὰ δὲ τοῦτο vulgo, sed cod. θ. om. τοῦτο; — πυριῆσθαι vulg., cod. θ. πυριᾶσθαι; Parr. 3. vero et cod. Serv. πυριῆσαι; — plura mss. et Lind. μαλθακτήρια.

ἢν δὲ στερεὸν ᾖ — πεποιήσεται.] ἢν δὲ στερρὴ (στερεόν cod. θ., στερρῇ D., στερή K. L., στερρόν Lind.) ᾖ τὸ στόμα, πυριῆν (ἢν τὸ στόμα πυριᾶν cod. θ., — ᾖ τὸ στόμα πυριῆν Lind.) vulg.; uti Littréus textum descripsi. Porro καὶ τιθέναι τοὺς μ. vulgo, cum Littréo sequor cod. θ., προστιθέναι fert J.; — πίσσαν cod. θ., πίσσην vulg.; — ποιέειν J. Littr., ποιέων vulg; — κικίδι vulg., κηκίδι cod. θ.; — προσκεῖσθαι C. θ.; — μετὰ δὲ τοῦτο vulg., cum θ. τοῦτο omisi; — διαλείπειν C. Littr., καταλιπεῖν vulg.; — πυριῆσθαι vulg., πυριάσαι cod. θ., unde πυριῆσαι scripsi; — καὶ προστιθέναι δὲ καί C.; — καὶ πεπέριος vulgo, sed otiosum καί delevi; — τοῦτο ἐμπλάσας vulgo, cum C., Littréo τοῦτο omisi; — ἐπιριον i. e. ἐπ' εἴριον cod. θ.; — καὶ (καί omm. C. θ.) περιελίξας περὶ πτερὸν (περὶ πτ. ἐλλίξας C., ἐλίξας cod. θ.) vulg.; — προσθεῖναι vulg., προστιθέναι cod. θ., Littr.; — ἡμέρην ἅπασαν vulg., ἅπασαν omm. C. θ. Littr.; — ἔτι solus θ. praebuit Littréo; — διαλιπεῖν cett., διαλείπειν Littr.; — αὖτις C. θ., per θ. ceteri; — καὶ νύκτα C. θ.; — τὸ μέ-

θερμῷ, ὡς οἷόν τε ᾖ [1] εὐμενέστατον· καθαρτηρίοισι δὲ αὐτίκα καὶ θερμῷ καθηραμένη τὰ ἀμφὶ [2] τὰ πονεύμενα χωρία ἐναλειφέσθω τὸ στόμα τῶν μητρέων χηνείῳ στέατι καὶ σμύρνῃ καὶ ῥητίνῃ χλιαρῇ καὶ θάλπειν· κλυζέτω δὲ τὰς ὑστέρας [3] οἴνῳ καὶ τῷ ναρκισσίνῳ ἐλαίῳ τῇ ὑστεραίῃ· ἢν δὲ μὴ ᾖ ναρκίσσινον, οἴνῳ μόνῳ· ταῦτα ὅκως σοι πρὸ τῶν ἐπιμηνίων ἡμέρῃ μιῇ πρόσθεν πεποιήσεται. Ἐπὴν δὲ τὰ ἐπιμήνια γένηται, τὰς μὲν ἐν ἀρχῇ ἡμέρας [4] τρεῖς τρίβουσα [5] μέλαν τὸ κύπριον καὶ ἁλὸς χόνδρον ἐπιχέασα εἰρίῳ ἀναφορύξαι· [6] τοῦτο ἐν τῷ στόματι ἐχέτω ἐπ' ὀλίγον καὶ νῆστις οἶνον ἄκρητον εὐώδεα ἐπιρροφεέτω. Ἐπὴν δὲ παύσηται τὰ ἐπιμήνια, τὴν ἡμέρην τὸ ξὺν τῇ γλήχωνι [7] προστιθεῖσα πρὸς τὸν ἄνδρα ἴτω· κὴν ἐν γαστρὶ σχῇ, ὑγιὴς γίγνεται. Σιτίοισι δὲ χρήσθω ἐν τῇ καθάρσι. Πρὸς τούτοισι ἀρήγει ἕψειν τὴν λινόζωστιν καὶ ξυμμίσγειν πράσα καὶ σκόροδα καὶ κράμβην κόκκωνά τε καὶ τὸν χυλὸν ῥοφεέτω· τοῖσι δ' ἄλλοισι, θαλασσίοισι μᾶλλον ἢ κρέασι χρήσθω· τῶν δὲ γλυκέων εἰργέσθω καὶ ἐλαιηρῶν· πίνειν δὲ αἰεὶ νῆστιν τὸ ἀπὸ τῆς δαΐδος, ἔστ' ἂν καθαίρηται, ἐν δὲ τοῖσι ἐπιμηνίοισι μάλα πινέτω.

Simul atque vero purgatoriis et calida circum partes affectas expurgata fuerit, anserino adipe et myrrha et resina tepida uteri osculum illinendum et fovendum. Postero vero die vino et oleo narcissino uterum eluat; quodsi narcissinum desit, vino solo. Haec autem uno die ante mensium decursum tibi facienda. Ubi autem menses decurrerint, primis quidem diebus nigrum aeris tritum affuso salis grano lana exceptum osculo uteri paulum contineat et vinum merum odoratum ieiuna insuper sorbeat. Uno autem post mensium cessationem die, supposito medicamento, quod ex pulegio conficitur, virum adeat et si conceperit, convalescit. Cibis autem in purgatione utatur. Insuper prodest mercurialem coquere et admiscere porrum et allium et brassicam et granum; et succum sorbeat. Reliquis vero marinis potius quam carnibus utatur; dulcibus vero et oleosis abstineat. Ieiunae autem semper bibendum quod ex taeda comparatur, donec expurgetur, idque profluentibus mensibus multum bibat.

λη'. Ἢν δὲ ὀλίγῳ ἐλάσσονα τοῦ δέοντος χωρήσῃ [8] τὰ λοχεῖα, οἷα τῶν μητρέων στε-

38. At si mulieri paulo parciora quam conveniat puerperii purgamenta ferantur, quippe

[1] εὐμενές. — [2] τά om. — [3] τῷ οἴνῳ. — [4] τρεῖς om. — [5] μελάνθιον τὸ κ. — [6] τοῦτο αὐτῷ σώματι ἐχ. — [7] προστιθεὶς ὡς πρὸς κ. τ. λ. — [8] τῇ γυναικὶ τά.

τωπον vulgo, τό omm. C. Littr.; — καὶ τὸ ῥοδ. sat multi Parr.; — ἡλίῳ τήκειν pro τήξας cod. C.; — ἐν εἰρίῳ C. θ., ἐν om. vulg.; — πολλῷ τῷ θερμῷ vulg., τῷ cum H. omisi; — οιηι cod. θ., τό pro τε ᾖ C., τε ᾖ om. θ.; — εὔμενες ceteri, εὐμενέστατον de meo scripsi; — ἀμφιπονεόμενοι vulg., ἀμφιπονεύμενα cod. Serv., πονεύμενα cod. θ. Littr., mihi in vulg. latere visum est τὰ ἀμφὶ τὰ πον.; — ἐναλείφεσθαι K.; — κλυζέσθω cod. θ.; — τῷ οἴνῳ vulgo, articulum delevi; — ὑστέρῃ C. pro ὑστεραίῃ; — μόνῳ omm. C. θ.; — ποιήσεται vulg., πεποιήσεται C. θ. Littr.

ἐπὴν δὲ — ἐπιρροφεέτω.] τρεῖς om. vulg., habent C. θ. Littr.; — τρίβουσαν vulg., τρίβουσα Parr. 5., cod. Serv., Lind., Littr.; — μελάνθιον vulg., μέλαν cod. θ.; recepit Littr. collata Gal. glossa μέλαν τὲ κύπριον κ. τ. λ.; — Lind. μελάνθιον καὶ κύπειρον, de suo, uti videtur; — χονδρίον C.; — ἐπιχέας idem, ἐπιχέαι cod. θ.; — ἐν τῷ σώματι ceteri, repono ἐν τῷ στόματι, nam uteri osculum spectatur; — καὶ ν. καὶ οἶνον C. θ.

ἐπὴν δὲ — καθάρσι.] προστιθεὶς (προστιθῇ cod. θ.) καὶ (ὡς pro καί Parr. 5.) πρὸς (ὡς pro πρός L. Q.' Lind.) τόν vulg.; Littréus προστιθεῖσα πρὸς τόν, quem sequor; — καὶ ἢν cod. θ.; — ἴσχῃ C., ἔχῃ cod. θ. — χρήσθω idem et Littr., χρέο vulg.

πρὸς τούτοις — πινέτω.] πρός τε (τε om. θ.) τὰ ῥίγη C. θ., fortasse pro πρὸς τάδε ἀρήγει; — ἀρήγει omm. Parr. 7., cod. Serv.; — καί ante σκόροδα ex θ. Littr. — Pro κόκκωνά τε Lind. κυκεῶνα δέ; vide Foës. in Oecon. in voce. Me iudice non certum est integrum h. l. esse κόκκωνά τε, nam quomodo id singulari numero, sine copiae definitione aut numeri ponatur, non capio; — Foës. in Oecon. mss. κόκκονα ferre scribit; — fortasse κόκκωνα eximere oportet; — ῥυφείτω cod. θ., ῥοφεέτω C. Lind., Littr., ῥοφείτω vulg. — Porro τοῖσι δακτύλοισι καὶ ὄψοισι θαλασσίοισι vulg., τοῖσι δὲ (δ' cod. θ.) ἄλλοισι θαλασσίοισι C. θ. Littr.; — Lind. τοῖσι δὲ σιτίοισι καὶ ὄψοισι θαλασσίοισι satis miro modo. Dein χρήσθω ἢ κρέασι C. θ.; — σίτων δέ γλ. C.; — δ' ἐάσει νῆστις ἢ τό C., ortum puto ex δ' ἐσαεὶ νῆστιν τό; — δαιδός vulg., δαΐδος H. Littr.; — γάλα πινέτω cod. θ.

38. ἢν δὲ — δριμέα.] χωρέῃ cod. θ.; — post χωρήσῃ ceteri γυναικί, quod delevi, quum paulo inferius rursus ἡ

53. ἢν δὲ — ἔχει.] δέ omm. C. θ.; — λέχους D.; — πίμπλαται vulg., πίμπραται D. θ. Cord., Lind., Littr.; — καὶ πρὸς τὰ ὑποχόνδρια πνὶξ ἔχει libri omnes, sed πνὶξ πρὸς τὰ ὑποχόνδρια nihili dictio est; quodsi conferas § 27. libri de nat. mul., videbis ibi non legi πρὸς τὰ ὑποχόνδρια, ita ut omiserim.

ὅταν — ἐγκαθιννύσθω.] φώσαντα cod. θ.; — βαλεῖν vulg., ἀλειν cod. θ., unde Littr. ἀλεῖν; — οἴνῳ pro ὄξει καὶ ἐλ. J.; — ὡς vulg., ἕως cod. θ. Littr., de meo ἂν dedi; — γενέσθαι vulg., γένηται C. θ.; — καί ante τούτῳ omm. C. θ.; — θερμότατον Parr. 3.; — ἐγκαθήνυσθαι vulg., ἐγκαθίζεσθαι Lind., ἐγκαθίννυσθαι C., ἐγκαθιννύσθω cod. θ. Littr.

54. ἢν δὲ — ψύχεος.] δέ omm. C. θ.; — ἐμμένῃ C.; — γίνονται pro τείνονται cod. θ., γίνεται est Lindani emendatio a Littréo recepta pro vulgato γίνονται, aut γίγνονται, quod C. fert; — Ionismum πυκνωθέωσι ex C. θ. Littréus; — ἀποψύχεσθαι pro ὑπὸ ψύχεος cod. θ. — Mirum autem tum interpunctione tum interpretatione coniungi solere κρύβδην τείνονται, quum tamen manifesto iungendum sit ἐμμείνῃ κρύβδην.

ταύτῃσι — ῥῖνας.] ἀποψύχωνται cod. θ.; — περιφλεγέες vulg., sed πυριφλ. C. θ. Littr.; — ἅπτῃ pro ἀφῇ cod. θ.; πρόσθετα — ἃ in codd. item scriptum fuisse apparet; — λούειν ἅμα vulgo, sed ἅμα omm. Parr. 4., θ. Littr.,

γράψω, ἕλκειν τε ἀτμίδα ἐς τὸ στόμα καὶ ἐς τὰς ῥῖνας.

νε'. Ἢν δὲ πνίγωσι, φακοὺς ἕψειν ἐν ὄξεϊ καὶ ἁλὶ καὶ ὀριγάνῳ πολλῷ καὶ ὁλκὴν ποιέεσθαι· καὶ τὴν λινόζωστιν ἐσθιέτω, καὶ ἐν τῷ χυλῷ λεπτὸν ἄλητον ῥοφεέτω.

νϛ'. [1] Ὅταν δὲ τάχιστα τέκῃ, πρὶν τὴν ὀδύνην ἔχειν, πρότερον διδόναι τῶν φαρμάκων, ὅσα τὰς ὑστέρας παύει τῆς ὀδύνης καὶ σιτία διαχωρητικὰ προσφερέσθω. [2] Ἢν δὲ ἡ γαστὴρ θερμαίνηται, ὑποκλύζειν ὅτι τάχος.

νζ'. Ἢν [3] δ' αἱ μῆτραι [4] φλέγματος ἐμπλησθέωσι, φῦσαι ἐγγίγνονται ἐν τῇσι ὑστέρῃσι, καὶ τὰ ἐπιμήνια προέρχεται ἐλάσσονα, λευκὰ, φλεγματώδεα· ἔστι δ' ὅτε [5] φλέγμα λεπτὸν, ἀκραιφνὲς, ὑμένων ἀνάπλεων καὶ ἔστι ᾗσι κυρκανᾶται καὶ τρὶς τοῦ μηνὸς ἐπιφαίνεται καὶ τῷ ἀνδρὶ ὑπὸ τῆς ὑγρότητος οὐκ ἐθέλει μίσγεσθαι, οὐδ' [6] ὀργᾷ καὶ λεπτὴ γίγνεται· ὀδυνᾶται δὲ τὴν νείαιραν γαστέρα [7] καὶ τὰς ἰξύας καὶ τοὺς βουβῶνας· καὶ εἰ δάκνοι τὸ ῥέον καὶ ἑλκοῖ [8] τὰ ἀμφίδεα, χρόνιον φάναι τὸ ῥεῦμα. Καὶ ἢν πουλὺ ἴῃ, φάκιον ξὺν ἐλλεβόρῳ δοῦναι ἐμέσαι· ἔπειτα ἐς τὰς ῥῖνας ἐγχέαι καὶ φάρμακον πῖσαι κάτω· σιτίων δὲ εἰργέσθω δριμέων· ἢν δὲ βαρύνηται καὶ ψύχηται καὶ νάρκη ἔχῃ, γάλα διδόναι καὶ οἶνον εὐώδεα· πινέτω δὲ νῆστις ὑπερικὸν, λίνου σπέρμα, ἐλελί-

utendum et medicamenta, quae describam, adhibenda, vaporque in os et nares attrahendus.

55. Quodsi strangulatus accesserit, lentes cum aceto, sale, et origano multo decoquito et ut appositi medicamenti nidorem attrahat, facito. Mercurialem etiam comedat et in eius succo coctam farinam sorbeat.

56. Statim autem postquam pepererit et antequam dolor detineat, medicamenta exhibeto, quae uteri dolorem sedent, et cibi alvum subducentes assumendi et, si venter incalescat, quam citissime per infusum subluendus.

57. At si uterus pituita redundet, flatus in eo suboritur et menses prodeunt pauciores, albi, pituitosi, interdumque pituita tenuis, pura, membranis plena; nonnullis etiam conturbantur terque mense comparent, neque prae nimio humore viri congressum expetit, neque ad venerem exercendam incitatur, et extenuatur. Dolor autem imum ventrem, lumbos et inguina occupat: quodsi quod effluit mordeat et summas osculi uteri oras ulceret, diuturnam fore fluxionem asserendum. Ac multa si fluxio sit, lenticulae decoctum cum veratro, ut vomat, exhibendum; deinde in nares infundito et medicamentum deorsum purgans propinato et cibis acribus abstineat. Quodsi gravitate et frigore prematur et torpor detineat, lac et vinum odoratum exhibeto. Hypericum autem, lini semen, et salviam ex vino odorato aquoso ieiuna bibat

[1] ὅταν τάχιστά τε καὶ πρίν. — [2] καὶ ἢν ἡ γαστὴρ φλεγμήνηται ὑποκλ. — [3] δ' om. — [4] τοῦ φλ. — [5] αἷμα. — [6] ὀργᾷ τοῦτο δρᾶν καί. — [7] καί om. — τὰ ἀμφιλήιμα καὶ ἢν μὴ πουλὺ εἴη.

unus J. πυκνόν fert alia m. erasum pro ἅμα; — πιεῖν, aut πίνειν alii Parr. 4. pro πυριῆν; — πυριᾶν cod. θ.

55. ἢν δὲ πνίγωσι — ῥοφεέτω.] Cum h. l. et sequenti cf. de nat. mull. § 28. Parum abfui, quin ξύν pro ἐν de meo darem; — ἁλικά pro ἁλὶ, καί C.; — ἁλικά pro ἁλί cod. θ.; — ῥοφέειν C., ῥύφειν cod. θ.

56. ὅταν δὲ τάχιστα — προσφερέσθω.] ὅτ' ἂν (ὅτι D. Q.' Lind.) (addit δέ cod. θ.) τάχιστά τε (τε om. D., δέ pro τε Lind.) καὶ (τέκῃ pro τε καί cod. θ.) vulg., cum Littréo consentienter textum descripsi; — ἔχῃ cod. C.; — παύσει idem; — προσφέρεσθαι D. J.

ἢν δὲ — τάχος.] καὶ (καί omm. C. θ.) ἢν (addit δέ cod. θ.) ἡ (ἡ om. C.) γαστὴρ φλεγμαίνεται (φλεγμήνηται D. H., θερμαίνηται cod. θ., Vatt., Foësii) vulg. — Aut φλεγμαίνῃ, aut θερμαίνηται dandum est.

57. ἢν δ' αἱ — ῥεῦμα.] δ' ex J. θ. adscivi; — Ionismum ἐμπλησθέωσι C. Littr. habent; — φῦσα ἐνγίνεται cod. θ.; — φλέγμα C. solus pro αἷμα, quod mihi probandum videtur; credo autem esse correctionem recentem, sed felicem; — ἀνάπλεων Parr. 7., ἀνάπλεον vulg.; — ἀνακυρκανᾶται cod. θ., κιρνᾶται Parr. 3.; κυρκανᾶται est verbum Aristophaneum e Thesmoph. vs. 429., ἀνατυράττεται exponit Erot.; — οὐδ' ὀργᾷ τοῦτο δρᾶν vulgo, sed in his καὶ ὀργᾷ cod. θ., mihi solum οὐδ' ὀργᾷ ab auctoris manu esse videtur, τοῦτο δρᾶν alienum esse additamentum; itaque eieci; — ὀδυνᾶται J. θ., ὀδυνῆται vulg.; — καὶ τὰς ἰξ. C. θ. Lind., Littr., καί om. vulg.; — δάκνει C., δάκνοι vulg.; — τὸ ἀμφιδήιον cod. θ., unde efficias ἀμφιδεῖον etiam scriptum olim fuisse, quocum confer ἀμφίδιον Erotiani et Rufi, vid. Foës. in Oecon., formae per λ, quae in libris nonnullis feruntur, non nisi permutationi literarum Λ et Δ ortum deberi videntur; — χρόνιον φάναι τὸ ῥεῦμα omm. nonnulli Parr.; — φᾶναι cod. θ.

καὶ ἢν — ἄνθεϊ.] ἢν μὴ πουλὺ εἴη vulg., cum Littréo sequor θ.; — pro λίνου σπέρμα Lind. σελίνου σπέρμα de suo, uti videtur; — me iudice quoque λίνου σπέρμα h. l. miro modo ponitur, et licet nihil tangam, quum in talibus

σφακον ἐν οἴνῳ εὐώδεϊ ὑδαρέϊ· καὶ κλύσαι τὰς ὑστέρας τῷ ξὺν τῇ τρυγί· καὶ ἢν [2] μὴ ἡλκωμέναι ἔωσι, διαλιπόντα ἡμέρας δύο ἢ τρεῖς κλύσαι [2] τῷ ξὺν τῷ κόκκῳ· μετὰ δὲ τοῦτο στρυφνοῖσι· ἢν δὲ ἡλκωμέναι ἔωσι, νίπτεσθαι τῷ ἀπὸ τῆς μυρσίνης καὶ δάφνης ἀφεψήματι καὶ ἐγχριέσθω τῷ ξὺν τῷ ἀργυρέῳ ἄνθεϊ. Ἡ δὲ νοῦσος χαλεπὴ καὶ ὀλίγαι ἐκφεύγουσι.

et uterum remedio cum faece parato eluat. Quodsi non ulceratus fuerit uterus, duobus aut tribus diebus intermissis remedio cum grano Cnidio parato eluito, post haec vero adstringentibus. Sin ulceratus fuerit, myrti et lauri decocto colluito et medicamento ex argenti flore illinatur. Gravis autem hic morbus est paucaeque ex eo evadunt.

νη'. Ἢν [3] δ' αἱ κοτυληδόνες φλέγματος περίπλεαι ἔωσι, τὰ ἐπιμήνια γίγνονται ἐλάσσονα καὶ ἢν ἐν γαστρὶ ἴσχῃ, διαφθείρει, ἐπειδὰν ἰσχυρότερον τὸ ἔμβρυον γένηται· οὐ γὰρ ῥώννυται ἀλλ' ἀπορρεῖ. Γνοίης δ' ἂν τῷδε· ὑγρὴ γίγνεται καὶ τὸ ἀπορρέον μυξῶδες καὶ γλίσχρον, οἷα ἀπὸ κοιλίης φέρεται, καὶ οὐ δάκνει καὶ ἐν τοῖσι ἐπιμηνίοισι, ἐπὴν παύσηται τοῦ αἵματος καθαιρομένη, καὶ δύο ἡμέρας καὶ τρεῖς βλένναι ἴασι ἐκ τῶν ὑστερέων καὶ φρίκη ἔχει καὶ θέρμη οὐκ ὀξέα, ἀλλ' οὐκ ἐκλείπει. Ταύτην κλύσαι τῷ ἀπὸ τῶν ὀλύνθων καὶ ὑφ' ὧν ὕδωρ καθαίρεται καὶ δὶς καὶ τρίς· ἐπὴν δὲ καθαρθῇ, στρυφνοῖσι τὸ λοιπὸν χρήσθω· προστιθέναι δὲ τὰ μαλθακά, ὑφ' ὧν καθαίρεται φλέγμα καὶ πυριᾶν τὰς ὑστέρας τῷ ξὺν τῇ δάφνῃ καὶ κλύζειν τῷ ξὺν τῷ ὄξεϊ καὶ θυμιᾶν, ἐπὴν παύσηται τὰ ἐπιμήνια, τοῖσι ἀρώμασι· κἄπειτ' ἀσιτέειν χρὴ καὶ ἀλουτέειν, — ξυνίτω δὲ τῷ ἀνδρί, — καὶ σιτία καὶ οἶνον ὀλίγα λαμβάνειν καὶ ἀλεαίνειν καὶ [4] ῥήνικας ἀμφὶ τὰ σκέλεα ἑλίσσειν καὶ ἐλαίῳ ἀλείφειν.

58. Si uteri acetabula pituita oppleta fuerint, menses pauciores fluunt, et si uterum gestet, ubi foetus robustior evaserit, eum corrumpit. Neque enim confirmatur, sed elabitur. Inde autem id cognoscas, quod humida redditur, quodque effluit mucosum et viscidum sit, qualia ex alvo feruntur, nec mordeat et in mensium fluxu, ubi sanguis purgari desierit, per duos, aut tres dies mucosa ex utero prodeunt, horrorque et calor minime acutus detinet, sed qui non intermittit. Hanc grossorum decocto et remediis, quibus aqua depurgatur, bis vel ter colluito. Ubi autem purgata fuerit, deinceps adstringentibus utatur. Mollia subdititia medicamenta, ex quibus pituita purgatur, supponito et uterum lauri decocto foveto, decoctoque cum aceto colluito, et cum menses cesserint, suffitum ex aromatis adhibeto. Postea cibo et balneo abstinendum. Mulier autem virùm adeat et cibos vinumque parce assumat, calide se contineat, laneis tegumentis crura obvolvat, oleoque illinat.

νθ'. Ἢν δὲ ὕδερος ἐν τῇσι μήτρῃσι ἐγγένηται, τὰ ἐπιμήνια ἐλάσσονα καὶ πονηρὰ

59. Quodsi hydrops in utero oriatur, menses pauciores et pravi fluunt et ante hydropis or-

[1] μή om. — [2] τρὶς ξὺν τ. κ. — [3] δὲ κοτ. — [4] εἰρηνικάς.

formulis medicinalibus coniectura eiusmodi non facile certa sit, non reticeo me putare fortasse pro λίνου σπέρμα non nisi σέλινον fuisse scriptum; videant alii! — μὴ ἡλκωμένοι cod. θ. Lind., Littr., μή om. vulg.; — διαλείποντα cod. θ.; — κλύσαι τρὶς ξύν vulg., sed cum Littréo cod θ. sequor; — κλύσαι τρίς om. C.

58. ἢν δ' αἱ — ἀπορρεῖ.] δέ sine αἱ vulg., δὲ αἱ Gal. ad Aph. V. 45., Littr., δ' αἱ cod. θ.; — καὶ ἐν γαστρὶ ἴσχει, διαφθείρει δέ cod. θ.; — ἐπήν C. θ.; — ὑπορρεῖ cod. θ.

γνοίης — ἐκλείπει.] ὀξεῖα vulg., ὀξείη Parr. 2., ὀξέη cod. θ.; — καί pro vulgato πλήν H. θ.; de meo ἀλλ' scripsi.

ταύτην — ἀλείφειν.] τῷ ἀπό cod. θ., Vatt., Foësii, Lind., Littr., vulgo τῷ abest; — ἀπὸ τῶν ὀλ. omm. Parr. 7.; — καὶ ὑφ' C. θ. Littr., ἀφ' sine καί vulg.; — ὕδωρ ἅπαν καθ. vulgo, sed ἅπαν omm. C. θ. Littr.; — ἐπὴν δὲ καθήρῃς cod. θ.; — χρήσθω omm. C. θ.; — πυρίη C., πυριὰν cod. θ., πυριῆν vulg.; — θυμιῆν vulg., θυμιᾶν cod. θ.; — καὶ ἀλουτέειν δὲ καὶ συνευδέτω τῷ ἀ. cod. θ.; — ὀλίγου C.; — καί ante ῥηνικάς om. C.; — ἀρνακίδας Lind. ex Galeni Gl., unde puto Littréum ῥήνικας (sic) dedisse.

59. ἢν δὲ ὕδερος — λαμβάνει.] δέ om. C.; — γένηται cod. θ.; — πονηρὰ γίνονται idem; — καὶ πρόσω ἀπολείπει cod. θ.; — ἐπανοιδέει C. θ., οἰδέει vulg.; — καὶ οἱ μαζοὶ (μ. om. θ.) στερροὶ καὶ (καί omm. Parr. nonnulli, γίνεται

γίγνεται καὶ προαπολείπει, καὶ ἡ νείαιρα γαστὴρ [1] ἐπανοιδέει, καὶ οἱ μαζοὶ [2] στερροὶ γίγνονται, καὶ τά τ' ἄλλα πονηρὰ καὶ δοκέει ἐν γαστρὶ ἔχειν, καὶ τούτοισι γνώσει ὅτι ὕδερός ἐστι· σημαίνει δὲ καὶ ἐν τῷ στόματι [3] τῆς ὑστέρης, ψαυούσῃ γὰρ ἰσχνὸν καὶ ὑγρὸν φαίνεται· καὶ ῥῖγος καὶ πῦρ λαμβάνει. Ὅσῳ δ' ἂν ὁ χρόνος πλείων γένηται, ὀδύνη ἔχει τὴν νείαιραν γαστέρα καὶ τὰς ἰξύας καὶ τοὺς κενεῶνας καὶ τοὺς βουβῶνας. Αὕτη ἡ νοῦσος ἐκ τρωσμοῦ γίγνεται καὶ ἐξ ἄλλων δὲ προφασίων καὶ ὅταν τὰ ἐπιμήνια κρυφθῇ. Λούειν χρὴ πολλῷ καὶ θερμῷ καὶ χλιάσματα προστιθέναι, ἢν [4] ἡ ὀδύνη ἔχῃ· ἐπὴν δὲ παύσηται, φάρμακον χρὴ πῖσαι κάτω καὶ πυριῆσαι τῷ ξὺν τῷ βολίτῳ τὰς ὑστέρας· ἔπειτα προσθεῖναι [5] τὸ ξὺν τῇ κανθαρίδι καὶ διαλείπειν δύο ἡμέρας ἢ τρεῖς· καὶ ἢν ῥώμη ἴσχῃ, νετώπῳ κλύσαι· καὶ ἢν ἡ γαστὴρ λαπαρὴ γένηται καὶ οἱ πυρετοὶ παύωνται καὶ τὰ καταμήνια προχωρέῃ κατὰ λόγον, [6] τῷ ἀνδρὶ ξυγκοιμάσθω [7] καὶ τῇσι μεσηγὺ τῶν προσθέτων ἡμέρῃσι πινέτω κρήθμου φλοιὸν, γλυκυσίδης τοὺς μέλανας κόκκους πέντε, [8] ἀκτῆς καρπὸν ἐν οἴνῳ νῆστις· καὶ τὴν λινόζωστιν ἐσθιέτω ὡς πλείστην καὶ σκόροδα ὠμὰ καὶ ἑφθὰ, [9] καὶ ὄψοισι τοῖσι μαλθακοῖσι χρήσθω, πουλύποσι καὶ τοῖσι ἄλλοισι μαλθακοῖσι, θαλασσίοισι μᾶλλον ἢ κρέασι· καὶ ἢν τέκῃ, ὑγιὴς γίγνεται.

tum deficiunt. Imus venter intumescit et mammae solidae fiunt et reliqua omnia prava, et utero gestare videtur; ac his quidem signis hydropem esse cognoveris, sed sui signum etiam praebet in osculo uteri, ad contactum enim gracile apparet et humidum; rigorque et febris invadit. Quoque longius tempus processerit, dolor imum ventrem, lumbos, laterum inanitates et inguina occupat. Morbus hic ex abortione accidit et aliis de causis, cumque menses delituerint. Hanc copiosa calida lavato et, si dolor detineat, tepefacientia admoveto. Ubi autem quieverit, medicamentum deorsum purgans propinandum et uterus medicamento ex stercore bubulo fovendus, dein medicamentum ex cantharide in subdititio apponendum et biduum aut triduum intermittendum et, si robur adsit, netopo uterus colluendus. Quodsi venter mollis reddatur, febres cessent et pro ratione menses procedant, cum viro dormiat et diebus, qui suppositoriis sunt intermedii, bibat crethmi corticem et paeoniae grana nigra quinque, sambucique fructum ex vino ieiuna bibat, mercurialem quamplurimam alliaque cruda et cocta comedat. Et opsoniis mollibus, polypis aliisque mollibus utatur, marinis potius quam carnibus. Quodsi pepererit, sana evadit.

[1] οἰδέει. — [2] στερροὶ καὶ μαλθακοὶ καὶ τὸ γάλα πον. — [3] τῇσι ὑστέρῃσι. — [4] ἡ om. — [5] τῷ. — [6] καὶ τῷ. — [7] καὶ ἐν τοῖσι προσθέτοισι μεσηγὺ ἡμέρης πινέτω et in marg. ad μεσηγύ adscribitur μενέτω, al. m. — [8] καὶ ἀκτῆς. — [9] καὶ τοῖσι ἄλλοισι μαλθ. καὶ ὄψοισι θαλ. μᾶλλον ἢ κρ. καὶ ἢν τέκῃ ὑγιαίνει.

pro καί Lind.) μαλθακοί (καὶ μ. om. θ.) vulg. Littréus conferens de nat. mul. § 2. scripsit στερροὶ, οὐ μαλθακοί; mihi cum θ. καὶ μ. omittere placuit, credo esse glossam, sed γίγνονται adscripsi ex § 2. libri de nat. mul. Vulgo dein καὶ τὸ γάλα πονηρόν, sed καὶ τἄλλα πονηρῶς ἔχει in lib. de nat. mul., quam lect. Cord. probavit; mihi lactis mentionem hic factam fuisse parum probabile videtur; τὸ γάλα omnino ex τά τ' ἄλλα natum esse suspicor; itaque textum ita constitui. — Dein καὶ ἐν τούτοισι γνώσῃ cett., cum θ. ἐν abiicio; — τῇσι ὑστέρῃσι cett., sed manifesto τῆς ὑστέρης legendum est; — ἰσχνὸν καὶ ὑγρόν vulg., sed θ. καὶ ὑγρόν omittit.

λούειν — ὑγ. γίγνεται.] λ. [δὲ] χρή Lind; — χρή om. θ.: — ἡ ante ὀδύνη om. D.; — πυριῆσαι cod. θ.; — βολβίτῳ H. βολβύτῳ C.; — τῷ — ξύν omm. Parr. plures; — ῥώμην ἴσχειν νέτωπον C., ἔχῃ cod. θ.; — loco e lib. de nat. mul. non cum netopo, sed cum aceto clysma memoratur; — articulum ante γαστήρ om. θ.; — γένηται cod. θ.; — ἐπιμήνια ἦν cod. θ., ἴῃ pro προχωρέῃ C. θ.; — καὶ τῷ ἀνδρί vulg., sed καί omm. C. H. θ. Littr. — Dein καὶ ἐν τοῖσι προσθέτοισι μενέτω καὶ μεσηγὺς ἡμέρης κ. τ. λ. vulg., μενέτω καί omm. Ald. Parr. 7., in quorum uno al. m. restituitur, θ.; — locus corruptus est: ἐν προσθέτοισι μένειν insueta dictio, μεσηγὺς ἡμέρης non intelligitur; itaque locum refeci ad similitudinem formulae in Cnidiorum libris frequentis. Porro καὶ ἀκτῆς vulg., καί omm. C. θ. Littr.; — ἐσθίειν C. θ.; — Dein καὶ τοῖσι μαλθακοῖσι πρὸς ὕπνον χρήσθω, sed πρὸς ὕπνον omm. C. θ., nec legitur in lib. de nat. mul., cuius tamen loci huius lectio item mihi suspecta; equidem ὄψοισι excidisse credo eo loco, ubi de meo, aut si malis e lectt. paulo post tradendis, reposui, quin dubito an non male Graece πρὸς ὄψον scriptum ansam praebuerit lectioni πρὸς ὕπνον; — cod. θ. in seqq. χρῆσθαι: — πολυποσίη vulg., cum Littréo cod. θ. sequor; — μαλθακοῖσι (addit χρήσθω καὶ πουλύποσι

ξ'. Ἢν δ' ὕδρωψ γένηται ἐν τῇσι μήτρῃσι, τὰ ἐπιμήνια ἐλάσσω γίγνεται καὶ κακίω καὶ διὰ πλέονος χρόνου· καὶ κύει δίμηνον ἢ μικρῷ πλέον· καὶ οἰδέει ἡ κοιλίη καὶ τὸ ἐπικτένιον καὶ αἱ κνῆμαι καὶ ἡ ὀσφύς· ἐπειδὰν δὲ συχνὸς χρόνος γένηται καὶ ἐν γαστρὶ ἔχῃ, διαφθείρει καὶ ἐκβάλλει, καὶ ὕδωρ ξὺν αὐτῷ [1] ἐκχέεται, καὶ ἡ γυνὴ θνήσκει ὡς ἐπὶ τὸ πουλύ· τὸ [2] γὰρ αἷμα φθείρεται καὶ ὑδεροῦται. Ταύτην χρὴ γαλακτοποτέειν καὶ τῶν μηκώνων πίνειν, ἔστ' ἂν τὸ ἔμβρυον κινέεσθαι δύνηται· ἔτι δὲ [3] πρὸ τούτου ὡς ἐπιτοπουλὺ διαφθείρεται καὶ [4] ἐξαμβλίσκεται καὶ αἵματος καὶ ὕδατος ῥέουσι αἱ μῆτραι· ταῦτα δὲ πάσχει οὐδέν τι μᾶλλον ἐκ πόνου ἢ ἄλλως. Τούτῳ δ' ἂν γνοίης ὅτι ὕδρωψ ἐστὶ, εἰ ἀφάσσων τῷ δακτύλῳ [5] ὄψει τὸ στόμα αὐτέων ἰσχνὸν καὶ περίπλεων ὑγρασίης. [6] Ἢν δ' ἐν αὐτῇσι τὸ ἔμβρυον μὴ κατ' ἀρχὰς, ἀλλ' ἤδη δίμηνον διαφθείρηταί τε καὶ ἀποπνίγηται, ἥ τε γαστὴρ ἡ νείαιρα ἐπανοιδέει καὶ ἁπτομένη ἀλγέει ὡς ἕλκος, καὶ πυρετὸς μέγας αὐτὴν καὶ βρυγμὸς λαμβάνει καὶ ὀδύνη ἰσχυρὴ τοῦ αἰδοίου, καὶ τὴν νείαιραν γαστέρα καὶ τὰς ἰξύας καὶ τοὺς κενεῶνας καὶ τὴν ὀσφὺν, ὀξέα τε καὶ σπερχνή. Ὅταν οὕτως ἔχῃ, λούειν τε αὐτὴν θερμῷ, ἢν [7] ἡ ὀδύνη ἔχῃ, καὶ χλιάσματα προσάγειν, πειραόμενον ὅ τι ἂν μάλιστα προσδέχηται καὶ φάρμακον [8] διδόναι καθαρτήριον κάτω· διαλιπεῖν

60. Si vero hydrops in utero oriatur, menses fiunt pauciores et deteriores et rariores et duos menses vel paulo diutius utero gerit et venter quaeque supra pubem sunt, tibiae et lumbi intumescunt. Ubi autem longum intercesserit temporis intervallum et uterum gestarit, foetum perdit et eiicit unaque cum eo aqua effunditur, fereque mulier moritur; sanguis enim corrumpitur et aquosus fit. Huic quoad foetus moveri possit, lac et pepli infusum potui exhibeto. Ut plurimum autem etiam ante hoc tempus corrumpitur et abortione reiicitur, uterusque sanguine et aqua diffluit. Haec autem nihilo frequentius ex labore quam aliis de causis accidunt. Hoc autem signo dignosces hydropem esse, si digito ad contrectandum immisso osculum eius et gracile et humore redundans deprehendas. Quodsi in eo foetus non circa initia, sed iam bimestris tum corrumpatur tum suffocetur, venter imus in tumorem attollitur et ad contactum velut ulcus dolet, ingensque febris eam et dentium fremitus invadit et dolor vehemens pudendi et acutus et assiduus dolor laterum inanitates et lumbos occupat. Cum ita affecta fuerit, si dolor adsit, eam calida lavato et tepefacientia admoveto, periculo facto quodnam maxime ipsa admittat, medicamentumque deorsum purgans dato. Intermissione autem temporis, quanta tibi satis esse videbitur, facta etiam colluito et foveto et cyclaminum melle

[1] χέεται. — [2] δέ. — [3] πρὸς τοῦτο. — [4] ἐξαμβλύνεται. — [5] ὄψει. — [6] ἢν δὲ καὶ αὐτῇ. — [7] ἡ om. — [8] διδόναι abest.

cod. θ.) (καὶ ὄψ. om. C.) θαλ. vulg.; — ἢν δὲ τέκῃ ὑγιὴς γίνεται C. θ., καὶ ἢν τέκῃ ὑγιαίνει vulg.

60. ἢν δ' ὕδρωψ — ὑδεροῦται.] δ' ex θ. solo recepi; — καὶ καιρῷ (καίειν pro καιρῷ Ald. Parr. 7., καιρῷ om. θ.) ἐλάσσονα (ἐλάσσονος cod. θ.) ἢ (ἢν pro ἢ Ald. Parr. 7., ἢ om. θ.) μικρῷ πλείονα ἴῃ (εἴη C. L.) (ἴῃ om. θ.) καί vulg.; Littréus ex lib. de nat mul. § 35. emendavit. Articulos ante κοιλίη et ἐπικτένιον om. C., ante ὀσφύς omm. C. θ.; — καὶ ἔχῃ ἐν τῇ γ. cod. θ.; — χέεται vulg., ἐκχεῖται cod. θ., ἐκχέεται Littr.; — αὕτη C. θ. pro ἡ γυνή; — ὑδεροῦται vulg., ὑδεροῦνται θ., Littr.; — de meo in postremis his γάρ pro δέ scripsi.

ταύτην — ἢ ἄλλως.] χρή de meo; — καὶ τῶν μηκώνων C. θ., τῶν om. vulg.; — nonnulli libri Parr. haec prorsus omittunt; — πρός vulg., πρό cod. θ., alii interpretes antiquiores et Littr.; — καὶ αἵματος om. C.; καὶ ὕδατος om. θ.

τούτῳ — ὑγρασίης.] τούτῳ C. θ. Littr., τοῦτο vulg.; — ὄψει vulg., ὄψῃ cod. θ.; nisi vero illud ὄψει tam saepe recurreret quam factum vidi, in ἅψει fere mutare velles; nunc puto ab auctoris manu profectum esse; — αὐτέων Ionice ex θ. Littr.; — περίπλεων Parr. 5., περίπλεον vulg.

ἢν δε — σπερχνή.] δὲ ἐν αὐτῇ vulg., de meo δ' scripsi; — Littr. cum C. θ. ἐν omisit et cum D. H. θ. αὕτη scribit; quodsi tamen αὕτη sumas, sequens διαφθείρηται et ἀποπνίγηται constare nequit, sed διαφθείρῃ et ἀποπνίγῃ legendum; quod autem alii codd. multi καί ferunt pro ἐν vitiosum est, malui tamen ἐν αὐτῇσι scribere, quum αὐτέων brevi antecedat; — cod. θ. ὡς ἕλκεος fert. Cod. Serv., Cord., Lind. τὸ αἰδοῖον, qua mutatione opus non est; — ὀξείη vulg., ὀξέη cod. θ. Littr.

ὅταν — γένοιτο.] τε omm. θ., Littr.; — ἡ ante ὀδ. e codd. 4. Littréus, vulgo om.; — πειρεόμενον vulg., πειραόμενον Cord.; — διδόναι de meo supplevi; — pro vulgato αὐτῇ Corn., Lind.; ἄν σοι; — δοκέῃ vulg., δοκέει Parr. 5., θ., Littr.; — πυριῶν cod. θ., πυρίην C.; — τῆς κυκλαμίνου C. θ.; — ἐς ῥάκος vulg., ἐν ῥάκει cod. θ. Littr.; — ἐλάσσω δὲ χρόνον

δὲ χρόνον, ὅσον ἄν σοι δοκέῃ ἱκανὸς εἶναι, καὶ κλύσαι καὶ πυριῆσαι, καὶ τὴν κυκλάμινον [1] ἐν ῥάκεϊ μέλιτι δεύων προσθεῖναι πρὸς τὸ στόμα τῶν μητρέων· καὶ τῆς κυπαρίσσου καταξύσας καὶ τέγξας ἐν ὕδατι προσθεῖναι ὡσαύτως, [2] ἐλάσσω δὲ χρόνον καὶ διὰ [3] πλέονος, ὅσῳ μᾶλλον δάκνει καὶ ξαίνει, καὶ μήλην ποιησάμενος κασσιτερίνην ἐγκαθιέναι καὶ τῷ δακτύλῳ ὡσαύτως, [4] καὶ ὅ τι ἂν μάλιστα προσίηται πιπίσκειν, καὶ ξυγκοιμάσθω τῷ ἀνδρὶ ὡς μάλιστα τῶν καιρῶν παρόντων· ἢν γὰρ ξυλλάβῃ τὴν γονὴν καὶ κυήσῃ [5] καὶ τέκῃ, ὑπεκκαθαίρεται καὶ τὰ [6] πρόσθεν ὑπεόντα ξὺν αὐτοῖσι καὶ οὕτως ἂν μάλιστα ὑγιὴς γένοιτο.

subactum tenui linteo exceptum uteri ori subdito et cupressi ramenta aqua madefacta eodem modo supponito, quod quo plus mordeat aut laceret eo breviore tempore et longioribus intervallis faciendum. Et parato specillo stanneo immittendum, digitoque simili modo. Potiones etiam quascumque maxime approbat propinato et opportunitate maxime captata cum viro dormiat. Si enim genituram comprehenderit et praegnans fuerit et pepererit, quae etiam intus inerant una cum partus purgamentis delata per inferiora expurgabuntur eaque praecipue ratione convalescere poterit.

ξα'. Ἢν δὲ γυνὴ ὑδρωπιήσῃ, [7] τοῦ σπληνὸς ὑδατώδεος καὶ μεγάλου [8] οἱ ἐόντος, — γίγνεται δὲ ὁ σπλὴν ὑδατώδης ἀπὸ τοῦδε τοῦ παθήματος, ἐπὴν πῦρ ἔχῃ καὶ μὴ ἀφίῃ τὴν ἄνθρωπον καὶ δίψα μιν λαμβάνῃ καρτερὴ καὶ πίνῃ καὶ μὴ ἀπεμέσῃ· τὸ μὲν γὰρ ἐς τὴν κύστιν διελθὸν διουρέεται, τὸ λοιπὸν δὲ ὁ σπλὴν [9] ἕλκει ἐς ἑωυτὸν ἀπὸ τῆς κοιλίης, ἅτε ἀραιὸς ἐὼν καὶ σπογγοειδὴς κείμενός τε κατὰ τὴν κοιλίην· καὶ ἢν τούτων οὕτως ἐχόντων μὴ ἱδρώσῃ, μηδὲ οἱ ἡ κύστις διηθῇ, μηδὲ ἡ κοιλίη χαλᾷ, διαίρεται ὁ σπλὴν ὑπὸ τοῦ ποτοῦ καὶ μᾶλλον ἢν ὕδωρ ᾖ τὸ ποτὸν, καί μιν εἴ τις ἐπαφάσαιτο, μαλθακὸς ὡς χνοῦς ἐστι, ἔστι δ' ὅτε ἀντιτυπεύμενος· ἀερθεὶς δὲ καὶ [10] ὑπερπιμπλάμενος ἐκδιδοῖ κατὰ τὰς φλέβας τῷ σώματι, καὶ μάλιστα ἐς τὸ ἐπίπλοον καὶ τοῖσι ἀμφὶ τὴν κοιλίην ἐοῦσι χωρίοισι καὶ τοῖσι σκέλεσι· ἕτερον γὰρ

61. Si vero mulier hydrope laboret, quum lien illi aquosus sit et magnus, — fit autem lien aquosus ex hac affectione: cum febris mulierem detineat, neque dimittat et sitis vehemens eam prehendat et bibat, neque vomuerit; — quod enim ad vesicam pervadit cum urina effertur, reliquam vero partem lien a ventre ad se trahit, quippe qui rarus est et spongiae similis et ad ventrem situs; — et si his ita se habentibus non sudaverit, neque vesica percolet, neque venter dimittat, lien in tumorem attollitur ex potu, idque magis si is aqua fuerit, et si quis eum contrectet, mollis est veluti lanugo, interdum vero durus et renitens; in tumorem autem sublatus et supra modum repletus per venas ad corpus transmittit, ac praecipue ad omentum et loca circa ventrem et crura; alia enim pars ad aliam in corpore transmittit, idque maxime cum singu-

[1] ἐς ῥάκος. — [2] ἐλάσσονι δὲ χρόνῳ. — [3] πλείονος τοῦτο. — [4] καὶ τὰ ποτήματα. — [5] καὶ τέκῃ om. — [6] ἔμπροσθεν ὑπιόντα. — [7] οἱ αὐτοῦ σπλ. [8] οἱ om. — [9] λαμβάνει διασπῶν ἀπὸ τῆς κ. ἐς ἑωυτὸν, ἅτε. — [10] πιμπλάμενος.

cod. θ., ἐλάσσονι δὲ χρόνῳ vulg.; — post διὰ πλέονος vulgata τοῦτο, quod reieci; — ἐγκαθίσαι C., ἐγκαθισεα cod. θ. pro ἐγκαθιέναι; — τῷ omm. C. θ.; — καὶ τὰ ποτήματα ὅ τι ἂν μάλιστα προσίηται πιπίσκειν vulgo, sed τὰ ποτήματα recens emblema est, quod abiicio; — καὶ τέκῃ addidi cum Corn., Foës., Lind.; necessario expleri debere videtur; — ὑπιόντα vulg., ὑπόντα cod. θ., Littr.; equidem e vulgata Ionismum effeci.

61. ἢν δὲ — κατέχειν.] οἱ αὐτοῦ vulg., οἷα τοῦ C. θ. Lind., Littr., equidem οἷα reieci; — οἱ ante ἐόντος ex cod. θ. recepi, pro illo οἱ C. fert δέ; — μή om. θ.; — τὸν ἄνθρ. vulg., τὴν ἄνθρ. C. H. θ. Cord.; — ἀπεμέσῃ vulg., ἀπεμῇ cod. θ., unde ἀπεμέῃ Littr.; — γάρ om. θ.; — ὁ σπλὴν λαμβάνει διασπῶν (οἷα σπῶν voluit auctor huius lectionis) ἀπὸ τῆς κοιλίης πρὸς ἑωυτὸν, ἅτε, vulg.; cum Littr. codicum C. θ lectionem recepi. — Porro ἐών Ionice C. θ. Littr.; — οὕτως (οὕτω cod. θ.) γινομένων C. θ.; — μηδὲ οἱ κύστις διηθῇ ex θ. solo introduxit Littr.; — μηδ' ἡ κοιλίη cod. θ.; — χαλᾶται vulg., χαλᾷ cod. θ., Littr.; — αἴρεται vulg., διαίρεται cod. θ. Littr.; — ὑπὸ τούτου vulg., ὑπὸ τοῦ ποτοῦ cod. Serv., θ.; Lind., Littr.; — ἥν τις ἐπαφήσαιτο vulg., de meo εἰ dedi propter optativum, quem solita forma descri-

ἑτέρῳ διεκδιδοῖ ἐν τῷ σώματι, [1] καὶ μάλιστα ἐπὴν πλέον ἑκάστῳ τοῦ καιροῦ ᾖ καὶ μὴ δύνηται κατέχειν. Ἐπιγίγνεται δὲ ἀπὸ [2] τούτου ὕδρωψ αἰεὶ, ἐπὴν μάθῃ ὁ σπλὴν ἕλκειν ἐς ἑωυτὸν φύσι ἀραιὸς ὢν καὶ μανός. Γίγνεται [3] δ' ἔστι ᾗσι ἀρχὴ τῆς νούσου καὶ ἄτερ πυρετοῦ, ἢν μὴ καῦμά τι τῇ κοιλίῃ ἐνστῇ [4] φλέγματος ἐς αὐτὴν κατιόντος, καὶ τὴν δίψαν μὴ ἀνέχῃ, μηδ' ἡ κύστις μηδ' ἡ κοιλίη διηθέωσι οὖρόν τε καὶ κόπρον κατά γε δίκην, μηδ' [5] ἐπιτηδέῃ διαίτῃ χρέηται. Ἢν δ' ὑδρωποειδὴς ᾖ, ἔρχεται τὰ καταμήνια [6] ὁτὲ μὲν πολλὰ ἐξαπίνης, ὁτὲ δὲ ὀλίγα καὶ γίγνεται ὁτὲ μὲν ὡς ἀπὸ κρεῶν [7] ὕδωρ, ὁτὲ δὲ ὀλίγῳ ἰσχυρότερα, καὶ οὐ πήγνυται, καὶ ἆσθμά μιν λαμβάνει, πρὶν ἢ τὰ καταμήνια χωρέειν, καὶ ὀδύνη ἐν τῷ σπληνὶ, καὶ μᾶλλον ἐπήν τι γλυκὺ φάγῃ, καὶ ἡ γαστὴρ [8] ἐξαείρεται καὶ μεγάλη ἐστί· καὶ ἐπὴν πλέονα τοῦ μάθεος φάγῃ, πονέει τε τὴν γαστέρα καὶ τὴν ὀσφὺν ἀλγέει ἄλλοτε καὶ ἄλλοτε καὶ πῦρ μιν ἐπιλαμβάνει δι' ὀλίγου. Ἐπὴν δὲ ἀποκαθαρθῇ, [9] ῥάϊον δοκέει ἔχειν πρὸς τὰ πρόσθεν, ἔπειτα ἐς τωὐτὸ καθίσταται καὶ ἢν μελεδαίνηται, ὡς χρὴ, ὑγιὴς ἔσται· ἢν δὲ μὴ, καὶ ὁ ῥόος ἐπιφανεῖται καὶ διὰ παντὸς τοῦ χρόνου αἰεὶ ῥεύσεται κατ' ὀλίγον οἷον

lis plus iusto insit, neque continere valeant. Inde autem semper hydrops exoritur, quum lien quippe natura rarus et laxus ad se attrahere consuevit. Morbi autem principium nonnullis etiam accidit sine febre, nisi ardor quidam ventri insit, pituita ad eum devecta, et sitim non ferat, neque vesica, neque venter urinam et stercus ut oportet dimittant, neque idonea victus ratione mulier utatur. Quodsi hydropica sit, alias menses derepente copiose fluere incipiunt, alias pauci et interdum sunt similes aquae a carnibus, interdum vero crassiores, neque coguntur et frequens anhelatio eam prehendit, priusquam menses fluant, et dolor in liene idque magis postquam dulce aliquid comederit et venter in tumorem attollitur et magnus est et postquam plura quam soleat comederit ventre dolet et lumbis interdum et brevi tempore febris eam corripit. Postquam autem purgata sit, melius se habere videtur pro superioribus malis, dein ad idem res redit et si diligenter, ut oportet, curetur, convalescit; sin contra, cum fluxus superveniet, tum semper sine intermissione fluet paulatim saniei simile quid; maiore autem diligentia curanda est. Quodsi vero fluxus non supervenerit, sed uterus ex superioribus affectibus in

[1] καὶ μάλιστα abest. — [2] τοῦ ὕδρωπος. — [3] δὲ αἷς ἀρχή. — [4] οἷα φλέγμ. — [5] ἐπιτηδέῃ. — [6] ὁτὲ μέν abest. — [7] ὕδωρ ὡς εἴ τις αἱματώδεα ἀποπλύνειεν. — [8] ἐξαίρεται καὶ μ. ἔσται. — [9] ῥήϊστον δοκέει πρός.

psi; — χνοῦς vulg., μνοῦς Ald. Parr. 8. Littr., et vero C. θ. μνοῦς sine ἐστί; — ἀντιτυπεόμενος C., ἀντιτυπεύμενος vulg.; — ὠρθείς D. θ.; — πιμπλ. vulg., ὑπερπιμπλ. cod. θ., Littr.; — σκελέειν (sic) θ.; — καὶ μάλιστα ἐπήν cod. θ., καὶ μαλ. omm. cett.

ἐπιγίγνεται — μανός.] ἀπὸ τοῦ (τούτου cod. θ.) (ἀπὸ ποτοῦ Cord., ἀπὸ τοῦ ποτοῦ cod. Serv. Lind.) ὕδρωψ vulg.; — cum Littréo cod. θ. sequor; — αἰεί om. θ.; — καὶ φ. ἀραιὸς ᾖ C. θ.

γίγνεται — δ. χρέηται.] γίνεται δ' ἔστιν ᾗσιν ἀρχὴ αὕτη ceteri; delevi otiosum αὕτη; — δ' cod. θ., δέ vulg.; ἔστιν ᾗσιν C. H. Littr., αἷς vulg.; — καῦμα ἐν sine τι cod. θ. Littr.; — de meo μή intuli collato capite postremo libri IV. de morbis, ubi vide varr. lectt.; — ἐνσταίῃ vulg., ἐνστῇ cod. θ. Littr.; — οἷα φλεγμ. cett., sed οἷα om. θ.; — κατελθόντος C. θ.; — καὶ ἢν ἡ ἄνθρωπος ceteri; delevi otiosum ἢν ἡ ἄνθρ.; — ceteri κατέχῃ, quod ineptum, auctor vero ἀνέχῃ voluit, quod repono; — κατά τε vulg., κατά γε cod. θ., Cord., Lind., Littr.; — μηδ' cod. θ., μηδέ vulg.; — χρῆται cod. θ.; χρέηται ἡ ἄνθρωπος, ceteri, abieci otiosum ἡ ἄνθρ.

ἢν δ' ὑδρ. — δι' ὀλίγου.] δ' cod. θ., δέ vulgo; — ὑδρωπιώδης cod. θ.; — ὁτὲ μέν ante πολλά cum Lindano supplevi, cett. omm., sed periisse fortuito puto; — ὀλίγιστα cod. θ.; — γίνονται vulg., γίνεται C., Littr.; — post κρεῶν ὕδωρ rursus ὡς εἴ τις αἱματώδεα ἀποπλύνειε, quemadmodum § 30., ubi perinde ac hoc loco emblema alienum reieci; sunt qui putant in eiusmodi rebus alterum exemplum altero firmari; secus sentio; — ὡς εἴ τις vulgo, Littr. cum θ. ὡς, h. l. om., ego ab auctore datum fuisse credo. Pro ἰσχυρότερα cod. θ. παχύτερα, quod forsitan glossema est, paulo post in eodem cod. simile quid reperitur; — ἐν ante τῷ σπλ. om. C.; — ἐξαίρεται vulg., ἐξαείρεται cod. θ.; — ἔσται vulg., ἐστι e θ. Littr.; — πλέονα τοῦ ἔθεος cod. θ., quod iterum glossam referre opinor; — πονεῖ τε vulg., πονέεται cod. θ., Littr., equidem id, unde hoc ortum putabam, in textum recepi.

ἐπὴν δὲ — δέεται.] ῥήϊστον (ῥαιον cod. θ.) δοκέῃ (δοκέει Parr. 6. Cord., Lind.) (addit ἔχειν cod. θ.) πρός vulg.; textum, quemadmodum Littréus, descripsi. Dein ἐς τὰ αὐτά vulg., cum Littr. cod. θ. sequor; — καί ante ὁ ῥόος omm. C. θ. Littr.; — ἐπιμελείης δέ cod. θ. Littr., vulgo δέ om.; — πλείονος omm. C. θ.

ἰχώρ· ἐπιμελείης [1] δὲ πλείονος δέεται. Ἢν δὲ μὴ [2] ὁ ῥόος ἐπιγένηται, ἀλλ' αἱ μῆτραι ὑπὸ τῶν πρόσθεν παθημάτων ἀερθεῖσαι μὴ χαλάσωσι τὰ ἐπιμήνια, ἥ τε γαστὴρ οἱ μεγάλη ἔσται καὶ βρῖθος ἔνεσται ὡς ἐν γαστρὶ ἐχούσῃ, καὶ δοκέει ὡσεὶ παιδίον ἐν τῇ γαστρὶ κινέεσθαι, ἅτε τῶν μητρέων ὕδατος [3] πλέων ἐουσέων καὶ τοῦ ὕδατος κινεομένου, ἄλλοτε γὰρ καὶ ἄλλοτε [4] κλυδάζεται τὸ ὕδωρ ὡς ἐν ἀσκῷ· καὶ ἀλγεῖ ψαυομένη τὸ κάτω τοῦ ὀμφαλοῦ, καὶ αἱ κληῗδες καὶ ὁ θώρηξ καὶ τὸ πρόσωπον καὶ τὰ ὄμματα καταλεπτύνεται, καὶ αἱ θηλαὶ [5] ἀείρονται. Ἔστι δ' ᾗσι μὲν ἥ τε κοιλίη καὶ τὰ σκέλεα πλήθει ὕδατος, [6] ᾗσι δὲ θάτερον τούτων· καὶ ἢν μὲν ἄμφω πλησθῇ, οὐδεμία ἐλπὶς περιγενέσθαι τὴν ἄνθρωπόν [7] ἐστι· ἢν δὲ θάτερον τούτων, ἐλπίδες ὀλίγαι, ἢν μελεδαίνηται καὶ μὴ λίην τετρυχωμένη ᾖ. Χρονίη δὲ αὕτη ἡ νοῦσος.

tumorem sublatus menses non dimittat, venter illi magnus erit et pondus illi inerit, quasi gravidae mulieri et videtur quasi foetus in ventre moveri, utero nimirum aqua pleno eaque mota, interdum enim aqua velut in utre fluctuat. Et si contrectetur, dolet locus infra umbilicum et claviculae et thorax et vultus et oculi attenuantur et pupillae attolluntur. Nonnullis quidem venter et crura aqua redundant, aliis horum alterutrum, et si utraque repleta fuerint, nulla spes est mulierem superfuturam. Sin horum alterutrum, exigua spes est, si diligenter curetur, neque valde confecta sit. Est autem hic morbus diuturnus.

ξβ'. Γίγνεται [8] δὲ πάντα μᾶλλον μὲν τῇσι ἀτόκοισι, γίγνεται δὲ πολλάκις καὶ τῇσι τετοκυίῃσι· ἐπικίνδυνα δ' ἐστὶ, ὡς εἴρηται, καὶ τὸ πουλὺ ὀξέα καὶ μεγάλα καὶ χαλεπὰ ξυνιέναι, διὰ τοῦθ' ὅτι αἱ γυναῖκες μετέχουσι τῶν νούσων καὶ ἔσθ' ὅτε οὐδ' αὐταὶ ἴσασι ὅ τι νοσέουσι, πρὶν ἢ ἔμπειροι νούσων γένωνται ἀπὸ καταμηνίων καὶ ἔωσι γεραίτεραι· τότε δὲ σφέας ἥ τε ἀνάγκη καὶ ὁ χρόνος διδάσκει τὸ αἴτιον τῶν νούσων, καὶ ἔστι ὅτε τῇσι μὴ γιγνωσκούσῃσι [9] ὑφ' ὅτου νοσοῦσι φθάνει τὰ νοσήματα ἀνίητα γιγνόμενα, πρὶν ἂν διδαχθῆναι τὸν ἰητρὸν ὀρθῶς ὑπὸ τῆς νοσεούσης ὑφ' ὅτου νοσέει· καὶ γὰρ αἰδέονται

62. Haec autem omnia his, quae nondum pepererunt magis accidunt, accidunt autem saepe etiam iis, quae partum expertae sunt. Sunt autem, ut dictum est, periculo proxima et fere acuta et gravia, quaeque ideo quis non facile intelligat, quod mulieres morbo affliguntur et interdum ipsae ignorant quo morbo laborent, priusquam seniores morbos, qui a mensibus pendent, expertae fuerint. Tum vero et necessitas et temporis diuturnitas iis morborum causam declarat. Atque adeo nonnumquam, dum non intelligunt quanam ex causa aegrotent, immedicabiles morbi evadunt, priusquam medicus ab aegrotante recte morbi causam ediscat. Eas

[1] δέ om. — [2] ὁ om. — [3] οὐσέων πεπληρωμένων. — [4] κλυδάζεται αὐτῇσι τὸ ὕ. — [5] αἴρονται. — [6] εἰσὶ δὲ ἐς θάτερον. — [7] ἔστι δὲ ἢν θ. — [8] δὲ μᾶλλον τῇσι ἀτόκοισι. — [9] ὑφ' ὅτευ.

ἢν δὲ μὴ — ἀείρονται.] ὁ ante ῥόος ex C. θ. addidit Littr.; — παθημάτων ἀερθεῖσαι ex θ. dedit Littr., liber ille tamen ἀειρειται fert, quod editor Paris. emendavit; ceteri haec omm.; — χαλῶσι cod. θ.; — ἐνέσται ὡς cod. θ. Lind., Littr., ἐνείη ὡς vulg., ἔσται ὡς C.; — τῇ ἐν γ. ἐχ. vulg., τῇ omm. C. θ, quos sequor; — ἐν τῇ γαστρὶ αὐτῆς κιν. vulg., sed αὐτῆς omm. C. θ.; — ὕδατος ante πλέων om. θ.; — οὐσέων πεπληρευμένων vulg., sed cum Littréo cod. θ. sequor; — κινεομένου Ionice ex C. θ. Littr.; — κλυδάζεται αὐτῇσι vulg., κλυδάσσεται cod. θ., αὐτῇσι omisi cum C. θ.; — ἀλγήσει iidem; — καταλεπτύνονται cod. θ.; — αἴρονται vulg., ἀείρονται cod. θ. Littr.

ἔστι δ' ᾗσι — τετρυχωμένη ᾖ.] εἰσι pro ἔστι cod. Serv., Lind.; — δέ vulg., δ' cod. θ.; — πλησθῇ pro πλήθει cod. θ.; — τοῦ ὕδατος C. θ. — Pro ᾗσι δέ Ald., Parr. 5., θ., εἰσί, C. vero ἔτι, [εἰσὶ] δὲ ᾗσι Lind., vulgo δὲ ἐς θάτερον, sed pro δὲ ἐς cod. θ. δαι i. e. δέ sine ἐς, quod praefero, ἐς otiosum est; καὶ ἢν μὲν ἄμφω — θάτερον τούτων om. θ.; — περιγ. τὴν ἄνθρ. ἐστιν vulg., Lindani εἰσί emendatio eius esse videtur; Littréus, quem sequor, aliam rationem iniit.

χρονίη — νοῦσος.] ἡ ν. αὕτη cod. θ.

62. γίγνεται — ἀνεπιστημοσύνης.] πάντα omm. Parr. 7., cod. Serv.; — μέν omm. Parr. 4.; — πολλάκις omm. C. θ.; — δὲ εἰσίν vulg., δ' ἔστι cod. θ., δὲ ἔστι Littr.; — ὅτι νοσέουσι vulg., i. e. ὅ τι ν., sed τί νοσέουσι cod. θ. Littr.; —

φράζειν, κὴν εἰδῶσι, καί σφιν δοκέουσι αἰσχρὸν εἶναι ὑπὸ ἀπειρίης καὶ ἀνεπιστημοσύνης. Ἅμα δὲ καὶ οἱ ἰητροὶ ἁμαρτάνουσι οὐκ ἀτρεκέως πυνθανόμενοι τὴν πρόφασιν τῆς νούσου, ἀλλ' ὡς τὰ ἀνδρικὰ νοσήματα ἰώμενοι· καὶ πολλὰς εἶδον διεφθαρμένας ἤδη ὑπὸ [1] τῶν τοιούτων παθημάτων. Ἀλλὰ χρὴ ἀνερωτᾶν αὐτίκα ἀτρεκέως τὸ αἴτιον· διαφέρει γὰρ ἡ ἴησις [2] πολλὸν τῶν γυναικηΐων νοσημάτων καὶ τῶν [3] ἀνδρηΐων.

ξγ'. Ἢν [4] δ' αἱ μῆτραι ἑλκωθέωσι, αἷμα καὶ πῦον καθαίρεται καὶ ὀδμὴ βαρέα γίγνεται, καὶ ὀδύνη ὀξέα λαμβάνει τὰς ἰξύας καὶ τοὺς βουβῶνας καὶ τὴν νείαιραν γαστέρα, καὶ ἄνω φοιτᾷ ἡ ὀδύνη ἐς τοὺς κενεῶνας καὶ ἐς τὰς πλευρὰς καὶ ἐς τὰς ὠμοπλάτας, ἐνίοτε δὲ καὶ ἐς τὰς κληῖδας ἀφικνέεται, καὶ δάκνεται καὶ κεφαλὴν ἀλγέει σφοδρῶς, καὶ παρανοεῖ· τῷ δὲ χρόνῳ ἀνοιδίσκεται πᾶσα, καὶ ἀσθένειά μιν λαμβάνει καὶ ἀψυχίη καὶ πυρετὸς λεπτὸς καὶ περίψυξις· οἰδίσκεται δὲ μάλιστα τὰ σκέλεα. Ἡ δὲ νοῦσος λαμβάνει ἐκ τρωσμοῦ, ἤ τις ἂν διαφθαρεῖσα τὸ παιδίον ἐγκατασαπὲν μὴ ἐκκαθαρθῇ, καὶ τὸ σῶμα πᾶν πῦρ ἔχει· λαμβάνει δὲ καὶ ἐκ τῶν ῥόων καὶ ἢν ἐπὶ σφέας δριμέα [5] ἴῃ καὶ χολώδεα, ἃ δάκνει. Ἢν οὕτως ἐχούσῃ ἐπιτυγχάνῃς, ἐπὴν μὲν αἱ ὀδύναι ἔχωσι, λούειν τε πολλῷ καὶ θερμῷ καὶ χλιάσματα προστιθέναι, ὅκου ἂν ἡ ὀδύνη ἔχῃ· καὶ ἢν μὲν

enim etsi cognoscant, enunciare pudet, turpeque sibi esse ob imperitiam et inscitiam reputant. Simul etiam medici falluntur, cum morbi causam non exacte investigant, sed tanquam viriles curant et multas vidi ab eiusmodi affectionibus consumptas. Verum confestim exacte morborum causa pervestiganda est; multum enim muliebres et viriles morbi curatione discrepant.

63. Si vero uterus ulceratus fuerit, una cum pure sanguis expurgatur, gravis odor oritur et dolor acutus lumbos, inguina et infimum ventrem invadit, isque sursum ad laterum inanitates, costas et scapulas pervenit, interdum quoad iugulum pertinet, morsumque percipit et vehementem capitis dolorem, mensque alienatur. Temporis autem successu tota intumescit, eamque debilitas, animi deliquium, febris levis et perfrigeratio occupat. Praecipue vero crura intumescunt. Morbus hic ex abortu prehendit, si qua, corrupto et intus putrescente puello, non expurgata fuerit, totumque corpus incendium occupat. Invadit etiam ex fluoribus muliebribus, sique ad eum acria et biliosa confluxerint, quae mordent. Si ita se habere offenderis, cum dolores quidem detinent, multa eaque calida lavare oportet, et tepefacientia qua parte dolor detinet admovere. Quod si dolor ad superiores partes pertingit, validaque

[1] τῶν παθ. — [2] πολλά. — [3] ἀνδρῶν. — [4] δέ. — [5] ἢ, in marg. al. m. ἴῃ, tum χολώδεα δάκνει.

νοσεῦσι C.; — νοσεύματα idem; — πρὶν ἢ διδαχθ. C. θ.; — καί ante ἀνεπιστημ. omm. nonnulli Parr.

ἅμα δὲ — παθημάτων.] ὡς ἀνδρικὰ τὰ νοσήμ. C., τἀνδρικά cod. θ.; — ὑπὸ τῶν τοιούτων vulg., τῶν omm. C. θ. Littr.

ἀλλὰ χρὴ — ἀνδρηΐων.] ἡ om. θ.; — πολλόν vulg., πολλῷ C. Littr.; — γυναικηΐων C. Littr., γυναικείων vulg.; — ἀνδρῴων vulg., ἀνδρείων Parr. 4., ἀνδρίων, quod idem atque illud, duo; — ἀνδρῶν cod. Serv.

63. ἢν δ' αἱ μ. — σκέλεα.] δ' cod. θ., δέ cett.; — ἑλκωθέωσι C. θ. Lind., Littr., ἑλκωθῶσι vulg.; — πῦα καθαίρεται vulg., πύον vero cod. Serv., Lind.; — ὀσμή vulg., ὀλμή (sic) θ., i. e. ὀδμή; — βαρείη vulg., βαρέη cod. θ. Littr., simili modo res se habet in ὀξέη; talia non amplius notabo. Ceteri λαμβάνει ἐς τὰς ἰξύας καὶ ἐς τοὺς βουβῶνας καὶ ἐς τὴν νειαίρην γαστέρα; ego singulis locis ἐς delevi e sequentibus huc devenisse ratus. Tum vero me semper νειαίρην in νείαιραν mutaturum deinceps, nunc semel moneo; ᾱ brevis est. Porro καὶ ἐς τοὺς (sic) ὠμοπλάτας ἄνω φοιτᾷ ἡ ὀδ. cod. C., qui dein om. infra καὶ ἐς τὰς ὠμ., — cod. θ. om. ἐς ante τὰς πλευράς et καὶ ὠμοπλ. habet; — τῷ χρ. δέ C.; τά ante σκέλεα om. C.

ἡ δὲ νοῦσος λαμβάνει — δάκνει.] διαφθείρασα C. θ. Littr.; in vulg. coniunguntur τὸ παιδίον ἐγκατασαπὲν μὴ ἐκκαθαρθῇ, in lectione, quam Littr. sequitur, coniungitur διαφθείρασα τὸ παιδίον; mihi vero vulg. bene habere videtur eiusque correctionem otiosam esse in C. θ.; — dein θ. Littr. καὶ τὸ στόμα πῦρ ἔχει, C. καὶ τὸ σῶμα πῦρ ἔχει, me iudice iterum in θ. habemus otiosam correctionem vulgatae; — οἱήν cod. θ.; — δριμέα ἂν ᾖ vulg., sed ἄν omm. C. θ. Littr.; — εἴη habet θ., ἴῃ Cord., Lind., quos sequor. De meo ἃ ante δάκνει adscripsi; δάκνῃ cod. C.

ἢν οὕτως — λαμβάνειν.] ἢν δὲ οὕτως cod. θ.; — αἱ ante ὀδύναι ἔωσι C. L. θ. Lind., Littr.; vulgo om.; — vulgo καὶ ἰσχυρὴ ἡ γυνή ἐστι, sed ἢν μὲν ἰσχυρὴ ἡ γυνὴ C., et θ., qui ᾖ addit; codicis θ. lect. recepit Littr.; — equidem καί

[1] ἄνω αἱ ὀδύναι ἕωσι, καὶ ἰσχυρὴ [2] ἡ γυνὴ ᾖ, πυριῆσαι ὅλην καὶ φάρμακον δοῦναι κάτω [3] πιεῖν· καὶ ἐπὴν ὥρη ᾖ τοῦ ἔτεος ὀρρὸν ἀφέψων διδόναι ἐπιπίνειν ἡμέρας πέντε, ἢν δυνατὴ ᾖ· ἢν δὲ μὴ ᾖ ὀρρὸς, ὄνου γάλα ἕψειν καὶ διδόναι πίνειν ἡμέρας τρεῖς ἢ τέσσερας· μετὰ δὲ τὴν γαλακτοποσίην, ὕδατι [4] ἀνακομίσαι αὐτὴν καὶ σιτίοισι ἐπιτηδείοισι, κρέασι μηλείοισι, ἁπαλοῖσι, νέοισι καὶ ὀρνιθείοισι, καὶ σεύτλῳ καὶ κολοκύνθῃ· ἀπεχέσθω δὲ τῶν ἁλμυρῶν καὶ δριμέων καὶ τῶν θαλασσίων πάντων καὶ κρεῶν χοιρείων καὶ βοείων καὶ αἰγείων· ἄρτους δὲ ἐσθιέτω· ἢν δὲ ἀψυχίαι ἔχωσι καὶ μὴ ἰσχύῃ καὶ περιψύχηται, ῥόφημα λαμβάνειν. Εἰσὶ δέ τινες, οἳ ταύτῃσι κεφαλὴν ἀλγεούσῃσι πιπίσκουσι γάλα, ὅτι κεφαλὴν ἀλγέουσι, οἱ δὲ ὕδωρ, ὅτι λιποθυμέουσι· τἀναντία δὲ, [5] οἴομαι, εἰ κεφαλὴν ἀλγέουσι καὶ φρενῶν εἴη ἅψις, [6] ἁρμόσει ὕδωρ, ὅτε δὲ δάκνεται καὶ δριμέα ἐστὶ, γάλα ταύτῃσι εὐμενές. Ἐπὴν δέ σοι δοκέῃ ἰσχύειν, κλύζειν [7] τὰς ὑστέρας, πρῶτα μὲν [8] τῷ ἀπὸ τῆς τρυγὸς, μετὰ δὲ ταῦτα διαλιπὼν ἡμέρας τρεῖς ἢ τέσσερας κλύζειν τῷ ξὺν τῷ κραμβίῳ χλιερῷ, καὶ αὖτις διαλιπὼν ἡμέρας τρεῖς κλύσαι τῷ ξὺν τῷ πικερίῳ· καὶ ἢν ταῦτα ποιήσαντι ὑγιάζωνται αἱ ὑστέραι, κλύσαι τῷ ξὺν τῷ σιδίῳ· ἐπὶ δὲ τὰ ἕλκεα ἐπιχρίειν ἀργύρεον ἄνθος, καὶ κηκίδα καὶ σμύρναν καὶ λιβανωτὸν, καὶ τοῦ Αἰγυπτίου ἀκάνθου τὸν καρπὸν, καὶ οἰνάνθην τὴν ἀγρίην, καὶ χρυσοκόλλην, καὶ λεπίδα καὶ λωτοῦ πρίσματα, καὶ κρόκον καὶ στυπτηρίην Αἰγυπτίην κατακεκαυμένην· τούτων δὲ ἔστω ἴσον ἑκάστου, τὴν δὲ στυπτηρίην

sit mulier, totam foveto, eique medicamentum deorsum purgans bibendum exhibeto. Et si anni tempestas tulerit, serum lactis decoctum quinque diebus, si ferre possit, superbibendum dato. Sin serum desit, lac asininum coctum per tres aut quatuor dies potui praebeto. Post lactis potum eam aqua et cibis accommodatis reficito, carnibus ovillis tenellis iuvenibus et aviculis, betaque et cucurbita. Abstineat autem salsis, acribus et marinis omnibus, itemque porcinis carnibus, bubulis et caprinis. Panes autem comedat. Quodsi animi deliquia detineant, neque sit valida et perfrigeretur, sorbitionem assumat. Nonnulli vero sic capite dolentibus lac propinant, quod capitis dolore vexentur, quidam vero aquam, quod animo linquantur. Ego contra, si capite doleant, et mentis laesio adsit, congruere aquam existimo, cum vero morsus et acrimonia inest, his lac prodest. Cum vero tibi validior esse videbitur, uterum colluito, primum quidem medicamento ex faece, post haec tribus aut quatuor intermissis diebus, brassicae decocto tepido colluito, ac rursus tribus intermissis diebus decocto cum butyro. Quodsi his factis uterus sanitati restituatur, medicamento, quod ex malicorio paratur, colluito. Ulcera autem argenti flore, galla, myrrha, thure, spinae Aegyptiae fructu, oenanthe sylvestri, chrysocolla, squama aeris, loti ramento, croco et alumine Aegyptio usto illinito. Quorum singulorum una sit, aequalis portio, alumen autem et galla et crocus omnium portionem aequent. Trita vero et ad laevorem permixta omnia vino albo dulci diluito, deinde ad mellis crassitudinem decoquito. Hoc ut illi-

[1] ἄνω om. — [2] ἐσὴν ἡ γυνὴ πυριήσασθαι. — [3] πίνειν. — [4] κομίσαι. — [5] οἶμαι. — [6] ἁρμόσιον. — [7] τάς om. — [8] τό.

vulgatae servavi. Porro πυριάσας ὅλην φάρμακον δοῦναι cod. θ., unde pro vulg. πυριήσασθαι scripsi πυριῆσαι, — διδόναι vulg.; — πίνειν cod. Serv.; — ουρος cod. θ.; — ὄνου γάλα ἀφεψεῖν cod. θ.; — τέσσερας idem; — ὕδατι idem, Littr., ὕδασι vulg., in cod. Serv. „sed forte ἡδύσμασι;" non probabile propter sequentem periodum; — τευτλίῳ ceteri; — κολοκύνθη C.; — καὶ ἁλμ. C. sine τῶν; — οειων pro αιγείων cod. θ.; — ἀψυχίαι ἐῶσι C.

εἰσὶ δὲ — εὐμενές.] τινες om. C.; — κεφαλαλγέουσι cod. θ., ἀλγέουσι cod Serv., Lind., Littr., ἀλγεῦσι C., ἀλγοῦσι vulg.; — οἶμαι vulg., οἴομαι C. θ.; — εἰ ante κεφ. om. θ.; — ἀλγέουσι vulg., ἀλγέοιεν C. θ. Littr.; — ἁρμόσει cod. θ., ἁρμόζον Cord., Lind., ἁρμόσσον duo Parr. et Littr.

ἐπὴν δέ σοι — ἐλελίσφακον.] τὸ ἀπὸ τῆς τρ. C.; — τέσσερας per ε̅ ex θ. dedi; — τὸ ξύν rursus C.; — αὖτις per τ̅ cod. θ. solus; — τρεῖς ἢ τέσσαρας solus D.; — κηκίδα C. θ., κικίδα vulg.; — πρίσμα cod. θ.; — καὶ στυπτ. — τὸν κρόκον omm. Parr. 7.; — ἕν om. θ.; — τοῦτο de meo dedi, ceteri τούτῳ, quod si legas sequens διδόναι ineptum fit; — δέ ante ἐπαλείφειν omm. Parr. 7. θ.; ἐπάλιφε δὶς τῆς ἡμέρης διανιψαμένην cod. θ.; — νιψαμένην cett.; — δ' ἐν cod. θ., δὲ ἐν vulg.; — κισσόν Parr. 4. Lind., κιστόν C.

καὶ τὴν κηκίδα καὶ τὸν κρόκον ποιῆσαι μίαν μοῖραν [1] πάντων· τρίψας δὲ καὶ ξυμμίξας πάντα λεῖα διεῖναι [2] οἴνῳ λευκῷ [3] γλυκέϊ· ἔπειτα ἕψειν, ἔστ' ἂν παχὺ γένηται οἷόν περ μέλι· [4] τοῦτο δὲ ἐπαλείφειν δὶς τῆς ἡμέρης διδόναι νιψαμένῃ ὕδατι χλιερῷ· ἕψειν δ' ἐν τῷ ὕδατι καὶ κισθὸν καὶ ἐλελίσφακον. Καὶ ἐπήν σοι δοκέῃ ταῦτα ποιέοντι ῥαΐων εἶναι, προπιεῖν χρὴ γάλα ἐφθὸν αἴγειον μίαν ἡμέρην, ἔπειτα διδόναι γάλα βόειον τὸν αὐτὸν τρόπον [5] οἷόν περ ἐπὶ τῇσι προτέρῃσι· μετὰ δὲ τὴν γαλακτοποσίην παχῦναι σιτίοισι ὡς μάλιστα καὶ [6] ποιέειν ὅκως ἐν [7] γαστρὶ ἔχῃ· ὑγιὴς γὰρ [8] γενήσεται. Ὡς δὲ τὰ πολλὰ ἐκ τῆς νούσου ταύτης ἐκφεύγουσι καὶ ἄτοκοι γίγνονται· [9] αἱ δὲ γεραίτεραι οὐ πάνυ τι. Πίνειν δὲ [10] μετὰ τὰ φάρμακα λίνου σπέρμα [11] πεφωσμένον, καὶ σήσαμον, καὶ κνίδης καρπὸν καὶ γλυκυσίδης ῥίζαν τὴν πικρὴν τρίβων ἐν οἴνῳ εὐώδεϊ μέλανι κεκρημένῳ.

natur bis quotidie exhibendum, ubi prius aqua tepida lota fuerit, in qua cisthum et salviam decoxeris. Ex quibus ubi tibi melius habere videbitur, die uno lac caprillum coctum propinandum, deinde lac bubulum eodem quo in superioribus modo exhibendum. Post lactis potum, cibis quam maxime incrassandum et ut concipiat procurandum, sanitati enim restituetur. Fere autem ex hoc morbo evadunt et steriles redduntur; seniores vero natu raro. Post ea medicamenta lini semen torrefactum, sesamum, urticae semen, paeoniae radicem amaram tritam ex vino odorato nigro aqua temperato bibat.

ξδ'. Ἢν [12] δ' αἱ μῆτραι ἑλκωθέωσι, αἷμα καὶ πύον ῥέει καὶ ἰχώρ· σηπομένων γὰρ τῶν μητρέων, νόσημα ἀπ' αὐτέων γίγνεται, καὶ ἡ γαστὴρ ἡ νείαιρα ἐπαείρεται, καὶ λεπτὴ γίγνεται, καὶ ἀλγέει ψαυομένη ὡς ἕλκος καὶ πῦρ ἔχει καὶ [13] βρυγμὸς καὶ ὀδύνη ὀξέα καὶ σπερχνὴ ἔς τε τὰ αἰδοῖα καὶ ἐς τὸ ἐπίσειον, καὶ ἐς τὴν γαστέρα τὴν νείαιραν, καὶ ἐς τὸν κενεῶνα, καὶ ἐς τὰς ἰξύας· ἡ δὲ νοῦσος λαμβάνει μάλιστα μὲν ἐκ τόκου, ἤν αὐτῇσί τι διακναισθὲν ἐνσαπῇ καὶ ἐκ τρωσμοῦ καὶ ἄλλως ἀπὸ ταὐτομάτου. Ταύτῃσι ἢν ἐπιτυγχάνῃς, λούειν ὕδατι πολλῷ καὶ θερμῷ, καὶ

64. Si autem uterus ulceratus fuerit, sanguis cum pure et sanie effluit; putrefacto enim utero morbus ab eo oritur et venter imus intumescit et mulier extenuatur, contactuque velut ulcus dolet, febris et dentium stridor eam detinet, dolorque acutus et assiduus ad pudenda, pubem, infimum ventrem, lateris inanitatem et lumbos urget. Morbus autem praecipue quidem ex partu invadit, si quid in utero dilaniatum computruerit, itemque in abortione et alias sua sponte. Sic affectas ubi nactus fueris, multa calida lavato et qua parte dolor detinuerit, tepefactoria et spongiam ex aqua calida

[1] πάντα. — [2] ἐν οἴνῳ. — [3] γλυκεῖ abest. — [4] τούτω ἐπαλίφειν. — [5] οἷον ἐπί. — [6] πιέειν. — [7] τῇ γ. — [8] γένηται. — [9] τῇσι δὲ γεραιτέραισιν οὐ πάνυ τοι. — [10] μετ' αὐτὰ φ. — [11] ἀπὸ πεφ. — [12] δ' om. — [13] βρυγμὸς αὐτήν.

καὶ ἐπήν σοι — γενήσεται.] ποιεῦντι cod. C.; — ῥᾷον vulg., ῥαίων C., ῥάων cod. θ.; προπιεῖν χρὴ γάλα cod. θ., vulgo χρή om.; — διδόναι δὲ καί pro ἔπειτα διδόναι cod. θ.; — οἷόν περ idem, οἷον cett.; — σιτοῖσιν idem; — ἐν τῇ γ. vulg., τῇ omisi cum θ.. γένηται vulg., γενήσεται cod. Serv., θ., Cord., Lind., Littr.

ὡς δὲ — οὐ πάνυ τι.] τῇσι δὲ γεραιτέρῃσι vulg., αἱ δὲ γερέτεραι (sic) cod. θ., quem cum Littréo sequor; — τοι pro τι cod. Serv., Lind.

πίνειν δὲ — κεχρημένῳ.] δὲ μετ' αὐτὰ (μετὰ τά cod. θ.) φ. vulg., cum Littréo θ. sequor; — λινούσπερμα πεφωγμένον cod. θ., unde πεφωσμένον pro vulgato ἀποπεφωσμένον dedi, quippe id nusquam legere me memini; — οἰνώδει cod. θ. pro εὐώδει.

64. ἢν δ' αἱ — ταὐτομάτου.] δ' cod. θ. solus; — καὶ αἷμα cett.; — ῥέοι vulg. ῥέει Littr.; — ἐπαίρεται vulg., ἐπαείρεται cod. θ. Littr.; — αὐτήν post βρυγμός cett., ego pron. reiicio; — ἢν ἐν αὐτῇσι vulg., Littr. cum θ. ἐν om., sed vid. paulo post; — διακνησθέν vulg., διακναισθέν C. θ. Littr.; — σαπῇ vulg., ἐνσαπῇ iidem; ἢ καὶ ἐκ τρ. cod. θ.

ταύτῃσι — πιπίσκειν.] δὲ ἢν C. θ.; — ἡ ὀδύνη λαμβάνῃ iidem; — τοιαῦτα τὰ χλιάσμ. vulg., sed τοιαῦτα omm. θ. Littr.; — σπογγίον cod. θ.; — τὰ δριμέα καὶ τὰ στρυφνὰ ἀπεχομένην ceteri; de meo emendavi; — μαλθακωτέρων C.; — ἐν ante μέλιτι omm. C. θ.; — ποίησον C., πότισον cod. θ.; — τούτῳ χρῶ om. θ.; — ἔπειτα λοῦσον idem; —

ὅκου ἂν ἡ ὀδύνη ἔχῃ, [1]τὰ χλιάσματα προστιθέναι καὶ σπόγγον ἐξ ὕδατος [2]θερμοῦ, καὶ κλύζειν τῶν δριμέων καὶ τῶν στρυφνῶν ἀπεχόμενον· τῶν δὲ μαλακωτέρων διάμισγε ὅκως ἂν δοκέῃ σοι καιρὸς εἶναι· τοῦ σελίνου τὸν καρπὸν κόψας καὶ τῆς ἀκτῆς, ξυμμίξας δὲ ἐν μέλιτι καὶ ποιήσας φάρμακον, τούτῳ χρῶ· λοῦσον δὲ ὕδατι θερμῷ καὶ [3]σπόγγον λαβὼν ἢ εἴριον μαλθακὸν βάπτων ἐς θερμὸν ὕδωρ διακάθαιρε τά τε αἰδοῖα καὶ τὰ ἕλκεα· εἶτα ἐς οἶνον ἄκρητον ἐμβάπτων πάλιν τὸν σπόγγον ἢ τὸ εἴριον τὸν αὐτὸν τρόπον χρῶ· ἔπειτα τῷ φαρμάκῳ τούτῳ ἐνάλειφε ὁκοσάκις ἂν δοκέῃ σοι καιρὸς εἶναι· ἔπειτα ῥητίνην καὶ στέαρ ὕειον μίξας ὁμοῦ τῷ φαρμάκῳ, [4]διαλείφειν πολλάκις μεθ' ἡμέρην καὶ τῆς νυκτός· μετὰ δὲ λίνου σπέρμα φώξας καὶ κόψας καὶ σήσας, μήκωνα λευκὴν κόψαι ἐν ἀλφίτοισι καὶ σῆσαι, καὶ τυρὸν αἴγειον ὀπτᾶν περιξύσας τὸ ῥύπος καὶ τὴν ἅλμην, καὶ τὸ [5]πικέριον ξυμμίξαι καὶ [6]πάλην ἀλφίτου, εἶτα ἓν τοῦ φαρμάκου μέτρον καὶ τοῦ τυροῦ καὶ τοῦ ἀλφίτου ποιῆσαι, καὶ τοῦτο διδόναι πίνειν ἐξ ἠοῦς νήστι ἐπ' οἴνῳ αὐστηρῷ κεκρημένῳ· ἐς δὲ τὴν ἑσπέρην μίσγων καὶ παχὺν κυκεῶνα διδόναι καὶ [7]τῶν γυναικείων ὅ τι ἂν μάλιστα [8]προσδέχηται πιπίσκειν. Καὶ μέχρι μὲν ἂν τὸ αἷμα πουλὺ ῥέῃ, καὶ ὀδύναι ὀξέαι ἔχωσι καὶ ὀλίγον χρόνον διαλείπωσι, ταῦτα ποιέειν· ἐπὴν δὲ τὸ ἕλκος ἔλασσον ᾖ καὶ ὀδύναι βληχραὶ προσλαμβάνωσι καὶ διὰ πλέονος χρόνου, φάρμακα πιπίσκειν, ὑφ' ὧν μέλλει καθαίρεσθαι κάτω μᾶλλον ἢ ἄνω, διαλείπων χρόνον ὁκόσον ἂν δοκέῃ καιρὸς εἶναι· καὶ πυριᾶν βληχρῇσι πυρίῃσι, ἀνακαθίζοντα ὑψόθι

supponito, et acria et acerba vitando eluito, emollientibus vero admixtis, prouti opportunum tibi videbitur. Et lini semine contuso et sambuci fructu admixto, medicamento ex his confecto utere. Lava autem calida et spongia vel lana molli sumpta et aquae calidae intincta perpurga pudenda et ulcera. Postea spongia vel lana vino mero rursus immissa eodem modo utere. Deinde medicamento illo inunge, quoties opportunum tibi videbitur. Postea resina et pinguedine porcina una cum medicamento mixtis saepe interdiu et noctu perunge. Porro lini semine torrefacto et contuso et cribrato, peplum album contunde in polenta et cribra, et caseum caprillum sorde et salsugine derasa et butyrum admisce et polentae pollen. Deinde autem medicamenti portionem et casei et polentae sub auroram ieiunae ex vino austero temperato propinato; vesperi vero admixtum cyceonem crassum exhibeto et ex muliebribus potionibus quamcumque lubens admiserit propinato. Et ista quidem tantisper dum copiosior sanguis effluet et acuti dolores detinuerint, paulumque intermiserint facito. Ubi autem ulcus imminutum fuerit, et dolores leves longiore intervallo occupent, medicamenta ex quibus per inferiora potius quam per superiora expurgari debeat, propinato, intermisso tanto tempore, quantum necessarium videatur. Mulierque in alta sella reclinata lenibus fomentis fovenda est, quoties occasio postulare videbitur. Quibus factis sana evadit. Hic autem morbus lentior est et letalis, et ex quo paucae evadunt.

[1] τοιαῦτα τὰ χλ. — [2] θερμοῦ κλύζειν τὰ δριμέα καὶ τὰ στρυφνὰ ἀπεχομένην. — [3] λαβὼν σπ. — [4] διαλείφειν πολλάκις etiam V. — [5] πικρόν. — [6] πάλιν ἀλφίτω. — [7] τὸ γυναικεῖον. — [8] δέχηται.

δέ omm. C. θ.; — σπ. λαβών C. θ., λ. σπ. vulg.; — τῷ αὐτῷ τρόπῳ H.; — χρῶ om. C.; — ἐπάλειφε cod. θ.; — ὁποσάκις idem, ὁκοσάκις C., ὁσάκις vulg.; — διάλειφε τῷ δακτύλῳ C. θ. Littr., vulgata τῷ δ. non habet, neque ego ab auctore datum fuisse arbitror; — μετὰ δὲ ταῦτα vulg., ταῦτα om. θ.; — καὶ κόψας om. D.; — μ. λευκὴν κόψας vulg., κόψαι cod. θ. Littr.; — ῥυποεν cod. θ.; — πικέριον est lectio codicis θ. a Littr. recepta pro vulg. πικρόν, pro quo Coraës coniecerat πιηρόν; — συμμίξας vulg., συμμίξαι cod. θ., ξυμμίξαι Littr.; — ἀλφίτων cod. θ.; — ποιῆσαι καί ex solo θ. hausit Littr.; — ἐπ' οἴνῳ cod. θ., ἐν ὀ. vulg.; — τὸ γυναικεῖον vulg., τῶν γυν. J. C. θ. Lind., Littr.

καὶ μέχρι — εἶναι.] διαλίπωσι vulg., διαλείπωσι cod. θ., Littr.; — τοιαῦτα cod. θ.; — ᾖ ἄνω cod. θ. solus; — λαμβάνωσι C. θ.; — κάτω καὶ διὰ π. χ. cod. θ.; — διαλείπειν vulg., διαλείπων cod. θ., διαλιπών C.; — ἐπίκαιρος vulg., καιρός Parr. 6. θ. Littr.; — ἑκάστοθι vulg. ἑκάστοτε cod. θ., Littr.; — vulgo autem post ἢν δοκέῃ legitur; ego vero transposui.

[1] ἑκάστοτε, ἣν δοκέῃ καιρὸς εἶναι. Ταῦτα ποιέουσα ὑγιὴς γίγνεται· ἡ δὲ νοῦσος βληχροτέρη καὶ θανατώδης καὶ διαφεύγουσι [2] αὐτὴν παῦραι.

ξε'. Ἢν δὲ ἑλκωθέωσι σφοδρῶς, αἷμα καὶ πῦον καθαίρεται καὶ ὀδμὴ γίγνεται βαρέα καὶ ὁκόταν ἡ ὀδύνη προσλάβῃ, ὡς ὑπὸ ὠδῖνος τὰ περὶ τὸν ῥόον γίγνεται, καὶ ὁκόταν [3] οἱ χρόνος ᾖ, τὰ σκέλεα καὶ οἱ πόδες οἰδέουσι καὶ [4] ἰῶνται οἱ ἰητροὶ ὡς ὕδρωπα· τὸ δὲ [5] οὐκ ἔστι τοιοῦτον. Ταύτην ἢν λάβῃς, λούειν πρῶτα θερμῷ καὶ χλιαίνειν καὶ κλύζειν δριμέσι καὶ μαλθακοῖσι καὶ στρυφνοῖσι, ὕδατι τε καὶ οἴνῳ· καὶ πουλύκαρπον καὶ πουλύκνημον καὶ μέλι ἕψων ὁμοῦ, εἶτα εἴριον ἐς τοῦτο βάπτων, διαχρίειν τὰ αἰδοῖα, καὶ ῥητίνην καὶ μέλι καὶ συὸς ἔλαιον ἐγχρίειν· καὶ πιπίσκειν λίνου καρπὸν καὶ σήσαμον φώξας καὶ [6] βούτυρον καὶ τυρὸν αἴγειον καὶ ἄλφιτον ἐφ' ἅπασι πιπίσκειν ἐν οἴνῳ νῆστιν, [7] ἐς ἑσπέρην δὲ μέλι ἐπιχέων πουλύ· καὶ ἕως μὲν ἂν τὸ αἷμα καθαίρηται καὶ ὀδύναι ὀξέαι ἔχωσι καὶ [8] ὀλίγον διαλείπωσι, τοῦτο ποιέειν· ὅταν δέ οἱ ἔλασσον ἴῃ καὶ ὀδύναι βληχρότεραι ἴσχωσι διὰ πλέονος χρόνου, φάρμακον πιπίσκειν κάτω καὶ [9] διαλείπειν. Ταῦτα ποιέουσα ὑγιὴς γίγνεται· γενεὴ δὲ οὐκ ἔνι.

65. At si vehementer ulceratus fuerit, sanguis cum pure expurgatur et gravis odor exoritur. Cumque dolor prehenderit, plerumque quae circa profluvium fiunt, velut partus dolores affligunt, temporisque successu crura et pedes intumescunt. Ac huic tanquam hydropi medici medelam adhibent, cum tamen non sit eiusmodi. Huius curam cum susceperis, inprimis calida lavato et calefacito, acribusque et emollientibus et adstringentibus ex aqua et vino colluito. Tum crataeogoni et polycnemi cum melle decoctis lana imbuta pudenda perlinenda et resina cum melle et adipe suillo illinenda. Propinandum etiam lini semen et sesamum torrefactum cum caseo caprillo et polenta omnibus admixta. Haec autem ieiunae ex vino propinanda. Ad vesperem autem magna mellis copia adfundenda, istaque, quoad sanguis purgabitur et dolores acuti detinuerint, usurpanda. Cum vero parcius prodierit, et dolores leviores diutius detinuerint, sed aliquantulum intermiserint, medicamentum deorsum purgans ex intermissione propinandum. Quibus factis convalescit, generationis tamen spes nulla adest.

ξς'. Ὅσα δ' ἑλκώματα γίγνεται ἐν τῇσι ὑστέρῃσι ἀπὸ τρωσμοῦ ἢ [10] ὑπ' ἄλλου του, ταῦτα χρὴ ἀποσκεπτόμενον ἐς τὸ ὅλον σῶμα θεραπεύειν πάντα, ὁκοίης ἂν δοκέῃ δέεσθαι θεραπείης, ἤν τέ σοι δοκέῃ ἐξ ἅπαντος τοῦ σώματος θεραπευτέη εἶναι, ἤν τε ἀπ' αὐτέων.

66. Quae in utero exulcerationes ex abortione aut alia de causa oriuntur, eae omnes quocumque curationis genere opus esse videatur, habita totius corporis ratione curandae sunt, sive ex toto mulieris corpore petendam esse curationem existimaveris, sive ex ipso utero.

[1] ἣν δοκέῃ ἑκάστοτε. — [2] ὀλίγαι αὐτήν. — [3] ὁ χρ. — [4] ἰῶνται τοῦτο ἰητροί. — [5] sic etiam V. — [6] βούτυρον αἴγειον. — [7] ἐφ' ἑσπέρην δὲ μέλλι ἐ. [8] ὀλίγον χρόνον διαλίπωσι. — [9] διαλιπεῖν. — [10] ἀπ' ἄλλου τινός.

ταῦτα — παῦραι.] καί ante διαφ. om. θ.; — καὶ ὀλίγαι διαφ. αὐτήν J.; — ὀλίγαι αὐτήν alii nonnulli.

65. ἢν δὲ — τοιοῦτον.] δέ om. θ.; — ἑλκωθέωσι Ionice ex C. θ. Littr.; — γίγνεται om. C.; — τὸ πλῆθος τὰ περὶ τὸν ῥόον γίνεται solus θ. praebuit Littréo, ceteri τὸ πλῆθος omm.; puto interpretis nescio cuius interpolationem esse; — καὶ ὅταν cod. θ.; — ὁ χρόνος vulg., οἱ χρ. de meo dedi; — οἰδεῦσι C.; — ἰῶνται τοῦτο vulg., τοῦτο omm. C. θ. Littréus; — τὸ δὲ οὐκ ἔστι τοιοῦτον vulg.; Littréus C. θ. τὸ δὲ οὐ τοῖον.

ταύτην — διαλείπειν.] πρῶτα omm. C. θ.; — ἑψεῖν K.; — εἰρίων C.; — ἐν ἅπασι vulg. ἐφ' ἅπ. cod. θ. Littr.; — νῆστιν om. C.; — ἐφ' ἑσπ. vulg., ἐς ἑσπ. C. θ. Littr.; — μέλιτι ἐπιχέων vulg., emendavit Littr.; — ὀλίγον χρόνον διαλ. vulgo, sed χρόνον omm. θ. Littr.; διαλείπωσι Parr. 3. θ. Littr., διαλίπωσι vulg.; — σοι ἔλασσον Parr. 8. θ.; — διαλιπεῖν vulg., διαλείπειν θ. Littr.

ταῦτα — ἔνι.] ποιεῦσι C.; — ἔτι vulgo, sed C. ἐνεῖ (sic) unde ἔνι scripsi.

66. ὅσα — αὐτέων.] δ' cod. θ., δέ cett.; — γίνονται C.; — ὑπ' om. idem; — ἄλλω τοῦ C., ἄλλου του cod. θ., ἄλλου τινός vulg.; — ταῦτα δὲ χρή C. θ.; — οὖλον C.

Γνώσει δ' εἰ ἀπ' αὐτέων τῶν ὑστερέων ἐστὶ [1] ὧδε· τὰ μὲν ἀπ' αὐτέων τῶν ἑλκωμάτων τὴν κάθαρσιν παρέχει πυοειδέα τε καὶ ξυνεστηκυῖαν, τὰ δὲ μὴ ἀπ' αὐτέων λεπτήν τε καὶ ἰχωροειδέα. [2] Ὅσῃσι μὲν οὖν ἐστὶ τὰ λεπτὰ τῶν ῥευμάτων, ταύτας μὲν χρὴ θεραπεύειν φαρμάκῳ καὶ διδόναι [3] καὶ ἄνω καὶ κάτω, πρῶτον δ' ἄνω· καὶ ἢν μὲν μετὰ τὴν φαρμακείην τὰ ῥεύματα ἐλάσσω γίγνηται καὶ εὐπετέστερα ᾖ, διαλείποντα αὖθις φαρμακεύειν τὸν αὐτὸν τρόπον, μετὰ δὲ τὴν φαρμακείην διαιτᾶν διαίτῃ τοιαύτῃ, [4] ὁκοίῃ ἂν εἴη μάλιστα ξηροτάτη· ἔσται δὲ, ἢν αὐτὴν πυριᾷς δι' ἡμέρης τρίτης ἢ τετάρτης ὅλον τὸ σῶμα καὶ ἐμέτους ποιέῃς ἐκ τῶν πυριέων εὐθύς· μετὰ δὲ τοὺς ἐμέτους καὶ τὰς πυρίας διαιτᾶν ἀλουσίῃσί τε καὶ ὀλιγοποσίῃσι καὶ ἀρτοσιτίῃσι· [5] ποτῷ μὲν μηδενὶ, ἀλλ' ἢ οἴνῳ ἀκρήτῳ μέλανι, λαχάνῳ δὲ μηδενί· ὅταν [6] δὲ τὸν ἔμετον παρασκευάζῃς, τότε [7] χρὴ λαχάνων πολλῶν καὶ δριμέων ἐμπιπλάναι καὶ σιτίων πολλῶν καὶ ὄψου, ὁκοίου ἂν βούλωνται, καὶ οἴνου πολλοῦ ἐμπιπλάναι ὑδαρέος καὶ λούειν ἐκ τῶν πυριῶν πολλῷ θερμῷ. Αὕτη μὲν ἡ θεραπείη τῶν τοιουτοτρόπων ῥευμάτων· ἄμεινον δὲ ἄμφω, φαρμακεύειν [8] κάτω καὶ ἐμέειν καὶ ἄνω ἕλκειν· δίαιτα δὲ ξηραντικὴ κρέσσων [9] καὶ ἀλουσίῃ. Τὰς δ' ὑστέρας χρὴ θεραπεύειν ὧδε· πρῶτα μὲν πυριᾶν ὕδατι ἀκτῆς ἀφέψοντα τὰ φύλλα· ἔπειτα μετὰ τὴν πυρίην κλύζειν ἐκ τῆς ἰλύος τῷ

An vero ab ipso utero, hoc pacto dignosces. Quae quidem ab ipso ulcerationes sunt purulentam et consistentem purgationem reddunt, quae vero non ab ipso, tenuem et sanie permixtam. In quibus igitur fluxiones sunt tenues, eas quidem medicamento curare oportet, et exhibere quod sursum et deorsum purget, inprimis vero sursum. Quodsi quidem post medicamentum fluxiones pauciores et mitiores fuerint, aut intermittant, rursus ad eundem modum medicamentum purgans exhibeto. Post medicationem autem eam victus rationem praescribito, ex qua maxime sicca mulier evadat. Quod fiet, si tertio vel quarto quoque die toti corpori fotus adhibueris, et ab iis confestim vomitiones citaveris. Post vomitiones autem et fotus victus rationem instituito, ut illota permaneat, parco potu et pane in cibo utatur, potu quidem nullo praeterquam vino nigro meraciore, olere etiam nullo. Cum vero vomitionem paras, tum multis et acribus oleribus eam implere oportet, multis etiam cibis et opsonio quodcumque libuerit, nec non etiam vino aquoso copioso impleas et a potu multa calida lavet. Atque hac curatione ad huiusmodi fluxiones utendum. Praestat tamen in utrisque medicamenti deorsum purgantis potione uti; et vomitiones ciere et sursum attrahere. Melior quoque desiccans victus ratio sine ullo balnei usu. Ad uterum vero hanc curationem adhibeto. Primum quidem aqua, in qua sambuci folia incoxeris fo-

[1] ὧδε om. — [2] ὅσα μὲν οὖν ἐστὶ λεπτά. — [3] πρῶτον καὶ ἄνω. — [4] ἐν ὁποίῃ ἂν εἴη. — [5] ὄψῳ δὲ μηδενὶ ἀλλ' ἤ. — [6] δέ om. — [7] χρείην ἔχεις λαχ. — [8] κάτω abest. — [9] καί om.

Littr.; — ὁκόσ' ἂν C.; — ἤν τε ἀπ' αὐτέων εἴη τῶν ὑστερέων cod. θ.; — ἡ ἄνθρωπος θεραπευτέη εἶναι ceteri, sed tum h. l., tum infra in verbis vulgatae ὁποίῃ ἂν εἴη μάλιστα ξηροτάτη ἡ ἄνθρωπος, illud ἡ ἄνθρωπος est emblema alienum, quod abegi.

γνώσει — ἰχωροειδέα.] ὧδε e solo θ. Littr. addidit; — ξυνεστηκυῖαν recte cod. θ.; — ἰχωρώδεα C.

ὅσῃσι — θερμῷ.] Vulgo ὅσα, de meo ὅσῃσι dedi; — simul vero τά ante λεπτά intuli. Pro θεραπεύειν — διδόναι C. θ. φαρμακεύειν πρῶτον. Vulgo θεραπεύειν ἐν, ego otiosum ἐν abieci; — Parr. 7. post διδόναι addunt πρῶτον; — κατὰ τὴν φ. C.; — διαλιπόντα idem; — διαιτῆν C. Littr.; — ἐν ὁποίῃ ἂν εἴη vulgo; equidem ἐν abieci et ὁκοίῃ de meo scripsi; — de ἡ ἄνθρωπος post ξηροτάτη supra iam dixi; — εἴη omm. Ald., Parr. 2.; — ἔσται δ' ἢν C.; — πυριῇς vulgo, πυριαις cod. θ.; — πυριέων Ionice ex C. Littréus; — διαιτῆν vulg., διαιταν cod. θ.; — ἀλουσίῃ C.; — ὑδροποσίῃσι vulgo, ὀλιγοποσίῃ C., ὀλιγοποσίῃσι H. θ. Littr.; — καί ante ἀρτοσιτίῃσι om. C.; — ὄψῳ δὲ μηδ. vulg., sed ποτῷ de coniectura Littreus, cui obsequor, sed simul post ποτῷ scripsi μέν pro vulgato δέ; — ὅταν δέ ex θ. Littr., vulgo δέ om; — τότε δέ cod. θ.; — χρείην ἔχῃς, χρείαν ἔχεις vulg. et multi codd., ubi χρή ex C. θ. dedit Littr.

αὕτη — ἀλουσίῃ.] αὕτη μὲν ἡ Littr., codd. ἡ omm.; — ἄμεινον — ἀλουσίῃ om. θ.; — καί ante ἀλουσίῃ omm. Ald., Parr. 4.; — de meo κάτω adscripsi in hac periodo.

τὰς δ' ὑστέρας — χλιερῷ.] δ' C. θ., δέ vulg.; — πρῶτον Parr. 3., θ.; — πυριῆν C. H. Littr.; — ἀφέψοντα recte H. θ., ἀφεψῶντα vulg.; — ἐὰν μὲν σηπ. cod. θ.; — ἢ om. idem; — ἢ ante τοιοῦτον ex eodem Littréus; — καὶ δάφνην ex eodem solo Littr.; — χλιαρῷ vulg., χλιηρῷ C. D., unde Ionice scripsi.

σμήγματι· ἢν μὲν σηπεδὼν ἐν τοῖσι ἕλκεσι ᾖ καὶ τὰ ἀπιόντα δυσώδεα, ἀκρητεστέρῳ τῷ σμήγματι· ἢν δὲ μηδὲν [1] ᾖ τοιοῦτον, ὑδαρεστέρῳ· μετὰ δὲ τὴν ἰλὺν ὕδατι· ἐν δὲ τῷ ὕδατι ἐναφέψειν μυρσίνην [2] καὶ δάφνην καὶ ἐλελίσφακον· μετὰ δὲ τοῦτο οἴνῳ κλύζειν ἀκρήτῳ λευκῷ χλιερῷ. Ὁκόταν δὲ δάκνηται [3] ὑπὸ τῶν κλυσμάτων, τότε ἤδη καθαρά ἐστι τὰ ἕλκεα· κλύζειν οὖν χρὴ ὑδαρεστέρῃ τῇ ἰλύϊ [4] καὶ οἴνῳ μέλανι· μετὰ δὲ τὸν οἶνον πιμελὴν ὑὸς τήξαντα νεαρὴν, ἔλαιον παραμίξαντα, ἢν μὲν ᾖ, χηνὸς, ἢν δὲ μὴ, ἄλλου του, μάλιστα ὄρνιθος, εἰ δὲ μὴ, τὸ ἐκ τῶν ἐλαιῶν παλαιὸν, τούτῳ χλιερῷ κλύζειν, μετὰ δὲ [5] τῷ οἴνῳ ἐς ἕτερον κλυστῆρα ἐγχέαντα· ἐς [6] δὲ τὸ στόμα, κἢν ᾖ ἡλκωμένον, κἢν μὴ, μοτοὺς [7] ποιεῦντα τῶν μαλθακτηρίων προστιθέναι καὶ ἢν καῦμα παρέχωσι προσκείμενοι, [8] ἀφελομένην κελεύειν νίψασθαι ὕδατι χλιερῷ τοιούτῳ οἵῳ περ ἐκλύζετο. Ἢν δὲ πρὸς τὴν δίαιταν τήνδε τὰ ῥεύματα μὴ ἀπαλλάσσηται, ἐλάσσω [9] δὲ γίγνηται καὶ δάκνηται σφοδρῶς, καὶ τὰ ἀπορρέοντα χολή τε ᾖ καὶ ἅλμη καὶ μὴ μόνον τὰ ἔνδον, ἀλλὰ καὶ τὰ ἔξω ἑλκοῖ, μεταβάλλειν χρὴ τὴν δίαιταν καὶ ἐξυγραίνειν πᾶσαν, ὅπως τὰ ῥεύματα ὡς [10] ὑδαρέστατα ἔσται καὶ ἥκιστα δηκτικὰ, λουτροῖσι θερμοῖσι πολλοῖσι, μάζῃ, λαχάνοισι ἑφθοῖσι πᾶσι λιπαροῖσι, ἰχθύσι τοῖσι σελάχεσι, [11] ξὺν κρομμύοισι καὶ σκορόδοισι ἕψοντα ἐν ἅλμῃ γλυκείῃ, ἕψειν δὲ λιπαρῶς, κρέασι ἑφθοῖσι πᾶσι, πλὴν βοὸς καὶ

veto, deinde post fotum smegmate ex vini faece colluito. Si quidem putredo in ulceribus adfuerit et quae prodeunt graveolentia sint, smegmate meraciore, sin nihil tale adsit, dilutiore. Post fotum autem aqua, in qua myrtum et laurum et salviam incoquito. Post hoc vino mero, albo, tepido colluito. Cum vero a collutionibus mordetur, tum pura reddita iam sunt ulcera. Faece igitur vini dilutiore et vino nigro colluere oportet. Post vinum adipem suillum recentem liquefacito, anseris pinguedinem, si adsit, admisceto, sin minus aliam quamdam praecipueque gallinaceam. Quae si non adfuerit, vetustam aliquam pinguedinem sumito, eaque tepida colluito. Post haec autem vinum per alteram collutionem infundito. Ad osculum uteri vero sive ulceratum sit, sive non, penicillos ex emollientibus factos subdito. At si admoti ardorem excitarint, detrahere iussae mulieri, ut aqua tepida lavet, quali colluebatur, impera. At si ad hanc victus rationem fluxiones minime decedant, minores tamen sint, et vehementer mordeant, quaeque effluunt, biliosa fuerint et salsa, neque interiora tantum, sed etiam exteriora ulcerent, commutata victus ratione toto corpore humectanda erit, quo fluxiones quam dilutissimae et quam minimum mordaces evadant, balneis multis calidis, maza, oleribus coctis pinguibus omnibus, piscibus cartilaginei generis cum cepa et allio in muria dulci coctis utatur; cum pinguedine autem multa coquendi sunt. Carnibus omnis ge-

[1] ᾖ om. — [2] καὶ δ abest. — [3] ἤδη ὑπό. — [4] καί om. — [5] τὸν οἶνον. — [6] δέ abest. — [7] ποιοῦντας. — [8] ἀφελ. τὴν γυναῖκα κελ. αὐτῇ νιψ. — [9] δείκνυται, in marg. al. m. γένηται sine δέ. — [10] ὑδαρέστερα. — [11] ἐν κρ. καὶ κορίοισι ἕψ.

ὁκόταν δὲ — ἐκλύζετο] ὁκόταν δὲ δάκνηται ἤδη vulgo, sed quum mox ἤδη recurrat h. l. abieci; — τὰ ἕλκεά ἐστι cod. θ.; — νεαράν idem; — ἐὰν μὲν ᾖ idem; — ἢν — ὄρνιθος om. idem; — χλινρῷ C., unde Ionice dedi; — τὸν οἶνον vulg., τῷ οἴνῳ cod. θ. Littr.; — ἐγχέαντα ἐς τὸ στόμα καὶ ἢν μὴ ἑλκωμένα (ἑλκούμενον Foës. in not.) μοτούς vulg.; cum Littréo θ. sequor nisi quod εἱλκωμένον in ἡλκωμένον mutavi; — ποιοῦντας vulg., ποιεῦντας C., ποιεῦντα Cord., Lind., Littr.; — καὶ ἐὰν καῦμα cod. θ.; — ἀφελομένην τὴν γυναῖκα vulgo, sed τὴν γ. omm. C. θ.; — κελεύειν αὐτῇ ν. ψ. vulg., sed αὐτῇ omm. C. θ. Littr.; — χλινρῷ C., χλιαρῷ cett.; — ὧπερ C.

ἢν δὲ — λόγον.] τήν ante δίαιταν om. C., τήνδε omm. C. θ.; — γένηται vulg., γίνηται Ald. J. θ. Littr.; — διάκνηται cod. θ.: — σφόδρα idem; — καὶ ἐξυγρ. δὲ πᾶσαν idem; — ἐν κρομύοισι vulg., sed σύν κρ. cod. θ. Littr., κρομμύοισι ed. Bas., Parr. 3. θ.; — κορίοισι vulg., σκορόδοισι cod. θ., quae lectio praestare videtur; — nempe plurale κορίοισι quid sibi velit, non intelligo; in postrema formula additamentorum ad librum hunc legis καλαμίνθην ἢ κόριον ἀνατρίβειν, itaque sing. numero; sed praeterea κόριον pro κορίαννον num auctori nostro tribuere omnino liceat, dubito; quin loco laudato ex additamentis spuriis potius κηρίον scriptum fuisse videtur; cf. adnn.; — γλυκείῃ ἕψειν δέ om. θ., ἕψειν om. C.; — λιπαρά idem; — καὶ αἰγὸς (καὶ αἰγ. om. θ.) τούτοισι γὰρ (τ. γ. omm. C. θ.) διέφθοισι (δ. om. θ.) vulg.; textum uti Littr., descripsi; — διεφθοῖσι ἐν ἀνήθοισι καὶ μαράθροισι vulgo, sed pluralia postrema ex ipso διεφθοῖσι

αἰγὸς, [1] διέφθοισι ἐν ἀνήσω καὶ μαράθρῳ, οἴνῳ μελιχρόῳ, [2] κιρρῷ, ὑδαρέϊ, πλέονι, γαλακτοποσίῃ μετ' οἴνου γλυκέος· τὰ δ' ἄλλα περὶ τῶν κλυσμάτων ποιέειν κατὰ τον ὑφηγημένον λόγον. Αὕτη μὲν οὖν [3] τῶν τοιῶνδε ἡ θεραπείη. Ὅσῃσι δὲ πυοειδέα τε καὶ ξυνεστῶτα ἄπεισι, τούτων τὸ μὲν ὅλον σῶμα οὐδὲν δεῖ κινέειν, κλύζειν δὲ καὶ ἀπὸ τούτων τὴν θεραπείην πᾶσαν ποιέεσθαι, κλύζειν δὲ τοῖσι αὐτοῖσι κλύσμασι, οἷσι πρόσθεν εἴρηται τὸν αὐτὸν τρόπον. Γεγράψεται δὲ καὶ ἄλλα κλύσματα. — Ἑλκέων ἴησις· ἐλάφου στέαρ χλωρὸν [4] πρόσθετον· κλύζειν δὲ χρὴ αὐτίκα οἴνῳ σιραίῳ· κράτιστον δὲ ψιμυθίῳ, ἢν ἕλκεα ᾖ, καὶ ἐλαίῳ ναρκισσίνῳ· σιτίοισι δὲ μαλθακωτάτοισι χρῆσθαι καὶ μὴ δριμέσι. Ἢν δὲ [5] ἐρρυπωμένα ᾖ καὶ νέμηται καὶ τὸν πελαστάτω χῶρον διακναίῃ, καθαίρειν, καὶ νέην σάρκα [6] φύειν καὶ ἐς ὠτειλὰς ἄγειν τὴν σάρκα, ῥηιδίως γὰρ [7] ἀναχαλᾷ τε καὶ κακοήθεα γίγνεται· καὶ λούειν συχνῶς.

ξζ'. Ἢν δὲ γυνὴ ἐκ τρωσμοῦ τρῶμα λάβῃ [8] μέγα, ἢ προσθέτοισι δριμέσι ἑλκωθῇ τὰς μήτρας, οἷα πολλὰ γυναῖκες αἰεὶ δρῶσί τε καὶ σφέας ἰητρεύουσι, καὶ τὸ ἔμβρυον φθαρῇ, καὶ μὴ καθαίρηται ἡ γυνὴ, ἀλλά οἱ αἱ μῆτραι φλεγμήνωσι ἰσχυρῶς καὶ μεμύκωσι καὶ τὴν κάθαρσιν παραμεθιέναι [9] μὴ οἷαί τε ἔωσι, εἰ μὴ τὸ πρῶτον [10] ἅμα τῷ ἐμβρύῳ, αὕτη ἢν μὲν ἰητρεύηται ἐν τάχεϊ ὑγιὴς ἔσται, ἄφορος δέ.

neris, excepta bubula et caprina, cum anetho vero et foeniculo percoctis. Vino mellito, fulvo, aquoso, liberaliore lactis potione cum vino dulci. In reliquis, quae ad collutiones spectant iuxta commemoratam rationem facienda. Atque haec igitur huiusmodi fluxionum curatio est. In quibus autem purulenta et compacta defluunt, in his quidem totum corpus nullo modo movere oportet, sed collutionibus uti, et ex his totam curationem instituere. Ex collutionibus autem eaedem, quae antea dictae sunt, nunc perficiendae eodemque modo. Describentur vero etiam a nobis aliae paulo post. — Ulcerum medicatio. Cervinus adeps recens in subdititio appositus. Colluere tamen quam primum sapa oportet. Optimum etiam cerussam affundere si ulcera adsunt et narcissinum oleum. Cibis etiam mollissimis et minime acribus utendum. Quodsi sordida fuerint et serpant, proximumque locum mordeant, purgato, carnemque novam producito, eamque ad cicatricem perducito, facile enim relaxantur et ad malignitatem deveniunt, crebroque lavato.

67. At si mulier ex abortione vulnus magnum accipiat, aut ex acribus subdititiis medicamentis exulceretur uterus, qualia multa mulieres semper faciunt dum sibi medentur, foetusque corruptus fuerit, neque mulier expurgetur, sed uterus ei vehementi inflammatione laboret et conniveat, neque purgationem nisi simul cum foetu dimittere queat, haec si quidem curetur, brevi convalescit, sterilis tamen

[1] τούτοισι γὰρ διέφθοισι ἐν ἀννήθοισι καὶ μαράθροισι. — [2] κιρρῷ om. — [3] περὶ τῶν τοιούτων ἡ θεραπείη· ὅσα δὲ κ. τ. λ. — [4] προσθέτειν al. m. in marg. — [5] ῥερυπωμένα. — [6] φύναι. — [7] ἀναχαλᾶται καί. — [8] μέγα om. — [9] οὐχ. — [10] αἷμα τὸ ἐν τῷ ἐμβ.

errore librariorum nata videntur, itaque haec num. sing. dedi et de meo solitam formam ἀνήσῳ pro ἀνήθῳ reposui; — μέλανι χρῷ pro μελιχρόῳ cod. θ.; — πλέονι cod. θ., Littr., πλείονι vulg.; — κλυσμῶν cod. θ.; — qui ποιέειν om.

αὕτη μὲν — θεραπείη.] οὖν pro vulgato νῦν H.; — περὶ (περί om. θ.) τῶν τοιούτων (τοιῶνδε cod. θ.) vulg., equidem ex toto θ. sequor. Littr. τοιούτων servavit.

ὅσῃσι δὲ — τρόπον.] ὅσα vulgo, ὅσῃσι de meo; — δέ om. C.; — οὖλον σ. C. Littr.; — οὐ δεῖ K. J.; — κλύζειν — ποιέεσθαι omm. Parr. 6.; — κλυσμοῖσι C.

ἑλκέων ἴησις — δριμέσι.] ἑλκέων Ionice C. θ. Littr.; — χρῆσθω θ., qui μή om.

ἢν δὲ — συχνῶς.] δέ om. C.; — ῥερυπωμένα vulg., de meo ἐρρυπωμένα dedi; — νενέμηνται vulg., νενέμηται C. Lind., cum Littréo θ. sequor; — καθαίρειν δέ C.; — νέην C. θ. Littr., νέαν vulg.; — φῦναι vulg., φύειν cod. θ. Littr.; — ἀναχαλᾶται vulg., unde ἀναχαλᾷ τε dedi; — glossas Galeni ἀναχαίνεται et ἀναχαλύσεται ad h. l. refert Foës.; — οὐ γίνεται cod. θ. Littr., οὐ vulgo abest, nec mihi recipiendum videtur: illud ἀναχαλᾷ me iudice spectat ad ulcera, quae brevi tempore cicatricem duxerunt, quae rursus dissolvitur et qua dissoluta ulcus malignius fiat quam ante, itaque οὐ incongruum esse videtur; — συχνῶς omm. C. θ.

67. ἢν δὲ — ἄφορος δέ.] τρῶμα Ionice ex θ. Littr.; — λάβῃ Parr. 5. Littr., λαμβάνῃ vulg.; — μέγα solus θ. praebuit Littréo; — ἑλκώσῃ cod. θ.; — πολλά omm. C. θ.; — καί omm. iidem; — ἰητρεύονται iidem; — ego σφέας de meo dedi; — οὐχ οἷαι vulg., οὐκ οἷαι ed. Bas., μή C. θ.

Ἢν δέ οἱ ῥαγῇ αὐτόματα τὰ λοχεῖα καὶ τὰ ἕλκεα ὑγιασθῇ, καὶ ὧδε ἄφορος ἔσται. Ἢν δέ οἱ ἡ μὲν κάθαρσις γένηται, τὰ δὲ ἕλκεα μὴ μελεδαίνηται, κίνδυνος σηπεδονώδεα γίγνεσθαι. Ἢν δέ οἱ ἡ κάθαρσις ἴῃ τετρυχωμένῃ, θνήσκει. [1] Κῆν ἐν τῷ τόκῳ κάρτα ἑλκωθέωσι αἱ μῆτραι τοῦ ἐμβρύου μὴ κατὰ φύσιν ἰόντος, πείσονται τὰ αὐτὰ τῇ ἐκ διαφθορῆς ἑλκωθείσῃ τὰς μήτρας, καὶ μεταλλαγὰς τὰς αὐτὰς καὶ τελευτὰς ἡ νοῦσος ἴσχει, ἤν τε ἐκ διαφθορῆς, ἤν τε ἐκ τόκου αἱ μῆτραι ἑλκωθῶσι· καὶ [2] εἰ τὰ λοχεῖα πάντα [3] παρήϊσαν, ἧσσον πονήσει, εἰ μὴ μεγάλα τὰ ἕλκεα εἴη, καὶ μελεδαινομένη ἐν τάχεϊ ὑγιαίνει. Χρὴ δὲ [4] τῇ μελέτῃ προσέχειν ἐν τάχεϊ, ἢν ἕλκεα ἐν τῇ μήτρῃ ἐνῇ· ἅτε γὰρ ἐόντα ἐν ἁπαλῷ ταχὺ αὔξεται καὶ σαπρὰ ταχὺ γίγνεται. Ἰῆσθαι δὲ τὰ ἕλκεα, ὡς καὶ τὰ ἐν τῷ ἄλλῳ σώματι [5] καὶ ἀφλέγμαντα χρὴ ποιέειν καὶ ἀνακαθαίρειν καὶ ἀναπιμπλάναι καὶ ἐς ὠτειλὰς ἄγειν· διδόναι δὲ [6] ὕδωρ, οἶνον δὲ μή, σιτία ἀφαυρότερα, πολλὰ δὲ μή.

est. Quodsi ei sponte puerperii purgamenta eruperint, ulceraque curata fuerint, sic quoque sterilis erit. Si vero illi purgatio quidem fiat, ulcera vero minime sedulo curentur, putredinosa ne fiant periculum est. At si ei iam morbo attritae purgatio continenter eat, moritur. Quodsi in partu foetu non secundum naturam prodeunte uterus etiam vehementer exulceratus fuerit, eadem patietur, quae illa, cui ex foetus corruptione uterus exulceratus fuerit. Sique ex foetus corruptione, aut ex partu uterus ulceratus fuerit, easdem commutationes eosdemque exitus morbus habet. Atque si omnia puerperii purgamenta pertransierint, minor labor erit, nisi grandia ulcera fuerint. Quodsi diligenter curetur, brevi convalescit. Ad curationem autem cito animum attendere oportet, si ulcera in utero fuerint; nam cum tenello loco adsint, celeriter increscunt brevique putrescunt. Ulcera vero curato non secus ac ea, quae in reliquo corpore oriuntur, studendo ut inflammatio arceatur, repurgentur, impleantur et ad cicatricem perducantur. Aqua autem non vinum praebendum, cibique pauci, non multi exhibendi.

ξη'. Ὁκόσαι δὲ τρωσμῶν γιγνομένων μὴ ἀπαλλάσσεσθαι δύνανται μεζόνων ὅλων τε καὶ τῶν μελέων τῶν ἐμβρύων ἐόντων, ἢ ἐλασσόνων καὶ πλαγίων καὶ ἀδυνάτων [7] ἐξιέναι, ἢν μὲν κατὰ φύσιν [8] ἴῃ, διδόναι τῶν φαρμάκων [9] τι, ὧν ἐγὼ φράσω, προλούσαντα θερμῷ παμπόλλῳ· κῆν ἐθέλοντα προϊέναι μὴ εὐλύτως

68. Quae vero abortione facta liberari non possunt integris foetibus et foetuum partibus maioribus iusto, aut minoribus, sed transversis et qui exire nequeunt, his, si quidem secundum naturam foetus procedat, remedium aliquod est dandum ex iis, quae dicam, postquam antea multa calida laveris. Quodsi exitu affectato non

[1] ἢν ἐν τόκῳ κάρτα. — [2] εἰ om. — [3] παριεῖσαν. — [4] τὴν μελεδὴν πρ. — [5] καί om. — [6] ὕδωρ εἰς πόσιν. — [7] ἐξιέναι abest et τὰ τοιαῦτα ἢν μέν legitur. — [8] ᾖ. — [9] ἀφ' ὧν.

Littr.; — παραμ. vulgo post ἕωσι legitur, sed cum C. θ. post κάθαρσις collocavi; — εἰ μὴ πρῶτον αἷμα (ἅμα cod. θ.) τὸ ἐν (τὸ ἐν omm. C. θ.) τῷ vulg.; cum Littréo θ. sequor; — γίνεται pro ἔσται C.

ἢν δέ οἱ — γίγνεσθαι.] τά ante λοχεῖα om. C.; — ὑγιανθῇ cett., de meo ὑγιασθῇ dedi. Ceteri omnes σηπεδονώδεα εἶναι; — de meo mutavi.

ἢν δὲ μὴ — θνήσκει.] ἡ ante κάθαρσις ex C. Littréus.

κῆν ἐν τῷ τόκῳ — ὑγιαίνει.] καὶ ἤν cod. θ.; ἤν C. — μέν pro ἐν cod. θ.; — τῷ omm. C. θ.; — ἑλκ. καὶ αἱ vulg.; sed καί omm. C. θ. Cord., Lind., Littr.; — ἐόντος vulg., ἰόντος cod. θ. Littr.; — μεταλλ. τὰς αὐτὰς καὶ τελ. cod. θ.; — καὶ μετ. καὶ τελ. τὰς αὐτάς cett.; — καὶ τὰ λ. sine εἰ Ald., Parr. 7.; — παριεῖσαν Parr. 6., παρίησαν C. H., παρίωσιν cod. θ.; παρίησαν vulg., παρήϊσαν Littr. — πονήσει Parr. 6., Littr., πονήσῃ vulg.; — εἰ μή C. θ. Littr., ἢν μή vulg.; — τά ante ἕλκεα de meo dedi.

χρὴ δὲ — γίνεται.] τὴν μελέδην vulg., τῇ μελέτῃ cod. θ. Littr.; — ἐν ᾗι cod. θ., ἔνι vulg., ἐνῇ Littr.; — ταχύ ante αὔξεται omm. C. θ. Littr.; τὰ σαπρά cod. θ.

ἰῆσθαι — μή.] ἰᾶσθαι cod. θ.; — τῷ ex θ. Littr., vulgo om.; — καί ante ἀφλεγμ. ex eodem Littr.; — ἀφλέγμαντα [γὰρ] χρή Lind.; — ὕδωρ εἰς πόσιν vulg., sed εἰς πόσιν omm. C. θ. Littr., — σιτία — μή omm. Parr. 6.; σιτία τε H.; — παῦρα vulg., ἀφαυρότερα cod. θ. Littr.; — πολλὰ δὲ μή omm. H. L.

68. ὁκόσαι — ἐνεργήσει.] ὁκόσα — δύναται vulgo, de meo ὁκόσαι — δύνανται scripsi; ὅσα τρ. sine δέ cod. θ.; μὴ δύναται ἀπαλλ. idem; — ὅλων τε ἢ τῶν vulg., de meo

ἀπίῃ κατὰ φύσιν ἰόντα, τῇσι τοιαύτῃσι τοῦ πταρμικοῦ προσφέρειν, ἐπιλαμβάνειν δὲ τὸν μυκτῆρα καὶ πτάρνυσθαι καὶ τὸ στόμα πιέζειν, ὅκως ὁ πταρμὸς [1] ὅτι μάλιστα ἐνεργήσει. Χρῆσθαι δὲ καὶ σεισμοῖσι· σείοις δ' ἂν ὧδε· κλίνην λαβεῖν ὑψηλὴν [2] τε καὶ ῥωμαλέην καὶ ὑποστορέσαντα ἀνακλίνειν τὴν γυναῖκα ὑπτίην, [3] τὰ δὲ στήθεα καὶ τὰς μασχάλας καὶ τὰς χεῖρας προσκαταλαμβάνειν ταινίῃ ἢ ἱμάντι πλατέϊ μαλθακῷ πρὸς τὴν κλίνην καὶ ζωννύειν καὶ τὰ σκέλεα ξυγκάμψαι καὶ κατέχειν τοῖν σφυροῖν· ὅταν δὲ εὐτρεπίσῃς, φρυγάνων φάκελον μαλθακῶν ἤ τι τῷδε ἐοικὸς εὐτρεπίζειν ὅσον τὴν κλίνην οὐ περιόψεται ἐπὶ τὴν γῆν ῥιπτομένην, ὥστε ψαῦσαι τοῖσι πρὸς κεφαλὴν ποσὶ τῆς γῆς· καὶ κελεύειν αὐτὴν λαβέσθαι τῇσι χερσὶ [4] τῆς κλίνης καὶ μετέωρον πρὸς κεφαλὴν τὴν κλίνην ἔχειν, ὡς κατάρροπος ἔῃ ἐπὶ πόδας, φυλασσόμενος ὅκως μὴ προπετὴς ἔσται· ὅταν δὲ ταῦτα ἐνεργῆται καὶ μετάρσιος ᾖ ἡ κλίνη, ἐκ τῶν ὄπισθεν ὑποθεῖναι τὰ φρύγανα, κατορθοῦσθαι δὲ ὡς μάλιστα, [5] ὅκως οἱ πόδες μὴ [6] ψαύσουσι τῆς γῆς, ῥιπτομένης τῆς κλίνης, καὶ τῶν φρυγάνων ἔσωθεν ἔσονται, αἴρειν δ' ἐξ ἑκατέρου τοῦ ποδὸς ἄνδρα τῇδε καὶ τῇδε, ὡς κατ' ἰθὺ πεσεῖται ἡ κλίνη ὁμαλῶς, καὶ ἴσως καὶ μὴ σπασμὸς ᾖ· σείειν δὲ ἅμα τῇ [7] ὠδῖνι μάλιστα· καὶ ἢν μὲν ἀπαλλάσσηται, αὐτίκα πεπαῦσθαι, εἰ δὲ μή, διαλαβόντα σείειν καὶ αἰωρέειν ἐπὶ [8] τῆς κλίνης φερομένην. Ταῦτα μὲν οὖν οὕτω [9] ποιέεται, ἢν ὀρθά

facile discedant, cum eant secundum naturam, iis sic habentibus sternutatorium aliquod adhibeto. Naribus autem apprehensis et ore compresso sternutandum, quo quam maxime fieri poterit, efficax sternutatio reddatur. Concussionibus etiam utendum, quas hoc modo parare possis. Lecto alto firmo et substrato mulierem supinam reclinato. Pectus autem et axillas et brachia fascia aut loro lato et molli velut cingulo comprehensa ad lectum alligato et crura recurvata malleolis vinculis iniectis contineto. Quae cum adornaveris, mollium virgultorum aridorum fascem, aut aliquid huius persimile, tam belle disponito ut lectum in terram proiectum non sinat pedibus, qui ad caput sunt, terram attingere. Tum eam manibus lectum apprehendere iubeto et lectum a capite sublimem habere, ut in pedes propendeat, ea cautione adhibita, ut ne mulier praeceps feratur. Haec autem dum ita parata fuerint et lectus in sublime erectus, a posteriore parte virgulta arida ponenda et quam maxime dirigenda, ut dum lectus proiicitur, pedes terram minime attingant, sed intra virgulta arida contineantur. Ab utroque vero pede hinc et illinc vir unus eam attollat, ut lectus recte decidat plano et aequabili momento, ne quid in ea divellatur. Concutiendum autem maxime simulac partionis dolores urgent. Quodsi foetus quidem decesserit, confestim cessandum, alioqui per intervalla concutienda et suspensa in lecto continenda. Haec igitur ad hunc modum facienda,

[1] ὡς ὅτι. — [2] τε καί om. — [3] τὰ δέ γε. — [4] τὴν κλίνην. — [5] ὅκως δὲ οἱ π. — [6] ψαύωσι. — [7] ὀδύνῃ. — [8] τῆς om. — [9] ποιεῖσθαι.

καί pro ἢ scripsi; — ἢ πλαγείων τε καί cod. θ.; — ἐξιέναι de meo dedi, periit eiusmodi quid; — τὰ τοιαῦτα ἦν cett., ego τὰ τοιαῦτα abieci; — εἴη vulg., ἴῃ H. Littr., ᾖ C.; — τι ἀφ' ὧν Parr. 6. L. Q.' Lind.; — ὧν ἂν ἐγώ cod. θ.; — γράψω C. θ.; — προλούσαντα cod. θ., προλούοντα cett.; — καὶ ἢν L. θ. Lind.; — θέλοντι cod. θ.; — ἰόντα idem, ἐόντα cett.; — τὸ στόμα cod. θ. Littr., τό om. vulg., ὡς ὅτι μάλιστα vulg., ὡς omm. C. θ. Littr.; dittographia est in vulgata; — ἐνεργήσῃ vulg., ἔνεργος ᾖ cod. θ., ἐνεργήσει Parr. 3. Littr. Cf. cum hisce Aph. V. 49.

χρῆσθαι — φερομένην.] τε καὶ ῥ. ex θ. dedi, cett. τε καί omm.; — καί ante ὑποστορ. omm. C. θ.; — δ' ἀνακλῖναι cod. θ., δὲ ἀνακλίνειν C.; — τὰ δὲ γε στ. vulg., γε omm. C. θ. Littr.; — προκαταλαμβ. vulg., προσκαταλ. Parr. 5., cod. Serv., Lind., Littr.; — μαλθακῷ om. θ.; — ζώνην pro ζωνύειν Parr. 7., cod. Serv., θ.; — ἐκ τῶν σφυρῶν cod. θ.; — εὐτρεπίσῃ cod. θ.; — φάκελλον Parr. 7., edd. antt., Cord., Lind., — μαλθακόν K.; — γῆν sine τήν D.; — ῥιπτουμένην vulg., per $\overline{εο}$ C. Littr., de meo ῥιπτομένην dedi; — πρὸς κεφαλῇ J.; — τῇσι χ. τὴν κλίνην vulg., τῆς κλίνης J. θ. Littr.; — πρὸς κεφαλῆς cod. θ.; — ὅκως μὴ προπετὴς ἔσται ἡ ἄνθρωπος ceteri; equidem glossam ἡ ἄνθρ. abegi; — ὅκως δὲ (δέ om. θ.) οἱ πόδες μὴ (μή om. θ., Foës. in adn., Lind.) ψαύωσι (ψαύσωσι C., ψαύσῃ cod. θ.) vulg., cum Littréo consentienter textum descripsi; — ῥιπτουμένης vulg., per $\overline{εο}$ cod. θ. Littr.; — ἐξώσονται pro ἔσωθεν ἔσονται cod. θ.; — δ' ἐξ idem δὲ ἐξ ceteri; — ἑκατέρου ποδός cod. θ.; — κατευθύ C.; — ἡ κλ. πεσεῖται C. θ., nisi quod hic ἡ om.; — διαλαμβάνοντα cod. θ.; — τῆς κλ. φερομ. K. Littr., vulgo τῆς om.

ταῦτα — ἀπαλλάσσηται.] οὕτως ποιέεσθαι vulg.; — cum Littréo C. θ. sequor.

τε καὶ κατὰ φύσιν ἀπαλλάσσηται. Χρὴ δὲ κηρωτῇ ὑγρῇ προχρίειν· ἐπὶ πάντων δὲ τῶν ἀμφὶ τὴν ὑστέρην τοιῶνδε παθέων ἄριστον τόδε καὶ μαλάχης ὕδωρ καταιονᾶν καὶ βουκέρας, [1] ἢ πτισάνης πυρίνης μᾶλλον χυλός· χρὴ δὲ ἄχρι βουβῶνος ἕδρην τε καὶ αἰδοῖον πυριᾶν καὶ ἐνίζεσθαι δὲ, ὅταν αἱ ὠδῖνες σφόδρα ὀχλέωσί μάλιστα καὶ μηδὲν ἐν νόῳ ἕτερον ἔχειν. Τὴν δὲ ἰητρεύουσαν τὰ στόματα [2] μαλθακῶς ἐξανοίγειν καὶ ἠρέμα τοῦτο δρᾶν, [3] τὸν ὀμφαλὸν δὲ ξυνεφέλκεσθαι τῷ ἐμβρύῳ.

ubi recte et secundum naturam decedunt. Cerato autem liquido prius inungere oportet. Id autem in omnibus eiusmodi circa uterum affectionibus est optimum, et malvae et foeni graeci decoctum ad perfundendum, aut potius ptisanae triticeae cremor; fovere etiam sedem et pudendum ad inguina usque oportet, et insessus parandi, idque tum vel maxime, cum vehementes parturiendi dolores urgebant, nihilque aliud animo agitandum. Eam vero, quae manus medicas adhibet, oscula emollientibus dilatare oportet idque sensim facere, umbilicum vero una cum foetu extrahere.

ξθ'. Ὅσα δὲ δίπτυχα πτύσσεται καὶ ἐγκέεται ἐν τῷ στόματι τῶν ὑστερέων, ταῦτα ἤν τε ζώοντα ἤν τε τεθνεῶτα ᾖ, προώσαντα ὀπίσω πάλιν στρέφειν, ὅκως κατὰ φύσιν [4] ἴῃ ἐπὶ κεφαλήν. Ὅταν δὲ ἀπωθέειν βούλῃ ἢ στρέφειν, ἀνακλίναντα χρὴ ὑπτίην ὑπὸ τὰ ἰσχία ὑποστορέσαι τι μαλθακόν· καὶ ὑπὸ τοὺς πόδας τῆς κλίνης, ὅκως ὑψηλότεροι ἔσονται οἱ πρὸς ποδῶν πόδες συχνῷ, ὑποτιθέναι χρή τι· καὶ ἀνωτέρω δὲ τὰ ἰσχία τῆς κεφαλῆς ἔστω, προσκεφάλαιον δὲ μηδὲν ὑπέστω τῇ κεφαλῇ· [5] προμηθεόμενος δὲ ταῦτα [6] ὅταν ἀπώσῃς τε τὸ ἔμβρυον καὶ περιδινῆται τῇδε καὶ τῇδε, κατὰ φύσιν καθιστάναι καὶ τὴν κλίνην καὶ τὰ ἰσχία ὑπεξελὼν τὰ ὑπὸ τοὺς πόδας τῆς [7] κλίνης καὶ τὸ ὑπὸ τῶν ἰσχίων· [8] προσκεφάλαιον δὲ ὑποθεῖναι ὑπὸ τὴν κεφαλήν· τὰ τοιαῦτα τούτῳ τῷ τρόπῳ θεραπεύειν. Ὅσα δὲ ζῶντα τῶν ἐμβρύων τὴν χεῖρα ἢ τὸ

69. Qui vero conduplicantur foetus et in uteri osculum incumbunt, eos sive vivos, sive mortuos retropulsos iterum vertere oportet, ut in caput prodeant secundum naturam. Cum autem retro protrudere aut vertere voles, supinae reclinatae molle quiddam coxis substernere oportet, atque etiam lecti pedibus aliquid supponere, quo altiores a pedibus decumbentis esse queant. Verum etiam coxae capite sint altiores; nullum vero capiti cervical subsit. His prospectis cum retro protrusus foetus huc et illuc circumagatur, sublatis iis, quae sub lecti pedibus et quod sub coxis suppositum fuit et lectum et coxas in pristinum statum restituito, capitique pulvinar supponito; istaque ad hunc modum curato. At vero qui brachium, aut crus, aut utrumque vivi foetus emittunt, eos oportet simul ac significationem sui praebuerint, prius commemorato modo intro retrudere,

[1] ἢ om. — [2] μαλθακοῖσι. — [3] τόν abest. — [4] ᾖ ἐπὶ κεφαλῆς. — [5] προμηθεόμενοι in marg. προμηθεόμενα sine δέ. — [6] ὅταν δὲ ἀπώσηται τὸ ἔμβρ. [7] κλίνης καὶ τοὺς λίθους. — [8] πρὸς κεφαλήν.

χρὴ δὲ — ἔχειν.] τῶνδε τῶν ἀμφί cod. θ., qui dein τοιῶν δὲ παθημάτων, — ἄριστον τοῦτο C. θ.; — βουκέρας vulgo, βουκέρως D.; — χυλός vulg., χυλοῦ D., χυλόν cod. Serv., Cord., Lind.; — βουβώνων C. θ.; — τε ex θ. adscivi; — αἰδοίων C.; — πυριᾶν cod. θ., πυριῆν vulg.; — ἐνέζεσθαι C.

τὴν δὲ — ἐμβρύῳ.] μαλθακοῖσιν vulg., μαλθακῶς cod. θ. Littr.; — τόν de meo dedi; — τὸ ἔμβρυον vulgo; emendavit Littr.

69. ὅσα — κεφαλήν.] ταῦτα δὲ, ἤν τε ceteri; de coniectura δεῖ pro δέ scripsi; — τεθνεῶτα εἴη cod. θ., puto ἴῃ voluisse librarium; — paulo post εἴη ἐπὶ κεφ. C. θ.

ὅταν δὲ — θεραπεύειν.] ἀνακλίνειν cod. θ.; — ὑποτ. χρή sine τι C. θ. — Dein προμηθεόμενος ταῦτα vulg., προμηθεύμενοι εἰσι ταῦτα C., προμηθεομένοισι δὲ ταῦτα cod. θ. Littr.; — in sequentibus vero ὅταν δὲ ἀπώσηται vulgo, ὅταν δ' ἀναπώσηται C., ὅταν δ' ἀπώσῃ, cod. θ.; — me iudice δέ sive δ' ante ἀπώσηται delendum est et ἀπώσηται, quod incongruum est, originem traxit ex ἀπώσῃς τε; — in vulgata verum est προμηθεόμενος, sed ex θ. post hoc participium δέ recipio; — tum vero pro vulgato καθίστασθαι καὶ τὴν κλίνην καὶ τὰ ἰσχία, de coniectura scribo καθιστάναι καὶ τὴν κλίνην κ. τ. λ.; — ita locus vitiis liberatus videtur. — Post τοὺς πόδας τῆς κλίνης vulgo καὶ τοὺς λίθους, quod cum θ. omitto, emblema alienum est; — τὰ ὑπὸ τῶν ἰσχ. cod. θ.; — vulgo πρὸς κεφαλὴν δὲ ὑποθ. ὑποκεφάλαιον, sed ego codicis K. lectionem recepi; — τῷ τοιούτῳ τρόπῳ cod. θ.

ὅσα δὲ — ἄγειν.] ἔξω προτίνει (sic) cod. θ., προπίπτει C.; — ἢ ἄμφω cod. θ.; — προσημαίνῃ (προσημήνῃ C. K.) τὴν

σκέλος ἔξω προβάλλεται ἢ καὶ ἄμφω, ταῦτα χρὴ, ὅταν τάχιστα [1] προσημήνῃ, εἴσω ἀπωθέειν τῷ προειρημένῳ τρόπῳ καὶ στρέφειν ἐπὶ [2] κεφαλὴν καὶ ἐς ὁδὸν ἄγειν. Καὶ ὅσα πτύσσεται τῶν ἐμβρύων πεπτηότα ἢ ἐς τὸν κενεῶνα, ἢ ἐς ἰσχίον ἐν τῷ τόκῳ, χρὴ ταῦτα ἀπορθοῦσθαι καὶ στρέφειν καὶ [3] προσκαθίννυσθαι ἐς ὕδωρ θερμὸν, ἄχρις ἂν ἰαίνηται.

ο΄. Ὁκόσα [4] δὲ τεθνεῶτα τῶν ἐμβρύων ἢ τὸ σκέλος ἢ τὴν χεῖρα ἔξω ἔχει, ταῦτα ἄριστον μὲν, ἢν οἷόν τε, [5] ἀπώσαντα ἔσω ἐπὶ κεφαλὴν στρέφειν· ἢν δὲ μὴ οἷόν τε ᾖ, ἀνοιδίσκηται δὲ, τάμνειν τῷδε τῷ τρόπῳ· σχίσαντα τὴν κεφαλὴν μαχαιρίῳ ξυμφλάσαι, ἵνα μὴ θραύσῃ, τῷ πιέστρῳ καὶ τὰ ὀστέα ἕλκειν ὀστεολόγῳ, [6] καὶ τῷ ἑλκυστῆρι, παρὰ τὴν κληῖδα καταθέντα, ὡς ἂν ἔχηται, ἕλκειν, μὴ κατὰ πουλὺ, ἀλλὰ κατ' ὀλίγον, ἐξανιέντα καὶ αὖτις βιώμενον. Ὅταν [7] δὲ ταῦτα μὲν ἔξω εἰρύσῃς, ἐνδὸν δὲ τοῖσι ὤμοισι [8] ἔῃ, τάμνειν τὰς χεῖρας ἄμφω ἐν τοῖσι ἄρθροισι μετὰ τῶν ὤμων· καὶ ὅταν ταῦτα κομίσῃς, ἢν μὲν οἷόν τε ᾖ ἰέναι, καὶ τἄλλα εὐπετέως ἕλκειν· ἢν δὲ μὴ ἐνακούῃ, τὸ στῆθος πᾶν μέχρι τῶν σφαγέων σχίζειν, φυλάσσεσθαι δὲ ὡς μὴ κατὰ τὴν γαστέρα τάμῃς καὶ ψιλώσῃς τι τοῦ ἐμβρύου, ἔξεισι γὰρ ἡ γαστὴρ καὶ τὰ ἔντερα καὶ κόπρος· ἢν δέ τι τούτων ἐκπέσῃ, πραγματοειδέστερον ἤδη γίγνεται· ξυμφλάσαι δὲ τὰ πλευρὰ καὶ τὰς ὠμοπλάτας [9] ξυναγαγεῖν καὶ ῥηϊδίως μετὰ ταῦτα χωρήσει τὸ λοιπὸν ἔμβρυον, ἢν μὴ ἤδη οἰδαλέον ᾖ τὴν κοιλίην· ἢν γὰρ ᾖ τι τοιοῦτον, ἄμεινον τὴν γαστέρα τοῦ

in caput obvertere et in viam adducere. Nec non eos foetus, qui complicati in partu in lateris inanitatem aut in coxam illapsi sunt, dirigere ac convertere oportet, praetereaque in aqua calida sedeat mulier, donec incalescat.

70. Quibus vero mortuis aut crus aut brachium foras prominet, haec quidem optimum fuerit intro, si fieri possit, retrudere et utraque in caput convertere. Sin minus hoc fieri possit, sed intumescant, ad hunc modum secato. Caput gladiolo dissectum instrumento quod confringat, *πίεστρον* dicitur, comminuito et ossicula per ossium volsellam extrahito et unco attractorio ad claviculam, uti firmiter adhaereat, immisso non confestim, sed paulatim remittendo et rursus adurgendo extrahito. Ubi haec foras extraxeris et humeri adhuc intus sint, utraque brachia cum humeris ad ipsos articulos secato. Cumque ea abstuleris, si quidem fieri possit ut exeant, reliqua etiam prompte extrahito. Quodsi nihil cedit, pectus totum ad iugulum usque dissecato, ea tantum cautione ut ne ad ventrem sectione penetres et aliquam in foetu eius partem denudes. Excidit enim ventriculus et intestina atque etiam stercus. Et si quid horum excidit, magis etiam negotium facessit. Costas autem contundito posteaque reliquus foetus facile prodibit, nisi iam circa ventrem intumescat. Si quid enim eiusmodi evenerit, foetus ventrem leviter perforare praestiterit. Flatus enim tantum ex ventre erumpit

[1] προσημήνῃ τὴν ἔξοδον ἀπωθ. — [2] κεφαλῆς. — [3] προσκαθίγνυσθαι. — [4] δέ abest. — [5] ἀπώσασθαι εἴσω καὶ ἄμφω ταῦτα ἐπὶ κεφαλῆς στρ. — [6] ἤ. [7] δὲ τάδε ἔξω εἰρ. ἐν δὲ τοῖσι. — [8] ἐνῇ. — [9] συνάγειν.

ἔξοδον (τὴν ἐξ. omm. C. θ.) vulg.; uti Littréus textum descripsi.

καὶ ὅσα — ἰαίνηται.] πεπτηῶτα Parr. 4. θ.; — ἐν τόκῳ C. K.; — προσκαθίγνυσθαι vulg., προσκαθίννυσθαι H. θ.; — ἄχρι οὗ ἰάνηται cod. θ., ἄν om. C.

70. ὁκόσα — βιώμενον.] δέ om. C.; — τεθνηῶτι idem; — ἀπώσασθαι εἴσω καὶ ἄμφω ταῦτα ἐπί vulg.; — ἀπώσαντα εἴσω ἄμφω ταῦτα ἐπί C.; — ἀπώσαντα ἔσω ἐπί cod. θ. Littr.; — ἢν δὲ μή J. Littr., εἰ δὲ μή vulg.; — θραύσῃ vulg., θράσσῃ cod. θ. Littr.; vulgata veram lect. refert; — ἕλκειν ὥστε ὀλίγῳ vulg., ὀστεουλκῷ Foësii est emendatio a Lind. recepta; cod. θ. Littréo praebuit ὀστεολόγῳ; — καθέντα cod. θ.; — ἀλλ' ὀλίγον J.; — αὖτις cod. θ., per θ. vulgo.

ὅταν δὲ — χωρήσει.] μέν ex θ. dedit Littr.; — ἔξω omm. C. θ.; — ἐν δὲ τοῖσιν ὤμοισιν ἐνῇ vulg., ἐν ᾗ H. I., ἤ C.; ἔῃ cod. θ. Littr.; ego ex ἐν effeci ἐνδόν de meo. κομίσῃ C. θ.; — εὐπετέως Ionice ex θ. Littréus; — μηδὲν (μή cod. θ.) ἀκούσῃ (ἐνακούῃ cod. θ.) vulg.; equidem θ. sequor, Littr. partim, nam ἐνακούσῃ dedit; — σφαγίων H.; — pro ἐμβρύου cod. θ. ὀστέου, Corn. ἐντέρου legisse videtur; — καὶ τὸ ἔντερον cod. θ.; — καὶ [ἡ] κόπρος Lind.; — ἢν

ἐμβρύου τρῆσαι πρηέως, ἔξεισι γὰρ φῦσα μοῦνον [1] ἐκ τῆς γαστρὸς καὶ εὐπετέως οὕτω χωρήσει. Ἢν δὲ ἐκπεπτώκῃ ἡ χεὶρ ἢ τὸ σκέλος τεθνεῶτος τοῦ ἐμβρύου, ἢν μὲν δυνατὸν ᾖ, εἴσω ἀπῶσαι ἄμφω, καὶ εὐτρεπίσαι τὸ ἔμβρυον· — ταῦτα [2] ἄριστα· — ἢν δὲ μὴ οἷόν τε ᾖ τοῦτο ποιῆσαι, ἀποτάμνειν ὅ τι ἂν ἔξω ᾖ, ὡς ἂν δύνηται ἀνωτάτω, καὶ τοὐπίλοιπον ἐσμασάμενον προῶσαι καὶ στρέψαι τὸ ἔμβρυον [3] ἐπὶ κεφαλήν· ὅταν δὲ στρέφειν ἢ κατατάμνειν μέλλῃς τὸ παιδίον τὰς ἰδίας χεῖρας χρὴ ἀπονυχίσασθαι, τὸ δὲ μαχαίριον, ᾧ ἂν [4] κατατάμνῃς, καμπυλώτερον ἔστω ἢ ἰθύτερον, καὶ τοῦτο κατὰ κεφαλὴν ἀμφικαλύπτειν τῷ λιχανῷ δακτύλῳ, [5] ἐσμασάμενον καὶ ὁδηγεῦντα καὶ ὀρρωδέοντα, ὅπως μὴ ψαύσῃς τῆς ὑστέρης.

atque ita facile prodibit. At si mortui foetus brachium aut crus foras exciderit, utraque si fieri quidem possit, intro retrudito et foetum recte constituito, idque mihi videtur optimum. Sin fieri nequeat, quidquid foras prominet, quam penitissime fieri poterit resecato et reliquum manu alte immissa protrudito et foetum in caput vertito. Cum autem puellum invertere aut exscindere voles, ungues e tuis manibus resecato. Gladiolus autem, quo exscindes, incurvus sit potius quam rectus. Cuius caput circumtegito digito indice leniter pertractando eumque praemittendo, veritus ne uterum attingas.

οα'. [6] Μύλης δὲ κυήσιος τόδε αἴτιον· ἐπὴν πολλῶν τῶν ἐπιμηνίων ἰόντων [7] γονὴν ὀλίγην καὶ νοσώδεα ξυλλάβωσι, οὔ τι κύημα ἰθαγενὲς γίγνεται [8] ἥ τε γαστὴρ πλήρης ὥσπερ κυούσης, κινέεται δ' οὐδὲν ἐν τῇ γαστρὶ, οὐδὲ γάλα ἐν τοῖσι τιτθοῖσι ἐγγίγνεται, σφριγᾷ δὲ τοὺς τιτθούς. Αὕτη οὖν δύο ἔτεα, πολλάκις δὲ καὶ τρία οὕτως ἔχει. Καὶ ἢν μὲν μία σὰρξ γένηται, ἡ γυνὴ ἀπόλλυται· [9] οὐ γὰρ οἵη τέ ἐστι περιγενέσθαι· ἢν δὲ πολλαὶ, ῥήγνυται αὐτῇ κατὰ τὸ αἰδοῖον [10] αἷμα πουλὺ καὶ σαρκῶδες· καὶ ἢν [11] μὲν μετριάζῃ, σώζεται· ἢν δὲ μὴ, ὑπὸ ῥόου ἁλοῦσα ἀπόλλυται. Τὸ μὲν νόσημα τοιοῦτόν ἐστι· κρίνεσθαι δὲ χρὴ τῷ πληρώματι καὶ ὅτι οὐ κινέεται ἐν τῇ γαστρί· τὸ μὲν γὰρ ἄρσεν τρίμηνον, τὸ

71. At molae conceptus haec causa est: Ubi copiosi menses exstiterint et paucum et morbosum semen uterus conceperit, minime genuinus conceptus gignitur et venter tanquam utero gerentis impletur. Nihil autem in ventre movetur, neque in mammis lac innascitur, sed turgescunt. Haec igitur biennium, saepe etiam triennium sic affecta est. Et si quidem una caro nascatur, mulier perit. Neque enim superesse potest. Sin vero multae, copiosus ei sanguis et carnosus per pudendum erumpit. Quodsi id moderate fiat, servatur; alioqui profluvio correpta perit. Atque ea quidem est huius morbi conditio. Discernere autem oportet plenitudine, quodque in ventre non movetur. Mas enim tertio mense, foemina vero quarto

[1] ἀπό. — [2] ἄριστον. — [3] ἐπὶ κεφαλῆς. — [4] κατατάμῃς. — [5] ἐσματεύμενου. — [6] Inscriptio: περὶ δὲ μύλης κυήσιος τόδε αἴτιον. — Tum ἐπὴν κ. τ. λ. — [7] γουνήν. — [8] καὶ ἡ γ. — [9] οὐδὲ γάρ. — [10] αἷμα τε π. — [11] μέν om.

γάρ τι cod. C.; — πραγματωδέστερον cod. θ.; — ξυνθλάσαι K.; — δὲ καὶ τὰ πλευρά C.; — ξυνάγειν vulg., συναγαγεῖν cod. θ., ξυναγαγεῖν Littr.; — μετὰ ταῦτα omm. C. θ.; — χωρέει C.; — ἢν δὲ ᾖ τι cod. θ.; — τοῖον C.; — ἀπὸ τῆς γ. vulg., ἐκ τῆς γ. C. θ. Littr.

ἢν δὲ — ὑστέρης.] δὲ μή C.; — εἰ δὲ μή vulg., ἢν δὲ μή C. J. θ. Littr. — Ionismum κατατάμνειν ex C. H. θ. dedit Littr.; — ἰδίας omm. C. θ.; — εὐθύτερον vulg., ἰθύτερον cod. θ. Littr.; — καλύπτειν ἀμφὶ τῷ ληχάνῳ δακτ. cod. θ.; — ἐσματεύμενον vulg., ἐσματευσάμεμον D. H. unde ἐσμασάμενον effeci, ἐσματευόμενον cod. θ. Littr.; — ὁδηγέοντα cod. θ.

71. μύλης δὲ κυήσιος — τιτθούς.] Vulgo περὶ δὲ μ. κ. τόδε αἴτιον; — confusa est inscriptio περὶ μύλης κυήσιος cum iis, quae principium capituli erant; itaque περί omittens δέ transposui; — δέ omm. D. K.; — vulgo ἐπὴν πολλὰ τὰ ἐπιμήνια ἐόντα γονὴν κ. τ. λ.; de meo correxi; — νοσώδεα Ionice ex θ. Littr.; — οὔτε κύημα vulgo, οὔ τι κ. de coniectura; — ἥ τε κ. C. θ., καὶ ἡ κ. vulg.; — δ' C. δέ vulg.; — ἐγγίγνεται om. θ.; — τὸ στῆθος vulg., τοὺς τιτθούς C. θ. Littr.

καὶ ἢν — ἀπόλλυται.] κἢν cod. θ.; — οὐ γάρ cod. θ. Littr., οὐδὲ γάρ vulg.; — τὰ αἰδοῖα cod. θ.; αἷμά τε vulg., τε om. cod. θ.; — κἢν μήν idem, unde Littr. μέν, quod cett. omm.; — εἰ δὲ μή C. θ.; — ἀπώλετο iidem.

τὸ μὲν — ἐγγίγνεται.] τὸ μεν οὖν K.; — τοιοῦτο cod.

δὲ θῆλυ τετράμηνον τὴν κίνησιν ἔχει· ἐπὴν οὖν τοῦ χρόνου παρελθόντος μὴ κινέηται, δηλονότι τοῦτό ἐστι· ἔστι δὲ [1] καὶ τόδε τεκμήριον μέγα· ἐν τοῖσι τιτθοῖσι γάλα οὐκ ἐγγίγνεται. Ταύτην μάλιστα μὲν [2] μὴ ἰῆσθαι· εἰ δὲ μὴ, προειπόντα ἰῆσθαι· καὶ πρῶτα μὲν πυρίησον ὅλον τὸ σῶμα, ἔπειτα κατὰ τὴν ἕδρην κλύσον, ὅκως αἷμα καταρραγῇ πουλύ· [3] καὶ γὰρ ἴσως κλύσας κινήσειας ἂν τὸ ἔμβρυον τὸ δοκέον εἶναι, διαθερμανθείσης τῆς γυναικὸς ὑπὸ τοῦ φαρμάκου· κλύζειν δὲ καὶ κατὰ τὰς μήτρας, ὅκως [4] ἂν αἷμα [5] ἀπαγάγῃς· εἰ δὲ μὴ, προσθέτοισι χρῆσθαι τοῖσι ἀπὸ τῆς βουπρήστιος ἰσχυροτάτοισι καὶ πιπίσκειν τὸ δίκταμνον τὸ Κρητικὸν ἐν οἴνῳ· εἰ δὲ μὴ, [6] τὸν καστόριον ὄρχιν· καὶ ὄπισθεν αὐτῇ σικύην προσβάλλειν πρὸς τοὺς κενεῶνας, καὶ ἀφαιρέειν ὅτι πλεῖστον αἷμα· πρόσβαλλε δὲ καὶ ὅτι μάλιστα τεκμαιρόμενος [7] κατὰ τὰς μήτρας.

οβ'. Καὶ τοσοῦτον μὲν περὶ τῶν νοσημάτων τῶν ἀπὸ λοχείων γιγνομένων εἴρηται· εἰσὶ δ' οἱ κίνδυνοι ἐν αὐτοῖσι οὐ σμικροί· ὀξέα γάρ ἐστι καὶ [8] ταχὺ μεταλλάσσοντα καὶ μᾶλλον πονέονται αἱ πρωτοτόκοι ἢ αἵτινές εἰσι ἔμπειροι τόκων. Χωρέει δὲ τὰ λοχεῖα τῇ ὑγιηρῇ γυναικὶ ἱκανὸν ὅσον Ἀττικὴ κοτύλη [9] καὶ ἡμίσεια τὸ πρῶτον, ἢ ὀλίγῳ πλέονα, ἔπειτα ἐπὶ [10] ἔλασσον κατὰ λόγον τούτου, μέχρις ἂν παύσηται· χωρέει δὲ οἷον αἷμα ἀπὸ ἱερείων, ἢν ὑγιηρὴ, ὡς ἔφην, ἡ γυνὴ ᾖ καὶ μέλλῃ ὑγιαίνειν, καὶ ταχὺ πήγνυται. Καὶ [11] καθαίρεσθαι μετὰ τὸν τόκον

motionem habere consuevit. Ubi igitur elapso tempore non movetur, profecto morbus est. Est autem hoc quoque magnum indicium, quod lac in mammis non gignitur. Hanc non curare praestat; sin facias, praedicens id facito. Ac primum quidem totum corpus foveto, dein per infusum sedem eluito, quo copiosus sanguis erumpat. Fortasse enim si sublueris, foetum, qui inesse videtur, commoveris, muliere ex medicamento percalefacta. Quin etiam per infusum uterum eluito, quo sanguinem educas. Sin minus, subdititiis medicamentis vehementissimis ex bupresti utitor et dictamnum Creticum ex vino propinato, alioqui vero castoris etiam testem. Eique cucurbitulam parte postica ad laterum inanitatem admoveto copiosumque sanguinem detrahito. Admoveto autem quam maxime habita uteri ratione.

72. Atque haec quidem de morbis ex puerperiorum purgamentis obortis dicta sunt; in quibus non parva insunt pericula. Acuti enim sunt et qui cito transmutantur, graviusque laborant quae primum pariunt quam quae iam partionem expertae sunt. Feruntur autem puerperii purgamenta mulieri, quae prospera fruitur valetudine, satis abunde, primum Atticae heminae et dimidiae mensura, aut paulo copiosiora, deinde ad huius rationem pauciora, quoad desinant; feruntur autem velut sanguis e victima si sana est mulier, ut diximus, et sana futura est, citoque concrescit. Ac fit plerumque ut

[1] καί abest. — [2] μή om. — [3] καὶ γὰρ ἂν κινήσαις τὸ ἔ. δοκεῦν εἶναι τὸ ξυνεστηκὸς διαθ. — [4] ἄν etiam V. — [5] ἀγάγῃς. — [6] καὶ τὸν κ. — [7] τὰ κατ' αὐτάς. — [8] ταχέα. — [9] καί om. — [10] ἐλάσσονα. — [11] καθαίρεται καὶ μετά.

θ.; — ἐν τῇ γαστρὶ τὸ βρέφος cod. θ. solus; — καὶ τὸ μέν pro τὸ μὲν γάρ idem; — τουτέστιν idem; — ἔστι δὲ καί, J. θ. Littr., καί om. vulg.; — τοῦτο pro τόδε cod. θ. ταύτην — μήτρας.] μὲν (μή addit C.) ἰῆσθαι (βιῆσθαι Parr. 6.) καὶ πρῶτα vulg.; μὲν μὴ ἰῆσθαι· εἰ δὲ μὴ προειπόντα ἰῆσθαι καὶ πρῶτον cod. θ. Littr.; — τὴν γυναῖκα ὅλον τὸ σ. cod. θ.: — ἴσως ἂν κινήσαις τὸ ἔμβρυον vulg.; — ἴσως κλύσας κινήσιας (i. e. κινήσειας) ἂν τὸ ἔμβρ. cod. θ., quem sequor; — τό ante δοκέον ex θ. Littr., ceterum δοκοῦν vulg., δοκεῦν alii libri, δοκέον cod. θ.; — post εἶναι omnes τὸ ξυνεστηκός, sed id glossa est in τὸ ἔμβρυον τὸ δοκέον εἶναι, ita ut reiiciam; — ὅπως ἂν αἷμα vulg., cum Littréo sequor cod. θ.; — ἀγάγῃς vulg., ἀπαγ. cod. θ. Littr.; — vulgo καὶ τὸν καστ., sed καί om. θ.; — προσβάλλειν δὲ καί K., τεκμαιρόμενος τὸ κατ' αὐτάς vulg., cum Littréo codicis θ. lect. dedi.

72. καὶ τοιοῦτον — τόκων.] καὶ τούτων μέν C. θ.; — γινομένων οὕτως εἴρηται iidem; — δ' οἱ cod. θ., δὲ οἱ vulg.; — πονοῦνται vulg., πονέονται cod. θ. Littr.

χωρέει — πήγνυται.] ἀττικῇ C. θ.; — ἡμισεία Ald., Parr. 7.; — κατ' ὀλίγον τούτου cod. θ.; — μέχρι sine ἄν C. θ.; — αἷμα ἀπὸ κρεῶν cod. θ.

καὶ καθαιρ. — γενομένη.] καὶ καθαίρεται καὶ μετὰ τὸν τόκον, ὡς ἐπὶ τὸ πλεῖον τῇ ὑγιηρῇ ξυμβαίνει vulg. τὴν ὑγιηρήν cod. θ., quod recepit Littr. et locum emendavit; — τεσσερακ. cod. θ., τεσσαρακ. cett., — ἀκίνδυνος cod. θ.,

ὡς ἐπὶ τὸ πλέον [1] τὴν ὑγιηρὴν ξυμβαίνει ἐπὶ μὲν τῇ κούρῃ ἡμέρας τεσσεράκοντα καὶ δύο τὴν χρονιωτάτην κάθαρσιν, ἀκίνδυνος δέ ἐστι καὶ εἴκοσι [2] καὶ πέντε ἡμέρας καθαιρομένη· ἐπὶ δὲ τοῦ κούρου ἡμέρας τριήκοντα ἡ κάθαρσις γίγνεται ἡ χρονιωτέρη, ἀκίνδυνος δέ ἐστι καὶ εἴκοσι ἡμέρας γενομένη. Καὶ τῶν διαφθαρεισέων τὰ ἔμβρυα κατὰ λόγον ἡ κάθαρσις γίγνεται τούτων τῶν ἡμερέων, καὶ ἐπὶ τοῖσι νεωτέροισι φθαρεῖσι ἐλάσσονας ἡμέρας, ἐπὶ δὲ [3] τοῖσι γεραιτέροισι πλέονας. Παθήματα δὲ [4] τὰ αὐτά ἐστι περὶ λοχείων φθαρείσῃ τε τὸ ἔμβρυον καὶ τεκούσῃ, ἢν [5] μὴ νήπιον φθείρῃ τὸ παιδίον· καὶ κινδυνεύουσι [6] δὲ αἱ φθείρουσαι μᾶλλον· αἱ γὰρ φθοραὶ τῶν τόκων χαλεπώτεραί εἰσι· οὐ γάρ ἐστι μὴ οὐ βιαίως φθαρῆναι τὸ ἔμβρυον ἢ φαρμάκῳ ἢ ποτῷ ἢ βρωτῷ ἢ προσθέτοισι ἢ ἄλλῳ τινί· βίη δὲ πονηρόν ἐστι· ἐν γὰρ τῷ τοιούτῳ κίνδυνός ἐστι τὰς μήτρας ἑλκωθῆναι ἢ φλεγμῆναι· τοῦτο δέ ἐστι ἐπικίνδυνον.

ογʹ. [7] Τὸ δὲ γάλα ὅκως γίγνεται, εἴρηταί μοι ἐν τῇ φύσι τοῦ παιδίου τοῦ ἐν τόκῳ· ἐπὴν δὲ κυΐσκηται ἡ γυνή, καταμήνια οὐ μάλα χωρέει, [8] πλὴν ἔστι ᾗσι ὀλίγα· τρέπεται [9] γὰρ ἐς τοὺς μασθοὺς τὸ γλυκύτατον τοῦ ὑγροῦ ἀπό τε τῶν σιτίων καὶ τῶν ποτῶν καὶ [10] ἐκθηλάζεται· καὶ ἀνάγκη ἐστὶ [11] τὸ ἄλλο σῶμα κεκενῶσθαι μᾶλλον καὶ ἧσσον πλῆρες γίγνεσθαι τοῦ αἵματος· τοῦτο οὕτω γίγνεται. Εἰσὶ δὲ αἵτινες φύσι ἀγάλακτοί εἰσι, καὶ σφέας ἐπιλείπει τὸ γάλα πρὸ τοῦ

post partum mulier sana purgetur, si puellam in lucem emiserit, dies quadraginta duos, si diutissime purgetur; periculo tamen etiam vacat si viginti quinque dies purgetur; sin puerum pepererit diuturna maxime purgatio fit dies triginta; vacat tamen periculo si per viginti dies fiat. Et earum, quae foetus corruperunt, pro ratione horum dierum purgatio fit, idque in iis, quae iuniores foetus perdiderunt, pauciores dies, in iis vero, quae grandiores, plures. Eaedem autem sunt puerperii purgamentorum affectiones tum ei, quae foetum corrupit, tum ei, quae peperit, nisi admodum parvum foetum corrumpat; tum vero ex abortione magis periclitantur. Neque enim citra violentiam abortio fit, sive ex medicamento, sive potione, vel cibo, vel subdititiis medicamentis, vel ex re alia quapiam accidat. Vis autem mala est. Hoc enim casu periculum est ne uterus ulceretur, aut inflammationem contrahat, quod est periculi plenissimum.

73. Lac autem quomodo gignatur a nobis dictum est in puelli natura, qui partu editur. Ubi autem praegnans est mulier, ei fere menses prodire non solent, praeterquam nonnullis pauci. Quod enim ex cibo et potione in sanguine est dulcissimum ad mammas vertitur et velut exsugendo trahitur. Reliquumque corpus magis vacuari minusque sanguine redundare necesse est; quod hoc modo fit. Sunt autem quaedam, quae natura lac non habent easque lac ante tempus deficit. Eaeque a na-

[1] τῇ ὑγιηρῇ. — [2] πρὸς ταῖς πέντε ἡμέρας. — [3] τῇσι γεραιτέρῃσι. — [4] ταῦτά ἐστι. — [5] μηνιαῖον φθείρῃ. — [6] δέ om. — [7] inscriptio γάλακτος γεννητικά. — [8] μιν. — [9] δέ. — [10] θηλάζεται. — [11] καὶ τὸ ἄλλο.

Littr., ἀκινδύνως vulg.; — εἴκοσι πρὸς ταῖς πέντε ἡμέραις vulg., cum Littréo C. θ. sequor, nisi quod C. πενθ' fert; — ἐπὶ δ' αὖ τοῦ κ. cod. θ.; — εἴκοσι ἡμέρῃσι idem et γενομ., ubi vulgo γινομ.

καὶ τῶν — πλέονας.] Ionismum διαφθαρεισέων ex C. θ. Littréus dedit; — τῇσι νεωτέρῃσι et τῇσι γεραιτέρῃσι vulg., sed φθαρεῖσι, itaque cum C. θ. Littréus τοῖσι νεωτέροισι et τοῖσι γεραιτέροισι ad τὰ ἔμβρυα referens. Equidem γεραιτέροισι de foetibus usurpari non memini, sed πρεσβύτερα tamen dicuntur Aph. IV. 1. et V. 29.; itaque cum Littréo opinor epitheta illa potius ad foetus quam ad mulieres esse referenda.

παθήματα — ἐπικίνδυνον.] ταῦτα vulg., τὰ αὐτά cod. θ. Littr.; — φθειράσῃ Ald., Parr. 5., θ.; — μηνιαῖον φθ. vulg., μὴ νήπιον φθ. cod. θ. Littr.; — καὶ κινδ. δέ cod. θ., δέ om. vulg.; — μὴ οὐ edd. antt., Parr. 7., θ. Cord., Littr., μή om. vulg.; — ἐν τῷ τοιούτῳ δέ cod. θ., ἐν τοιούτῳ δέ C.; — ἐπικίνδυνόν ἐστι cod. θ.

73. τὸ δὲ γάλα — γίγνεται.] πολλά pro μάλα, in marg. γάλα C.; — εἰ μή pro πλήν cod. θ.; — τρέπεται δέ Parr. 7.; — μαστούς multi Parr. et θ.; — ἀπό τε vulg., τε omm. C. θ. Littr.; — ἐστὶ καὶ τὰ ἄλλα vulg., sed θ. om. καί et ἔσται habet, itaque cum Littréo καί omisi; — σώματος pro αἵματος cod. θ.; — οὕτως vulg., οὕτω cod. θ., Littr.

εἰσὶ δὲ — ἐούσης.] δὲ φύσει vulg., δέ omm. C. θ. Littr.; — στερεαί C. θ.; — καὶ διὰ τοῦτο οὐ vulg., διὰ τοῦτο omm. C. θ. Littr.; — μαστούς cod. θ.; — ἀρκοῦσα vulg., ἀρκεῦσα C., ἀρκέουσα cod. θ. Littr.

καιροῦ· αὗται φύσι στερραί εἰσι καὶ πυκνόσαρκοι καὶ διὰ τοῦτο οὐ διέρχεται [1] ἐπὶ τοὺς μαζοὺς ἀρκέουσα ἰκμὰς ἀπὸ τῆς κοιλίης, πυκνῆς τῆς ὁδοῦ ἐούσης.

tura solidam et densam carnem habent, ideoque cum via densa sit, neque ex ventre ad mammas satis humoris defertur.

οδ'. Ἐπιμήνια κατασπάσαι. — Ἐλατηρίου δύο [2] πόσιες, ξύμμισγε δὲ καὶ στέαρ ὄϊος ἀπὸ τῶν νεφρῶν ὅσον τὸ ἐλατήριον μὴ διαθρύπτεσθαι, ποιέειν δὲ δύο πρόσθετα. — Ἢ μελάνθιον τὸ ἐκ τῶν πυρῶν τρίψας ὕδατι φορύξαι καὶ πρόσθετα δύο [3] ποιέειν. — Προστιθέναι [4] δὲ πρὸ τῶν ἡμερέων, ᾗσι [5] μέλλει, ποιέει δὲ ῥίγεα καὶ πυρετούς.

Μαλθακά, ὑφ' ὧν καθαίρεται [6] ὕδωρ καὶ ἰχὼρ ὕφαιμος· ἄγει καὶ ἐπιμήνια, ἢν μὴ πολυχρόνια ᾖ, καὶ τὸ στόμα μαλθάσσει. — [7] Ναρκίσσινον, σμύρναν, κύμινον, [8] λιβανωτὸν, ἀψίνθιον, κύπερον, ἴσον ἑκάστου, [9] ναρκισσίνου δὲ μοίρας τέσσερας, ἐπικτένιον ὠμοῦ λίνου ξυμμίξας, [10] τρίβειν ὀριγάνου ἡψημένου ξὺν ὕδατι καὶ ποιέειν βάλανον καὶ προστιθέναι. — Ἢ καὶ κυκλαμίνου μέγεθος ὅσον ἀστράγαλον καὶ ἄνθος χαλκοῦ ὅσον κύαμον τρίψας, μέλιτι δεῦσαι καὶ ποιῆσαι βάλανον καὶ προστιθέναι. — Ἢ γλήχωνα, [11] σμύρναν, λιβανωτὸν, ὑὸς χολὴν καὶ βοὸς [12] ξὺν μέλιτι ἀναταράσσειν καὶ ἀναπλάσσειν βάλανον.

Ἢν τὰ ἐπιμήνια μὴ γίγνηται, χηνὸς

74. Remedia ut menses detrahantur. Elaterii quantum ad duas potiones satis sit; admisce oviculae adeps ex renibus tali copia ut ne elaterium imbecille reddatur; duas autem glandes subdititias ex iis parato. Aut melanthium ex tritico terito, aqua subigito et glandes duas subdititias conficito. Haec autem suppone ante dies quibus menses proditori sunt, quibus vero rigores et febres faciunt.

Emollientia, ex quibus aqua et sanies subcruenta purgatur, menses etiam, nisi diutius restiterint, educunt et uteri ostium emolliunt. Narcissini unguenti, myrrhae, cumini, thuris, absinthii, cyperi, singulorum aequales portiones, narcissini vero quadruplum, quibus lini crudi lanuginem pectini insidentem admiscueris, cum origani decocto terito; glandem effingito et supponito. Aut etiam cyclaminum ad astragali magnitudinem et aeris florem ad fabae quantitatem tritum melle excipito, glandem efformato et supponito. Aut pulegium, myrrham, thus, suillum fel et bubulum cum melle agitatum in glandulam effingito.

Si menses non eant, anseris adipem, neto-

[1] τὸ γάλα ἐπὶ τοὺς μ. — [2] πόσιας ξυμμίγεται δὲ καὶ σ. — [3] ποιῆσαι. — [4] δὲ ταῦτα. — [5] μέλλει ἐπέρχεσθαι ποιέει δὲ μὴ ἐξερχόμενα ῥιγ. — [6] ὕδωρ καὶ ἄγει ἐπιμ. — [7] νάρκισσον. — [8] καὶ λιβ. — [9] ναρκίσσου δὲ μόνον μοίρας. — [10] ταῦτα τρίβειν. — [11] ἢ σμ. — [12] ἐν.

74. ἐπιμήνια — πυρετούς.] περὶ τοῦ ἐπιμ. κατασπάσαι H. K.; — κατασπᾶται vulg., κατασπάσαι e Parr. pluribus et cod. θ. Littréus; — πόσιες cod. θ., πόσιας vulg.; — ξυμμίσγεται vulgo, de meo ξύμμισγε dedi; — ποιέειν C. θ., ποιῆσαι vulg.; — προστιθ. δὲ τοῦτο vulg., sed τοῦτο omm. C. θ.; ἡμερέων Ionice iidem et Littr.; — μέλλει ἐπέρχεσθαι vulg., ἐπέρχεσθαι omm. C. θ.; μὴ ἐξερχόμενα, ῥίγεα vulg., μὴ ἐξερχ. omm. iidem.

μαλθακὰ — προστιθέναι.] μαλθακὸν, ὑφ' οὗ D. — vulgo καὶ ψάμμος, sed Foës. coniecit καὶ ὕφαιμον; nempe contulit eandem formulam obviam in extremo libro de nat. mul. et in hoc libro § 84., unde ἰχὼρ ὕφαιμος scripsi; nam ψάμμος vitiosum est. Cod. Serv. ἄμνιον, quod minime admittendum. Idem καὶ ἄγει ἐπιμ. om.; — in quo de meo ἄγει καί scripsi voculas transponens; — τό ante στόμα om. θ.; — νάρκισσον vulg., rursus cum Foësio ναρκίσσινον lego ex iisdem locis, quos citavi; — μυρσινον σμύρναν pro σμ. κυμ. C.; — καὶ λιβ. vulg., καί omm. C. J. Littr.; — ναρκισσίνου C. ναρκίσσου cett.; — μόνον μοίρας τεσσ. vulg., μόνον omm. C. θ. Littr.; — τέσσερας per ε̄ solus θ.; — ὠμόλινον cod. θ.; — ταῦτα τρίβειν vulgo, otiosum ταῦτα reieci: — ἑψημένου vulg., ἡψημ. C. Littr.; — καί ante προστιθ. om. θ.

ἢ καὶ — βάλανον.] καὶ ἢ C., ἢ sine καί D. θ.; — omnes μίσγε ὅσον ἀστράγαλον, sed μίσγε prorsus ineptum est; natum autem e μέγεθος, quod repono e lib. de nat. mul. § 32. sub finem; — ὡς ἀστραγ. cod. θ.; — μέλιτι δὲ δεύειν καὶ ποιεῖν, sive ποιέειν C. θ.; — ἢ σμύρναν vulg., ἢ om. θ.; — χολήν τε καὶ β. vulg., τε omm. C. θ. Littr.; — ἐν μέλιτι vulg., ἐν omm. C. θ., de meo ξύν scripsi; — ἀναπλάσαι cod. θ., ἀνάπλασσε C., ἀναπλάττειν vulg., cum Littréo per σσ scripsi.

ἢν δὲ ἐπιμ. — ἀναλαβοῦσα.] μίσγοντα cod. θ.; — προστίθει τῷ εἰρίῳ vulg., cum Littréo θ. sequor; — ἀναλαμβάνουσα vulg., aor. praebet θ.

ἔλαιον καὶ νέτωπον καὶ ῥητίνην ξυμμίσγουσα [1] προσθέσθω, εἰρίῳ ἀναλαβοῦσα.

pum, resinam, simul permixta et lana excepta mulier in subdititio apponat.

[2] *Πρόσθετον καθαρτήριον μαλθακόν. Ἰσχάδα λαβὼν δίεφθον ποιέειν καὶ ἀποπιέσας τρίβειν ὡς λειοτάτην· εἶτα [3] πρόσθες ἐν εἰρίῳ ξὺν ῥοδίνῳ μύρῳ.*

Medicamentum subdititium purgans et emolliens. Caricas probe percoctas et expressas laevissime terito, deinde in vellere cum unguento rosaceo subdito.

[4] *Δριμύ. Κράμβης, πηγάνου, ἑκατέρου ἥμισυ τρίψας τὸν αὐτὸν τρόπον [5] χρῶ.*

Acre. Brassicae et rutae, utriusque dimidio trito ad eundem modum utaris.

[6] *Μαλθακόν. Χηνὸς μυελὸν ἢ βοὸς, ἢ ἐλάφου ὅσον κύαμον, παραχέοντα μύρον ῥόδινον καὶ γάλα γυναικὸς, [7] τρίβειν· εἶτα ἐναλείφειν τὸ στόμα τῆς μήτρης.*

Emolliens. Anseris aut bovis aut cervi medullae ad fabae magnitudinem, unguentum rosaceum et lac muliebre affundito; terito; dein uteri osculum eo inungito.

[8] *Ἕτερον μαλθακόν. Χηνὸς μυελὸν, ὅσον κάρυον, κηρὸν ὅσον κύαμον, ῥητίνης σχινίνης ἢ [9] τερμινθίνης ὅσον κύαμον, — [10] τήξας ξὺν μύρῳ ῥοδίνῳ ἐπὶ πυρὸς μαλθακοῦ [ποίησον ὡς κηρωτήν· — [11] εἶτα] χλιερῷ ἐναλείφειν τὸ στόμα τῆς μήτρης καὶ τὸν κτένα καταβρέχειν.*

Aliud emolliens. Anseris medulla nucis quantitate, cera fabae magnitudine, resinae lentiscinae et terebinthinae fabae magnitudine, his cum unguento rosaceo lento igne liquatis tepidis os uteri inungito, pubem perfundito.

Ἕτερον καθαρτικόν. Ἄλευρον σητάνιον, σμύρνης τριώβολον, κρόκου τὸ ἴσον, καστορίου ὀβολὸν, — [12] τρίψας ξὺν μύρῳ ἰρίνῳ προστιθέναι. — Ἢ κνίδης καρπὸν καὶ μαλάχης χυλὸν καὶ χηνὸς στέαρ ἅμα ξυμμίξαντα προσθεῖναι.

Aliud purgans. Farinam sitaniam, myrrhae obolos tres, croci tantundem, castorii obolum, — ex unguento irino trita in subdititio apponito. Aut urticae semen et malvae succum cum adipe anserino simul permixta supponito.

[1] προστίθει τῷ εἰρ. ἀναλαμβάνουσα. — [2] ἕτερον πρ. καθαρτικὸν καὶ μαλθακτικόν. — [3] πρόσθεν ἐν εἰρίῳ ἢ καὶ ῥοδ. μ. — [4] τὸ δρ. — [5] χρέο. — [6] πρόσθετον καθαρτήριον μαλθακτικόν. — [7] τρίβειν ὡς φάρμακον τρίβεται. — [8] καθαρτικόν solum pro inscr. — [9] τερεβινθ. — [10] ταῦτα τήξας. — [11] εἶτα τούτῳ χλ. — [12] ταῦτα τρ. μύρῳ ἰρ. προστιθέσθω.

πρόστεθον — μύρῳ.] ἕτερον προσθ. Parr. 6. cod. Serv.; — καθαρτικόν vulg., καθαρτήριον cod. θ.; — καὶ μαλθακτικόν cod. Serv.; — ἰσχάδα — καθαρτικόν in inscriptione paulo post obvia om. cod. Serv.; — ὑποπιέσας vulgo, ἀποπιέσας repono e lib. de nat. mul.; — λειότατον vulg., λειοτάτην cod. θ.; — ἢ καὶ ῥ. μ. cod. Serv., nempe Cordaeus ita haec ad seq. formulam referre voluit; Littr. vero conferens eandem formulam p. 426. suae editionis libri de nat. mul. τὸ δριμύ titulum sequentis formulae fecit; consentio. — De meo ξὺν ῥοδίνῳ pro καὶ ῥοδίνῳ dedi.

δριμύ — χρῶ.] Vulgatum τὸ δριμύ mira inscriptio est, quasi praeter hoc non essent alia δριμέα. Melius omnino in libro de nat. mul. ἕτερον δριμύτερον; itaque articulum abieci. Talia librariis debemus sine dubio. Cod. θ. χρῶ; — vulgo χρέο.

μαλθακτικὸν — μήτρης.] Vulgo καθαρτικόν, sed non est καθαρτικόν remedium; neque πρόσθετον est, uti appellatur in vulgata lectione libri de nat. mul.; itaque καθαρτικόν in μαλθακόν mutavi, sed vide seqq. in mss. inscriptiones: ἕτερον προσθ. μαλθ. J.; — προσθ. καθ. μαλθ. Parr. 4. et cod. Serv., nisi quod hic μαλθακτικόν fert; πρόσθετον μαλθακὸν καθαρτικόν cod. θ.; — ἢ βοός om. Ald.; — μύρου ῥοδίνου Parr. 6. Cod. Serv. θ.; — vulgo τρίβειν, ὡς φάρμακον τρίβεται, sed ὡς φαρμ. τριβ. om. K. — Iam vero eadem formula legitur lib. de nat. mull. § 109. (p. 426. Littréo), ubi: τρίβειν ὥσπερ τὸ μαλθακὸν φάρμακον τρίβεται, unde patet h. l. consarcinatorem libri de nat. mul. legisse ὡς φάρμακον μαλθακὸν τρίβεται, quod tamen additamentum ita est otiosum et putidum, ut recentem interpolationem esse credam, nec recipiam; — ἐν τούτῳ ἀλείφειν vulg., Littréus cum C. θ. ἐν om., ego totum ἐν τούτῳ reiicio.

ἕτερον — καταβρέχειν.] Vulgo ἕτερον πρόσθετον μαλθακόν, sed non describitur πρόσθετον. Itaque solum ἕτερον μαλθακόν dedi; — προσθετὸν καθαρτικὸν μαλθακόν Q.'; — καθαρτικόν solum Parr. 4., cod. Serv., θ.; — ἄλλο solum D. J.; — ἕτερον καθαρτικόν K.; — κήρου cod. θ.; — ὅσον κάρυον idem; — τερεβινθίνης cett., τερμινθίνης nunc scribo et deinceps scripturus sum; — ταῦτα τηξ. vulg., ego ταῦτα repudio; — τῆξαι cod. θ.; — μύρῳ sine vulgato σύν idem, ἐν μύρῳ C. Littr.; — καὶ ποιῆσαι C. θ.; — τούτῳ χλ. vulgo, rursus pronomen librariis reddo; — χλιερῷ Ionice ex θ. Littr.; — βρέχειν C. J.

ἕτερον — προσθεῖναι.] προσθ. καθαρτ. C.; ἄλλο solum J.; ἕτερον ἢν τὰ γυναικεῖα μὴ φαίνηται K.; — ταῦτα τρίψας ceteri, abegi pronomen; — contra ξύν de meo adposui; — προσθέσθω cod. θ., προστιθέσθω vulg.; — de meo προστιθέναι dedi, quodsi πρόσθες, ut aliis locis, malis, non adversor; — μολόχης cod. θ.; ἐν χηνὸς στέατι τρίψαντα C. θ. pro καὶ χ. — συμμίξαντα.

Πρόσθετον ἄλλο καθαρτικὸν, ἢν τὰ γυναικεῖα μὴ φαίνηται. Στύρακα καὶ ὀρίγανον τρίψας λεῖον καὶ ξυμμίξας, ἐπίχεε χηνὸς ἔλαιον καὶ προστίθει.

Aliud subdititium purgans, si menses non appareant. Ad styracem et origanum tenuiter trita et permixta anseris adipem affundito et supponito.

Ἕτερον καθαρτικὸν πρόσθετον, ὥστε μήτρας ἐκκαθαίρειν καὶ αἷμα ἐκκενοῦν. Ἀψινθίου ῥίζαν τρίψας λείην, μέλιτι καὶ ἐλαίῳ [1] χηνὸς μίξας προστίθει.

Aliud subdititium purgans, quod tum uterum purgat, tum sanguinem vacuat. Absinthii radicem tenuiter tritam cum melle et anserino adipe mixtam in pesso apponito.

Ἕτερον πρόσθετον καθαρτικόν. Βουπρήστιος ἀφελεῖν κεφαλὴν καὶ πόδας καὶ πτερά· τὰ δ᾽ ἄλλα [2] τρίβειν καὶ ξυμμίσγειν τοῦ σύκου τὸ ἔνδον· διπλάσιον δὲ [3] τὸ πῖον ἔστω. [4] Φυσᾷ τὰς ὑστέρας καὶ τῆσι [5] ἀπαυδώσῃσι ἄριστον. — Ἢ λινοζώστιος τὰ φύλλα λεῖα πρόσθετα ποιέειν· — [6] λεπτὴν ἄγει καὶ χολώδεα κάθαρσιν. — Καὶ ἡ ἀρτεμισίη ποιέει ὡς ἡ λινόζωστις καὶ καθαίρει ἄμεινον. — Ἐλλέβορος μέλας λεῖος ἐν ὕδατι [7] ἄγει οἷον ἀπὸ κρεῶν ὕδωρ. — Καὶ [8] ἡ στυπτηρίη δὲ καὶ ἡ ῥητίνη τωὐτὸ δρᾷ. — Κύπερος, ἀψίνθιον, ἀριστολοχία, κύμινον, ἅλες, μέλι, [9] ταῦτα πάντα ἐν τωὐτῷ τρίβειν καὶ προστιθέναι. — Καὶ ἐλλέβορον ἐν οἴνῳ γλυκέϊ, [10] αἰρῶν ἄλευρον καὶ πύρινον μέλιτι φυρήσας, ἐν εἰρίῳ [11] προστιθέναι.

Aliud subdititium purgans. Detractis a bupresti capite, pedibus et alis, quod est reliquum terito et ficus interiorem partem admisceto. Sit autem duplum quod in ficu pingue est. Uterum inflat et viribus defectis est optimum. — Aut mercurialis folia ad laevorem trita in pesso supponito. Hoc tenuem et biliosam purgationem educit. — Idem etiam artemisia quod mercurialis praestat et efficacius purgat. — Veratrum nigrum ex aqua tenuiter tritum aquam velut a carnibus educit. — Et vero alumen et resina hoc idem efficit. — Cyperus, absinthium, aristolochia, cuminum, sal, mel, — haec omnia simul trita in pesso subdito. — Veratrum etiam ex vino dulci cum farina lolii et tritici melle subactum in vellere subiicito.

[12] Πρόσθετα, ἢν μὴ τὰ κατάποτα καθαίρῃ· λινόζωστιν, σμύρναν, λευκόϊον, κρόμμυον ὡς δριμύτατον καὶ μελάνθιον καὶ τὸ ἡδύοσμον, ἢν ὑποφέρῃ, ξυμμίξας προστίθει.

Medicamenta subdititia, ubi quae devorantur minime purgarint. Mercurialem, myrrham, violam albam, cepam acerrimam, melanthium et mentham, si ferre possit, simul mixta in pesso apponito.

[1] χηνός om. — [2] αὐτοῦ τρίβειν. — [3] τοῦ σύκου τὸ πῖον. — [4] τούτω φύσαι τ. ὑ. τούτω καί. — [5] ἀπαυδώσαις. — [6] τουτω λ. ἄ. χ. κ. sine καί. — [7] ἄγει καὶ οὗτος. — [8] ἡ om. — [9] καὶ ταῦτα ἐν τῷ αὐτῷ τρ. — [10] μετὰ ἀλέβρου αἰρῶν. — [11] προστιθέσθω. — [12] προσθετόν.

πρόσθετον ἄλλο καθ. — προστίθει.] ἕτ. πρ. καθ. K., ἕτ. καθ. πρ. J.; — ἄλλο omm. C. θ.; — ἢν — φαίνηται om. K.; — φαίνηται C. θ., φαίνωνται vulg.; — ἐπίχεαι vulg., ἐπίχεον C. θ., ἐπίχεε Parr. 6. Littr.; — καὶ ὧδε προστίθεσθαι C. θ.

ἕτερον — προστίθει.] ἄλλο pro ἕτ. καθ. πρ. D., ἕτερον omm. C. θ.; — μέλιτι μίξας ἐν ἐλαίῳ πρόσθες pro καί — προστίθει cod. θ., et C. pro iisdem: καὶ ξυμμίξας ἐπίχεον χηνὸς ἔλαιον ἐν μέλιτι καὶ πρόσθες; — χηνός omm. Parr. 5.

ἕτερον — ὕδωρ.] ἕτ. omm. C. θ., ἄλλο solum alius, ἄλλο καθ. alius, καθαρτήριον C.; — καὶ τὰ πτερά cod. θ.; — ἀλλὰ αὐτοῦ τρίβειν vulg., αὐτοῦ omm. C. θ. Littr.; τοῦ σικύου C.; — ἔνδοθεν C. θ.; — διπλάσιον δὲ τοῦ σύκου τὸ π. vulg., sed τοῦ σύκου omm. C. θ. Littr.; — vulgo τοῦτο φυσᾷ et τοῦτο καὶ τῇσι et τοῦτο λεπτήν; ego singulis locis τοῦτο eieci; — sed fateor me non intelligere quid illud φυσᾷ τὰς ὑστέρας sibi velit; fortasse ἀναφυσᾷ τὰς ὑστέρας auctor scripserit; φύσαι Parr. 5.; — ταῖς (τῇσι C. θ. Littr.) ἀπαυδήσαις (ἀπαυδησάσαις coniicit Foës. ἀπαυδώσῃσι praebuit θ. Littréo). — In seq. formula φύλλα δέ sine τά C.; — καὶ χολωδ. C. Littr., χολ. sine καί vulg.; — ἀρτεμισίη sine καὶ ἡ C. θ.; — καί ante καθαίρει om. C.; — κρεῖττον vulg., ἄμεινον C. θ. Littr.; — λεῖος ἐν ὕδ. C. θ. ἐν ὑ. λ. vulg.; — ἄγει καὶ οὗτος vulg., sed cum C. θ. καὶ οὗτος omisi.

καὶ ἡ στυπτ. — προστιθέναι.] καὶ στ. H.; τωὐτό ex θ. Littr. τὸ αὐτό vulg.; μέλιτι C.; — καὶ ταῦτα Parr. 6., πάντα omm. Parr. 4., τωὐτῷ C. Littr., τῷ αὐτῷ vulg.; — γλ. μετὰ ἀλεύρου αἰρῶν καὶ πυρίνων μελ. φυρηθεὶς ἐν εἰρίῳ προστιθέσθω vulg., cum Littréo codd. C. θ. sequor et simul ἐλλέβορον pro nominativo principio periodi dedi.

προσθ. ἢν — προστίθει.] κατὰ πρῶτα pro κατάποτα Cord., τὰ πρῶτα Lind., non constat vitiosum esse κατάποτα. — Porro: καὶ σμ. C., σμύρνα cod. θ.; ἢ κρ. cod. θ.; — καί ante τὸ ἡδύοσμον omm. C. θ.; — ἢν ὑποφέρῃ αἷμα iidem sine ξυμμ. σμ.

[1] Πρόσθετα δριμέα ἄγοντα αἷμα. Κανθαρίδας πέντε, πλὴν τῶν ποδῶν καὶ πτερῶν καὶ κεφαλῆς καὶ σμύρναν καὶ λιβανωτὸν ἅμα ξυμμίσγειν καὶ [2] μέλι, ἔπειτα βάψασα ἐς ἄλειφα ῥόδινον ἢ Αἰγύπτιον προσθέσθω τὴν ἡμέρην, καὶ ἐπὴν δάκνῃ [3] ἀφαιρεέσθω· καὶ βάπτειν πάλιν ἐς γάλα γυναικὸς καὶ μύρον Αἰγύπτιον, — [4] προστίθεσθαι δὲ ἐς νύκτα καὶ διανίζεσθαι ὕδατι εὐώδεϊ, [5] προστίθεσθαι δὲ στέαρ. .... — Ἁρμόζοι δ' ἂν [6] καὶ βούπρηστις, ἢν μὲν σμικρὴ ᾖ, ἄνευ πτερῶν καὶ ποδῶν καὶ κεφαλῆς· ἢν δὲ μεγάλη, τὸ ἥμισυ, μίσγειν δὲ τὰ αὐτὰ ἃ καὶ τῇσι κανθαρίσι καὶ προστιθέναι ὁμοίως. — Ἢν δὲ μαλθακωτέρου δέηται, τῇ βουπρήστι μῖξαι οἶνον καὶ κύμινον Αἰθιοπικὸν, ἀσταφίδα τε καὶ πάλην σεσέλιος καὶ ἀνήσου καὶ ἀναζέσαι τὸν οἶνον· ἀποχέας δὲ τρῖψαι λεῖον καὶ πλάσαι φθοΐσκους ὅσον δραχμιαίους· — τούτων προστιθέναι σμύρναν καὶ λιβανωτὸν μίσγοντα, ποιέειν δὲ τὸν αὐτὸν τρόπον, ὅνπερ ἐπὶ τῇσι κανθαρίσι. — Ἢ τὸ μελάνθιον τὸ ἐκ τῶν πυρῶν τρίβοντα λεῖον [7] ξὺν. μέλιτι, ποιέειν οἷον βάλανον· πτερῷ δὲ περίπλασσε.

Πρόσθετον ἐνεργόν. Ὀπὸν μανδραγόρου καὶ κολοκύνθης ἀγρίης ξὺν γάλακτι γυναικείῳ πρόσθες. — Ἢ τρύγα ξηρὴν ἐξ οἴνου παλαιοῦ λευκοῦ καίειν καὶ οἴνῳ σβέσαι. — Καὶ [8] κολοκύνθη ἀγρίη, λινόζωστις, νίτρον καὶ ἐρύσιμον θᾶσσον κατασπᾷ. — Καὶ μανδραγόρου ῥίζα, κανθαρὶς, ἕρπυλλος, δάφνης

Subdititia medicamenta acria sanguinem ducentia. Cantharidas quinque exceptis pedibus et alis et capite et myrrham et thus simul commisceto melle addito. Deinde oleo rosaceo aut Aegyptio intinctum per diem supponat et ubi morsum senserit detrahendum rursusque in lac muliebre et unguentum Aegyptium immergendum. Hoc autem per noctem supponendum et aqua odorata perluendum et adeps .... supponendus. — Conveniet et buprestis, si parva fuerit, detractis alis, pedibus et capite; sin magna sit, dimidia, admiscenda vero eadem quae cantharidibus et similiter in pesso admovenda. — Quodsi leniore opus fuerit, ad buprestin vinum admisceto et cuminum Aethiopicum, tum uvam passam, tum anethi et seseleos pollinem ex vino fervefacto effusoque tenuiter tritum in pastillos drachmae unius pondere effingito et his myrrha et thure admixtis, subdititia medicamenta supponito. Eodem autem modo, quo cum cantharidibus, faciendum. — Aut melanthium ex tritico tenuiter tritum cum melle in glandem effingito, circum pennam vero obducito.

Medicamentum subdititium efficax. Mandragorae et cucurbitae agrestis succum cum lacte muliebri in pesso subiicito. — Aut vini albi veteris faecem siccam ustam et vino restinctam. — Cucurbita etiam agrestis, mercurialis, nitrum et erysimum citius detrahit. — Et mandragorae radix, cantharis, serpyllum,

[1] προσθετὸν — ἄγον. — [2] μέλι μετ' αὐτῶν. — [3] ἀφαιρέεσθαι καὶ βαπτίζειν ἐς γ. γ. — [4] προστιθέσθω δὲ τοῦτο. — [5] προστιθέναι. — [6] καί om. — [7] ξύν om. et tum μέλιτι φυρῶντα προστιθέναι ἢ αὐτὸ τοῦτο τὸ μελάνθιον τρίβοντα μετὰ τοῦ μέλιτος ποιέειν οἷον β. — [8] κολοκύντης ἀγρίης λινοζῶστιν.

πρόσθετα — στέαρ.] προσθετὸν δριμὺ ἄγον αἷμα K.; — ἄγειν C.; — ἄγει sine αἷμα cod. θ.; — ῥεῦμα et ῥεύματα alii pauci pro αἷμα; — ποδῶν καὶ τῶν κεφαλῶν καὶ σμ. κ. λ. ἅ. συμμ. vulg., ποδῶν καὶ πτερῶν καὶ κεφαλῆς ξυμμίσγειν (συμμίσγειν δέ cod. θ.), σμύρναν (σμύρνα cod. θ.) καὶ λιβ. C. θ.; — textum sicuti Littréus descripsi; — μέλι μετ' αὐτῶν vulg., μετ' αὐτ. omm. C. θ. Littr.; — βάψας vulgo, βάψασα de meo; ἀφαιρέεσθαι vulgo, ἀφαιρεέσθω de meo; — βαπτίζειν vulg., βάπτειν C. θ. Littr.; — πάλιν omm. Parr. 5. θ.; — προστιθέσθω D.; — δέ om. θ., δὲ τοῦτο om. C.; — ego τοῦτο reieci solum; — ἐν ὕδατι vulg., sed ἐν cum Ald., Parr. 4., θ. om. Littr.; — καὶ προστιθέναι στέαρ cod. θ.; — vulgo προστιθέναι δὲ στέαρ; de meo medium dedi et lacunam notavi, nam significatum fuerit, quodnam στέαρ voluerit.

ἁρμόζοι — περίπλασσε.] ἁρμόζει omnes, optat. de meo; δ' ἂν καὶ βουπρήστιος cod. θ., unde καί dedi; — μέν om. θ.; — ἥμισυ ceteri, de meo τό praemisi; — μεγάλη ᾖ μὴ συμμίσγειν ταῦτα ἃ καὶ τῇσι κανθ., ἀλλὰ μόνον τιθέναι καὶ προστιθέναι vulg., cum Littréo C. θ. sequor; — συμμίξαι J. pro μῖξαι; — τε omm. C. θ.; — πλάσας K. Q.'; — μελάνθιον τὸ ἐκ τῶν πυρῶν τρίβοντα λεῖον μέλιτι φυρῶντα προστιθέναι. Ἢ αὐτὸ τοῦτο (πρός interponit J.) τὸ μελάνθιον τρίβοντα μετὰ τοῦ μέλιτος ποιέειν οἷον βαλάνιον vulg.; — μελάνθιον τὸ ἐκ τῶν πυρῶν τρίβοντα λίον μέλιτι φυρῶντα προστιθέναι τὸ μελάνθιον τὸ ἐκ τῶν πυρῶν τρίβειν σὺν μέλιτι οἷον βάλανον cod. θ.; — μελάνθιον τὸ ἐκ τῶν πυρῶν τρίβοντα ξὺν μέλιτι καὶ ποιοῦντα οἷον βαλάνων C., quem cum Littréo maximam partem sequor.

πρόσθετον ἐνεργὸν — προστιθέναι.] κολοκυνθίδος cod. θ.; — ἤ ante τρύγα omm. Ald., Parr. 8. θ.; — λευκοῦ om. J.; — καί ante οἴνῳ omm. Parr. 6.; — κολοκύντη ἀγρίη J. θ.

καρπὸς, μύρον ἴρινον, δάφνινον. — Τιθυμάλλου τὸν ὀπὸν μίσγειν καὶ ἀνακινέειν καὶ τὸν ἰξὸν ἀφαιρέειν· [1] διδόναι δὲ ὅσον ὄροβον καὶ πρόσθετον ποιῆσαι ἄριστον· — εἰ δὲ πλέον ἴοι, οἴνῳ [2] προσκλυζέσθω. — Ἢ ὀπτοῦ χαλκοῦ ἐκδιεὶς, χλιερὸν [3] ἀναλαβεῖν εἰρίῳ καὶ προστιθέναι.

οε'. Κυητήριον. Κεδρίης ἐμβάφιον, στέατος βοείου δραχμὰς τέσσερας, — λεῖα τρίψας καὶ ἐς τωὐτὸ [4] μίξας, πεσσοὺς ποιέων προστίθει νῆστι καὶ [5] προσκειμένων ἐκνηστευέτω τὴν ἡμέρην· προστιθέσθω δὲ δὶς, πρωῒ καὶ δείλης, μετὰ τὰ καταμήνια· καὶ μετὰ τὸ δεῖπνον λούσθω καὶ κοιμάσθω ξὺν τῷ ἀνδρί. — Ἢ μελάνθιον φλάσαι καὶ ἐς ῥάκος ἐνδῆσαι καὶ χηνὸς ἔλαιον ἐμβαλεῖν καὶ δοῦναι προσθέσθαι.

[6] Γυναῖκα θεραπεῦσαι, ὥστε ξυλλαβεῖν ἐν γαστρί. — Οὖρον λαβὼν παλαιὸν καὶ σιδήρου σκωρίην, [7] ὅσην διπάλαιστα θρύμματα, ἔπειτα καθίσας τὴν γυναῖκα ἐπὶ δίφρου [8] καὶ ξυγκαλύψας καὶ τὸ σῶμα καὶ τὴν κεφαλὴν, [9] ὑποθεὶς ποδανιπτῆρα ἐμβάλλειν κατὰ τρία διάπυρα [10] τὰ θρύμματα· ἔστω δὲ [11] τὸ οὖρον

lauri baccae, unguentum irinum, laurinum. — Tithymali succum permisceto et agitato et visco detracto ad orobi magnitudinem exhibeto; — optimum etiam ut subdititium medicamentum conficias; — quodsi copiosius profluat, vino per se proluat. — Aut aeris usti aliquantum dilutum, tepidum lana exceptum in pesso subdito.

75. Conceptum iuvans. Cedriae acetabulum, adipis bubuli drachmas quatuor, tere tenuiter et una misce, pessos conficito, ieiunae subdito et dum appositus sit ieiuna toto die permaneat. Bis autem supponantur, mane et vesperi, post mensium cursum, et post coenam lavet et cum viro dormiat. — Aut melanthium contusum in linteo ligatum, anserino adipe iniecto supponendum dato.

Curandi methodus ut mulier concipiat. — Sume urinam veterem et ferri scoriam, quantam frusta duarum palmarum; postea muliere in sella collocata, toto corpore et capite obtecta et pelvi supposita iniice tria singulis vicibus frusta candentia. Sit autem urinae congii mensura. Omnibus autem numero fere triginta

[1] καὶ διδόναι ὅσον. — [2] προκλυζ. — [3] ἀναλαμβάνειν. — [4] μίξας om. — [5] προσκειμένη. — [6] ἕτερον κυητήριον γυναῖκα κ. τ. λ. — [7] ὅσην διπλᾶ ἐς τὰ θρύμματα. — [8] συγκαλύψασαν sine καί antecedente. — [9] ὑποθεῖσα ἐς πόδα νιπτῆρα. — [10] τὰ τῆς σκωρίης θρυμμ. — [11] τὸ παλαιὸν ὃ.

Littr., vulgo accusativo; — λινόζωστις K. θ. Littr., λινοζῶστιν vulg.; — λίτρον cod. θ.; — ἕρπυλλος C. θ.; — δάφνιόν τι C.; — τιθυμάλλου Parr. 3. θ.; — μίσγειν omm. C. θ.; — ἀνακινέειν Ionice ex iisdem Littr.; — καί ante τὸν ἰξόν om. θ.; — καὶ διδόναι vulg., διδόναι δέ C. θ.; — καί ante προσθ. om. θ.; — πονῆσαι ἄρ. vulg., πον. omm. C. θ., ποιῆσαι Ald. Parr. 4. Cord., Lind., Littr.; — χάλκους ἐξ διεὶς χλιερὸν ἀναλαβεῖν cod. θ., unde χλιερόν pro vulg. χλιηρόν Littr., ἀναλαβεῖν pro vulg. ἀναλαμβάνειν nos dedimus.

75. κυητήριον — προσθέσθαι.] κυητήρια cod. θ.; — δραχμὰς τέσσερας idem, unde hoc recepi pro vulgato τέσσαρας; — ἐς τὸ ωὐτὸ τρίψας vulg., sed τωὐτό Parr. 7. Littr.; — μίξας cod. θ. Littr. pro τρίψας; — προστιθέναι D.; — προσκειμένη vulgo, de meo προσκειμένων dedi, nempe τῶν πεσσῶν subintelligendum; — articulum ante ἀνδρί omm. C. θ.; — προστίθει cod. θ.

γυναῖκα — δαφνίνῳ.] Vulgo ἕτερον κυητήριον; — ἄλλο κ. J.; — ἕτερον omm. C. θ.; — κυητ. omm. D. I., equidem ex inscriptione eiicio illud ἕτερον κυητήριον; non remedium unum, sed curandi via describitur, cui rei respondet titulus, quem reliqui; — ἔχειν ἐν γ. C. θ.; — ὅσην διπλᾶ (διπλά H. I., διπάλας cod. θ.) ἐς (ἐς om. C.) τὰ θρ. vulg. Littréus commemoratis Foësii, Cornarii, Cordaei loci corrupti interpretationibus, pergit: „Les morceaux de scorie sont au nombre de trente; on fait trois fumigations en trois fois, par conséquent avec dix morceaux à chaque fois. Il ne reste donc à indiquer que le poids ou la forme des fragmens. La forme serait indiquée, si on lisait ὅσην δὴ πάλλας τὰ θρύμματα; — mais j'aime mieux trouver la quantité et je lis ὅσην δὴ παλαστὴν τὰ θρ. — Παλαστή pour παλαιστή est dans les variantes p. 201. note 10." — A vero non procul abfuit, sed tamen rem acu non tetigit, in vulgata ΔΙΠΛΑΕCΤΑ solita est confusio literarum λ et α et vocalis ε cum diphthongo αι; nam latet ΔΙΠΑΛΑΙCΤΑ; quo semel reperto omnis de loco controversia praecisa est. Porro καθίσασα C. θ.; — τὴν γυν. omm. iidem; — καί ante ξυγκ. ex C. θ. supplevit Littr.; — συγκαλύψασαν vulg., συγκαλύψασα cod. θ., ξυγκαλύψασα C.; — cum Littréo masculino genere descripsi; — ὑποθεῖσα ἐς πόδας (πόδα Parr. 3., πόδαν cod. θ.) νιπτῆρα vulg., unde Littréus composuit quod cum eo exhibeo; — ἐμβάλλειν C., ἐμβαλεῖν vulg., τὰ τῆς σκωρίης θρυμμ. vulg., τῆς σκ. omm. C. θ. Littr.; — τὸ παλαιὸν τοῦτο οὖρον vulg., sed τὸ π. τοῦτο omm. C. θ. Littr.; — καὶ ἐν τούτοις πυριᾶν αὐτὴν ὅσον τριήκ. πυρίας vulg., sed τοῖς δὲ ξύμπασι καὶ πυριηνοισον τρ. π. C.; — τοῖσι δὲ σύμπασι πυριᾶν ὅσον τρ. π. cod. θ., quae lectio potior vulgatâ. Ad h. l. cf. Glossam Galeni in πυρίας, ubi luculentum documentum Pergamenum nomen, quod exponit non intellexisse; nam solito suo significatu in vulgata sumitur; — sed puto Galenum ideo in errorem inductum esse, quod illud πυρίας in vulgata abundat; auctor significare vult scorii frusta tria singulis vicibus in urinam esse immittenda, ad fotumque omnia frusta esse sumenda, quae triginta fere

ὅσον χοῦς· [1] τοῖσι δὲ ξύμπασι πυριᾶν ὅσον τριήκοντα· ἐπὴν δὲ πυριήσῃς, σμῆχε τὴν κεφαλὴν τῷ οὔρῳ, ᾧ ἂν πυριηθῇ, ἐναποσβεννύων πάλιν τοὺς λίθους καὶ τὴν πυρίην πάλιν θερμήνας· μετὰ [2] δὲ ταῦτα λοῦε κατὰ κεφαλῆς ὡς πλείστῳ, ἕψων ἐν τῷ ὕδατι πόλιον καὶ τῆς ἄγνου ὡς πλεῖστα· ταῦτα δὲ ποίεε ἡμέρας ἑπτά· τρὶς δὲ [3] ὑποθυμιᾶν ἑκάστης ἡμέρης πρὸ τοῦ σμήχεσθαι· χριέσθω δ' ἐκ τοῦ λουτροῦ ἐλαίῳ δαφνίνῳ. Μετὰ δὲ τὸ δεῖπνον φαγοῦσα κρόμμυα, ἐμβάπτουσα ἐς μέλι, καὶ μελίκρητον χλιερὸν ὅσον κοτύλας τέσσαρας πιοῦσα, ἔπειτα ἐπὴν φάγῃ, σμικρὸν ἐπισχοῦσα, ἀπεμεέτω· καὶ ἀνακλιθεῖσα ὑπτίη τοῦ πηγάνου ἐχέτω καὶ ἐν τοῖσι ὠσὶ καὶ ἐν τῇσι ῥισί· καὶ ἄρτον ζυμίτην, ὅσον ἕκτον μέρος χοίνικος ἐς ζωμὸν [4] ἐνθρύψασα ὄρνιθος, ἔχοντα σελίνου ὅσον χήμην, προσφερέσθω· καὶ πάλιν δίδου τὸ ἴσον ἐπὶ τῷ δείπνῳ· τωὐτὸ δὲ [5] ποίεε τὰς ἑπτὰ ἡμέρας. Ἔπειτα δὲ τὴν κοιλίην κλύζε ἡμέρας ἑπτά· ἔστω δὲ κλύσμα ῥητίνης δραχμαὶ τέσσερες, μέλιτος ὀξύβαφον τῶν πλατέων, [6] ἔλαιον ἴσον, πυρῶν σητανίων χυλὸς, νίτρου ἀφρὸς, ᾠὰ [7] ἑπτά· κοτύλαι δὲ ὀκτὼ τοῦ κλύσματος, τούτων αἱ τρεῖς πτισάνης χυλοῦ· [8] κλύζε δὲ πλαγίην καὶ λοῦε ὀλίγῳ. Προστιθέσθω δὲ καὶ βαλάνους [9] ἑπτὰ, τῆς ἡμέρης, κατεχέτω δὲ ἔς τ' ἂν καταστακῇ· ἔστωσαν [10] δ' ἐκ λιβάνου, νίτρου, χαλβάνης,

fotum parato. Postquam vero fomentum adhibueris, urina caput confricato, quae ad fotum usurpata fuerit, rursus lapides in ea exstinguens et fotu rursus calefacto. Post haec autem caput plurima aqua lavato, aquae incoctis polio et viticis foliis multis. Quod per septem dies faciendum; ter vero suffitum adhibe singulis diebus, antequam confricetur; post balneum vero oleo laurino inungatur. Post coenam vero ubi cepas melli intinctas comederit, et mulsam tepidam ad quatuor heminas biberit, atque deinde paulum continuerit, vomitione reiiciat, supinaque reclinata rutam in auribus et naribus contineat. Panem quoque fermentatum ad sextam choenicis partem ex iure galli gallinacei, quod apii chemam habeat, contritum in cibum offerto et rursus tantundem in coena dato, idemque per septem dies facito. Deinde vero alvum ex infuso per dies septem eluito. Constet autem infusum ex drachmis quatuor resinae, mellis acetabulo lato, olei pari mensura, tritici sitanii cremore, nitri spuma et ovis septem. Infusi autem sint heminae octo, ex his tres cremoris ptisanae. In latus autem decumbenti infusum adhibeto, parcaque aqua lavato. Septem vero glandes interdiu subdito, easque quoad colliquescant contineat. Constent autem thure, nitro, galbano et melle cocto. Cibo vero eodem utatur. Suffitum autem ex asini pilis, stercore lupi adhibeto. Ex quibus

[1] καὶ ἐν τούτοις πυριᾶν αὐτὴν ὅσον τριήκοντα πυρίας ἐπήν. — [2] δέ om. — [3] ὑποθυμιῆν τουτονὶ ἑκάστην πυρίων πρὸ τοῦ σμ. — [4] ἐνθρύψαι. — [5] ποίεε. [6] καὶ ἔλ. — [7] λεπτά. ἔστω δὲ τὸ κλύσμα κοτύλαι ὀκτώ. τούτων. — [8] κλυζέτω δὲ πλαγίην. — [9] ἑπτὰ ἡμέρας. — [10] δὲ λιβ.

numero esse debent; sed non est sermo de triginta πυρίαις. — Neque Littréus id quomodo se habeat rite perspexit, modo eius verba supra citata nihil aliud agens relegas. At dicis: „Galenus igitur recte interpretatus est"; — minime! Si πυρίας h. l. significaret τοὺς διαπύρους κόχλακας, auctor dedisset πυριᾶν δὲ πάσῃσι τῇσι πυρίῃσι ὅσον τριήκοντα, sed hoc nomen accusativo ponere non potuisset. Itaque abegi! — Dein πυριάσῃς cod. θ.; — ἕως ἂν (ἄν om. θ.) πυριήσῃς (πυριαθῇ cod. θ.) vulg.; Littr. emendavit. Tum πάλιν· θερμήνας δὲ μετά vulg., πάλιν θερμήνας· μετὰ δέ Foës. emendat, Lind. edidit; δέ abiecit Littréus, sed praestat Foësii ratio. Porro κατὰ τῆς κεφ. D. Q.` Lind.; — ὡς πλεῖστον vulg., ὡς πλείστῳ cod. θ., Littr.; — ἕψων (ἔστω Parr. aliquot, θ.) δὲ (δέ om. C., δ' cod. θ.) ἐν vulg., cum Littréo et C. δέ omisi. Pro ἄγνου aliquot Parr. αἰγοῦς, C. αὐτοῦ, cod. θ. Lind. λύγου. Tandem τρὶς δὲ τούτων ὑποθυμιῆν (ὑποθυμιᾶν cod. θ.) ἑκάστην πυρίον (sic) (πυριῆν cod. θ.) C. θ.; equidem τούτων ante ἑκάστην; quod in ἑκάστης mutavi, omisi et ἡμέρης pro πυρίην de meo scripsi; — δ' ἐκ cod. θ., δὲ ἐκ vulg.

μετὰ δὲ τὸ δεῖπνον — ἡμέρας.] Ante καὶ ἀνακλ. cod. θ. fert: ἔπειτα πάλιν πιοῦσα τοις ον ἐμείτω; — μέρος om. C.; — ἐνθρύψασα cod. θ. Littr., ἐνθρύψαι vulg.; — προσφέρεσθαι om. C.; — τὸ ωὐτό vulg., τωὐτό C. Littr.

ἔπειτα — ὀλίγῳ.] δέ omm. C. θ.; — τέσσερες cod. θ., τέσσαρες vulg.; — πλαγέων cod. θ., πλαταιῶν cod. C., pro τῶν πλατέων Lind., [οἶνον] διπλάσιον; Foësius Plataeas cogitavit; cum Cordaeo, Littréo de latis acetabulis intelligo. Porro τὸ ἴσον C.; — λίτρου cod. θ.; — ὡς C. pro ᾠά; — λεπτά vulg., ἑπτά cod. θ. Littr.; — ἔστω δὲ τὸ κλύσμα κοτύλαι ὀκτώ vulg., sed cum Littr. C. θ. sequor; — ὀλίγον vulg., ὀλίγῳ C. Littr., πολλῷ cod. θ.

προστιθέσθω — κατακαύσῃς.] προστίθεσθαι vulg., προστιθέσθω Ald., Parr. 6., θ.; — καί ante βαλ. omm. C. θ.; — ἑπτὰ τῆς ἡμ. om. θ.; — ἔστωσαν δὲ λ. vulgo; de meo pro δέ dedi δ' ἐκ; — λίτρου cod. θ.; — σιτιω idem; — ὑποθυμιᾶν idem; — πόλιον e solo θ. Littréus ante ὄνου τρίχας, cett.

μέλιτος ἑφθοῦ· σίτῳ δὲ χρήσθω τῷ αὐτῷ. Ὑποθυμία δὲ ὄνου τρίχας, [1] λύκου κόπρον, — ἐπίβαλλε δὲ ὡς πλεῖστον ἐπ' ἀνθρακιὴν καὶ περικαθίσας αὐτὴν καὶ περιστείλας θυμία, φυλασσόμενος μὴ κατακαύσῃς.

magnam copiam in prunas iniicito et mulieri in sella collocatae et circumtectae suffitum administra, ea cautione ut ne aduras.

Ἢν δὲ γυνὴ μὴ δύνηται τίκτειν πρόσθεν [2] τετοκυῖα, νίτρον καὶ ῥητίνην καὶ σμύρναν καὶ κύμινον Αἰθιοπικὸν καὶ μύρον τρίβειν ἐν τωὐτῷ καὶ προστίθεσθαι. — Ἢ γλήχωνα ξηρὴν ἐν ὀθονίῳ προστιθέσθω· [3] καὶ πινέτω δὲ τὴν γλήχωνα, ἐπὴν εὕδειν μέλλῃ.

Si quae prius peperit parere nequeat, nitrum, resinam, myrrham, cuminum Aethiopicum et unguentum simul trita in pesso supponito. — Aut pulegium siccum in linteo supponito; sed et pulegium bibat, cum dormire volet.

Ἕτερον κυητήριον. Διαιτᾶν δεῖ τὴν γυναῖκα ἥτις δέεται κυήσιος καὶ διδόναι αὐτῇ ἅπερ λεχοῖ καὶ ἐσθίειν καὶ πίνειν, τῷ δὲ ἀνδρὶ τῆς γυναικὸς τἄλλα πλὴν σκορόδου καὶ κρομμύου καὶ ἔτνους καὶ ὀποῦ σιλφίου, καὶ ὅσα φυσητικά· τούτων δὲ ἀπεχέσθω.

Aliud conceptum iuvans. Mulieri, quae conceptionis indiget, victus ratio praescribenda, eique eadem in cibo et in potu praebenda, quae puerperae; mulieris autem viro cetera quaeque exhibeto, praeter allia, cepas, legumina fresa, laseris succum et ea, quae flatum gignunt; ab his vero abstineat.

Ἔγχυτον κυητήριον. Γάλα γυναικὸς κουροτρόφου, σίδης νεαρῆς τοὺς κόκκους τρίψας καὶ ἐκπιέσας τὸν χυλὸν καὶ χελώνης θαλασσίης τὸν περίνεον κατακαύσας, τρίψας, ἐγχέαι ἐς τὸ αἰδοῖον.

Infusum conceptum iuvans. Lac mulieris marem lactantis, mali punici recentis grana tria et expressum succum et testudinis marinae penem adustum tritum in pudendum infundito.

[4] Ἔγχυτον κυητήριον μὴ κυούσῃ. Γάλα καὶ ῥητίνην καὶ σίδης γλυκείης χυλὸν, [5] ξὺν μέλιτι μίξας [6] ἐγχεῖν.

Infusum conceptum iuvans non concipienti. Lac, resinam et dulcis mali punici succum cum melle permixta infundito.

[7] Κυητήριον. Βολβοῦ τοῦ λευκοῦ καρπὸν ἢ τὸ ἄνθος [8] τρίψασα ξὺν μέλιτι, ἐν εἰρίῳ ἑλίξασα προσθέσθω πρὸς τὴν μήτρην ἡμέρας τρεῖς· τῇ δὲ τετάρτῃ μαλάχην ἀγρίην τὴν

Ad conceptum faciens. Bulbi albi semen aut florem ex melle tritum vellere circumvolutum per triduum supponat. Quarto vero die malvam agrestem, quae lato est folio, cum lacte

[1] λευκοῦ καὶ λύκου. — [2] τίκτουσα. — [3] πίνειν δὲ τὴν γλ. — [4] ὁμοίως ἐγχ. — [5] ταῦτα ξὺν μ. — [6] ἐγχ. πάντα. — [7] ἕτερον κυητ. — [8] τρίψας.

omm., neque mihi huc pertinere videtur; — τρίχας λευκοῦ (λ. om. θ.) καὶ (καί omm. C. θ.) λύκου (λ. om. C.) vulg., textum, uti Littr. descripsi; — ἐπέβαλε C.; — ἐπί vulgo, ἐπ' C.; — ἀνθρακίην Ald. D., ἀνθρακείην cod. θ.

ἢν δὲ γυνὴ — μέλλῃ.] κυητήριον ἕτερον D. Q.'; — ἄλλο H.; — δέ om. C.; — πρόσθε τετοκυῖα cod. θ., πρόσθεν τίκτουσα vulg.; — λίτρον cod. θ.; — σμύρνην C.; — αἰθιοπ. om. θ.; — ἐν τῷ αὐτῷ cod. θ.; — γλ. ξηρόν C.; — προστίθεσθαι καὶ πινέτω δέ cod. θ.; — προστιθέσθω πίνειν δέ vulg.

ἕτερον κυητ. — ἀπεχέσθω.] ἕτ. om. θ.; — ἄλλο J.; — δεῖται cod. θ.; — λεχοῖ cod. θ. Littr., δέχοιτο vulg., δέχοι Parr. 3., δέοι D. Q.' Lind.; — τὰ ἄλλα cod. θ.; — κρομμύων vulg., κρομμύου Ald. Parr. 8. θ, Littr.; — ἔτνου Ald. Parr. 6., ὀπίου cod. θ.

ἔγχυτον — αἰδοῖον.] ὁμοίως ἔγχ. vulg., sed ὁμ. omm. Parr. 6., Littr.; — post κυητήριον vulgo εἰ μὴ κυΐσκεται, quod omitto cum C. θ.; alii codd. Parr. ὅταν γυνὴ μὴ κυΐσκηται; — νεηρῆς C.; — καὶ ἐκπιέσας vulg., cod. θ. καί om.; πιέσας Parr. 6.; — περίναιον D. H., περίνεον vulg. interpretantur *perineum*, sed credo significari *penem*, hic enim ὁ περίναιος s. ὁ περίνεος audit, veluti apud Arist. de Gen. anim. IV. 1.: τῷ μὲν οὖν ἡ ὑστέρα, τῷ δ' ὁ περίνεός ἐστιν: — κατασκευάσας cod. θ.: — ἐγχεῖ idem, ἐκχέαι C.; — τὰ αἰδοῖα C. θ.

ἔγχυτον — ἐγχεῖν.] ὁμοίως ἐγχ. vulg., sed ὁμ. omm. C. K. θ. Littr.; — ὅταν μὴ κυΐσκηται C. θ., ὅταν γυνὴ μὴ κ. Q.'; — ξύν om. θ. Vulgo vero ταῦτα ξὺν μέλιτι μίξας ἐγχεῖν πάντα; equidem ταῦτα et πάντα abieci.

κυητήριον — νῆστις.] ἕτερον K.; ἄλλο κ. D.; κ. ἄλλο H.; — ἄλλο solum J.; — τρίψας vulg., τρίψασα Littr.; — εἰλίξασα D., εἰλίξας cod. θ., εἰλίξασα F. K.; — προστιθέσθω K.; — ἐπὶ τρεῖς ἡμ. C. θ.; — τρίψας Parr. 7., τρῖψαι pro μῖξαι J.; — ἐνειλίξασα cod. θ.; — προστιθέσθω K.; — τοῦ ante ἀνδρός de meo adscripsi; μετ' ἀνδρός C. θ.; — προροφεέτω vulg., per ρρ Parr. 7., Littr.; —

πλατύφυλλον [1] τρίψασα, μῖξαι γυναικὸς γάλακτι καὶ ἐς εἴριον ἑλίξασα προσθέσθω· εἶτα κοιμάσθω μετὰ [2] τοῦ ἀνδρός· προρροφεέτω δὲ γλήχωνα ἐπ' ἀλεύροισι ἐφθὴν καὶ πινέτω [3] γλήχωνα ἐν οἴνῳ λεπτήν. Ἢν δὲ τούτου μὴ ἐσακούῃ, [4] λαβοῦσα κόνυζαν εὔοδμον, ξυγκόψασα καὶ ἐκθλίψασα τὸν χυλὸν καὶ [5] ξυμμίξασα οἴνῳ πινέτω [6] νῆστις.

Ἕτερον κυητήριον. Ἀσπαράγου καρπὸν πινέτω ἐν οἴνῳ.

Ἕτερον κυητήριον. Χόριον γυναικὸς καὶ τῶν εὐλέων τὰς κεφαλὰς τρίψασα, ... διεῖσα στυπτηρίην Αἰγυπτίην [7] χηνὸς στέατι, ἐν εἰρίῳ προσθέσθω πρὸς τὸ στόμα τῆς μήτρης.

Ἕτερον ἐπὶ τοῦ αὐτοῦ. Ἰὸν, χαλκοῦ ἄνθος, ἡμιωβόλιον ἑκατέρου, [8] λιβανωτὸν ἄρσενα, στυπτηρίην σχιστὴν, οἰνάνθην ἀμπέλου, κηκίδα, σμύρναν, σίδιον, ῥητίνην, πόλιον, ὀβολὸν ἑκάστου, ἐν μέλιτι [9] τρίψασα προσθέσθω ἐπὶ τρεῖς ἡμέρας [10] δὶς τῆς ἡμέρης· ἢν [11] δὲ δριμύτερον ᾖ, παραμίσγειν χηνὸς στέαρ καὶ νίτρον ὀπτόν· διδόναι δὲ οἶνον, φεύγοντα τὸ ἐν αὐτῷ μένος.

Ἕτερον κυητήριον. Εὐλὴν, [12] ἥτις τὴν κέρκον ἔχει, λαβὼν τρεῖς ἢ τέσσερας μοίρας καὶ ὀρίγανον λεπτὴν, τρίψας ἐν ῥοδίνῳ μύρῳ, [13] πρόσθες πρὸς τὸ στόμα τῆς μήτρης.

Ἕτερον κυητήριον. Ἀνδράχνην τρίψας μετὰ στέατος χηνὸς καὶ σμύρνης καὶ πράσου σπέρματος καὶ βοὸς χολῆς ἐν εἰρίῳ ἐνελίξας [14] προστιθέναι πρὸς τὸ στόμα τῆς μήτρης.

muliebri tritam et lana convolutam supponat, deinde cum viro dormiat. Ante autem pulegium cum farina coctum sorbeat et pulegium tenue ex vino bibat. Quod si his non obsequatur, conyzae odoratae contusae succum expressum et vino mixtum ieiuna bibat.

Aliud conceptum iuvans. Asparagi semen ex vino bibat.

Locus integer non est: vide adnn.

Aliud ad idem. Aeruginem, aeris florem, utriusque semiobolum, thuris masculi, aluminis scissilis, fructus vitis agrestis, gallae, myrrhae, malicorii, resinae, polii, singulorum obolum ex melle tritum per triduum bis die supponat. Quodsi iusto acrius fuerit, anserinum adipem et nitrum tostum admisceto, vinumque eius robore vitato exhibeto.

Aliud conceptum iuvans. Vermium ex carnibus, quae caudam habent, tres aut quatuor partes sumito et origanum ex rosaceo unguento laevissime tritum ad uteri os apponito.

Aliud ad conceptum. Portulacam tritam cum adipe anserino, myrrha, porri semine et felle bubulo, lana convolutam ad uteri os apponito.

[1] τρίψας. — [2] τοῦ om. — [3] βλήχονα. — [4] λαβών et seqq. participia masculina sunt. — [5] μίξας. — [6] νῆστις καὶ ἀσπαράγκου κ. π. ὁμοίως σὺν οἴνῳ. — [7] ἐν χ. — [8] λιβανωτοῦ ἄρσενος, στυπτηρίης σχιστῆς οἰνάνθης ἀμπ. κικίδα. — [9] τρίψας. — [10] τρίς. — [11] δ' ἔσω δριμ. — [12] ἤ τις ἔχει τ. κ. λαβὼν ἀπ' αὐτῆς. — [13] προσθέσθω. — [14] τιθέναι.

ἐν pro ἐπ' cod. θ.; — ἐφθέν F., ἐφθέντα J., ἐφθοῖσι cod. θ.; — ἐσακούοι D. H.; — μίξας vulg., συνμίξας cod. θ.; — ceterum in hac periodo de meo participia feminina pro masculinis dedi propter πινέτω.

ἕτ. κυητ. — οἴνῳ.] ἕτ. κ. omm. Parr. 2.; ἕτ. omm. C. θ.; ἄλλο κ. Par. unus, solum ἄλλο alius; — ἕτερον solum H.; — ὁμοίως ἐν οἴνῳ vulg., cum C. θ. omisi ὁμοίως.

ἕτερον κυητ. — μήτρης.] ἕτ. κ. omm. J. K.; — ἕτ. omm. C. θ.; ἄλλο κ. D.; — τρῖψαι vulg., τρίψας D. Littr. ego τρίψασα, διεῖσα de meo dedi pro masculinis vulgatae propter medium προσθέσθω; tum ἐν ante χηνὸς στ. delevi. — Lacunam notavi; duae sunt formulae, quarum prior non absolvitur et cum altera capite destituta coaluit.

ἕτερον — μένος.] solum κυητήριον et ἄλλο κ. sunt inscriptiones in aliis codd., alii nullam habent; — λιβανωτόν et seqq. accusativo dedit Littr., cum vulgo genitivo legi solent; — ἀνὰ ὀβολὸν ἑκάστου vulg., sed Littr. cum Parr. 5. et θ. ἀνά omisit; et vero aut hoc omitti, aut ἀνὰ ὀβολόν scribi debet; — ἐν om. E.; — τρίψας vulg., τρίψασα C. Littr.; — ἐπὶ τρισὶν ἡμέραις vulg., cum Littréo C. θ. sequor; — δὶς τὴν ἡμέρην cod. θ.; — ἢν δ' ἴσως vulg., ego C. θ. sequor; — λίτρον cod. θ.

ἕτερον — μήτρης.] ἕτ. omm. C. θ., ἄλλο κ. J.; — ἥτις ἔχει τὴν κ vulg., dedi ordinem verborum quem C. fert; — λαβὼν ἀπ' αὐτῆς vulg., λαβὼν αὐτῶν C. θ. Littr.; — equidem αὐτῶν s. ἀπ' αὐτῆς repudio; — τέσσερας cod. θ., τέττερας vulg.; — προσθέσθω C. θ.; — προσθέτω vulgo; malui πρόσθες dare; — πρὸς τὸν στόμαχον sine τῆς μήτρης iidem.

ἕτ. κυητ. ἀνδρ. — μήτρης.] ἕτ. omm. C. θ.; — ἄλλο

Ἢν τὰ μὲν καταμήνια γίγνηται πολλὰ, μὴ ξυλλαμβάνῃ δὲ, χαλκοῦ [1] ἄνθους ὀβολοὺς δύο καὶ στυπτηρίης σχιστῆς ὡσαύτως, τρίψασα λεῖα ἐν μέλιτι, εἶτα εἰρίῳ ἀνασπογγίσασα, ἐνδήσασα τὸ εἴριον ἐς ὀθόνιον λίνῳ προσθέσθω ὡς ἐσωτάτω· τὸ δὲ λίνον ὑπερεχέτω· εἶθ' ὅταν καλῶς [2] ἀποκαθαρθῇ, ἀφελέσθω καὶ οἶνον ἀναζέσασα εὐώδεα, μυρσίνης φύλλα ἐμβαλοῦσα, τούτῳ προσκλυσάσθω καὶ ἴτω πρὸς τὸν ἄνδρα.

Si menses quidem copiosi eant, neque tamen concipiat, floris aeris obolos duos et aluminis scissilis tantumdem ex melle laevissime tritos, deinde lana exceptos, lanâ in linteo fili ope deligata, sibi penitissime subdat, sic tamen ut filum foras emineat. Deinde ubi probe purgata fuerit, abstrahat et vino odorato, in quo myrti folia decocta sint, proluatur et virum adeat.

Κυητήριον πρόσθετον. — Μέλι, σμύρναν, μυρίκης [3] τὸν καρπὸν, ῥητίνην ὑγρὴν, χηνὸς ἄλειφα, τρίψασα ἅπαντα [4] ἐν τῷ αὐτῷ, εἰρίῳ ἐνελίξασα προστιθέσθω.

Subdititium ad conceptum. Mel, myrrham, myricae fructum, resinam liquidam, anserinum adipem, omnia simul trita in vellere convoluta sibi subiiciat.

Κυητήριον πρόσθετον σφόδρα [5] ἀναστομῶσαι τὴν μήτρην, ὅταν μεμύκῃ καὶ μὴ δύνηται κυῆσαι· καὶ ὕδωρ ἐκκαθῆραι. — Λαβὼν σχεδιάδα [6] τὴν μικρὴν καὶ σχῖνον καὶ κύμινον καὶ κύπερον καὶ ἀγρίην κολοκύνθην καὶ νίτρον ἐρυθρὸν, καὶ ἅλας Αἰγύπτιον καὶ σχεδιάδα τὴν μεγάλην, — ταῦτα πάντα λεῖα ποιήσας, δι' ὀθονίου διηθῆσαι· λαβὼν δὲ μέλι ἕψησον ἐπὶ πυρὶ μαλθακῷ· ἐπειδὰν δὲ ζέσῃ, παράμιξον κηρὸν [7] καὶ ῥητίνην· ἔπειτα ξυμμίξας πάντα ἔλαιον ἐπιχέας, [8] ἀφελὼν, χλιήνας, [9] εἰρίῳ ἐνελίξας προστίθει τῇ μήτρῃ, μέχρις ἂν καθαρθῇ.

Subdititium ad conceptum, quo uterus, si quando conniveat, neque concipere queat, valde dilatetur et aqua expurgetur. Anchusam parvam sumito, lentiscum, cuminum, cyperum, cucumerem agrestem, nitrum rubrum, sal Aegyptium, et anchusam magnam; — quae omnia laevissime trita linteo cernito. Mel sumito, leni igne decoquito et ubi deferbuerit, ceram et resinam admisceto. Deinde commistis omnibus oleum affundito et ab igne detractum, tepidum, vellere involve et, quoad purgata fuerit, utero subdito.

[1] ἄνθος. — [2] καθαρθῇ ἀφελέτω. — [3] τόν om. — [4] ἐν om. — [5] ἀναστ. μήτρην δυνάμενον, ὅταν. — [6] γῆν καὶ σχ. — [7] καί om. — [8] καὶ ἀφ. — [9] εἰρίῳ ἀνακαλίδοτον ἐνελίξας.

D. J.; — τρίψας ἐν χηνὸς στέατι (καί cod. θ.) σμύρναν καὶ πράσου σπέρμα καὶ βοὸς χολήν C. θ.; — ἐν omm. iidem; — ἐνειλίξας D. J., ἑλίξας C. θ.; — τιθέναι vulg., προσθεῖναι cod. θ. προστιθέναι C.; — τὸν στόμαχον idem.

ἢν τὰ μὲν — ἄνδρα.] μέν omm. C. θ.; — γίνονται vulg., γίνηται cod. θ., γίνωνται Ald. Parr. 6., γένηται C.; — οὐ συλλαμβάνει vulg., sed μή D. J. Littr., καὶ μή C. θ.; ξυλλαμβάνῃ C. θ. Littr.; — κυητήριον C. θ. Littr. ante χαλκοῦ, vulgo om; — ὡσαύτως om. C.; — τρίψας vulg. τρίψασα de meo; — λεῖον C. θ.; — ἐν omm. iidem in vulgato ἐν εἰρίῳ; — tum ἀνασπογγίσας cett.; — ἐνδήσασα ἡ γυνὴ τό vulg., cum Littréo sequor C. θ.; — sed pro ἐνδήσας femininum servo; — λινῶν (λινῷ cod. θ., λινόν alii, λίνεον Lind.) προσθέτω (προσθέσθω C. θ.) ἕως (ὡς C. θ.) ἔσω (ἐσωτάτω cod. θ.) αὐτῆς (αὐτῆς omm. C. θ.) vulgo. — Equidem haec fere ut Littr. descripsi, nisi quod προσθέσθω recepi, non προσθέτω; — ἐν εἰρίῳ cett., ego ἐν abieci; — εἶτα ὅταν cod. θ.; — καθαρθῇ vulg., ἀποκαθαρθῇ cod. θ.: — ἀφελέτω cett., de meo mutavi; — ἀναζέσασα cod. θ., ἀναζέσας ceteri; — ἐμβαλών vulg. ἐμβάλλων cod. θ.; de meo femininum exhibui; — παρὰ τὸν ἄ. C., τόν omm. sat multi Parr.

κυητήριον — προστιθέσθω.] ἄλλο pro inscriptione J.; — ἄλιφα cod. θ., ἄλειφαρ D.; — τρίψας vulg., de meo τρίψασα; — ἅπαντα τῷ αὐτῷ ἐν εἰρίῳ vulg., ex θ. emendavit Littréus; — ἐνελίξας cod. θ.

κυητήριον — καθαρθῇ.] ἕτερον πρόσθετον κυητ. J.; — ἀναστομοῦν D. Q.'; — τὴν μ. D., vulgo τήν om.; — μήτρην δυνάμενον vulg., sed δυν. omm. C. θ.; — καί ante ὕδωρ omm. iidem; — ἐκκαθαῖρον D. Q.' Lind.; — pro τὴν μικρήν ferunt γῆν Ald. Parr. 8., ὀλίγην pro μικρήν cod. θ. — Galenus in glossis σχεδιάδα exponit ἄγχουσαν; Schneid. in Lex. voce ὀνοχειλίς provocat ad Diosc. IV. 23. 24., unde efficias σχεδιάδα τὴν μικρήν esse alteram Anchusae speciem Dioscoridis, quam *Echii* speciem esse opinatur Spreng. in comm. — Porro καί ante κύμινον Parr. 7. θ. Littr., vulgo om.; — λίτρον cod. θ., qui quum semper hanc formam servet, non amplius notabo; — διηθίσας C.; — κηρὸν καὶ ῥητ. Lind., cett. καί non habent. — Vulgo εἴριον ἐγκυλίδωτον ἐνελίξας προστίθει, in quibus ἐγκυλίωτον ex Foësii emendatione Littr., ceterum ἀγκαλίδωτον, ἐγκαλίδοτον librorum lectt. sunt; ἐγκυλίνδωτον altera est emendatio Foësii. Sed de his dubito, nam supponunt κυλιόω et κυλινδόω, ita ut consistere non posse videantur; ἐγκύλιστος proba forma censenda sit. Sed plus est: verba vulgatae praeterea corrupta

Ἕτερον κυητήριον. — Ἢν γυναῖκα βούλῃ κυῆσαι, [1] τοῖσι καθαρτηρίοισι νῆστις [2] χρήσθω καὶ ἢν δέῃ πρὸς τὸν ἄνδρα ἰέναι, δαφνίδας μελαίνας δέκα, λιβανωτοῦ δραχμίδας τρεῖς καὶ κύμινον ὀλίγον τρίψασα ἐν μέλιτι, ἐς εἴριον πινῶδες [3] ἐγκυλίουσα, ἅπαξ τῆς [4] ἡμέρης προστιθέσθω καὶ ἀφαιρείσθω ἅπαξ [5] ἡμέρας τέσσερας καὶ ἀσιτείτω [6] τὰς αὐτάς.

Aliud conceptum iuvans. Si velis ut mulier concipiat, purgatoriis ieiuna utatur et si virum adire oporteat, decem lauri baccas nigras, thuris pugillos tres et cumini pusillum ex melle trita, lana sordida convoluta, semel die sibi subiiciat semelque auferat per dies quatuor iisdemque cibo sibi temperet.

ος'. Ἀτόκιον. Ἢν [7] δὲ μὴ δέῃ κυΐσκεσθαι, μίσυος ὅσον κύαμον διεὶς ὕδατι [8] πιεῖν δοῦναι· καὶ ἐνιαυτὸν, ὡς ἔπος εἰπεῖν, οὐ κυήσεται.

76. Conceptum praepediens. Si concipere non conveniat, misyos fabae quantitatem aqua dilutam potui exhibeto et per annum pene dixerim non concipiet.

οζ'. Ὠκυτόκια δυστοκούσῃ. Δάφνης ῥίζαν ξύσας ἢ τοὺς [9] κόρους ὅσον ἥμισυ ὀξυβάφου, ἐφ' ὕδατι δὸς πιεῖν θερμήνας.

77. Aegre parienti partum accelerans. Lauri radicem derasam, aut ramulos ad dimidium acetabulum concalefactos ex aqua potui exhibeto.

Ὠκυτόκιον. Δικτάμνου ὅσον δύο ὀβολοὺς τρίψας ἐν ὕδατι θερμῷ [10] πίνειν δίδου. — Ἢ ἀβροτόνου δραχμὴν καὶ κεδρίδας [11] καὶ ἄνησον ἐντρίψας ἐν γλυκέος οἴνου [12] παλαιοῦ κυάθῳ, παραχέας ὕδατος κύαθον, δὸς [13] ἐκπιεῖν. καλὸν, ἢν πρὸ τῶν ὠδίνων δοθῇ. — Ἢ δικτάμνου [14] ὀβολὸν, σμύρνης ὀβολὸν, ἀνήσου δύο ὀβολοὺς, νίτρου ὀβολόν· — [15] τρίψας λεῖα, γλυκέος οἴνου ἐπιχέας κύαθον καὶ ὕδατος θερμοῦ κυάθους δύο, δὸς [16] ἐκπιεῖν, εἶτα λοῦσον θερμῷ.

Partum accelerans. Dictamnum ad duos obolos tritum ex aqua calida bibendum praebe. — Aut abrotoni drachmam et cedri baccas et anethum ex vini dulcis veteris cyatho trita, affuso aquae cyatho, potui exhibeto. Prodest, si ante partus dolores exhibeatur. — Aut dictamni obolum, myrrhae obolum, anethi obolos duos, nitri obolum ex vino dulci laeviter trita affuso cyatho et aquae calidae cyathis duobus potui exhibeto, deinde calida lavato.

[1] καὶ τοῖσι. — [2] χρῆται καὶ δεῖ. — [3] ἐγκυλίων. — [4] ἡμ. τοιαύτη προστ. — [5] ἕως ἡμερῶν τεσσ. — [6] τὰς αὐτὰς ἡμέρας. — [7] δέ abest. — [8] πίνειν διδόναι. — [9] κόκκους. — [10] πινέτω sine δίδου. — [11] ἤ. — [12] παλαιοῦ abest. — [13] πιεῖν τοῦτο καλὸν διδόναι, ἥν. — [14] ὀβολὸν καὶ ἀννήσου. — [15] ταῦτα τρ. — [16] ποιεῖν.

sunt et legenda saltem εἰρίῳ ἐνέλιξας [ἐγκύλιστον] προστίθει, in quibus ἐγκύλιστον uncis includo, quia supervacaneum est, advertit in C. θ. omitti ἐνέλιξας; nempe descriptor sensit otiosam esse alterutram vocem; dittographiam hic habemus. — In seqq. πρὸς τὴν μήτρην προστίθει μέχρι cod. θ.; — τῇ om. C.

ἕτερον — ἡμέρας.] ἄλλο sine κυητ. J.; — ἕτ. omm. C. θ.; — καθαρτηρίοισιν ἥτις χρῆται vulg., καθαρτηρίοισι νῆστις χρῆται cod. θ., unde Littr. χρῆσθαι; equidem malui χρήσθω dare, sed tota structura huius formulae erat corrigenda, itaque καί ante τοῖσι καθαρτ., quod libri ferunt, abieci; — καὶ δεῖ vulg., καὶ ἢν δεῖ cod. θ., unde καὶ εἰ δεῖ Littr.; — ἰέναι καὶ δ. μέλανας vulg., sed καί omm. Parr. 7., θ., Littr. et μελαίνας multi Parr., θ., Littr.; — λιβ. δέ vulg., sed δέ omm. C. J. θ. Littr.; — κυμ. ὀλ. μίξας μέλιτι cod. θ.; — ἐν om. C.; — ceteri τρίψας, de meo τρίψασα dedi, itaque ἐγκυλίουσα pro vulg. ἐγκυλίων; — τῆς ἡμέρης vulg., Littr. τῇ ἡμέρῃ de suo; — post τῆς ἡμέρης vulgo τῇ αὐτῇ, quod abieci; — post αὐτῇ C. ἢ καί, cod. θ. καί; — pro vulgato ἕως ἡμερῶν τεσσάρων C. ἡμέρας δὲ τέσσαρας (cod. θ. τέσσερας), quod recipio; — ante ἀσιτείτω vulgo ἔπειτα, quod omm. Parr. 7., ἀσιτείτω om. θ.; — τὰς αὐτὰς ἡμέρας vulg., τὰς ἴσας ἡμ. C. θ. Littr., nisi quod θ. omittit ἡμέρας, qua in re eum sequor.

76. ἄτοκον — οὐ κυήσεται.] δέ e solo K. recepi; — πιεῖν cod. θ., δοῦναι C. θ., πίνειν διδόναι vulg.; — κυήσεται vulg., κυΐσκεται C. θ. Littr.

77. ὡσαύτως — θερμήνας.] περὶ δυστοκουσῶν multi libri ante ὠκυτ.; — δυστοκεύσῃ C., δυστοκούσῃσι cod. θ.; — ῥίζην vulg., ῥίζας Parr. 5., ῥίζης duo alii et θ.; — ῥίζαν D.; — τοὺς κόκκους vulg., τοῦ σκόρους cod. θ., unde Littr. τοὺς κόρους; — fateor me nescire quid voluerit scriptor; — ἐν ὕδατι K. Q.', ἐφ' ὕδ. om. C.; — θερμήνας ὕδατι idem.

ὠκυτόκιον — θερμῷ.] ἄλλα pro ὠκυτ. J.. — Ceteri πινέτω, quod non congruit cum masculino antecedente τρίψας; itaque aut τρίψασα, aut πίνειν δίδου aliudve huiuscemodi dandum erat. Posteriorem rationem inii propter locos vicinos; — pro δραχμήν cod. θ. τριώβολον; — οἴνου παλαιοῦ dedi, παλαιοῦ, quod post ὕδατος legi solet, huc transferens; sunt autem Parr. 6., qui παλαιοῦ omnino omm.; — ἐκπιεῖν C. θ., πιεῖν vulg.; — τοῦτο καλὸν δίδοται, ἢν vulg. sed τοῦτο om. C., καλῶς legit J., δίδοται om. C.; vulgata inepta, sequor C.; possit καλὸν διδόναι κ. τ. λ. legi; — ὀδυνῶν vulg., sed Edd. antt., librorum mss. vis, Littr. ὠδίνων; — σμύρνης ὀβ. omm. Parr. 6.; — σμύρνης — νίτρου ὀβ. om. J.; — καὶ ἀννήσου Parr. 6.; — ταῦτα τρίψας διὰ

Ὠκυτόκιον. Ῥητίνην τερμινθίνην, μέλι, ἔλαιον [1] διπλάσιον, οἶνον εὐώδεα ὡς ἥδιστον, [2] ξυμμίξας, χλιήνας, διδόναι [3] ἐκπιεῖν πλεονάκις. [4] καταστήσει δὲ καὶ τὰς μήτρας, ἢν φλεγμήνωσι.

Ἕτερον ὠκυτόκιον. Τοῦ σικύου τοῦ ἀγρίου, ὅστις [5] ἂν ἤδη λευκὸς ᾖ, τὸν καρπὸν ἐμπλάσας κηρῷ εἶτα εἰρίῳ ἐνελίξας φοινικέῳ περίαψον περὶ τὴν ὀσφύν.

Ἢν δὲ [6] κυοῦσα πουλὺν χρόνον ἐπέχηται καὶ μὴ δύνηται τεκεῖν, ἀλλ' ὠδίνῃ πλείους ἡμέρας, νέη [7] δ' ἔῃ καὶ πουλύαιμος, [8] τάμνειν τὰς ἐν τοῖσι σφυροῖσι φλέβας καὶ ἀφαιρέειν τοῦ αἵματος πρὸς τὴν δύναμιν ὁρέων· καὶ μετὰ ταῦτα λοῦσαι [9] θερμῷ, ὡς ὑπὸ θερμοῦ διαφλύωνται· πιεῖν δὲ δοῦναι ἄγνου καρπὸν καὶ δίκταμνον Κρητικὸν ἴσον ἑκατέρου ἐν οἴνῳ λευκῷ ἢ ἐν ὕδατι· — πρόσθετον δὲ ποιήσας [10] πρόσθες χαλβάνην καὶ δαφνίδας καὶ ῥόδινον ἔλαιον, [11] ἐν εἰρίῳ ἐνειλίξας.

Ὠκυτόκιον. Τῆς [12] δρυοπτέριδος τὴν ῥίζαν τρίψας ἐν οἴνῳ δὸς πιεῖν. — Ἢ καὶ ἀδίαντον [13] τρίβειν καὶ δοῦναι πιεῖν ἐν οἴνῳ ἀκρήτῳ.

οη'. [14] Λεχοῖ τὰ λοχεῖα καθαίρειν. Χελώνης θαλασσίης ἧπαρ χλωρὸν ἔτι ζώσης ἐν [15] γάλακτι γυναικείῳ τρίβειν καὶ [16] ἰρίνῳ καὶ οἴνῳ ἀναδεῦσαι καὶ προστιθέναι. — Ἢ λινό-

Partum facilem reddens. Resinam terebinthinam, mel, oleum ad duplam portionem, vinum odoratum quam suavissimum, simul mixta tepida crebro bibenda dato. Restituet etiam uterum, si inflammatus fuerit.

Aliud facilem partum faciens. Cucumeris agrestis, cum albus factus sit, fructum cera obductum, deinde lana punicea convolutum ad lumbos alligato.

Quodsi praegnans diutius immoretur et parere non possit, sed pluribus diebus partus doloribus discrucietur, sit autem iuvenis et sanguinis plena, venas in malleolis secare oportet et virium habita ratione sanguinem detrahere. Post haec calida lavanda ut abunde ea perluantur; et viticis semen et dictamnum Creticum utrumque pari portione ex vino albo aut aqua potui exhibeto. — Subdititium vero medicamentum parato et galbanum, lauri baccas et oleum rosaceum lana involuta in pesso subdito.

Partum accelerans. Trilicis quernae radicem ex vino tritam propinato. — Aut adiantum contere et ex vino mero potui exhibeto:

78. Quod puerperae puerperii purgamenta repurget. Testudinis marinae adhuc viventis iecur recens in lacte muliebri tritum, unguento irino et vino subactum in subdititio apponito. —

[1] διπλάσιον τούτων. — [2] ταῦτα μίξας. — [3] ποιεῖν. — [4] καταστῆσαι δὲ καὶ χρὴ τ. μ. — [5] ἂν ᾖ λευκός. — [6] πρόσθεν κύουσα. — [7] δὲ ἡ κύουσα ᾖ καὶ ἀκμάζῃ καί ἐστι πολύαιμος. — [8] τ. χρὴ τ. — [9] θερμῷ διαφλοιῶν. — [10] πρόσθες βαλὼν χαλβ. — [11] ταῦτα ἐν εἰρίῳ ἑλίξας πρόσθες. — [12] δρυωπτέριος. — [13] τρίψας ἐν ἐλαίῳ διεὶς ἀλείφειν ἐν οἴνῳ ἀκρ. — [14] περὶ λεχοῦς, τὰ λ. κ. ἄμεινον. — [15] γάλακτι δὲ γυν. — [16] ἴρινον μύρον καὶ οἶνον.

γλ. vulg., equidem ταῦτα omittere malui, Littr. e θ., qui λία fert, λεῖα dedit; — ἐκπιεῖν C. θ., πιεῖν vulg.; — εἶτα om. θ.

ὠκυτόκιον — φλεγμήνωσι.] ἄλλο pro ὠκυτ. cod. J.; — ἕτερον ὠκ. K.; — τερμινθίνην vulg., τερεβ. C.; — διπλ. τούτων vulg., τούτου D.; ego pronomen omitto et mox omitto ταῦτα ante ξυμμίξας; — πίνειν D. H.; — καταστῆσαι δὲ χρὴ καί vulg., cum Littréo C. sequor; φλεγμαίνωσιν cod. θ.

ἕτερον — ὀσφύν.] ἄλλο solum J., κυητ. solum C. θ.; — ἂν ᾖ λευκός vulg., cum Littréo C. sequor; — φοινικῷ vulg., φοινικαίῳ cod. θ., unde φοινικέῳ Littr.

ἢν δὲ — ἐνειλίξας.] Vulgo ἡ κύουσα, sed ἡ omm. C. θ., ἢν δὲ πρόσθεν κύουσα Parr. 6.; — κυοῦσα C., κύουσα vulg.; ἐνέχηται cod. θ.; — ὀδύνῃ vulg., ὠδίνῃ edd. antt., H. θ. Littr.; — νέη δὲ ᾖ vulg., νέη δὲ ἡ κύουσα ᾖ libri non pauci, δ' ἔῃ Ald. Littr. Post ἔῃ vulgo καὶ ἀκμάζῃ, quod emblema alienum reiicio; — καὶ ἐστὶ πολύαιμος Parr. 6.; — τάμνειν χρή vulgo, sed χρή omm. Ald. C. θ. — Dein θερμῷ διὰ φλοιῶν δάφνης· πιεῖν κ. τ. λ. vulg., — θερμῷ διὰ φλοιῶν τε πιεῖν Parr. 6., in quorum uno δάφνῃ additur al. m.; — θερμῷ ὡς ὑπὸ θερμοῦ διαφλύωνται πιεῖν κ. τ. λ. cod. θ., Hinc Littréus μετὰ ταῦτα λοῦσαι θερμῷ ὡς ὑπὸ θερμοῦ διαφλύωνται provocans ad Galeni glossam διαφλύξιες κ. τ. λ. — Et vero mihi quoque lectio codicis θ. vera loci scriptura videtur. Vulgatam autem θερμῷ διὰ φλοιῶν δάφνης veram scripturam non referre docet ipsa dictio θερμὸν διὰ φλοιῶν δάφνης, in qua et διά et plurale φλοιῶν miro modo ponuntur. — Dein πιεῖν τε C.; — διδόναι cod. θ.; — κρητικὸν — χαλβ. om. C.; — πρόσθες om. Lind.; βαλὼν χαλβ. Parr. 6. Q.'; — καὶ — καί omm. multi Parr.; — ταῦτα ἐν εἰρίῳ εἰλίξας πρόσθες nonnulli codd.; — ἐνελίξας cod. θ.

ὠκυτ. — ἀκρίτῳ.] ἕτερον pro ὠκυτ. J.; — ἕτερον ὠκυτ. Parr. 5.; — δρυοπτέριος vulg., δρυοπτερίδος cod. θ.; — ἐν usque ad ἐλαίῳ in vulgata om. C.; — ἤ ante καί cod. θ. Littr., vulgo om.; — ἀδ. τρίψας ἐν ἐλαίῳ διεὶς ἀλείφειν ἐν ὀ. ἀ. vulg.; — ἀδ. τρίβειν ἐλαίῳ καὶ διεῖσα πίνειν ἐν ὀ. ἀ. cod. θ. Littr.: — mihi hic corruptela latere videtur, quam quomodo tollere studuerim, textus descriptus ostendit.

78. λεχοῖ — προστιθέναι.] περὶ λεχῶν Parr. 7.; καθαί-

ζωστιν τριπτὴν ἐν εἰρίῳ πρόσθες. — Ἢ ἀρτεμισίην [1] τρίβων ἐν εἰρίῳ προστιθέναι. — [2] Ἢ λινοζώστιος καὶ σικύης ὀλίγον τρίψας οἴνῳ τε καὶ μέλιτι δεύσας προστιθέναι.

Ἐκ τόκου καθαρτήριον λοχείων. Πυροὺς τριμηνιαίους ἐρείκειν ὅσον ἥμισυ χοίνικος, [3] ἕψειν δὲ ἐν ὕδατος κοτύλῃσι τέσσερσι· ὅταν δὲ ζέσῃ, δὶς ἢ τρὶς δοῦναι ῥυφῆσαι.

καὶ καλῶς ἔχοντος καὶ ἐν τῷ δέοντι κειμένου τὰ ἐπιμήνια μὴ [1] Φαίνεται πάμπαν, ἢ ἐλάσσονα καὶ διὰ πλείονος χρόνου καὶ μὴ ὑγιηρὰ, τὴν νοῦσον ἀνευρὼν ἥντινα ἔχουσι αἱ μῆτραι, ἤν τε καὶ τὸ σῶμα ξυμβάλληταί τι, ἐξευρὼν τὸ αἴτιον [2] ὑπὸ ὅτεου οὐ κυΐσκεται, τὴν ἴησιν ποιέεσθαι προσΦέρων [3] τὸ δέον, ἀρχόμενος ἐξ ἰσχυρῶν, ὅκως ἂν δοκέῃ καιρὸς εἶναι, τελευτῶν δὲ [4] ἐς μαλθακώτερα, [5] ἕως ἂν δοκέῃ καλῶς ἔχειν καθάρσιος ἡ μήτρη καὶ ὁ στόμαχος καθεστάναι. Ἢν δ' ἀπὸ [6] τοῦ Φαρμάκου καὶ ἀπὸ τοῦ ποτοῦ [7] μὴ προχωρήσῃ, μηδὲ πινούσης χρόνον τὸν μέτριον, τοῦτο μὲν, παύσασθαι τοῦ πόματος· ὅταν δὲ καλῶς ἔχῃ τοῦ ἀπὸ τῶν μηλέων ἔργου, μαλθάξαι τὸν στόμαχον καὶ ποιῆσαι ὅκως [8] ἀναχανεῖται ἐς ὁδὸν [9] τῷ προσθέτῳ ἀπό τε τῶν θυμιητῶν καὶ [10] τῶν μαλθακτηρίων. Ὁκόταν δὲ δοκέῃ καλῶς ἔχειν μαλθάξιος καὶ θυμιήσιος, προστιθεὶς Φάρμακα κάθαρσιν ποιέεσθαι τῆς μήτρης, ἕως ἂν δοκέῃ καλῶς ἔχειν, ἀρχόμενος ἐκ μαλθακῶν ἐς ἰσχυρότερα, τελευτῶν δὲ αὖτις ἐς μαλθακὰ εὐώδεα· τῶν γὰρ ἰσχυρῶν τὰ πλεῖστα ἑλκοῖ τὸν στόμαχον καὶ εἴργει τοῦ καθεστάναι ἐς ὀρθὸν [καὶ ὑγιᾶ καλῶς ἔχοντα πρὸς τῆς γονῆς τὴν ὑποδοχὴν] καὶ τὴν μήτρην ξηρὴν ποιέει.

tem curationem adhibeto, id quod necessarium est obferens, initio a validioribus, prout opportunum videbitur, ducto et in leviora desinens, quoad uterus bene a purgatione habere et stomachus ad pristinum statum rediisse videatur. Quodsi a medicamento et potione non processerit, neque si moderato tempore biberit, primum quidem potione supersedeat; ubi vero a specillorum usu bene habuerit, os emollito et ut dehiscat viamque subdititio praebeat, per medicamenta tum ad suffitum, tum ad emolliendum accommodata efficito. Cum autem ex emollitione et suffitu bene habere videbitur, per subdititia uteri purgationem, quoad bene habere videatur, efficito progressu a levibus ad vehementiora facto, rursus autem in levia odorata desinens. Medicamenta enim valentia fere stomachum exulcerant et quominus recto loco consistat impediunt et uterum siccum reddunt.

Ἢν δέ τις γυνὴ δοκέῃ τὰς μήτρας ὑπὸ πιμέλης βεβλάΦθαι ἐς τὴν κύησιν, λεπτύνειν ὡς μάλιστα καὶ ἰσχναίνειν πρὸς τοῖσι ἄλλοισι.

Si vero mulieri uterus ad conceptum ex pinguedine offensus esse videatur, eam quam maxime extenuato et praeter alia gracilem reddito.

[1] Φαίνηται. — [2] ὑπὸ τούτου κυΐσκ. ταῦτα μὲν οὕτως. — [3] τὸ δέον ἢν δὴ ἔχηται τὴν ἴησιν ἀρχόμενος. — [4] ἐς om. — [5] ὡς ἂν δ. — [6] τοῦ om. — [7] καί pro μή. — [8] ἀναχάνηται. — [9] τῷ om. — [10] τῶν om.

ὑγιηρά C.; — ἀπότευ C., H. al. m., ἀποττεύου κυΐσκεται I. J. K.; οὐ omm. D. G., in illo vero rest. al. m.; — ὅτε μὲν οὕτως ἔχει, τὴν ἴησιν vulgo, in qua lectione τότε C., ταῦτα mss. 7. pro ὅτε; ego totum illud ὅτε μὲν οὕτως ἔχει pro otioso emblemate, repudio; — μέν om. C.; — προΦέρων idem; — δέον, ἢν δὲ (μέν Lind. pro δέ) ἔχηται τὴν ἴησιν (ἢν δὲ ἔχῃ τὴν ἴησιν omm. C. Littr.) ἀρχ. vulg.; — τελευτᾶν cett., τελευτῶν de meo; — ἐς μαλθακ. C., Foës. in adn., Littr., ἐς vulgo abest; — μαλθακώτερον D. H. J.; — ὡς vulg., ἕως C., Foës. in adn., Littr. — Post καθεστάναι ceteri ὀρθῶς ἔχων (καί addit C.) ἐν τῷ ἐξαρκέοντι κείμενος, quae verba pro additamento alieno, otioso, inepto repudio: ἐν τῷ ἐξαρκέοντι κείμενος absurdum adeo.

ἢν δ' ἀπὸ — μαλθακτηρίων.] δ' mss. sex, δέ vulg.; — τοῦ ante Φαρμάκου J. Littr., vulgo om.; — μὴ — παύσασθαι τοῦ om. C.; — χρόνου τὸ μέτριον vulg., χρόνου τὸν μ. Littr. e mss.; — τοῦτο μὲν παυσ. vulg., τούτου G. I. J. K., Littr., qui pro μέν de suo μή, s. potius e lib. περὶ ἐπικυήσιος, sed credo vulgatam h. l. potiorem esse lectionem: τοῦτο μέν in partitione ponitur, pro altero membro est ὅταν δέ κ. τ. λ.; librarii id male intelligentes, τοῦτο in τούτου mutarunt; — τὸ στόμα τοῦ στομάχου omnes, etiam libro de superfoet., sed aut τὸ στόμα solum, aut τὸν στόμαχον solum est dandum; ego hoc praefero; — ποιέειν C.; — ἀναχάνηται vulg., ἀναχανῆται C., ἀναχανεῖται Littr; — ἀπὸ τῶν τε Littr. de suo; — τῶν ante μαλθακτ. K. Littr.; vulgo om.

ὁκόταν — ποιέει.] ὅταν D.; — μαλθάξιος — ἔχειν om. C.; — ἰσχυρότερα C. H. J. Littr., ἰσχυρότερον vulg.; — τελευτᾶν cett., τελευτῶν de meo; — καὶ εὐώδεα F.; — ἰσχυρῶν Φαρμάκων cett., otiosum Φαρμ. abiicio; — ἐς ὀρθόν scripsi e lib. de superfoet., vulgo ἐς abest; — ἑλκοῖ τὸν στόμαχον καὶ δάκνει ἔπειτά τε τὸν στόμαχον εἴργει τοῦ καθ. ὀρθ. Vatt. Foësii; — καὶ εἴργει τοῦ om. C.; — καὶ ὑγιᾶ καλῶς ἔχ. C. Littr.; — δέξιν pro ὑποδοχήν C.

ἢν δὲ — ἄλλοισι.] τις om. C.; — πιμελίας mss. 4.

ϛ'. Ὥρη δὲ ἐαρινὴ κρατίστη κυήσιος· ὁ δ' ἀνὴρ μὴ [1] μεθυσκέσθω, μηδὲ οἶνον λευκὸν πινέτω, ἀλλ' ὡς [2] ἰσχυρότατον καὶ ἀκρητέστατον, καὶ σιτία σιτείσθω ἰσχυρότατα, καὶ μὴ θερμολουτείτω, καὶ ἰσχυέτω, καὶ ὑγιαινέτω, καὶ σιτίων ἀπεχέσθω τῶν μὴ ξυμφερόντων τῷ πρήγματι.

6. Vernum autem tempus ad conceptum praestantissimum. Vir vero minime inebrietur, neque vinum album, sed valentissimum et meracius bibat, cibos edat valentissimos, neque calida lavet, viribus valeat, et sanus sit et cibis ad hanc rem minime conducentibus abstineat.

ζ'. [3] Ὁκόταν δὲ δοκέῃ ἡ γυνὴ ἐκκεκαθάρθαι καὶ τὸν στόμαχον καλῶς ἔχειν τῆς μήτρης, λουσάσθω καὶ σμηξάσθω τὴν κεφαλὴν καὶ μὴ ἀλειψάσθω μηδενί· ἔπειτα ὀθόνιον ἄνοδμον περιθεῖσα περὶ τὰς τρίχας πεπλυμένον [4] κεκρυφάλῳ πεπλυμένῳ μηδενὸς [5] ὄζοντι καταδῆσαι, τὸ ὀθόνιον ὑποθεῖσα πρῶτον, ἔπειτα [6] ἀναπαυέσθω προσθεμένη χαλβάνην πρὸς τὸν στόμαχον, θερμήνασα πρὸς πῦρ ἢ πρὸς ἥλιον καὶ μαλθάξασα εὖ· ἔπειτα πρωῒ ἀπολύσασα [7] τὸν κεκρύφαλον καὶ [8] τὸ ὀθόνιον, ὀσφραίνεσθαι παρασχέτω τινὶ ἑωυτῆς τὴν κεφαλὴν καὶ ὄζει, ἢν καλῶς ἔχῃ τῆς καθάρσιος· [9] εἰ δὲ μή, οὐκ ὄζει· ἄσιτος δὲ ταῦτα [10] ποιέειν. Ἢν δὲ μὴ [11] τεκνούσσῃ προσθῇς, οὐδέποτε ὄζει, οὔτε καθαιρομένη, οὔτε ἄλλως· οὐδ' ἢν κυούσῃ προσθῇς, οὐδ' [12] οὕτω ὀζέσει· ἥτις δὲ κυΐσκεται πολλὰ καὶ ἀρικύμων ἐστὶ καὶ ὑγιαίνει, ἢν προσθῇς μὴ καθήρας, ὀζέσει [13] αὐτῆς τῆς κορυφῆς, ἄλλως δὲ οὔ.

7. Quando vero mulier expurgata videbitur et uteri stomachus bene habere, caput lavet et defricet et nullo prorsus medicamento illinatur, deinde linteo inodoro loto capillis circumposito, reticulo nihil olente loto deliget, primum subdito linteo, postea galbano ad ignem aut solem calefacto et probe emollito ad stomachum in subdititio apposito quiescat. Deinde matutino tempore soluto reticulo et linteo, caput olfaciendum alicui praebeat et si probe purgata fuerit, olet; alioqui non olet. Haec autem ieiuna faciat. Quodsi ei, quae non parit, subdideris, numquam neque purgata, neque aliter olebit; neque si praegnanti supposueris, olebit. Quae vero crebro praegnans est et facile concipit et bona valetudine fruitur, si etiam non purgatae subdideris, ei vertex olebit, alioqui non.

η'. Ὅταν δὲ γνῷς καλῶς ἔχειν, παρὰ τὸν ἄνδρα κέλευε ἰέναι, καὶ ἡ μὲν γυνὴ ἄσιτος ἔστω, ὁ δ' ἀνὴρ ἀθώρηκτος, ψυχρῷ δὲ λελουμένος καὶ εὐωχημένος σιτία ὀλίγα ξύμ-

8. Cum vero bene habere cognoveris, ad virum adeat iubeto. Et mulier quidem cibis abstineat, vir autem minime temulentus, sed frigida lotus et qui paucos et conferentes cibos

[1] μεθυσκέτω. — [2] ἰσχυρότερον καὶ ἀκρατέστερον. — [3] ὅτω. — [4] κεκρυφάτω. — [5] ὄζοντος. — [6] ἀναπαύσασθαι. — [7] τό. — [8] τὰ ὀθόνια. — [9] εἰ δ' οὖν οὐκ ὄζει. — [10] ποιείτω. — [11] τεκούσῃ. — [12] οὕτως. — [13] αὐτῆς κορυφῆς. ἄλλο δὲ οὔ.

6. ὥρη — πρήγματι.] cf. lib. de superfoet. § 30. — δ' C.; — ἀρίστη pro κρατίστη L. Lind.; — μεθυσκέσθω C. Lind., Littr., Vatt., Foësii, l. l. μεθυσκέτω vulg., uti V.; — μηδ' C.; — ἀλλ' ὅστις ἰσχυρότατος καὶ ἀκρητέστατος L., ἰσχυρότερον καὶ ἀκρητέστερον vulg., cf. lectt. V.; — σιτείτω D.; — πράγματι C.

7. ὁκόταν — ποιέειν.] cf. lib. de superfoetatione § 25., unde iam Foës. monuit plures lectt. esse huc transferendas; — ὅτῳ vulg., ὅταν Lind., Littr.; — δοκέει mss. 6.; — ἀλείψηται μηδέν vulg.; sequor L. Lind.; — καὶ κεκρυφ. K., καὶ κρυφάλῳ Parr. 4.; — ἢ μηδενός L. Lind.; — ὄζοντος vulg., ὄζοντι C. L. Foës. in adn., Lind., Littr.; — ὑποτιθεῖσα D. H. al. m., ἐπιθεῖσα L.; — ἀναπαύεσθαι vulg., παυέσθω L., ἀναπαυέσθω Lind.; — πρός Ald., mss. 6., Littr., vulgo om.; — τὰ ὀθόνια vulg., τὸ ὀθόνιον C., Foës. in adn., Littr.; — παρασχέσθω C., παρεχέτω D.; — εἰ δ' οὖν pro εἰ δὲ μή mss. 7. apud Littr., cf. lectt. V.

ἢν δὲ μὴ — οὔ.] εἰ C.; — τεκνούσῃ vulg., τεκνούσσῃ F. G. I.; — θαμέως καὶ μὴ ἀρικύμων pro πολλὰ καὶ ἀρικ. L.; — μηδὲ καθήρας vulgo, μή de meo; — αὐτή vulgo, αὐτῇ J., Foës. in adn., Lind., αὐτῆς mss. 6., Foës. in adn.; — ἡ κορυφή Foës. in adn., Lind.; — ἄλλο δὲ οὔ vulg., ἄλλοτε δὲ οὔ Ald., mss. 4. Littr.; praestat ἄλλως me iudice; si legas αὐτὴ ἡ κορυφή vel αὐτῆς ἡ κορυφή, vel αὐτῇ ἡ κ. cum Foësio, vulgatum ἄλλο constare poterit. — vid. lib. l.

8. ὅταν δὲ γνῷς — ξύμφορα.] cf. de superfoet § 26. — κέλευε om. C.; — καί om. idem; — ἔσται vulg., ἔστω mss. 5. Lind.; — καί ante εὐωχ. om. C.; — εὐωχημένος

φορα. Καὶ ἡ γυνὴ, ἣν γνῷ ξυλλαβοῦσα τὴν γονὴν, μὴ ἐλθέτω παρὰ τὸν ἄνδρα τοῦ πρώτου χρόνου, ἀλλ' ἡσυχαζέτω· γνώσεται δὲ, ἢν [1] ὁ μὲν ἀνὴρ φῇ ἀφιέναι, ἡ δὲ γυνὴ ἀγνοῇ ὑπὸ ξηρότητος. Ἢν δὲ ἀποδῷ πάλιν ἡ μήτρη τὴν γονὴν τῆς αὐτῆς ἡμέρης, [2] ἔσται ὑγρὴ, καὶ ἢν γένηται ὑγρὴ, αὖτις μιγνύσθω τῷ ἀνδρὶ μέχρις ἂν ξυλλάβῃ.

θ'. [3] Ἄλλη θεραπείη. Πυριήσας τὸ σῶμα ὅλον, καθῆραι ἄνω καὶ κάτω, εἶτα [4] ὄνειον γάλα μεταπίσας πυριῆν τὰς μήτρας [5] δι' αὐλοῦ, δύο μὲν ἡμέρας οὔρῳ γυναικείῳ σαπρῷ καὶ [6] νίτρον ἐμβάλλειν, τῇ δὲ τρίτῃ βοείῳ οὔρῳ· τῇ δὲ τετάρτῃ καὶ πέμπτῃ τρίψας μαράθρου σπέρμα καὶ ἀκτῆς φύλλα καὶ δάφνην καὶ κυπαρίσσου πρίσματα, [7] ἑψῆσαι ὕδωρ ἐπιχέας· δεῖ δὲ μετὰ τὴν πυρίησιν λουσαμένην πολλῷ θερμῷ προστίθεσθαι στέαρ ἡδυντὸν ἐκ τῆς πυρίης εὐθὺς καὶ ἐς νύκτα· μετὰ δὲ σμύρνην στακτὴν καὶ βούτυρον καὶ χηνὸς ἄλειφα καὶ ἐλάφου μυελὸν καὶ ῥητίνην καὶ νέτωπον, ἴσον ἑκάστου ξυμμίξας, [8] διατήξας, προστιθέναι ἐν εἰρίῳ [9] Μηλησίῳ μαλθακῷ, ὡς εὐειροτάτῳ· μετὰ δὲ ἀναστομοῦν τὴν μήτρην μολιβδίοισι ἐληλασμένοισι ὀκτωδακτύλοισι πέντε· τὸ πρῶτον ἔστω λεπτὸν, τὸ δὲ δεύτερον παχύτερον, καὶ τἄλλα θάτερον θατέρου παχύτερον· ἀναστομοῦν δὲ

in convivio sumpserit. Quodsi mulier se genituram concepisse noverit, primo tempore ne virum adeat, sed quiescat. Noscet autem, si vir se emisisse dixerit, mulier vero propter siccitatem ignoret. Quodsi rursus eadem die uterus genituram reddiderit, humida erit, quo casu rursus cum viro congrediatur, quoad concipiat.

9. Alia curatio. Post fomentum universo corpori adhibitum sursum et deorsum purgato, deinde lacte asinino postea epoto, uterum duobus diebus per fistulam urina muliebri putrida nitro immisso foveto, tertio vero urina bubula. Quarto autem et quinto die foeniculi semen tritum, sambuci folia, laurum et cupressi ramenta aqua affusa decoquito. Post fomentum vero ubi copiosa calida laverit, statim a fomento adipem aromatibus conditum sub noctem subdere oportet. Postea myrrham stacten, butyrum, anserinum adipem, cervi medullam, resinam, netopum; haec singula aequis portionibus commixtis liquata, ex lana Milesia molli bene carminata in subdititio apponito. Postea quinque plumbeis penicillis ad octo digitorum longitudinem ductis uterum dilatato. Primus tenuis esto, secundus vero crassior, reliquique alter altero crassior. Aperito vero per quinque dies et semper ubi lota fuerit, supponat, et

[1] μὲν ὁ ἀνὴρ φῇ ἀφικέναι. — [2] ἔστιν. — [3] ἄλλη θερ. om., sed spatium vacuum relictum est. — [4] ὀθόνιον. — [5] δι' ἄλλου δύο ἡμ. — [6] λύτρον. — [7] ταῦτα ἑψῆσαι. — [8] καὶ διαρήξαντα. — [9] μαλθ. μηλησίῳ.

mss. 8., Littr., εὐωχυμένος Ald., εὐωχούμενος vulg.; — ξυμφ. σιτ. ὀλ. C.

καὶ ἡ γυνὴ — ξηρότητος.] ἣν γνῷ γυνή J.; — ἔλθῃ ceteri; — ἢν μὲν ὁ ἀνήρ vulg., cum Littréo C. sequor; — ἀφικέναι vulg., ἀφιέναι L., Foës. in adn., Lind., Littr.

ἢν δὲ — ξυλλάβῃ.] τῷ ἀνδρί om. C.; — ἄχρις ἂν idem.

9. ἄλλη θεραπείη — σμύρνῃ.] θεραπεία D.; — καὶ πῖσαι καθῆραι C., πῖσαι καθῆραι vulg., sed dittographia est, e qua retineo καθῆραι; — ὀθόνιον, uti V., mss. 5. Littréi; — μεταπίσαντα ceteri omnes; — δύο μὲν ἡμ. C., sed μέν om. vulg.; — λίτρον vulg., νίτρον D.; — ἐπιχέαντα ceteri omnes; — προστιθέσθω C. pro vulgato προστιθέναι, nec tamen δεῖ om. secundum Littréi adn.; itaque medium προστίθεσθαι de meo dedi, quod nisi facias, λουσαμένῃ erit scribendum; — στέαρ ἡδυντόν ex h. l. Galenum explicare monet Foës. in Oecon.; — καὶ ἐς νύκτα om. J.; — μετὰ δὲ σκευάζειν ξυμμιγνὺς σμύρνην κ. τ. λ. vulgo, sed σκευάζειν abundat primum et quum infra ξυμμίξαντα, διατήξαντα legatur, etiam ξυμμιγνύς otiosum est; quapropter utrumque reieci; — simul autem infra pro vulgato ξυμμίξαντα, διατήξαντα nominativos dedi; — ἄλειφαρ D. tum hoc loco, tum deinceps aliis, quod non amplius noto; — καὶ διατήξαντα C. H.; — μηλησίῳ mss. 6., edd. antt.; — δέ ante δεύτερον om. D.; — τὰ ἄλλα C.; — παχύτερα D. — Porro ἀναστομοῦνται vulg., ἀναστομοῦντα D.; emendat Littr.; πίπτῃ cett., ἐκπίπτῃ de meo; — μολύβδια vulg., μολίβδια C. D. J.; — σικυώνης σπόγγον ex h. l. exponit Gal. — Dein φορύξαντα καὶ φυρήσαντα omnes, sed hoc est δὶς ταὐτόν, legendum vero pro φυρήσαντα est ποιήσαντα; — seu potius φορύξας καὶ ποιήσας dandum est; — κατελίξαι C.; — τῇ χολῇ τοῦ ταύρου cett., ego τῇ et τοῦ abigo, tum etiam accusativo ista describo: — καὶ ἄνθει ὀπτῷ καὶ λίτρῳ vulgo, sed ἄνθος nude pro χαλκοῦ ἄνθος dubium, tum vero ἄνθος χαλκοῦ, et χαλκὸς κεκαυμένος s. ὀπτός nota sunt, non ἄνθος χαλκοῦ ὀπτόν; puto vulgatam natam esse ex καὶ Αἰγυπτίῳ νίτρῳ, C. adeo fert αὐθεγοπτῷ; — hoc autem item ut superiora accusativo dedi, quemadmodum etiam σμύρνην pro σμύρνῃ scripsi. — In seqq. vulgata fert διέντα ὀθόνιον λεπτὸν ἀναδύσαντα καὶ ἄνω τὸ ὀθόνιον περιελίξαντα τῷ φαρμάκῳ προστιθέναι, in quibus λεπτὸν — ὀθόνιον om. J.; sed ista verba sensu cassa sunt, legendum est: ἐς ὀθόνιον λεπτὸν ἀναδήσαντα προστιθέναι καὶ ἄνω τὸ ὀθόνιον

πέντε ἡμέρας· αἰεὶ δὲ λουσαμένη προστιθέσθω καὶ ἀναδείσθω ἐκ τῆς ὀσφύος, ὡς μὴ ἐκπίπτῃ, καὶ ὠθείτω τὰ μολίβδια αἰεὶ ἀνωτέρω, τὸ δὲ τελευταῖον ὡς ἀνωτάτω· ἐπὴν δὲ ἀναστομώσῃ, προσθεῖναι καθαρτικὸν, τρίψας κανθαρίδας πέντε καὶ σικυώνης μακρῆς σπόγγον καὶ σμύρναν· ταῦτα μέλιτι ἑφθῷ φορύξας καὶ ποιήσας [1] βαλάνιον εἰρίῳ κατειλίξαι πλὴν τοῦ ἄκρου· ἔπειτα εἰς ἄλειφα βάψας ὡς ἥδιστον προσθεῖναι· χρῆσθαι δὲ καθαρτικῷ καὶ τούτῳ· — χολὴν ταύρου καὶ Αἰγύπτιον νίτρον καὶ σμύρνην, [2] μέλιτι ὀλίγῳ διεὶς ἐς ὀθόνιον λεπτὸν ἀναδήσας καὶ ἄνω τὸ ὀθόνιον περιαλείψας προστιθέναι· [3] χρῆσθαι δὲ καὶ βουπρήστι ξὺν σμύρνῃ καὶ ἐλατηρίῳ ξὺν μέλιτι ἑφθῷ καὶ τῇσι κανθαρίσι ξὺν τῷ ἐλατηρίῳ τε καὶ τῇ σμύρνῃ. Ἐπὴν δὲ καθαρθῇ, τῇ ὑστεραίῃ λούσας κλύσαι τὴν μήτρην, κύμινον Αἰθιοπικὸν [4] τρίψας καὶ μελάνθιον καὶ ῥητίνην, καὶ ἄλειφα καὶ μέλι καὶ οἶνον γλυκὺν ξυμμίξας καὶ ἀναχλιήνας· ἐπὴν δὲ κλύσῃς, ἀναστήσας [5] περιϊέναι κελεύειν, ὅκως τὸ κλύσμα διασείηται. Προσθεῖναι δὲ κρόκον καὶ σμύρναν καὶ λιβανωτὸν ἐν ῥάκεϊ λινέῳ ἀποδέων ξηρὸν ἴσον ἑκάστου, ξυμμίσγων [6] χηνὸς ἄλειφα, περιχρίων τὸ ῥάκος· τοῦτο δὲ προστιθέναι ἑπτὰ ἡμέρας· τῇ δὲ ὀγδόῃ θυμιῆσαι σμύρνην καὶ ἄσφαλτον καὶ κριθὴν, εὐώδεϊ ἀλείφατι [7] πεφυρημένα ἐπὶ μαλθακὸν [8] πῦρ ἐπιβαλὼν, θυμιῆν δὲ δι' αὐλοῦ. Ἐπὴν δὲ θυμιήσῃς, τῇ ὑστεραίῃ τρῖψαι κάστορος ὄρχιν, οἶνον λευκὸν παραχέων καὶ μήλῃ ἀμφιπλάσας καὶ εἰρίῳ κατελίξας προσθεῖναι ἐς νύκτα· ὄρθρου δὲ ἀνελομένη καὶ διαμαλαξαμένη ἴτω παρὰ τὸν ἄνδρα καὶ ξυγκοιμηθεῖσα

ne decidant ex lumbis deliget et penicillos semper altius intrudat, postremum vero quam penitissime. Ubi autem aperuerit, purgans medicamentum subdito, cantharidas quinque tritas et cucurbitae longae interiorem partem spongiosam et myrrham. Haec ex melle cocto subacta et in glandem efformata lana parte summa excepta convoluta, deinde oleo suavissimo intincta supponito. Hoc etiam purgatorio utendum: fel tauri, et nitrum Aegyptium et myrrham modico melle diluta tenui linteo illigata et linteo superna parte inuncto supponito. Utendum etiam bupresti cum myrrha et elaterio cum melle cocto et cantharidibus cum elaterio et myrrha. Postquam vero purgata fuerit, postridie cum laverit, uterum colluito. Cuminum Aethiopicum tritum, melanthium, resinam, oleum, mel et vinum dulce; haec mixta et tepefacta collutione adhibeto. Ubi autem collueris, eamque erexeris, obambulare iubeto, quo collutio concutiatur. Crocum, myrrham, thus, singula pari portione sicca, lineo linteo deligata subdito et ammixto anserino adipe linteum oblinito, quod per dies septem supponito; octavo vero suffitum adhibeto ex myrrha, bitumine et hordeo, oleo odorato subactis et in lenem ignem coniectis per fistulam suffito. At postquam suffitum adhibueris, postero die castoris testem ex vino albo affuso tritum, specillo circumpositum lana obvolutum, sub noctem supponito. Quem cum mane subtraxeris, et emollita fuerit, ad virum accedat et ubi condormierit quiescat, sique primo non conceperit, rursus subdito virum adeat. At euntibus mensibus curationem per medicamenta auspicari oportet, desinentibus vero supposito

[1] φάλανον. — [2] καὶ μέλιτι διέντα. — [3] χρὴ δὲ καί. — [4] τρίψαντα. — [5] καὶ περιϊέναι. — [6] χηνός τε ἀλ. — [7] πεφυρμένῳ. — [8] ἐπιβάλλων πῦρ.

περιαλείψαντα προστιθέναι. Quod sine mora in textum introduxi. Tum τῇ ante σμύρνῃ et τῷ ante μέλιτι ceteri, ego articulos reieci; — contra C. om. τῇ ante σμύρνῃ in fine loci. — Participia διείς, ἀναδήσας, περιαλείψας de meo nominativo descripsi; in mss. accusativo proferuntur.

ἐπὴν δὲ — διασείηται.] λούσαντα ceteri omnes; — ἄλειφαρ D.; — καὶ οἶνον γλυκύν· ταῦτα μίξας ceteri; ego otiosum ταῦτα eieci, tum vero ξυμμίξας pro simplice verbo dedi. — Porro κλύσαι, quod post ἀναχλιήνας iterum ponitur in edd. et mss., eieci.

προσθεῖναι — αὐλοῦ.] λινέῳ Parr. 7.; — χηνός τε vulg., sed τε omm. C. Littr.; — θυμιῆσαί τε C.; — σμύρνῃ καὶ ἀσφάλτῳ καὶ κριθῇ vulgo, de coniectura in accusativos mutavi; — ἐπιβαλὼν πῦρ vulg., πῦρ ἐπιβάλλων C.; πῦρ ἐπιβαλών Littr.; — δέ de meo interposui. Rursus in hac periodo accusativos ἀποδέοντα, ξυμμίσγοντα, περιχρίοντα in nominativos mutavi de meo.

ἐπὴν — ἐλθέτω.] καὶ αὐτὸν μήλῃ ἀμφιπλ. vulgo; ego abegi otiosum pronomen; — sed Foës. in adn. scribit interpretes legisse: καὶ αὐτὸν μέλιτι ἀμφιπλάσας, quod non praeplacet prae vulgata; — κατειλίξας J.; — διαμαξαμένη C.; — ἐχέτω ἀτρέμα C. pro ἀτρεμείτω; — καὶ ἐὰν

ἀτρεμείτω· καὶ ἐὰν μὴ [1] ἐπὶ τοῦ πρώτου κυήσῃ, αὖθις προσθεμένη παρὰ τὸν ἄνδρα ἐλθέτω. Ἄρχεσθαι δὲ χρὴ φαρμακεύοντα, ἐπειδὰν ἔλθῃ τὰ καταμήνια· ληγόντων δὲ χρὴ τὸ κυητήριον [2] προσθεμένην ξυγκοιμᾶσθαι· τοῦ δὲ πρόσθεν χρόνου μὴ ἴτω ἆσσον τοῦ ἀνδρός.

ad conceptum faciente medicamento viro condormiendum. Ante hoc tempus vero ne ad virum accedat.

ι'. Ὅταν δὲ ἡ γυνὴ μὴ κυΐσκηται εἰωθυῖα πρότερον κυΐσκεσθαι, τοῦ ἀνδρὸς δὲ τὴν γονὴν ἐσδέχωνται αἱ μῆτραι ἐς ἑωυτὰς, ἀνάγκη [3] πάγχυ διορροῦν τὴν γυναῖκα αὐτήν· ἐνίοτε μὲν γὰρ ἐν τῇσι μήτρῃσι πῦον ἐγγίγνεται· τὸ δὲ πῦον τὸ ἐν τῇσι μήτρῃσι ἀπὸ φυμάτων γίγνεται· καὶ διὰ δὴ τοῦτο ἡ γονὴ τοῦ ἀνδρὸς, ὅταν μίσγηται, οὐχ ἅπτεται τῆς μήτρης, ἵνα δεῖ πήγνυσθαι· τὸ γὰρ πῦον ἀμαυροῖ, ὥστε μὴ προσφέρεσθαι· τέγγει γὰρ τὸ πῦον καὶ σήπει τὴν γονήν· δεῖ [4] δὲ τό τε πῦον ἐκκαθῆραι τῶν μητρέων καὶ τὸ φῦμα [τὸ ἐν τῇ δελφύϊ] καταστῆσαι, ὅκως τὸ λοιπὸν μὴ κωλύῃ τὴν γονὴν προσφέρεσθαι καὶ πήγνυσθαι· ταχύνειν δὲ χρὴ [5] ἐκκαθαίροντα πρὶν ἢ πωρωθῆναι τὸ πῦον ἐν τῇσι μήτρῃσι. Κλύσαι δὲ χρὴ τὰς μήτρας ὧδε· ἵππειον γάλα ἑψήσας διεὶς διὰ κρησέρης ὡς λεπτοτάτης καὶ καθαρωτάτης, [6] τούτῳ κλύζειν, κλυστῆρα ἐπιτήδειον ποιησάμενος· τὸ μὲν ἄκρον τοῦ κλυστῆρος λεῖον ἔστω, οἷόν περ μήλης ἀργύρεον· καὶ παρ' [7] αὐτὸ τετρυπήσθω [8] ἀπολεῖπον ὀλίγον τὸ τρῆμα· εἶναι δὲ δεῖ καὶ [9] ἄλλας ἐκτρήσιας, — διαλειπέτω

10. Cum autem mulier antea concipere solita non concipit, viri genituram in se recipiente utero, necesse est ut mulier eam diluendo perdat. Interdum enim pus intra uterum gignitur, quod ex tuberculis in utero subnatis oritur. Eam autem ob causam viri genitura in congressu uterum non attingit, quo coalescere possit. Pus enim eam retundit, ita ut adhaerescere non possit. Pus enim madefacit genituram et putrefacit. Pus igitur ex utero expurgare convenit et tuberculum componere, [quod in utero inest,] ne in posterum impedimento sit, quo minus genitura admoveatur et concrescat. Celeriter igitur, prius quam pus in utero in totum induresсat, expurgare oportet. Uterus vero ad hunc modum colluendus: — lac equinum percoctum per tenuissimum et purissimum lineum excussorium transmissum infundito, idoneo ad infundendum instrumento confecto. Clysteris quidem summa pars laevis esto, velut specilli argentea, supra quam interiecto parvo spatio foramen perforetur. Sint autem et alia foramina hinc et illinc aequaliter inter se distantia ex obliqua clysteris parte singula non magna

[1] ἐπί om. — [2] προσθέμενοι. — [3] πάγχυ οὐρέει. — [4] δέ. — [5] ἐκκαθαίροντα — χρή om. — [6] τοῦτο. — [7] αὐτά. — [8] ἀπολίπων (sic). — [9] ἄλας.

μή C., καὶ ἂν μή cett.; — ἐπί. uti V. omm. codd. 5. apud Littr.; — προσθεμένη αὐτὸ τοῦτο vulg., τοῦτο om. Lind., ego utrumque pron. abigo; — ἴτω C.

ἄρχεσθαι — γυναῖκα.] προσθεμένη vulg., προσθεμένην C. Littr.; — πρόσθε C.; — χρόνον μήτε ἡ γυνὴ (ἡ γ. om. C.) ἴτω ἆσσον τοῦ ἀνδρὸς, μήθ' ὁ ἀνὴρ παρὰ τὴν γυναῖκα omnes, quod est ridiculum, quare resecui quae emblemata aliena esse videbantur.

10. ὅταν δὲ — μήτρῃσι.] δέ om. C.; — vulgo ἀνάγκη πάγχυ (παχύ Vatt. Foësii, Calvus, C., Littréus) οὐρέειν τὴν γυναῖκα ταύτην; — Foësius οὐρέειν accepit quasi διορρεῖν, διορροῦν scriptum esset, quem quidem sensum loco inesse debere fateor, sed ideo malui διορροῦν scribere, ut aliis locis in Cnidiorum libris feci. Simul autem pro ταύτην, quod librarii nihil intelligentes ad γυναῖκα referentes scripserunt, de meo αὐτήν dedi; — τὸ πῦον ἐγγίνεται vulg., abiicio articulum; — vulgo διὰ δὴ τοῦτο, de meo καί praemisi; διὰ τοῦτο J. sine δή, — ἵνα δὴ (δεῖ C. J. Littr.) πήγνυσθαι τὴν γονὴν τοῦ ἀνδρός vulg., sed τὴν γονὴν τοῦ ἀνδρός omitto; otiosum emblema est. Pro vulgato τέθνηκε C. Vatt. Foësii τέγγει, quod praefero; — δεῖ δή cett., δεῖ δέ cum Voss. lego; — καθῆραι D.; — τὸ φῦμα om. C.; — causa quare de τὸ ἐν τῇ δελφύϊ dubitem, haec est: nomen δελφύς in his libris de morbis mulierum alio loco me legere non memini; video nunc Foës. in Oecon. ex hoc solo loco citare; ista loci ulceris definitione facile careo; itaque vereor ne sit emblema recens, quod uncis intersepsi; — πήγνυσθαι καὶ προσφέρεσθαι (προσγίνεσθαι Vatt. Foësii) cett., de meo mutavi ordinem vocabulorum; — ταχύνειν δὲ δεῖ D. Q.' Lind.

κλύσαι — δακτύλων.] διὰ κρίτρης (δι' ἄκρης ἄρης Ald., mss. 7., διὰ κρησέρης Foës. in adn. et Oecon., Littr. ex C.) vulg.; — τοῦτο J.; — παρ' αὐτά (αὐτό C. Vatt. Foësii, Littr., παραυτίκα legisse Cornarium Foës. adnotat) vulg.; — τοῦ κλυστῆρος ἀπολεῖπον ὀλίγον τὸ τρῆμα ceteri, equidem

[1] δὲ ἴσον ἑκάστῃ ἔνθεν καὶ ἔνθεν ἐκ τοῦ πλαγίου τοῦ [2] κλυστῆρος, — καὶ μὴ μεγάλας ἀλλὰ στενάς· τοῦ [3] δὲ κλυστῆρος ἡ μὲν κορυφὴ στερεὴ ἔστω, τὸ δὲ ἄλλο πᾶν κοῖλον ἔστω ὡς αὐλίσκος· προσδῆσαι δὲ κύστιν συὸς θηλείης, δεψήσας εὖ μάλα· ἐπὴν δὲ προσδήσῃς, ἐγχέαι τὸ γάλα ἐς τὴν κύστιν, ἐς τὰς [4] τρήσιας ἐνθεὶς ῥάκος λεπτῆς ὀθόνης, ὅκως μὴ τὸ γάλα ἐκρέῃ· ἐπειδὰν δὲ [5] πλήσῃς τὴν κύστιν, ἀποδῆσαι καὶ δοῦναι τῇ γυναικὶ αὐτῇ, ἣν μέλλεις κλύζειν· [6] κείνη δὲ ἐξελοῦσα τὸ [7] βύσμα, ἐς τὴν μήτρην ἐνθέσθω· αὐτὴ δὲ [8] εἰδήσει ὅκου δεῖ· ἔπειτα πιέζειν τῇ χειρὶ τὴν κύστιν, ἔστ' ἂν τὸ πῦον ἐκρυῇ ἔξω [9] πᾶν· δῆλον δὲ τοῦτο [10] ἔσται, ἐπὰν μηκέτι ἐξίῃ τὸ πῦον ἅμα τῷ γάλακτι· δῆλον γὰρ ὅτι οὐκέτι ἔνεστι· — τότε οὖν χρὴ παύεσθαι· καὶ μετὰ τοῦτο, [11] ἐπὴν ἀναψυχθῇ ὀλίγον χρόνον, [12] σικυώνης ξηρῆς πεφυκυίας τὸν πυθμένα ἀποπρίσας καὶ τῆς κορυφῆς τὸ ἄκρον, ὡς ἂν τετρημένον ᾖ, ὁμοῖον ποιήσας, πάχος δὲ [13] λεπτότερον ὀλίγον, ὡς ἀνδρὸς [14] αἰδοῖον, περιθεῖναι [15] τεῦχος, οἴνου ἐμπλήσας· [16] ὁ δὲ οἶνος ἔστω ἀνθοσμίας ὡς εὐωδέστατος καὶ ἰσχυρότατος καὶ παλαιότατος· ἔπειτα λίθον μέλανα διαφανῆ ἐμβάλλειν ἐς τὸν οἶνον· καὶ περιθεῖναι [17] σικυώνην χαλκοῦ λευκοῦ· καὶ ἡ

sed angusta. Clysteris quidem summus apex solidus esto, at reliquum totum cavum velut fistula, cui suis femineae vesica probe subacta alliganda. Ubi eam alligaris, infuso in vesicam lacte, in foramina tenue linteum immittito, ne lac effluat. Postquam impleveris, vesicam alligatam mulieri ipsi, quam lavaturus es, exhibeto. Illa vero detracto obturamento in uterum indat. Noscet autem ipsa ubi indere oporteat. Deinde vesicam manu comprimito, quoad pus omne foras effluxerit. Quod manifestum fiet, ubi pus non amplius cum lacte exierit. Tunc enim cum amplius nullum inest, desistere oportere manifestum est. Ac dein postquam modico tempore recreata fuerit, cucurbitae resiccatae fundo et verticis summo resecto, ita ut perforatum sit, simili facto, sed crassitie paulo tenuiore quam pudendum virile, vas circumponito vino repletum. Sit autem vinum odoris suavissimi et fragrantissimi et validissimum et vetustissimum. Deinde lapidem nigrum candentem in vinum immittito. Postea cucurbitam ex aere albo circumponito, et mulier circum cucurbitae glandem, quam paraverit quemadmodum convenit, insideat. Curandum autem ut aeneam et externam cucurbitam duobus digitis superet.

[1] δέ abest et tum χρὴ κύστιν. — [2] κλυστῆρος ἑκαστης ἴσον καὶ μὴ μεγάλα, ἀλλὰ στενά — [3] μέν. — [4] μήτρας. — [5] πλείσῃς. — [6] ἐκείνη. — [7] κλύσμα. — [8] εἰδρήσει. — [9] πᾶν om. — [10] ἔστιν (sic). — [11] ἐπὴν οὖν. — [12] σικύης. — [13] λεπτότατον. — [14] αἰδοῖον ἅτε εὖ αἰδοῖον τοῦτο περιθ. — [15] τάχος. — [16] ὁ δὲ οἶνος om., sed ἔστω δὲ ἀνθ. legitur. — [17] σικυώνης.

τοῦ κλυστῆρος pro otioso emblemate abiicio. In εἶναι δὲ δεῖ de meo δεῖ addidi; — καὶ τὰς ἄλλας vulgo, sed τάς om. Littr. cum C., uti opinor; — δέ post διαλειπέτω omm. libri nonnulli. Illud ἑκάστης ἴσον, quod vulgata, quam e V. enotavi, fert, cum C. omisit Littréus et ex eodem μεγάλας et στενάς feminine scripsit. Dein τοῦ μὲν (δέ C.) κλ. ἡ (addunt μέν mss. 7.) κορ. vulg.; cum Littréo C. sequor; — δῆσαι δὲ χρή vulgo, προσδῆσαι δέ sine χρή de meo; — ταύτην δὲ ἑψήσας (ψήσας C. Littr. ξύσας Calvum et Cornarium legisse opinatur Foës., verum probabile est eos ψήσας expressisse) εὖ μάλα ceteri, sed in his ταύτην insiticium et δὲ ἑψήσας e δεψήσας natum est. Porro ἐπὴν δὲ (δέ om. D.) προσδήσας (προσδήσῃς C. Littr.) vulg.; — ἐγχέῃς K., nempe quum supra προσδήσας legeret; — τρήσιας C., Foës. in adn., Littr., μήτρας vulgata; — ἐκρέῃ de meo, ῥέῃ ceteri; — πλήσῃς C. H. Littr., κλύσῃς vulg., pro quo κλείσῃς legere volebat Foës.; — ἣν μέλλῃς J.; — κλύσμα vulg., sed βύσμα C. H. al. m., Foës. in adn., Littr., κλεῖσμα altera est emendatio Foësii a Lindano recepta; — αὕτη C. pro αὐτή; — εἰ δεήσει vulg., εἰδήσει Vatt. Foësii, C., Foës. in adn., Lind., Littr.; — ἔπειτα δὲ πιέζειν vulg., sed δέ cum C. omisi. In sequentibus πᾶν Vatt. Foësii et hic ipse in adn.; idem C. praebuit Littréo, ceteri omm., — οὖν post τότε de meo; — ἐπὴν οὖν ψυχθῇ (ἀναψυχθῇ C., Foës. in adn., Lind., Littr.) ὀλίγον (ὀλ. omm. C. H. Lind., Littr.) ὀλίγον χρόνον vulgata; — ψυχρῆς pro ξηρῆς J.; — ἀποτρήσας vulgo, sed ἀποπρίσας D. rest. al. m., J., ἀποπρήσας C. H., unde veram lect. dedi; nam ἀποτρήσας in hoc rerum et verborum nexu incongruum est. Iam vero vulgo: ὡς ἂν τετρημένον ᾖ, τοῦτο (τούτῳ J. K.) ὅμοιον ποιήσας τὸ ἄλλο (τἄλλο C., τ' ἄλλῳ Vatt. Foësii in adn., τῷ ἄλλῳ Lind., ἄλλον D.) πλὴν τὸ ἄκρον, καθάπερ τοῦ κλυστῆρος τὸν αὐτὸν τρόπον· πάχος δὲ λεπτότερον ὀλίγον ὡς ἀνδρὸς αἰδοῖον ἐστιν (addunt εὖ αἰδοῖον mss. 7., ἐς αἰδοῖον C.) τοῦτο περιθεῖναι ἐς τεῦχος (αἰδοῖον Vatt. Foësii) οἴνου ἐμπλήσας τὸ τεῦχος· ὁ δὲ οἶνος ἔστω (ἔστω δέ pro ὁ δὲ οἶνος ἔστω mss. 7.). Haec sana non sunt, mihi vero emblematis referta videntur, quae resecui, quod e textu descripto patet; incongruum autem est τοῦτο περιθεῖναι ἐς τεῦχος, pro quo περιθεῖναι τεῦχος lego omittens simul τὸ τεῦχος post ἐμπλήσας. In iis, quae sequuntur, ἀνθοσμίης ἔστω C.; ἀνθοσμίας ex h. l. exponit Erot.; — ξηρότατος vulgo, dedi vero ἰσχυρότατος ex Foësii

γυνὴ ἀμφικαθιζέσθω περὶ τὴν βάλανον τῆς σικύης, ποιήσασα ὁκοῖον δεῖ· ὅκως δὲ ὑπερέξει τὴν χαλκῆν καὶ ἔξωθεν σικυώνην [1] δύο δακτύλοιν.

ια'. Ὅταν δὲ μὴ δύνηται ἡ γυνὴ τὴν γονὴν δέχεσθαι, πᾶσα ἀνάγκη μήνιγγα ἐπιπεφυκέναι τῷ στόματι τῶν μητρέων. Δεῖ δὲ ἰὸν χαλκοῦ καὶ χολὴν ταύρου καὶ ὄφιος στέαρ [2] ξυμμῖξαι ὁμοῦ, εἶτα εἴριον λαβόντα ἀναδεῦσαι τῷ φαρμάκῳ καὶ ἐνελίξαι ἐς ὀθόνιον βύσσινον, μέλιτι [3] ὑποχρίσαντα καὶ ποιῆσαι πρόσθετον ὅσον ἐλαίην τὴν μεγίστην· εἶτα προστιθέναι πρὸς τὸ αἰδοῖον νύκτα ὅλην· ὑπτίη δὲ κείσθω· τὴν δὲ ἡμέρην ἀφαιρείσθω καὶ λουέσθω θερμῷ ὕδατι ἀπὸ μυρσίνης ὡς πλείστῳ· ἔπειτα δι' ἡμέρης προστιθέσθω, [4] ἑκάστης δὲ νυκτὸς ἀφαιρείσθω· μετὰ δὲ ξυνέστω.

11. Ubi vero mulier genituram excipere non potest, membranam uteri osculo adnatam esse omnino necesse est. Aeris autem florem, fel tauri et serpentis adipem una miscere oportet; deinde medicamento lana excepto et linteo byssino involuto, linteo melle sublito glandem olivae maximae crassitudine conficito; mox per totam noctem in pudendum subdito. Supina autem iaceat et per diem auferat et quam plurimo myrti decocto calido lavet. Postea vero interdiu apponat, sed singulis noctibus auferat; dein cum viro congrediatur.

ιβ'. [5] Ἄλλη θεραπείη. Πρασίου τῶν φύλλων λαβόντα πλῆθος, ὥστε τὴν χεῖρα εὖ ἐμπλῆσαι, ἐμβαλεῖν ἐς ἀγγεῖον καὶ ἐπιχέαι ὕδατος ποτοῦ κοτύλας Ἀττικὰς τέσσαρας· καὶ προβρέξαντα ἐννέα ἡμέρας πίνειν διδόναι ἑτέρας ἐννέα ἡμέρας νῆστι, λουσαμένῃ, δύο κυάθους τῆς ἡμέρης [6] τοῦ ἀπὸ τοῦ πρασίου οἴνου γλυκέος λευκοῦ ἴσον μίσγοντα· ὅταν [7] δὲ τριταίη ᾖ πίνουσα, πυριήσθω κωνείου φύλλοισι ἐπὶ πῦρ ἐπιβάλλουσα ἐννέα ἡμέρας καὶ μετὰ τὴν πυρίην λουέσθω, καὶ οὕτω πίνειν αὖτις

12. Curatio alia. Foliorum marrubii plenae manus mensuram in vas immittito aquae potabilis heminis quatuor Atticis affusis. Ex eo novem diebus macerato per alios novem dies ieiunae et lotae singulis diebus duos cyathos bibendos dato passi albi aequali portione admixta. Tribus elapsis diebus immissis in ignem cicutae foliis per novem dies suffiatur et post suffitum lavet atque rursus de eo bibat. Post suffitum tribus diebus adhibitum marrubium ipsum tenuiter tritum bis die tribus subdat,

[1] δύο δακτύλους. — [2] ξυμμίξας. — [3] ὑποχρίσαι τὸ ὀθόνιον. — [4] ἐν ἑκάστῃ νυκτί. — [5] ἄλλη θερ. om. — [6] τοῦ om. — [7] δ' ἔτται τριταίη πίνουσα.

emendatione, in quam et ipse incideram; — ἔπειτα — οἶνον om. K.; — vulgo ἔπειτα περιθεῖναι σικυώνην ποιήσας χαλκοῦ λευκοῦ, sed pro ἔπειτα lego καί et ποιήσας reiicio, quum eiusmodi instrumentum aeneum non nunc demum fabricari sed diu in promptu esse debuit. Ceteri τὸ αἰδοῖον ποιήσασα (ποιήσας J.), sed mihi τὸ αἰδοῖον ineptum emblema esse videtur et iungendum τὴν βάλανον ποιήσασα ὁκοῖον δεῖ; — ὑπερέξαι vulg., ὑπερέξει mss. 7., Littr.; — χαλκήν vulg., χαλκῆν J. Lind., Littr.; — δύο δακτύλοιν ἔστω (ἔσω C.) vulg., sed ἔστω abundat; δύο δακτύλοιν ad ὑπερέξει refertur. Foës. adnotat „quidam tamen quatuor digitorum mensuram apponunt." Et vero fortasse error subest numero δύο. — Tum vero non certus sum, non quaedam deësse extremo capitulo.

11. ὅταν δὲ μὴ — μητρέων.] cf. de m. mull. I. 20., de nat. mull. § 67.; — δέ D. Lind., vulgo om.; — ἡ om. C.; — ἐπιπεφυκέναι ἐν (ἐπί C.) τῷ στόματι vulgo: ἐν absurdum est, ἐπί melius, sed praepositione illa facile caremus; librarii suum ἐν otiose intruserunt, codicis C. descriptor ἐπί substituit, ubi ἐν reiiciendum erat.

δεῖ δὲ — ξυνέστω.] Post καὶ χολὴν ταύρου Vatt. addere καὶ ὕειον Calvumque ita legere monet Foësius; — ταῦτα ξυμμίξαι vulg., omitto otiosum pronomen; — βύσινον C. — Vulgo: ἔπειτα δι' (δ' C.) ἡμέρης προστιθέσθω ἐν (ἐν om. D.) ἑκάστῃ (ἕστης C.) νυκτὶ (νυκτός C.), — unde Littréus ἔπειτα δ' ἡμέρης προστιθέσθω ἐνεστυίης νυκτός. Foës. in adn. interpretes δι' ἡμέρης omittere scribit. Equidem δι' ἡμέρης, non δ' ἡμέρης veram lect. esse credo; non credo in codicis C. ἕστης νυκτός aliud quid latere quam ἑκάστης νυκτός; sed simul expleri oportere putavi postrema, ita ut ἑκάστης δὲ νυκτὸς ἀφαιρείσθω scriberem. — Tandem moneo me de meo λαβών et ὑποχρίσας in accusativos mutavisse propter antecedens δεῖ.

12. ἄλλη θεραπείη — ἴτω.] Vulgo ἀγγεῖον Ἀττικόν quod nusquam legere me memini; puto Ἀττικόν e subsequente κοτύλας Ἀττικάς huc devenisse, quare repudio. — Calvus κοτύλας Ἀττικὰς πέντε legit. — Tum προβρέξαντας vulg., προβρέξαντα D., Foës. in adn., Lind., Littr.; Foës. etiam προβρέξασα proponit, quod minus arridet, sed προβρέξαντα recipiens simul διδόναι de meo adscripsi, quo facto νῆστιν, λουσαμένην in dativos mutavi; — τοῦ ante ἀπὸ τοῦ C. Littr.; vulgo om. — Dein μίσγουσα ceteri, μίσγοντα de meo; — sed praeterea non reticendum me οἶνον de meo supplevisse, quemadmodum feci de morbis mull. II. 99. — Foës.

τούτων· ὅταν δὲ τὰς τρεῖς πεπυριημένη ᾖ, προστιθέσθω τοῦ πρασίου αὐτοῦ τετριμμένου λείου δὶς τῆς ἡμέρης, ἐπὶ τρεῖς ἡμέρας, ἢ λινόζωστιν λείην τετριμμένην ἐν μέλιτι Ἀττικῷ δὶς τῆς ἡμέρης· προβρεχέσθω δὲ ἐν οἴνου λευκοῦ χοΐ καὶ ἱππομαράθρου καὶ μαράθρου ῥίζα καὶ δᾳδὸς ὡς πιοτάτης ὄζοι καὶ ἐρευθεδάνου τεταρτημόριον καὶ μαράθρου σπέρμα καὶ περιστερεῶνος ῥίζαι πολλαί· προβρεχέσθω δὲ ἡμέρας μὴ ἐλάσσω τῶν ἐννέα· πίνειν δὲ μετὰ ταῦτα, λουσαμένην κατὰ κεφαλῆς, κοτύλην τῆς ἡμέρης ἀκρήτου [1]τοῦ βρεχομένου ἐν τῷ λουτρῷ ἐοῦσαν, καὶ μετὰ ταῦτα κατακλιθεῖσαν ἐκθερμαίνειν ἑωυτὴν καὶ προστίθεσθαι· ἐντεῦθεν διὰ τρίτης μετὰ τὸ ποτὸν τὸ ἐκ τῆς χολῆς δὶς τῆς ἡμέρης ἐπὶ ἡμέρας ἕξ. [2]Ὅτε δὲ μέλλει ἤδη [3]προσιέναι καλῶς καθάρσιος ἔχουσα, ὑοσκυάμου φύλλα καὶ ῥίζας ἀναζέσασα ἐν ὕδατι, πυριήσθω τούτοισι ὡς θερμοτάτοισι ἐπὶ τρεῖς ἡμέρας ἐς νύκτα καὶ λουσαμένη παρὰ τὸν ἄνδρα ἴτω. Μετὰ δὲ ταύτην τὴν πυρίησιν καὶ ἐλάφου [4]αἰδοίου αὔου ὑποθυμιῆσαι, καὶ ἐπ' οἶνον λευκὸν κεκρημένον ἐπιξύων, ἐπὶ τρεῖς ἡμέρας διδόναι πίνειν· καὶ ὅταν [5]ὠδίνῃ, διδόναι πίνειν καὶ γὰρ ὠκυτόκιον τοῦτο.

aut mercurialem tenuiter tritam ex melle Attico bis die. Praemacerentur autem in congio vini albi hippomarathri et foeniculi radix, taedae quam pinguissimae rami, rubiae quadrans, foeniculi semen et verbenae radices multae, eaque non minus quam novem diebus macerentur. Post haec autem capite loto meri illius macerati heminam per diem in balneo bibat posteaque reclinata ipsa se calefaciat. Indeque post potum tertio quoque die quod ex felle componitur bis die ad dies sex supponito. Cum vero iam probe purgata ad virum accedere velit, hyoscyami foliis et radicibus in aqua decoctis maxime calidis tribus diebus ad noctem foveatur et post balneum virum adeat. Post hoc fomentum etiam cervi pudendum siccum suffitu adhibeto atque ex vino albo aqua temperato derasum per triduum potui exhibeto; cumque partus dolores detinuerint propinato, quippe partum hoc accelerat.

ιγ'. [6]Ἄλλη θεραπείη. Χολὴν ταύρου ἀναζέσαι καὶ στυπτηρίην Μηλίην· ἐλάφου δὲ κέρας κατακαύσας τρῖψαι λεῖον καὶ ξυμμίξας βαλανίοις χρῆσθαι. — [7]Ἕτερον θεραπευτικόν. Κύμινον ἐν οἴνῳ μέλανι ἑψήσας, τρίψας λεῖον

13. Alia curatio. Fel tauri et alumen Melium fervefacito, cervi vero cornu ustum tenuiter terito, his commixtis in glandulas paratis utitor. — Aliud quod curat. Cuminum ex vino nigro decoctum tenuiter tritum, in glandem

[1] τοῦ om. — [2] ὅτω δέ. — [3] προσεῖναι. — [4] αἰδοίου αὔου ὑποθ. — [5] ὀδύνη ἔχει. — [6] ἄλλη θερ. om. — [7] ἕτ. θερ. om.

in Oecon. utrumque locum componit et inde γλυκύς pro οἶνος γλυκύς dici deducit; mihi non persuadet; nomen οἶνος perit me iudice: — δὲ ἔσται τριταίη vulg., δὲ τριταίη ᾖ C. Littr.: — ἐπιβάλλων cett., ἐπιβάλλουσα de meo; — ἐπ' ἐννέα ἡμέρας C.; — λούεσθαι vulgo, λουέσθω de meo; — dein vulgo καὶ οὕτω πίνειν εὐθὺς τούτων: requiro αὖτις pro εὐθύς, quin Foës. Latine *rursus*; — πυριημένη vulg., πεπυριημένη C. Littr.; — προστίθεσθαι ceteri, προστιθέσθω de meo; — τετριμμένου om. C.; — δὶς τῆς ἡμέρης de meo pro δι' ἡμέρης; — ἢ ante λινοζ. de meo adieci; — δὶς τῆς ἡμέρης vulgo, δι' ἡμέρης C. Littr., mihi arbitraria et otiosa correctio in C. esse videtur, quare vulgatam retineo, quin supra illud δὶς τῆς ἡμέρης me revocasse iam monui. Porro τρυγί vulgo ante χοΐ, sed cum Cornario omitto τρυγί; — καὶ δᾳδὸς — σπέρμα om. C.; — τῶν ante ἐννέα om. C.; — τοῦ ante βρεχομένου Vatt. Foësii. C., Lind., Littr., vulgo om.; — ἐνταῦθα ceteri, ἐντεῦθεν de meo. De meo δὶς τῆς ἡμέρης pro vulgato δι' ἡμέρης post τῆς χολῆς.

ὅτε — ἴτω.] ὅτῳ vulg., ὅταν Lind., ὅτε Littr.; — ἤδη Foësii est coniectura pro codicum lect. ἡδύ; emendationem receperunt Lind., Littr.; — προσιέναι C., Littr., προσεῖναι vulg.; — ἀναζέσας cett.: — ἐς νύκτας vulgo, ἐς νύκτα lego.

μετὰ δὲ — τοῦτο.] ταῦτα pro vulgato ταύτην H.; — vulgo αἰδοίου αὔου (αὔου omm. C., Littr.) ὑποθυμιῆσαι καὶ ὅταν ἴδῃς ἔχειν (ἔχει C.) αὖον, τούτου ἐπ' οἶνον κ. τ. λ. Ego ὅταν — τούτου abigo: sensum loci perturbat emblema otiosum. Porro vulgo ὀδύνη (ὠδίς Lind.) ἔχῃ, sed ὠδίνῃ C. Littr.; — καὶ γάρ om. C.; — ἐστὶ τοῦτο vulgo, sed cum C. omitto ἐστί.

13. ἄλλη — χρῆσθαι.] μηλείην C.; — τρίψας C.; qui dein καί om.

ἕτερον — ἴτω.] ἕτ. θερ. omm. F. J.; — ἄλλο, et ἄλλο ὁμοίως. et ἄλλη ὁμοίως, et ἄλλη θεραπείη sunt inscriptiones in aliis mss. — Dein λεῖον om. J.; — βαλάνειον ποιήσας

βάλανον ποιῆσαι καὶ ἐς νύκτα προσθεῖναι· μετὰ δὲ ταῦτα κατακαύσας τρύγα οἴνου λευκοῦ, τὸ λεπτότατον τῆς τρυγὸς, ἐπειδὰν κατακαύσῃς, ἀφαιρέειν πτερῷ, ἔπειτα ἐς ὀθόνιον ἀποδήσας προσθεῖναι ἐς νύκτα καὶ πράσα ἑφθὰ ἐσθιέτω· μετὰ δὲ τοῦτο τράγιον τρίβων καὶ μέλιτι διεὶς προσθεῖναι ἐς νύκτα· μετὰ δὲ τραγίου καρπὸν λεῖον τρίψας, οἴνῳ λευκῷ διεὶς, δᾷδα ἐπιξύων διδόναι πίνειν· μετὰ δὲ ὀρίγανον διὰ δευτέρης ὑποθυμιῆν καὶ οὕτω πρὸς τὸν ἄνδρα ἴτω.

confectum ad noctem subdito. Post haec autem vini albi faecem urito, ubi usseris quod in faece est tenuissimum, penna auferto, deinde linteo illigatum sub noctem supponito et porrum coctum edat. Post haec autem tragium tritum et melle subactum sub noctem supponat. Deinde tragii fructum tritum vino albo dilutum, taedae scobe adiecta, potui exhibeto. Postea origanum altero quoque die suffitu admoveto, sicque ad virum accedat.

ιδ΄. [1] Ἄλλη θεραπείη ἐπὶ γυναῖκα μὴ δυναμένην τεκεῖν. Ἢν γυναῖκα μὴ δυναμένην τεκεῖν τοκήεσσαν ἐθέλῃς ποιῆσαι, σκέψασθαι χρὴ ἐν τοῖσι ἐπιμηνίοισι εἴτε χολώδης, εἴτε φλεγματώδης εἴη· [2] γνώσει δὲ τῶνδε ὁπότερον μᾶλλον· — ψάμμον ὑποβαλὼν λεπτὴν καὶ ξηρὴν, ὅταν τὰ ἐπιμήνια [3] γίγνηται, ἐν τῷ ἡλίῳ ἐπιχέαι τοῦ αἵματος· καὶ ἢν μὲν χολώδης ᾖ, ἐπὶ τῇ ψάμμῳ ξηραινόμενον τὸ αἷμα χλωρὸν γίγνεται· ἢν δὲ φλεγματώδης [4] ᾖ, οἷον [5] μύξα. Τούτων ὁκότερον ἂν ᾖ, καθήρας τὴν κοιλίην, ἤν τε ἄνω ἤν τε κάτω δοκέῃ σοι δεῖσθαι, ἔπειτα διαλιπὼν ἡμέρας τινὰς τὰς ὑστέρας καθαίρειν.

14. Curatio alia mulieris, quae parere nequit. Si mulierem, quae parere non potest, puerperam reddere voles, ex mensibus spectare oportet, num biliosa numve pituitosa fuerit. Utrum autem ex his potius fuerit, nosces, si cum menses eunt, substrata tenui et sicca arena in sole sanguinis aliquid affuderis. Et si quidem biliosa fuerit, sanguis in arena siccatus pallidus redditur; sin pituitosa, velut mucus. Horum utrumlibet acciderit, ventrem, sive sursum, sive deorsum tibi opus esse videatur, purgato. Deinde intermissis aliquot diebus uterum purgato.

Ἢν ὑγρότερον τὸ στόμα τῶν ὑστερέων ᾖ, προστιθέναι τὰ δριμέα, ὅκως δηχθὲν καὶ φλεγμῆναν σκληρὸν γίγνηται.

Si humidius uteri os fuerit, acria subdito, ut morsu et inflammatione durum efficiatur.

ιε΄. Ἢν δὲ γυνὴ μὴ [6] πυρέσσῃ τὰ ἔνδοθεν, μηδὲ κυΐσκηται [7] ὑπὸ τῶν ὑστερέων, μηδὲ ἀνδρὶ μίσγεσθαι δύνηται, ἀλλ' ὑπνώσσῃ [8] τε καὶ ἀσιτέῃ, μέλιτι μίξας οἶνον ἐγχέεσθω ἐς

15. *Locus integer non est.*

[1] ἄλλη — τεκεῖν om. — [2] γνώσῃ. — [3] γίνεται. ἐπιχέαι omissis intermediis. — [4] ᾖ om. — [5] μύξαι. — [6] πυρέσῃ. — [7] ἀπό. — [8] τε om.

C. sine subsequente καί; — καὶ ἐς νύκτα προσθ. om. J.; — τρύγα κατακαύσας C. Post λευκοῦ ceteri τὸ λεπτότατον δηλονότι τῆς τρυγός, in quibus λευκότατον ferunt Vatt. Foësii et δηλονότι om. C.; hunc sequor. Ceteri ἀφαιρέειν τοῦτο ἐν πτερῷ, sed C. ἐν om., ego et ἐν et τοῦτο omitto. Porro καὶ — νύκτα om. K.; — προσθεῖναι — διείς omm. F. G. J.; — ἐν οἴνῳ λευκῷ ceteri, otiosum ἐν abigo; — οὕτως C.

14. ἄλλη — μύξα.] cf. de nat. mul. § 22. et 106. et de morbis mull. I. § 22. — Totam inscr. omm. mss. 3. Littréi, uti V.; tria alia tantum ἄλλη θεραπείη; D. in marg. εἰ ἄτοκον τοκήεσσαν βούλῃ ποίησον οὕτως sine solita inscr. in textu. — Dein γνώσῃ cett.; — post ὅταν addunt οἱ C. H. al. m.; — γίνηται e mss. 6. Littr., γίνεται vulg.; — ἐν τῷ ἡλίῳ omm. libri pauci, in quorum uno rest. al. m., in altero item, sed post ἐπιχέαι. Ceteri ἀπὸ τοῦ αἵματος. otiosam praepositionem abigo; — καὶ ἢν ξηρανθῇ ἢν μὲν χολ. ᾖ C.; — ᾖ post φλεγματώδης omm. Parr. 4.; — μύξαι ceteri.

τούτων — γίγνηται.] τινάς om. C., τρεῖς pro eo legit Corn., ὀλίγας habetur § 106. lib. de nat. mull.; — vulgo dein καὶ ἢν ὑγρότερον, sed καί om. C.; quodsi conferas § 24. libri de nat. mul. et § 18. libri de morbis mul. I., videbis postrema haec sententiam per se constantem esse, non superioribus connectendam. — Vulgo γένηται; de meo γίγνηται scripsi; tum vero delevi verba τὸ στόμα τῶν ὑστερέων. quae ante σκληρόν iterum otiose in vulgata inferuntur.

15. ἢν δὲ γυνὴ — μίξας.] γυνὴ ἢν μὴ κ. C.; — πυρέσῃ vulg., per σσ Littr. e mss. 6.; — τἄνδοθεν C.; — καὶ μὴ κυΐσκ. C.; — ὑπνώσῃ vulg., ὑπνώττῃ alii codd., ὑπνώσσῃ

τὰ αἰδοῖα καὶ σμύρναν ὑποθυμιήσθω· ἐς δὲ τὴν ἕδρην βαλάνους προστίθεσθαι, μίσγουσα χηνὸς ἄλειφα καὶ εἴσω ἐγχεῖν ἐς τὸ αἰδοῖον. εἶτα καὶ κλύζειν ἔλαιον [1] μέλιτι ἴσον μίξας.

ιϛʹ. Ἢν αἱ μῆτραι γυναικὶ ἰσχνωθῶσι καὶ τρηχύνηται τὸ στόμα αὐτέων καὶ ξυμμεμύκῃ καὶ τὰ ἐπιμήνια μὴ φαίνηται, μηδὲ κυΐσκηται, ἀλλὰ πυρετὸς λαμβάνῃ μαλθακὸς, καὶ ὀδύναι ἐμπίπτωσι ἐς τὰς ἰξύας καὶ τὴν νείαιραν γαστέρα, — ἡ δὲ νοῦσος γίγνεται μάλιστα, ὅταν τι τῶν ἐν αὐτῇ [2] διαφθαρῇ, γίγνεται δὲ καὶ ἐκ τόκου, — ταύτην χρὴ λούειν θερμῷ καὶ πυριῆν· ὅταν δὲ λελουμένη καὶ πεπυριημένη ᾖ, τῇ μήλῃ ἀνευρῦναι τὸ στόμα τῶν μητρέων καὶ προστιθέναι σμύρναν τρίψαντα καὶ νετώπου τὸ ἴσον ἢ μύρον [3] ῥόδινον ἐν ῥάκεϊ, καὶ μόλιβδον προστιθέναι ποιήσαντα ὡς βάλανον καταξύοντα καὶ καταλείφειν βοὸς [4] χολῇ, καὶ γνώσει ἐν τέσσαρσι ἡμέραις τὰς ἀγόνους· καὶ [5] πυριᾶν καὶ φαρμακεύειν.

16. Si mulieri uterus gracilis reddatur, eiusque os exasperetur et conniveat, neque menses ipsi compareant, neque concipiat, verum febris lenta invadat, et dolores in lumbos et imum ventrem incidant, — qui morbus maxime oritur, cum quid intus corruptum fuerit, et ex partu etiam fit, — hanc calida lavare et fovere oportet. Post balneum autem et fotum specillo os uteri dilatato, et myrrham tritam cum pari portione netopi in subdititio apponat aut oleum rosaceum in linteo et plumbum adinstar glandis radendo efformatum felle bubulo illitum supponat et intra quatuor dies infoecundas cognosces. Fomentum etiam et medicamentum purgans exhibendum.

ιζʹ. Ἢν δὲ παχυνθῇ παρὰ φύσιν, οὐκ ἴσχει ἐν γαστρί· τὸ γὰρ ἐπίπλοον ἐπικείμενον παχὺ καὶ πουλὺ ἀποπιέζει τὸ στόμα τῶν μητρέων καὶ τὴν γονὴν οὐ δέχονται. Ταύτην χρὴ λεπτύναντα φάρμακον πῖσαι κάτω καὶ πρὸς τὰς ὑστέρας προσθεῖναι ὃ καθαίρει τε καὶ φῦσαν ἐμποιέει.

17. Quodsi praeter naturam crassa evaserit, non concipit. Omentum enim crassum et copiosum superincumbens os uteri comprimit, neque genituram recipit. Huic extenuatae medicamentum deorsum purgans propinare oportet et ad uterum quod purgat et flatum inducit in subdititio apponere.

ιηʹ. Ἢν τὸ στόμα τῶν μητρέων σκληρὸν γένηται, ἢ ὁ αὐχὴν, τῷ δακτύλῳ γνώσεται ψαύουσα, κἢν πρὸς τὸ ἰσχίον ἀπεστραμμέναι ἔωσι. Ὅταν οὕτως ἔχῃ, μὴ προσφέρειν

18. Si uteri os durum reddatur, aut cervix, ex digiti contactu dignoscet (obstetrix) et si in coxendicem uterus obversus fuerit. Cum sic se habuerit, acre nihil adhibendum. Si enim os

[1] ἐν μέλιτι cett. — [2] διαφθείρῃ. — [3] ἢ ῥόδ. — [4] χολήν. — [5] πυριῆν.

Littr.; — ἄλειφαρ D. alia manu; — εἶτα om. C.; — ἐν μέλιτι vulgo, sed ἐν om. C. Pro καὶ εἴσω ἐγχεῖν interpretes legere καὶ οἶνον ἐγχεῖν iam Foës. monuit. Sed plura sunt in hac formula vitia: prior pars mihi ab iis libera esse non videtur: sed in postrema totum illud μίσγουσα — αἰδοῖον ineptum est: quare hoc loco iterum describitur ἔγχυτον? Dixerim paene periisse formulam parandi τὰς βαλάνους et καὶ εἴσω ἐγχεῖν ἐς τὸ αἰδοῖον illatum esse, ut quocumque tandem modo, at conglutinarentur saltem fragmenta. Si ad μίξας masculinum, tum foemininum μίσγουσα, tum rursus masculinum μίξας attendas mentem, videbis haec quoque confusionem aliquam denotare; idem valet de formis verborum passivis, aut mediis, cum activis mistis. Locus corruptus est.

16. ἢν — φαρμακεύειν.] ἄλλο D. Q.′ pro inscriptione; — τρηχύνεται Parr. 5.; — μή vulgo om., ferunt Ald., mss. sex, Lind., Littr.; — ἡ δὲ νοῦσος αὕτη ceteri, abiicio otiosum αὕτη, quemadmodum supra abieci αὐτῇ, tum ante μὴ φαίνηται, tum ante ἐμπίπτωσι; — διαφθείρῃ vulgo, διαφθάρῃ de meo; — καί ante ἐκ τόκου om. J.; — πεπυριημένη sine ᾖ C.; — προστιθέσθω σμύρναν τρίψασα vulgo, sed de meo mutavi; — ἢ ῥόδινον vulg., sed ἤ omm. C. D. H.; — καὶ μολύβδου (μολίβδου C. D. J. K.) vulgo; — sed μόλιβδον lego; — προστιθέσθω vulg., προστίθεσθαι mss. 5., Littr.; — προστιθέναι de meo; — γνώσεται cett., γνώσεαι Foës. voluit, Lind. dedit; secunda persona sane requiritur, sed malo γνώσει scribere.

17. ἢν δὲ παχυνθῇ — ἐμποιέει.] cf. Aph. 46. V. et de nat. mul. § 20.; — ἀποπιέζοι vulg., ἀποπιέζει D. J. K.; — καθαίρεται καὶ φ. C.

18. ὅταν οὕτως ἔχῃ — καθαίρεται.] cf. de nat. mul.

μηδὲν δριμύ· ἢν γὰρ ἑλκώσῃ τὸ στόμα τῶν ὑστερέων, ὅταν φλεγμαίνῃ, [1] τὸ πάμπαν κίνδυνος ἄτοκον γενέσθαι· ἀλλὰ προστίθεσθαι ἃ μὴ δάκνει, ὑφ' ὧν φλέγμα καθαίρεται.

. . . . . . ὅταν γυναικὶ τὰ καταμήνια γένηται καὶ παρέλθῃ, πρῶτα μὲν χρὴ κεφαλὴν καθῆραι, ἔπειτα ἐλλεβορίσαι, ἤν τε ἅπαξ, ἤν τε δὶς δέῃ· μετὰ δὲ πυριῆσαι πυριητήριον κατασκευάσας τὸ ἐκ τῆς σικύης· [2] ὅταν δὲ πεποιημένον ᾖ, ἐγχέας ἐς ἐχῖνον θάλασσαν καὶ πράσα ἐμβαλὼν ἐπιθεῖναι τὸν αὐλὸν τῆς σικύης, καὶ περιαλεῖψαι πηλῷ ὡς βελτίστῳ, ὅκως μὴ διαπνέῃ· εἶτα διὰ σχοινοτόνου δίφρου τῶν τετραγώνων [3] διάγειν τὸν αὐλὸν, ὅκως ὑπερέξει δύο δακτύλους τοῦ τόνου· εἶτα ὑποκαίειν ἄνθραξι καὶ τὰς καθέδρας φυλάσσειν, ὅταν τε καθίζηται καὶ ὁκόταν ἀνίστηται, ὅκως μὴ κατακαυθῇ, ἀλλὰ καθίζειν ἔτι ψυχροῦ ἐόντος τοῦ πυριητηρίου καὶ μὴ ἀνίστασθαι ἕως ἂν καταψυχθῇ ὁ αὐλός· ἐπὶ δὲ τῇ πυρίῃ τὴν διατριβὴν ὅτι πλεῖστον τῆς ἡμέρης [4] μέρος ποιέεσθαι. Καὶ τῇ μὲν τοιαύτῃ πυρίῃ [5] ἐπὶ πέντε ἡμέρας χρῆσθαι· χρῆσθαι δὲ καὶ ἀντὶ τῶν πράσων, τῶν σκορόδων· πυριᾶν δὲ [6] αὐτῶν δέσμην κατακόψας ἐς τὴν θάλασσαν ἐμβαλών. Μετὰ δὲ τὰς λοιπὰς τῶν ἡμερέων αὐτῇ τῇ θαλάσσῃ μόνῃ πυριήσθω καὶ ὅκως [7] πρὸς ἄνδρα μὴ προσίῃ ἐν πάσῃ τῇ

uteri exulceratum fuerit, cum inflammatione laborarit, periculum est ne prorsus sterilis evadat. Verum ea supponenda, quae minime mordeant et ex quibus pituita purgetur.

. . . . . . cum mulieri menses contigerint et praeterierint, primum quidem caput purgare oportet, deinde bis vel semel, prout opus videbitur, veratrum exhibere, postea fomentum administrare, vase ad fomentum recipiendum ex cucurbita parato. Quo confecto in amplum vas, ἐχῖνον appellant, aquam marinam infunde et porra iniicito, tum cucurbitae fistulam imponito et luto quam optimo, ne quid transspiret, circum obducito. Deinde per sellam ex iunceo fune nexam quadrangularem, fistulam transmittito, ut duobus digitis iuncum expansum superet. Mox prunis accensis substratis, in desidendo observet, ne cum desidat aut exsurgat comburatur, sed vase, quo fomentum excipitur, adhuc frigido desideat, neque exsurgat donec fistula refrixerit. In hoc autem fomento maximam diei partem commorandum. Atque eiusmodi quidem fomento quinque diebus utendum; utendum etiam alliis pro porris, quae in suffitu adhibeto, eorum fasciculo contuso in aquam marinam immisso. At reliquis postea diebus ipsa aqua marina sola foveatur et caveat ne per totum curationis tempus ad virum accedat. Cum vero

[1] οὐ πάμπαν. — [2] οὕτω δὲ πεποιημένον ἐγχέας ἐχῖνον. — [3] διάγει. — [4] μέρος om. — [5] ἐπιπέμπεται ἡμέρας. — [6] ταύτην τὴν δ. — [7] πρόσω μὴ πρόει ἐν πάσῃ.

§ 21. et de m. mull. II. § 52; — οὐ πάμπαν vulg., τό pro οὐ Foës. in adn. ex l. l., Lind., Littr.

. . . . ὅταν γυναικὶ — ποιέεσθαι.] ἄλλη θεραπείη s. θεραπεία nonnulla mss. pro inscriptione. Foës. adnotat esse, qui haec intelligant de menstruorum suppressione; se vero intelligere de occasione fotum administrandi, ut foecunda reddatur mulier. Me iudice primum haec non cohaerent cum antecedentibus: nam in superioribus mentio fit morbi, in quo menstruum fluxum accidere non est probabile; tum vero existimo locum hunc principio lacunam habere; deficere enim videtur morbi descriptio in quo curatio, quae traditur, adhibenda sit. Tum γυνή C. pro γυναικί; — χρή om. idem; — καθῆραι om. J.; — πυριῆσαι om. C.; — σικύης οὕτω (οὕτω — σικύης om. J.) δὲ πεποιημένον ἐγχέαι vulg.; cum Littréo lectionem codicis C. exhibeo; — θαλασσίαν libri 6., θάλασσαν Vatt. Foës., C., Littr.; — μή — ὅπως om. J.; — τῶν τετρ. δίφρου δε ἐς σμην ανα καὶ τοῦτον αὐτὸν ὅπως C.; — ὑπερέξῃ vulg., ὑπερέξει Littr. e mss. 7. — Dein τοῦ θώκου est coniectura otiosa Foësii pro vulgato τοῦ τόνου. Porro ὅταν δὲ καθιζ. vulg., sed τε pro δέ mss. quinque, Lind., Littr.; — καθέζεται C.; — μή ante ἀνίστασθαι de meo intuli, sensu loci id flagitante; item correxi vulgatum ἕως ἂν καταψυχθῆναι τὸν αὐτόν, quia infinitivum aegre fero tali loco; — ἕως ἄν om. C., ἄν om. J.; — μέρος τῆς ἡμ. Parr. 5.; — ποιεῖσθαι C.

καὶ τῇ — ἐμβαλών.] Illud ἐπιπέμπεται, quod e V. excerpsi, e mss. 5. adnotat Littr. Vulgo: ἐπὶ πέντε ἡμέρας χρῆσθαι δέκα δ' (δ' omm. D. G. H. I. J. K. Voss., δ' ἡμέρας legit solus C.) ἀντὶ τῶν πράσων. τῶν σκορόδων, quae lectio vitiata est. Illud δέκα δ' ἀντὶ τῶν πρ. ineptum est: in C. ἡμέρας supplevit librarius de suo, ut locum clariorem redderet; δ' in vulgata item est insiticium et δέκα ex δὲ καί est natum, omissum autem χρῆσθαι, quod revocavi. Vulgo τάδε πυρία pro quo ταλαιπωρία Vatt. Foësii; — equidem τάδε abigo, et πυριᾶν de meo scribo, δέ de coniectura addens; — καὶ ταύτην vulgo, καὶ αὐτήν C.; — ἐμβαλεῖν vulgo, ἐμβάλλειν C. — Equidem καί ante αὐτήν omitto et αὐτῶν scribo omisso τήν; tum in fine ἐμβαλών repono: frequenter inf. et partic. confunduntur.

μετὰ δὲ — θεραπείη.] θαλάσσῃ H. Littr., per $\overline{\tau\tau}$ vulg.; — μόνῃ om. C.; — (καί praemittit C.) ὅκως πρόσω μὴ πρόεισιν (πρόει D. rest. al. m., F. H. I. K., προίῃ J.) vulgata;

θεραπείῃ. Τὴν τελευταίην δὲ πυρίην, ὅταν μέλλῃς ἀφιέναι τῆς θεραπείης, σκυλάκιον ὅτι νεώτατον ἀνασχίσας, ἀρωμάτων παντοδαπῶν ὅτι εὐωδεστάτων καὶ ἰσχυροτάτων κόψας, τὰ ἐντοσθίδια ἐξελὼν, ἐμπλῆσαι, καὶ [1] σάξαι ὅτι μάλιστα, ξυλήφια δὲ ὑποθεὶς ἐς τὸν ἐχῖνον ἐνθεὶς τὸ σκυλάκιον, [2] οἴνου ὡς εὐωδεστάτου ἐπιχέαι καὶ [3] πυριᾶν διὰ τοῦ αὐλοῦ κατὰ δύναμιν ὅλην τὴν ἡμέρην καὶ ὁρᾶν εἰ διὰ τοῦ στόματος δοκέει ὄζειν τῶν ἀρωμάτων· σημεῖον γὰρ οὐ σμικρὸν ἐς ξύλληψιν τῇ θεραπευομένῃ. Προσθέτοισι δὲ χρέο, — κρόκου ὅσον ἂν βούλῃ, καὶ σμύρνης ὅσον δύο κυάμους καὶ ἅλας συχνὸν παράμισγε πρὸς ταῦτα τεκμαιρόμενος, καὶ ταύρου χολῆς ὅσον δύο κυάμους· ἢν δὲ πρηυτέρῳ βούλῃ χρῆσθαι, ἔλασσον μίσγειν τῆς χολῆς· ἢν δ' ἰσχυροτέρῳ, πλέον· ταῦτα τρίψας λεῖα καὶ μέλιτος παραστάξας, τρῖβε ἄχρις ἂν σοι τριβόμενον γένηται, ὥστε δακτύλιον ἐκμάξαι· [4] ὅσῳ δ' ἂν πλείονα χρόνον τρίβῃς, τοσούτῳ ξηρότερον καὶ γλισχρότερον καὶ [5] βέλτιον ἔσται. Ποιήσας δὲ παχύτερον ἢ βάλανον καὶ τὸ ἄκρον ὀξὺ ἐκ τοῦ μέσου παχύτερον, ἔπειτα δὲ ἀγόμενον ὅκως πρὸς τὴν ὑστέρην προστεθῇ, ἐς τοῦτο ἔμπηξον ξυλήφια ὀριγάνου δύο ποιήσας λεῖα· ἔστω δὲ ἐξαδάκτυλα· εἶτα κατέλιξον τὰ ξυλήφια εἰρίῳ ὡς μαλθακωτάτῳ· ἔπειτα ἄνωθεν ῥάμματι κατέλιξον λεπτῷ καὶ ὑπερεχέτω τὸ ῥάμμα ὅσον τέσσαρας δακτύλους τῶν ξυ-

curationem missam facere voles, hunc postremum fotum adhibeto. Catulum recentissimum dissectum exemptis intestinis aromatis fragrantissimis et validissimis contusis impleto et quam maxime refercito. Subditis autem lignis catulo in vas imposito vinum odoratissimum affundito et per fistulam fomentum adhibeto quoad maxime fieri poterit per totum diem ac videto, num odor aromatum per os spirare videatur. Non enim exiguum est ei, quae curatur, ad conceptum argumentum. Subdititiis vero glandulis his utitor: — croci quantum voles, myrrhae duarum fabarum quantitatem, salem plurimum horum habita ratione permisceto et fel taurinum duarum fabarum quantitate. Quodsi mitiore uti voles, fellis minus, si vero valentiore, plus permisceto. Haec tenuiter trita melle instillato terito, quoad quod teritur tale evadat, ut pastillum efformare possis. Quo vero plus triveris, eo siccius, glutinosius et melius evadet. Quo crassiore quam glans sit reddito et summa parte acuto et medio crassiore, deinde ita ducto in uterum subdatur; in hoc duos origani surculos laeves redditos infigito, qui sex digitos longitudine aequent. Mox lana mollissima surculos convolvito, deinde superiore parte filo tenui obducito, ita ut filum surculos fere quatuor digitorum longitudine excedat. Ubi autem sese perfuderit, et mundam reddiderit, quam maxime possit ipsi uteri ori subdat, substrato coxis linteo et per totam noctem suppositum

[1] εἰσάξαι. — [2] οἴνου ὡς εὐωδεστάτου. — [3] πυριῆν. — [4] ὅσον. — [5] βελτιώτερον.

emendavit Littr. ad exemplum loci sub finem huius capitis obvii.

τὴν τελευταίην — θεραπευομένῃ.] δὲ τελευτ. D.; — παντοδαπῶν εἴδη vulg., sed εἴδη om. C., quem sequor; — ἰσχυροτάτων scripsi de coniectura pro ξηροτάτων, quod quid sibi velit h. l. non intelligo: — ἐντόσθια D.; — post τὰ ἐντοσθίδια ἐξελών ceteri τοῦ σκυλακίου, quod scholion est; itemque post σάξαι (εἰσάξαι D. H. K., uti V., ἐπάξαι C.) ὅτι μάλιστα ceteri τῶν ἀρωμάτων, quod iterum scholion est; utrumque abegi; — οἴνοι ὡς εὐωδεστάτου Ald., mss. 8. apud Littr., Voss., οἶνον ὡς εὐωδέστατον vulg.; — καί ante πυριῆν, uti scribi solet. om. C.; — καὶ (καί om. J.) ὅκως κατὰ δύναμιν εἶναι ὅλην τὴν ἡμέρην ἐπὶ ταύτης τῆς πυρίης, πυριῆσαι (πυριάσαι C.) τε καὶ ἐρωτᾶν vulg.; de coniectura resectis, quae otiosa videbantur, emendavi; — καὶ ἐρωτᾶν αὐτὴν ἢν ἡ ὀδμὴ διὰ τοῦ στόματος δοκέῃ ὄζειν vulgo; sed εἰ pro ἢν ἡ C. idemque δοκέει legit. At in his ἡ ὀδμή otiosum est et delendum. Praeterea miror ἐρωτᾶν αὐτήν, pro quo solum ὁρᾶν exspectaveram, et re ipsa reponendum censui.

προσθέτοισι — ἔσται.] κρόκον codd. 5.; — δ' ἰσχυροτέρῳ C., δέ plene vulg.; — λεῖα πάντα pro λεῖα, καί C.; — ἄχρι οὗ σοι Vatt. Foësii, C.; — δακτύλῳ vulg., δακτύλιον Foësii est emendatio; — τοσοῦτον vulg., τοσούτῳ C. J.; — βελτιώτερον mss. 3. apud Littr., uti V.

ποιήσας δὲ — ξυληφίων.] δέ om. J.; — ἔμπηξον δύο ξυλ. εἰρίω ὡς μαλθ. κατελίξας αὐτά· ἔστωσαν δὲ τὰ ξυλήφια ἀπὸ ὀριγάνου ἑξαδάκτυλα· ἔπειτα ἄνωθεν ῥάματι (sic) κατέλιξον λεπτῷ C.; — ξυλάρια L., ἐξαδάκτυλον D. K.; — ξυλύφια et mox ξυλυφίων D. J.; ξυλάρια L. et paulo post ξυλάρια mss. 6. praeter Vatt. Foësii. — Littr. adnotat ξυλύφια esse fortasse veram lect.; monuit de ea re Lobeck ad Phryn. p. 78., et cum ὀρνύφιον comparat. Si codicum lectiones respicias, dixeris in his libris ξυλήφια antiquam esse lectionem, ξυλύφια recentiorum librariorum.

ληφίων. Προσχεαμένη δὲ καὶ καθαρὴν ἑωυτὴν ποιήσασα ὅτι μάλιστα προσθέσθω πρὸς αὐτὸ τὸ στόμα, ῥάκος ὑποβαλλομένη ὑπὸ τὰ ἰσχία καὶ τὴν νύκτα προσκείσθω· ἔσται δὲ αὕτη ἡ κάθαρσις ὑδατώδης· τῇ δευτεραίῃ δ' ἀναστᾶσα [1] λουσάσθω καὶ ἐπὶ τὴν πυρίην μὴ καθίσῃ ταύτῃ τῇ ἡμέρῃ. Ὁκόταν δὲ πυριῆται καὶ ἀναστῇ ἀπὸ τῆς πυρίης, κηρωτὴ ἔστω πεποιημένη ἀπὸ τῆς πρώτης ἡμέρης ὡς καλλίστη καὶ ξυμμίξαι μάλιστα μὲν ἐλάφου μυελόν· εἰ δὲ μή, χηνὸς στέαρ· καὶ ὅταν ἀναστῇ ἀπὸ τῆς πυρίης, [2] προσχεαμένη καὶ καθαρὴν ἑωυτὴν ποιήσασα ἐς τὴν [3] κοίτην τῇ κηρωτῇ ἀλειφέτω τὴν ὑστέρην ἑκάστης ἡμέρης· καὶ τὰ μὲν ἄλλα ταὐτὰ πάντα ξύμμισγε τοῖσι προσθέτοισι [4] ἐκτὸς τῆς χολῆς· ὀριγάνου δὲ τρίβων ὡς λειοτάτην ξύμμισγε ἐς τὴν βάλανον καὶ [5] προστιθέσθω. — [6] Ἄλλο. Τὰ μὲν ἄλλα ταὐτὰ καὶ τὸν αὐτὸν τρόπον πεποιημένα, [7] ἀντὶ δὲ τῆς ὀριγάνου ἀψίνθιον ξυμμίξας προστιθέναι. — [8] Ἄλλο. Ἐκ τῶν πυρῶν ἐκλέξας τὸ μελάνθιον, τρίψας τε λεῖον ἰσχυρῶς καὶ μέλι παραμίξας καὶ [9] σφαιροειδὲς ποιήσας, προστιθέναι· πυρετοὺς ἐμποιέει καὶ τὸ ἄρθρον οἰδεέιν ποιέει καὶ δηκτικὸν ἰσχυρῶς τοῦτο. — [10] Ἄλλο. Μέλι ἑψήσας καὶ ἐλλεβόρου κόψας τοῦ μέλανος τὸ λεπτόν, ἢν πλέον, ἰσχυρῶς δηκτικὸν ἔσται· ἔστι δὲ πυρετῶδες καὶ τοῦτο. — [11] Ἄλλο. Τὸν αὐτὸν τρόπον ἑψήσας μέλι, [12] ξυμμίξας τε ἐλατηρίου ὅσον πόσιν ἕψειν καὶ ποιήσας βαλάνιον

maneat. Haec autem purgatio aquosa erit. Postridie ubi surrexerit, lavet, neque eo die supra fomentum desideat. Ubi fotu adhibito ex eo surrexerit, ceratum a primo inde die quam optime paratum sit, cui potissimum cervi medullam, sin minus, anserinum adipem ammisceto. Cumque a fotu surrexerit, singulis diebus, ubi se perfuderit, et mundam se reddiderit, cum cubitum itura sit, cerato uterum illinat. Atque eadem quidem omnia suppositoriis, felle dempto, commisceto, origanum autem tenuissime tritum ad glandem permisceto, quam supponat. — Aliud. Reliqua quidem eadem eodemque modo praeparata, pro origano vero absinthio ammixto, subdito. — Aliud. Melanthium ex tritico delectum tenuiter tritum probeque melle permixtum in pilam formatum supponat. Febres excitat et tumorem pudendi et valde mordax hoc est. — Aliud. Mel et veratri nigri tenues radices contusas decoquito. Hoc si copiosum fuerit, valde mordax erit et praeterea hoc etiam febrem excitat. — Aliud. Ad eundem modum melli cocto elaterii quantum potione una satis sit admixtum decoquito et glandem confectam eodem modo subdendam dato. Hoc etiam febrem excitat et sanguinem educit; nonnulla vero etiam sanguinem et pelliculas educunt. Sin autem volueris, etiam dracontium derasum, quod mite est, cum melle cocto aut crudo permisceto et in pilam gallae magnae quantitate conficito. Conare autem ut naturae

[1] λουέσθω. — [2] προχεαμένη. — [3] κοιλίην. — [4] ἐκ τῆς χ. — [5] προστιθέτω. — [6] ἄλλο om. — [7] ἀντὶ — ποιήσας om. — [8] ἄλλο om. — [9] σκαφόειδες. — [10] ἄλλο om. — [11] ἄλλο om. — [12] μίξας τε καὶ ἐλατ.

προσχεαμένη — ἡμέρῃ.] προσθέσθαι αὐτὸ τὸ στόμα cett.; de meo mutavi; — προσθέσθω D. Q.' Lind. pro προσκείσθω, προκείσθω vero G.; — δὲ αὐτὴ ἡ κ. vulg., δ' αὕτη ἡ κ. C.; — solus J. δέ ante ἀναστᾶσα, unde δ' scripsi.

ὁκόταν — προστιθέσθω.] ὁκόταν solus J., ὅταν cett.; — ὡς — ἡμέρης om. K.; — ante προσχεαμένη delevi ἑκάστης ἡμέρης, quod, cum brevi post repetatur, alterutro loco otiosum est: — ἑαυτὴν ποιήσασα D. H.; — κοίτην Vatt. Foës. C. Littr. pro vulgato κοιλίην; — ἀλειφάτω C.; — ταῦτα vulg., ταὐτά I. J. Lind., Littr.; — ἔξω τῆς χ. C.; — προστιθέτω D. H. I. K. Ceterum καὶ τὰ μὲν ἄλλα ταῦτα πάντα ξύμμισγε τοῖσι προσθέτοισι ἐκτὸς τῆς χολῆς scripsi de meo pro τὰ μὲν ἄλλα ταὐτὰ πάντα ξύμμισγε τοῖσι ἔμπροσθεν: nimirum copula hic deëst et πρόσθεν et πρόσθετα et ἔμπροσθεν et πρόσθετα saepe permutantur; nec dubito, quin προσθέτοισι scriptor voluerit; — ipsa antithesis inter τὰ πρόσθετα et τὴν βάλανον id docet.

ἄλλο — προστιθέναι.] ταῦτα vulg., ταὐτά Parr. 4., Lind., Littr., τὰ αὐτά C. Post ξυμμίξας ceteri καὶ κατὰ τὸν αὐτὸν τρόπον ποιήσας, quod otiosum est quum antecedat καὶ τὸν αὐτὸν τρόπον πεποιημένα; itaque abieci. Simul vero vulgatum προστιθέσθω propter antecedens participium ξυμμίξας in προστιθέναι mutavi de meo.

ἄλλο — τοῦτο.] ἄλλο mss. 5. Lind., Littr., vulgo om.; — τε om. C.; — καί tum ante μέλι, tum ante σφαιροειδ. om. C.; — σφαιροειδέως idem; — προστιθέσθω ceteri, de meo mutavi eadem de causa ac supra; — πλήν ante πυρετούς et ἔστι ante τοῦτο om. C., quem sequor. — Ceteri vero οἰδέει; quod quum sit intransitivum emendavi.

ἄλλο — καὶ τοῦτο.] ἄλλο mss. 5., Lind., Littr.; vulgo om.

ἄλλο — δέρματα.] ἄλλο vulgo om., iidem, qui supra,

τὸν αὐτὸν τρόπον διδόναι προστίθεσθαι· καὶ τοῦτο πυρετῶδες, ἄγει δὲ καὶ [1] αἷμα, ἔνια δὲ τούτων καὶ δέρματα. [2] Εἰ δὲ βούλοιο καὶ τὸ δρακόντιον ξύων, — ἔστι δὲ πρηὺ, — ἐν μέλιτι ἑφθῷ ἢ ὠμῷ, καὶ τοῦτο σφαιροειδὲς ποιέειν, ὁκόσον κηκίδα μεγάλην. Πειρῶ δὲ φυσικὸς εἶναι πρὸς τῆς ἀνθρώπου τὴν ἕξιν καὶ τὴν ἰσχὺν [3] ὁρέων· τούτων γὰρ οὐδεὶς [4] σταθμός ἐστι, ἀλλ' ἐξ αὐτῶν τούτων τεκμαιρόμενος ὅλου τοῦ σώματος, κεφαλῆς καθάρσισι, φαρμακείῃσι, καὶ πυρίῃσι τῆς ὑστέρης καὶ προσθέτοισι χρῆσθαι· στοιχεῖα δέ σοι ταῦτά ἐστι· ἡ δὲ θεραπείη τούτων ἐστὶ ἐν μέρεϊ ἑκάστου καὶ ὅ τι ἂν [5] μὴ ποιῇς τούτων, αἰεὶ ἐπὶ τῆς [6] πυρίης διατριβέτω· αὕτη γάρ ἐστι ἡ μαλθάσσουσα καὶ ἄγουσα τοὺς ἰχῶρας. Ὅταν δὲ καταπαύσῃ τῆς θεραπείης, ληγόντων τῶν κατὰ φύσιν, χρὴ αἷμα ἀφαιρέειν ἀπὸ τῆς χειρός· ἢν μὲν ἰσχύῃ, ἀπ' ἀμφοτέρων τῶν βραχιόνων, ἢν δὲ ἀσθενεστέρη ᾖ, ἀπὸ τοῦ ἑτέρου [7] ἀπόχρη. Διαίτῃ δὲ οἵῃ [8] χρῆσθαι δεῖ ἐν τῇσι θεραπείῃσι ταύτῃσι ἑτέρωθί μοι δεδήλωται. Ὑποθυμιῆν δ' εἰ βούλει, τὰς [9] αἴρας ἐκ τῶν πυρῶν ἐκλέξας, ἀλέσας λεπτὰ, καὶ κληματίνον πῦρ ποιήσας ὅτι μαλθακώτατον, ἔπειτα ἐμβαλὼν ἐς τρυβλίον ἔνθες ἐς ἡμίεκτον καὶ ῥάκεα περιθεὶς ἵνα μαλθακῶς κάθηται, καθίζεσθαι αὐτὴν κελεύειν ἐπὶ τῷ ἡμιέκτῳ ὅτι μάλιστα διάγουσαν τὰ σκέλεα. Ἡ δὲ θεραπείη ἢν μὲν ἱκανή σοι φαίνηται ἐν τετραμήνῳ· εἰ δὲ μὴ, πρὸς ταῦτα σκέπτου καὶ ὅκως πρὸς ἄνδρα μὴ πρόσεισι ἐν ᾧ θεραπεύεται χρόνῳ. Ἐν δὲ τῇσι

obtemperes ad mulieris habitum et vires respiciendo. Horum enim non datur pondus, sed ex his ipsis coniectura facta totius corporis et capitis purgationes, medicationes, uteri fotus et subdititiorum appositiones ad usum accommodato. Haec tibi sunt veluti elementa. Horum autem curatio cuique peculiaris est. Et quodcumque horum non feceris, semper in fotu perseverandum; hic enim emollit et saniosos humores educit. Ubi vero ab hac curatione cessaris, his, quae secundum naturam sunt, deficientibus sanguinem ex brachio detrahere oportet, — si quidem valida fuerit ex utroque, sin debilior ex altero satis est. Quanam autem victus ratione in his curationibus utendum sit, alias a me declaratum est. — Suffitum autem si adhibere voles, lolium de tritico lectum tenuiter molitum igne e sarmentis mollissimo excitato, deinde in catinum coniectum in ollam dimidiati sextarii imponito et linteis mollibus circumpositis, quo molliter desideat, eam quam maxime diductis cruribus ollae insidere iubeto. Haec curatio si tibi quidem satis esse videatur, quadrimestri spatio adhibeatur. Sin minus, haec respicito ac ne quo tempore curatur ad virum accedat. Sub his curationibus ieiunae taedam ex aqua maceratam cyathi mensura exhibeto et fistulam stanneam continenter habeat. — Umbilicos Veneris ex aqua decoctos sale et cumino simul incocto, tepidum sorbendum dato. Lati foeminas, parvi vero et conniventes mares procreare videntur.

[1] ἅμα αἷμα. — [2] ἤν. — [3] ὁρῶν. — [4] ἄσταθμος. — [5] μή om. — [6] πειρίης. — [7] ἀποχρῆσθαι. — [8] δεῖ χρ. — [9] κριθάς.

ferunt; — τὸν αὐτὸν τρόπον τοῦτον (τοῦτο D.) vulg.; cum J. τοῦτον om.; — τε om. C.; — βάλανον J.; — δέρμα pro αἷμα J.; — τούτων δ' ἔνια C.

εἰ δὲ — μεγάλην.] εἰ C. Littr., ἤν vulg.; — ξύον vulg., ξῦσον Lind., ξύων Parr. 4., Littr.; — κικίδα vulg., κηκίδα C.

πειρῶ — ἰχῶρας.] ὁρῶν vulg., ὁρέων D. Littr., βλέπων C.; — ἄσταθμος vulg., σταθμός C., Littr.; — ἀλλ' — ἐστιν om. J.; — post τεκμαιρόμενος iterum infertur apud cett. πειρῶ, quod, cum initio legatur et inde otiose repetitum videatur, h. l. delevi; — καθάρσιος codd. 5., κάθαρσιν C.; — ἢ πυρίῃσι C.; — τοῦτ' ἐστιν idem; — ἑκάστου C., Littr., ἑκάστῳ vulg.; — μαλθάσσουσα τὰς ὑστέρας H. I., sed τὰς ὑστέρας erasum al. m.; — καὶ ἄγ. om. in mss. 7., in quorum uno al. m. restituitur.

ὅταν δὲ — ἀπόχρη.] ληγόντων χρὴ τῶν κατὰ φ. αἷμα C.; — καὶ ἀπὸ τ. χ. idem; — οὖ ἀπόχρη vulg., sed οὖ omm. mss. 7.; — prorsus autem inepta repetitio est postremarum literarum vocabuli antecedentis, ἀποχρῆσθαι mss. 5.

διαίτῃ — δεδήλωται.] δεῖ χρῆσθαι mss. 6.; — δεῖ om. D.

ὑποθυμιῆν — σκέλεα.] ἀπόθ. vulg., ὑποθυμιῆν Vatt. et Regia mss. Foësii, C. D., Littr.; — δ' C. Littr., δ om. vulg.; — εἰ C. Littr., ἤν vulg., ἤ alii codd.; — αἴρας (πυράς G., κριθάς codd. alii sex) ἐκ τῶν κριθῶν (πυρῶν mss. 7., Foës. in adn. Lind., Littr.) vulg.; — καί ante κληματίνον om. C.; — ἐς om. J.; — περιθεῖσιν ἃ μαλθ. mss. 7.; — καθίζεσθαι D.

ἡ δὲ θεραπείη — χρόνῳ.] ἡ μὲν θερ. J.; — φαίνηται de meo, γένηται cett.

ἐν δὲ τῇσι — ἔχειν.] νῆστιν C.

θεραπείῃσι διδόναι δαῖδα ἐν ὕδατι καταβρέχων [1] νῆστι, ὅσον κύαθον, καὶ τὴν κασσιτερίνην ξυνεχῶς ἔχειν. Διδόναι δὲ κοτυληδόνας ἐν ὕδατι ἕψων, ἅλας, κύμινον ξυνέψων χλιερὸν ῥοφεῖν. Αἱ πλατεῖαι θηλύγονοι δοκοῦσι εἶναι, αἱ δὲ σμικραὶ καὶ [2] ξυμμύουσαι, ἀρσενόγονοι.

ιθ'. [3] Ἐγκυητήριον ἄκρον. Μελανθίου γυναικὶ διδόναι ἐν οἴνῳ μέλανι στρυφνῷ.

κ'. Γυναῖκα νέην ἐοῦσαν ῥόος ἐρυθρὸς ὤχλει καὶ φαρμακευομένῃ, κεφαλὴν καθαιρομένῃ, φλεβοτομουμένῃ, οὐδὲν ὠφελεῖτο· ἐδόκει δὲ [4] τοῦτό οἱ αἴτιον εἶναι ὥστε μὴ ξυλλαμβάνειν· [5] ἐδίδουν δὲ αὐτῇ ἀσπαλάθου τῶν ῥιζῶν ἐν οἴνῳ λευκῷ ἀπεζεσμένων πρωῒ καὶ [6] πρὸ δείπνου, ὅ τε ῥόος ἐπαύσατο καὶ οὐ βραδέως ἐκύησε· ἔτεκε ἄρσεν· τὸ χρῶμα [7] λευκόχρως, εὔσαρκος.

κα'. [8] Περὶ μύλης. Μύλης δὲ κυήσιος τόδε αἴτιον· ἐπὴν πολλῶν τῶν ἐπιμηνίων ἰόντων γονὴν ὀλίγην καὶ νοσώδεα ξυλλάβωσι, οὔ τι κύημα ἰθαγενὲς γίγνεται, ἡ δὲ γαστὴρ πλήρης, ὥσπερ κυούσης· κινεῖται δ' οὐδὲν ἐν τῇ γαστρὶ, οὐδὲ γάλα ἐγγίγνεται, σφριγᾷ δὲ [9] τοὺς τιτθοὺς, καὶ δύο [10] ἔτεα, πολλάκις δὲ καὶ τρία, οὕτως ἔχει. Καὶ ἢν μὲν μία σὰρξ γένηται, ἡ γυνὴ ἀπόλλυται· οὐ γὰρ οἵη τέ ἐστι περιγενέσθαι· ἢν δὲ πολλαὶ, ῥήγνυται αὐτῇ κατὰ τὸ αἰδοῖον αἷμά τε πολὺ καὶ σαρκῶδες, καὶ [11] ἢν μὲν μετριάσῃ, σώζεται· ἢν δὲ

19. Ad conceptum summe faciens. Melanthium mulieri ex vino nigro acerbo exhibeto.

20. Mulierem iuvenculam fluor muliebris ruber infestabat et medicamento sumpto, capite purgato, vena secta, nihil proficiebat. Haec autem ei causa esse videbatur ne conciperet. Ei autem radicum aspalathi decoctum ex vino albo mane et ante coenam exhibebam, fluorque cessavit et non longe postea concepit et marem peperit. Erat autem corporis colore candicante et bene habito.

21. De mola. Molae conceptus haec causa est: ubi copiosis fluentibus mensibus paucam et morbosam genituram conceperit, genuinus foetus minime gignitur, sed venter non secus ac gravidae plenus est, nihil vero in eo movetur, neque lac in mammis innascitur, sed hae turgent. Haec biennium, saepe etiam triennium sic se habet. Et, si una quidem caro fuerit, mulier, cum superesse non possit, perit, sin multae, ei per pudendum erumpit sanguis copiosus et carnosus, sique moderate accidit, servatur, sin minus, profluvio correpta perit. Ac

[1] νῆστιν. — [2] συμμύουσαι. — [3] ξηρὸν μελανθίου γ. κ. τ. λ. — [4] τοῦτο om. — [5] ἔδει δὲ τὸ αὐτῆς σπαλάθου. — [6] πρὸς δεῖπνον. — [7] λευκόχροον. [8] περὶ μύλης om. — sed περὶ δὲ μυλῆς κυήσιος τόδε αἴτιον legitur. — [9] τοῦ στήθεος. — [10] ἔτερα. — [11] ἢ μετριάσῃ σώζεσθαι.

διδόναι — ῥοφεῖν.] [καὶ] κυμ. Lind.; — συνεψῶν κυμίνω J.; — καὶ χλιερόν vulgo, καί omitto; — ῥυφῆν K.

αἱ πλατεῖαι — ἀρσενόγονοι.] δοκοῦσιν vulg., δοκεῦσιν C.

19. ἐγκυητήριον — στρυφνῷ.] ἐγκυητήριον D. H. I. Littr.; — ἐγκυητήριον ἄκρον μελανθίου vulg.; — ἐγκυτήριον ἄκρον μελάνθιον Corn., Foës. in adn., Lind.

20. γυναῖκα — εὔσαρκος.] γυναικὶ νέῃ ἐούσῃ cett.; — ὄχλει vulgo, ὤχλει de meo; — καί ante φαρμακ. om. C.; — καὶ φλεβ. J., φλεβοτ. om. C.; — ὠφελεῖ ceteri, ὠφελεῖτο de meo; — δοκεῖ vulgo, ἐδόκει de meo; — pro τοῦτό οἱ C. τουτέου solum; — ἔδει δὲ τὸ αὐτῆς τῆς ἀσπ. (D. al. m. ἐδίδου δὲ αὐτῇ) F. G. H. I. J. K.; — ἐδίδοτο αὐτῇ τῆς ἀσπ. C.; — ἐδίδου τὸ αὐτῆς τῆς ἀσπ. Ald.; — ἔδει δὲ τὸ αὐτῆς L.; — ἀπεζεσμένων de meo, ἀποζεόμενον vulg.; — πρὸς δείπνου edd. antt., Lind., Littr., mss. 5.; cf. lect. V.; — ἄρρεν C.; — σῶμα Foësii est emendatio otiosa a Lind. recepta vulgati χρῶμα — Miro modo historia morbi in hoc capitulo habetur, quam potius in epidemiorum libris exspectas.

21. περὶ — ἔχει.] cf. de morbis mul. I. § 72.; — περὶ μύλης. μύλης δὲ κ. de meo, vulgatam e V. notavi; — omnes libri ἐπὴν πολλὰ τὰ ἐπιμήνια ἐόντα γονὴν ὀλίγην . . ξυλλάβωσι, quemadmodum etiam legitur libro laudato; sed quid illud πολλὰ τὰ ἐπιμήνια ἐόντα? Subiectum verbi ξυλλάβωσι est αἱ μῆτραι, aut αἱ γυναῖκες; itaque opus est genitivo, quem vocant, absoluto, quem repono; — tum vero ἰόντων praefero prae ἐόντων; — porro οὔ τε κύημα et ἥ τε γαστήρ legitur in libris; me iudice οὔ τι κύημα et ἡ δὲ γαστήρ scripsit noster; — δὲ οὐδέν C.; — ἐν τοῖσι τιτθοῖσι, quod post γάλα legi solet, om. J.; — δὲ τοὺς τιτθοὺς (τοῦ στήθους D. al. m., τοὺς τιτθούς F. G. H. I. J. K., τὸ στῆθος J. Foës. in adn. ex l. l., Lind., Littr.) αὔτη (αὐτῇ iidem illi) vulg.

καὶ ἢν — ἀπόλλυται.] πολλαί iam Foës. ex l. l. pro

μή, ὑπὸ ῥόου ἁλοῦσα ἀπόλλυται. Τὸ μὲν νόσημα τοιοῦτόν ἐστι· κρίνεσθαι δὲ χρὴ τῷ πληρώματι καὶ ὅτι [1] οὐ κινεῖται ἐν τῇ γαστρί· τὸ μὲν γὰρ ἄρσεν τρίμηνον, τὸ δέ γε θῆλυ τετράμηνον τὴν κίνησιν ἔχει· ἐπὴν οὖν τοῦ χρόνου παρελθόντος μὴ κινῆται, δηλονότι τοῦτό ἐστι· τὸ δέ τι τεκμήριον μέγα, ἐν τοῖσι τιτθοῖσι γάλα οὐκ ἐγγίγνεται. Ταύτην μάλιστα μὲν μὴ ἰῆσθαι· εἰ δὲ μή, προειπόντα [2] ἰῆσθαι. Καὶ πρῶτα μὲν πυριῆσαι τὴν γυναῖκα ὅλον τὸ σῶμα, ἔπειτα κατὰ τὴν ἕδρην κλύσαι ὅπως διακαθαίρηται· [3] πουλὺ γὰρ ἴσως κλύσας κινησείας ἂν τὸ ἔμβρυον τὸ δοκέον εἶναι διαθερμανθείσης τῆς γυναικὸς ὑπὸ τοῦ φαρμάκου. Κλύζειν δὲ καὶ τὰς μήτρας, ὅκως αἷμα ἀγάγῃς· ἢν δὲ μή, προσθέτοισι χρῆσθαι τοῖσι ἀπὸ τῆς βουπρήστιος ὡς ἰσχυροτάτοισι, καὶ πιπίσκειν τὸ δίκταμνον τὸ Κρητικὸν ἐν οἴνῳ· εἰ δὲ μή, καὶ τὸν καστόρειον ὄρχιν· καὶ ὄπισθεν σικύην προσβάλλειν πρὸς τοὺς κενεῶνας καὶ ἀφαιρέειν ὅτι πλεῖστον· πρόσβαλλε δὲ ὅτι μάλιστα [4] τεκμαιρόμενος πρὸς τὰς μήτρας.

morbus quidem est eiusmodi. Discerni autem debet ipsa mole, quodque in ventre non movetur. Mas enim tertio, foemina vero quarto mense motionem habet. Ubi igitur transacto hoc tempore non movetur, hic sane morbus est. Cuius rei magnum hoc est indicium, quod in mammis lac non innascitur. Hanc non curare praestat; sin facias, praedicens (morbum vix curabilem esse) curato. Ac primo quidem mulierem toto corpore foveto, deinde per sedem ut perpurgetur infusum immittito. Frequenti enim collutione, concalefacta a medicamento muliere id, quod foetus esse putatur, fortasse commoveris. Quin etiam uterum, quo sanguinem educas, eluito. Alioqui supposititiis ex bupresti quam valentissimis utendum et dictamnus Creticus ex vino propinandus, sin minus castoris testis. Et postea ad lateris inanitatem cucurbitulam admoveto, plurimumque detrahito, admoveto autem quam maxime ad uterum coniectura (de eius situ) facta.

κβʹ. Καθάρσιος ὅταν μὴ γίγνηται, ἤν τε ἐκ τόκου, ἤν τε καὶ ἄλλως. Δαΐδα ὡς πιοτάτην κόψαντα λεπτὴν ἕψειν ἐν οἴνῳ λευκῷ καὶ [5] χρῆσθαι ὡς τρισὶ κυάθοισι. Ἢ γλυκυσίδης κόκκοι τέσσαρες, κυμίνου Αἰθιοπικοῦ σμικρόν, καὶ σεσέλιος πλέον, καὶ κεδρίδες· ἢν δὲ πνιγμοὶ ἔωσι, κάστορος σμικρόν. — Ἢν δὲ

22. Purgationis curatio, cum sive ex partu, sive alias non procedit. Taedam pinguissimam tenuiter contusam ex vino albo coquito et fere tribus utitor cyathis. Aut paeoniae grana quatuor, cumini Aethiopici parum, et seseli copiosum, et cedri baccae; sin suffocationes adfuerint, castorii parum. At si ex partu,

[1] οὐ om. — [2] ἰῆσθαι ὅλον τὸ σῶμα omissis intermediis. — [3] πολλόν. — [4] καθάρσιος τεκμαιρόμενος πρὸς τὰς μήτρας. — ὅταν γὰρ μὴ γίνηται. — [5] ἀποχρῆσθαι.

codicum lectione πολλά: — ἅμα (αἷμα L. Corn., Foës. in adn., Lind.) τε vulg.

τὸ μὲν — ἐγγίγνεται.] τοῖον C.; — ceteri οὐ κινεῖται, sed οὐ om. in nonnullis codd.; — γε omm. C. J.; — τὴν κιν. τετρ. C.; — τοῦτ᾽ ἐστι C.; — δ᾽ ἔτι J.; — μέγα τεκμ. K.

ταύτην — ἰῆσθαι] ταύτῃ K.

καὶ πρῶτα — Φαρμάκου.] καὶ — γυναῖκα omm. mss. 7., in quorum uno rest. al. m.; — καὶ π. μ. πυρ. om. C.; — ὅλην Ald. C.; — διακαθήρῃ vulg., διακαθαίρῃ K., διακαθαίρηται de meo; — πολλοὶ (πολλόν D. πουλύ C.) γὰρ ἴσως κλύσασαν (πολλὰ γὰρ ἴσως ἂν κλύσας Foës. in adn. Lind.) κινήσεις vulg.; Littr. ex κλύσασαν effecit κλύσας ἄν partim recte, sed simul κινήσεις in κινησείας est mutandum et ἄν inferendum post κινησείας; — δοκεῦν C. Post εἶναι ceteri τὸ ξυνεστηκός, quam glossam delevi; — τῆς γυναικός om. C.

κλύζειν δὲ — μήτρας.] καὶ κατὰ τὰς μήτρας cett.; omitto κατά, quod ex καὶ τάς natum est; — ἀγάγῃς cum Foës., Lind. lego, ἀγάγῃ codd.; — εἰ δὲ μή O. J.; — καστόρειον mss. 6., καστόριον vulg.; — καὶ ὄπισθεν αὐτῆς cett., omitto αὐτῆς; — μάλιστα καθάρσιος τεκμαιρόμενος πρὸς τὰς μήτρας (τεκμ. κατὰ τὰς μήτρας καθάρσιος C., Ald. πρός pro κατά). Ὅταν γὰρ (γάρ om. C.) μή vulg. Equidem textum descripsi, uti Littr., excepto quod ille κατὰ τὰς μ., ego πρὸς τὰς μ. scripsi. Post ἀφαιρέειν ὅτι πλεῖστον lib. I. de m. mul. αἷμα additur; subintelligi quin possit h. l. non dubito; non opus est addere.

22. καθάρσιος — κυάθοισι.] ἀποχρῆσθαι cett.: ἀπόχρη usitatum his scriptoribus, ἀποχρῆσθαι nusquam legere me memini, quare χρῆσθαι scribo.

ἢ γλυκυσίδης — σμικρόν.] [ἢ] γ. τ. Lind., cett. ἤ omm.; — πλεῖον vulg., πλεῖστον J., πλέον C. Littr. Ceteri ἢ κεδρίδα, sed κεδρίδα prorsus incongruum; καὶ κεδρίδες scriptum fuisse suspicor.

ἢν δ᾽ ἐκ τόκου — λευκῷ.] Num forte aliquid exciderit

ἐκ τόκου καθάρσιος γιγνομένης μετρίης ἡ γαστὴρ μένῃ, ἢ καὶ Φῦσα ἀποκεκλεισμένη καὶ ὀδυνώδης γίγνηται, ἤν τε ξὺν πυρετῷ, ἤν τε ἄνευ πυρετοῦ, ὀποῦ σκαμμωνίης πέμπτον μέρος πόσιος ἢ σεσέλιος, ἢ ἄλλου τινὸς τῶν εὐωδέων δίδοναι καὶ πήγανον ἐν οἴνῳ λευκῷ. Ἢν δὲ μὴ βούληται [1] πιεῖν, πρὸς τὴν ἕδρην ἄλειμμα ποιέειν, οἷον ἐκ χολῆς ταυρείης καὶ μέλιτος καὶ νίτρου. — Ἢν δ' ἐκ [2] διαφθορῆς κάθαρσις ὀδυνώδης ᾖ καὶ τῶν εὐωδέων διδομένων μηδὲν ὑπακούῃ, καὶ πυρετοῦ ἐόντος, γάλακτος αἰγείου δύο κοτύλας ἀφέψειν, εἶτα ψυχθέντος τὴν [3] γρηῦν ἀφελεῖν [4] καὶ διηθήσας μελικρήτου ὅσον τρίτον μέρος μῖξαι, ὅκως γλυκύτερον ἔσται· πιεῖν δὲ τρὶς νῆστιν. Ἢν δὲ μὴ παύηται ἡ ὀδύνη, μηδὲ ἡ κοιλίη ὑποχωρήσῃ, ἐς τὴν δείλην ἐν σκάφῃ ἐς θερμὸν ὕδωρ ἐγκαθισάτω· ὅταν δὲ διαπυριηθῇ, ἐξαναστήσαντα κλύζειν ἐν οἴνῳ αὐστηρῷ μέλανι διεὶς καὶ ὕδατι ἅπαξ ἐλαίου ἥμισυ τὸ ὕδωρ [5] χλιερῷ κλύζειν καὶ ἐπικοιμηθήτω.

moderata purgatione contingente, venter maneat, aut etiam ex flatu concluso dolor excitetur, vel cum febre, vel citra febrem, succi scammoniae potionis quintam partem, aut seseli, aut aliud quoddam ex odoratis et rutam ex vino albo praebeto. Quodsi bibere nolit, medicamentum ad sedem illinendum conficito, quale est ex felle tauri, melle et nitro. Si vero ex foetus corruptione purgatio dolorem adferat, neque exhibitis odoratis cedat, et febris adsit, lactis caprini heminas duas decoquito, deinde eo refrigerato quod in summo pingue concrevit detrahito, percolato aquae mulsae trientem, quo dulcius evadat, admisceto. Ter autem ieiunae bibendum. Quodsi dolor non sedetur, neque venter subducatur, sub vesperum in calidae solium desideat. Post fotum surgere iussam colluito . . . .

κγ'. [6] Πρόσθετον ὑστερέων, ἢν ξυμμεμύκῃ ἢ σκληρὸν ᾖ τὸ στόμα. Σῦκον λευκὸν ἐκκαθήρας καὶ [7] νίτρον Αἰγύπτιον τὸ καθαρώτατον μίξας λεῖον τετριμμένον πρόσθετον ποιῆσαι ὅσον [8] κηκίδα μὴ μεγάλην ἐν εἰρίῳ μαλθακῷ· ἐς ἴρινον μύρον [9] ἐμβάψασα προσθέσθω, ἤν τε τρεῖς, ἤν τε πλείονας ἡμέρας δοκέῃ· πυρίησις μετὰ τοῦτο ξυμφέρει εὐώδεϊ· μετὰ δὲ μαλθακόν τι δεῖ προστιθέναι, ὅ τι ἰχωρο-

23. Quod utero subditur, si os clausum aut durum fuerit. Ficum albam perpurgatam et nitrum Aegyptium purissimum tenuissime tritum admixtum in pessum subdititium gallae non magnae magnitudine effingito, quem ex lana molli unguento imbuta tribus vel pluribus, ut visum fuerit, diebus supponat. Post hoc fomentum ex odoratis confert, deinde vero molli aliquo subdititio opus est, quod potissi-

[1] ποιεῖν. — [2] διαφορῆς. — [3] γρήν. — [4] καί om. — [5] χλιερῶς. — [6] πρόσθετον — στόμα abest. — [7] λίτρον. — [8] κηκίδια μεγάλην. — [9] βάψας προσθέτω.

ante μένῃ, quale μεγάλη, ἐπηρμένη, nescio; — Φυσᾷ vulg., Φύσα H. K., Φῦσα C., quem sequor. Nempe Φυσᾷ constare nequit, Φυσᾶται de ventre dici fortasse possit, sed ἀποκεκλεισμένη docet non nisi Φῦσα scriptum fuisse. — De meo διδόναι adscripsi: —

ἢν δὲ μὴ — νίτρον.] λίτρον vulg., νίτρον D.

ἢν δ' ἐκ — νῆστιν.] διαφορῆς, uti V., mss. 3. Parr.; — καθάρσιος vulgo, κάθαρσις legendum est cum Foësio in Latinis; — διδόμενον vulg., διδομένων C. Lind., Littr.; — γυναικείου al. m. αἰγείου D., αἰγείου om. J.; — ὑγρήν vulg., γρήν, uti V., Parr. 3., γραῦν D. Q.', γρηῦν C. Foës. in adn., Lind., Littr.; — καὶ διηθ. C. Foës. in adn., Lind., καί om. vulg.

ἢν δὲ μὴ — ἐπικοιμηθήτω.] μηδ' οἱ κοιλίη C.; — σκάφει idem; — καὶ κλύζειν idem; — χλιηρῶς vulg., χλιηρῷ C. H. Littr., χλιερῷ de meo. At ego nihil intelligo de parte postrema: κλύζειν ἐν οἴνῳ αὐστηρῷ μέλανι nihili dictio est, quam facile emendes ἐν tollendo; at nescis num οἴνῳ α. μελ. non pendeat a διείς et antea aliquid exciderit, sed fac aliquid deësse et dandum esse κλύζειν . . . . οἴνῳ μέλανι διεὶς καὶ ὕδατι, — at quomodo cum his cohaeret ἅπαξ ἐλαίου ἥμισυ τὸ ὕδωρ? Scilicet in his per se sensus idoneus non inest, nec eorum cum superioribus quis nexus sit, apparet. Bene habet χλιερῷ κλύζειν καὶ ἐπικοιμηθήτω.

23. πρόσθετον — νύκτα.] σύκου D.; — νίτρον D., λίτρον cett.; — κηκίδα C., κικίδα vulg.; — ἴρειον Ald., codd. 5.; εὔριον al. m. ἴρινον D., εἴρινον H.; — βάψασα (βάψας D. G. H. J. K., ἐμβάψασα C. Littr.) προσθέτω (προσθέσθω C. Littr.) vulg.; — ἐν εὐώδεϊ cett., ἐν repudio; — πρόσθετον ceteri, προστιθέναι de meo. Postrema, λινόζωστις — καὶ νύκτα dubiae lectionis sunt: corrupta esse certum est, sed restitutio certa non est: si seq. formulam conferas, probabile

ειδέα ἄξει μάλιστα· μετὰ δὲ [1] λινόζωστις, ἣν ᾖ ἁπαλὴ, μύρῳ ῥοδίνῳ χρῆσθαι ἐν ὀθονίῳ ἐς ἡμέρην καὶ [2] νύκτα. — Ἐπὶ τοῦ αὐτοῦ. Χολὴν ταύρου [3] καὶ ἅλας ἀναζέσαι καὶ [4] θεῖον λεῖον παραμίσγειν, — ποιήσας πρόσμακρον, [μῆκος ὡς μέγας πυρὴν,] ψιλὸν προστιθέναι ἐπὶ δύο ἡμέρας καὶ νύκτας πρὸς αὐτὰς τὰς ὑστέρας· πάλιν λινόζωστιν μετὰ τοῦτο, ἐπιπάσσειν σμύρναν ἄκρητον μίξας, διεῖναι [5] ῥοδίνῳ ἄκρῳ καὶ μύρῳ ἰρίνῳ διαχρίεσθαι τὸ στόμα ὡς ἐσωτάτω. — Ἄλλο. Ἶριν εὐώδεα κόψας καὶ διασήσας χωρὶς, κυπέρου ἴσον καὶ ἔκμαγμα ὅσον μαγίδα οἴνῳ ἀνθοσμίῃ διεῖναι εἶτα ἀλειμματῶδες ποιέειν καὶ ἐς σπλῆνας ἀλείψας μῆκος σπιθαμῆς ἐς σμικρὴν σιπυΐδα ἐνθεὶς ὅκως μὴ παραπνέῃ, προσθέσθω.

κδ'. Ἢν δὲ ἑλκωθέωσι αἱ μῆτραι, ἢ τρηχυνθῇ τὸ στόμα, ἢ ὑπὸ προσθέτου δηχθῶσι, ἐν εἰρίῳ [6] χρῖσαι στέαρ καὶ ῥόδινον ἀλεῖψαι καὶ κηροῦ σμικρόν.

κε'. Ὅταν ἴσχουσα ἐν γαστρὶ διαφθείρῃ τὸ ἔμβρυον μηνιαῖον καὶ ἐκφέρειν ἐς τέλος μὴ δύνηται, καὶ λεπτὴ παρὰ φύσιν [7] γένηται, χρὴ καθήραντα τὰς ὑστέρας καὶ αὐτὴν φαρμακεύσαντα παχύνειν, οὐ γὰρ δυνήσεται ἐκφέρειν ἐς τέλος ἔστ' ἂν ἑωυτήν τε ἀναλάβῃ καὶ αἱ ὑστέραι [8] ἰσχύσωσι.

mum saniosa educat. Postea . . . . — Ad idem. Fel taurinum et salem fervefacito, sulphur tenuissime tritum ammisceto, in oblongum, [longitudine quali magni nuclei,] efformato et nudum ad dies duas et noctes in uterum ipsum indito, ac rursus mercurialem, postea . . . . — Aliud. Iridem odoratam tundito et seorsim cribrato, cyperi parem modum . . . .

24. Si vero uterus exulceratus fuerit, aut os exasperatum, aut ex subdititio corrosus uterus, adipe lana excepto linito, et rosaceo unguento et pauca cera inungito.

25. Cum praegnans foetum menstruum corrumpit, neque ad extremum perferre potest, et praeter naturam extenuatur, uterum purgare eamque medicamento purgante curare oportet ac dein crassam reddere. Neque enim ad extremum perferre poterit, nisi ante vires receperit atque uterus validior fuerit.

[1] λινόζωστιν. — [2] νύκτα καὶ χολὴν τ. — [3] καί om. — [4] θεῖον λεῖον παραμ. πρὸς μακρὸν μῆκος μέγα π. ψ. — [5] ῥοδίνω — διεῖναι om. — [6] χρῆσαι. — [7] γίνηται. — [8] ἴσχωσιν.

est in χρῆσθαι latere χρίεσθαι vel compositum cum hoc simplice: sin ad ἐν ὀθονίῳ respicias, dixeris sermonem esse non de unguento parando sed de suppositorio; ex his me non expedio. — Nempe vereor ne desint quaedam.

ἐπὶ τοῦ αὐτοῦ — ἐσωτάτω.] καί pro ἐπὶ τοῦ αὐτοῦ, uti V., mss. 7. apud Littr., ἄλλο C.; — ἐπὶ τοῦ αὐτοῦ pro καί G.; — ἄλλο pro καί D. H. I. J. K. Post θεῖον ferunt λεῖον, uti V., mss. 6. apud Littr.; Foësius Latine expressit; — ποιήσας (ποιήσας om. vulg., ποιῆσαι, Lind.) C. Littr.; — πρὸς μακρὸν μῆκος μέγα σπύρην (σπῦρ C., σπείρην Corn., Foës. in adn., Lind.) ψιλὴν (ψιλόν C. D. F. G. H. I.) vulg. — „Je lis, inquit Littr., πρόσμακρον μῆκος ὡς μέγας πυρήν et ψιλόν, l'entendant à nu *sans laine ou sans linge*." Consentio maximam partem, sed πρόσμακρον et quae uncis intercepi dittographia est, aut quae uncis intersepsi scholion referunt. Porro [καὶ] προσθέσθαι Lind.; — vulgo καί abest, sed malo προστιθέναι quam προσθέσθαι legere, quippe cum hoc non congruit antecedens ποιήσας; — ῥοδ. (ῥοδ. om. K.) ἄκρῳ (ἄκρῳ omm. C. Littr.) καί vulg.; — ἰρ. μύρῳ C. Postrema, ἐπιπάσσειν — ἐσωτάτω non intelligo; quid est quod ἐπιπάσσεσθαι debeat? Tum vero μίξας, διεῖναι quid sibi vult? aut quid ἐπιπάσσειν μίξας? Post ῥοδίνῳ illud ἄκρῳ iam Cornarium omisisse adnotat Foës.; fortasse e superiore ἀκρήτῳ natum est: sed hoc utut est, ego in his non nisi tenebras cerno!

ἄλλο — προσθέσθω.] Vulgo θεραπεία ἐπὶ τὸ αὐτὸ νόσημα, sed hoc om. F.; malui ἄλλο dare e mss. 7. apud Littr.; — κυπείρου D.; — ἔκβαμμα haud ita pauci codd. pro ἔκμαγμα, quod ex h. l. adfert Gal. in Gloss. — Dein λιῆναι C.; — καί ante ἐς σπλ. om. C.; — προσθείς pro ἐνθείς idem; — σιπυΐδα Galenus exponit πύξιν. Sed rursus locum non intelligo: iris et cyperus in pulverem rediguntur, itaque remedia siccata sunt: sed quomodo iam ex iis fit ἔκμαγμα; quod requirit materiem solidam sed mollem, ut in certam formam effingi possit: si subintelligas id aqua fieri debere, at quidni ἔκμαγμα ποιήσας dixit? Quid ὅσον μαγίδα? Vultne per μαγίδος commemorationem copiam definire? probabilius est eum mollitiem eo exemplo notare velle, at tum ὡς ἂν μαγίδα exspectas! Si legam καὶ ἔκμαγμα ποιήσας, s. potius καὶ μάγμα ποιήσας ὡς ἂν μαγίδα οἴνῳ κ. τ. λ., locum intelligo. Videant alii!

24. ἢν ἑλκωθέωσι — σμικρόν.] ἑλκωθέωσι Ionice C. Littr.; — προσθέτου τινός vulg., τινός om. C.; — ἐν εἰρίῳ χρῖσαι significare debebit per tmesin, quae inesse videtur, ἐγχρῖσαι εἰρίῳ τῷ στόματι; — καί ante κηροῦ om. C.

25. ὅταν — ἰσχύσωσι.] cf. § 19. libri de nat. mul., et

κϛ'. Ἢν δὲ κυΐσκηται μὲν, διαφθείρῃ δὲ δίμηνα τὰ παιδία [ἐς ἀκριβῶς τὸν αὐτὸν χρόνον καὶ μήτε πρότερον, μηθ' ὕστερον] καὶ τοῦτο πάθῃ δὶς ἢ τρὶς, [κατὰ ταὐτὰ, ἢ καὶ πλείονα χρόνον γεγονότα κατὰ τὸν αὐτὸν τρόπον τοῦτον διαφθείρῃ, ταύτης] αἱ μῆτραι οὐκ ἐπιδιδόασιν ἐπὶ τὸ μέζον τοῦ παιδίου ἐν αὐτῇσι αὐξανομένου· [καὶ ὑπερβάλλοντος ἐκ τοῦ διμήνου ἢ τριμήνου ἐς τὸ πλέον] ἀλλὰ τὸ μὲν αὔξεται, αἱ δὲ μῆτραι οὐδὲν ἐπιδιδόασι· διὰ δὴ τοῦτο διαφθείρουσι αἱ πολλαὶ ἐς τὸν αὐτὸν χρόνον. Ταύτῃ χρὴ κλύσαι τὴν μήτρην καὶ διαφυσῆσαι ὡς μάλιστα προσθέτοισι τοῖσδε· — τῆς σικυώνης τὴν ἐντεριώνην κόψαντα διασῆσαι καὶ σίλφιον ὀλίγον παραμῖξαι, ὀλίγα ἐν πλείονι καὶ καθεφθοτέρῳ τῷ μέλιτι· τοῦτο περιπλάσαι περὶ μήλην, ποιέοντα τὸ πάχος ὅσον μέλλει παραδέξασθαι ὁ στόμαχος τῆς μήτρης καὶ ὦσαι πόρρω, ἕως ἂν περήσῃ ἐς τὸ ἔσω τῆς μήτρης· ὅταν δὲ ἀποτακῇ τὸ φάρμακον, ἐξελεῖν τὴν μήλην καὶ πάλιν οὕτω τὸ ἐλατήριον καὶ τῆς κολοκυνθίδος τῆς ἀγρίης ποιέων ὡσαύτως τῷ προτέρῳ προστιθέναι. Ἐσθιέτω δὲ τοῦτον τὸν χρόνον σκόροδα ὡς πλεῖστα καὶ καυλὸν σιλφίου καὶ τῇ ἄλλῃ διαίτῃ χρήσθω, ὁκοίῃ ἂν μέλλῃ φῦσαν ἐμποιῆσαι μάλιστα ἐν τῇ κοιλίῃ. Προστιθέσθω δὲ [τὸ πρόσθετον] διὰ τρίτης ἡμέρης, ἕως ἂν δοκέῃ καλῶς ἔχειν· ἐνίοτε δὲ καὶ διὰ πλείονος· τὸ δὲ ὅλον ὅκως ἂν προσίηται· τὰς δὲ μεταξὺ ἡμέρας μαλθακοῖσι χρῆσθαι. Ὅταν δὲ καταστήσῃς τοῖσι μαλθακτηρίοισι τὸ στόμα τῆς μήτρης,

26. Si vero praegnans quidem fuerit, sed foetus bimestres corrumpat, idque vel bis, vel ter accidat, uterus cum foetus in eo augetur in maiorem molem non excrescit; sed foetus quidem mole augetur, uterus vero nihil quidquam excrescit; eamque ob causam multae eodem tempore foetum corrumpunt. Huic uterum colluere et per subdititia haec quam maxime inflare uterum oportet. Colocynthidis medullam interiorem contusam et cribratam et laseris modicum, pauciora cum ampliore melle et magis cocto misceto. Hoc ea crassitudine reddito quam os uteri admittere queat, specillum obductum penitius, donec ad internam uteri partem penetrarit, protrudito. Medicamento colliquato specillum educito, rursus elaterium sic paratum et ex colocynthide silvestri confectum medicamentum velut prius subdito. Eo vero tempore allium quam plurimum comedat et laseris caulem reliquaque victus ratione utatur, quae flatum maxime in ventre excitare possit. Tertio autem quoque die, quoad bene habere videatur, subdititium apponatur, interdum etiam ex maiore intervallo; ad summum vero uti lubens admiserit. Atque intermediis diebus mollibus utatur. Cum vero per emollientia os uteri suae integritati restitueris, mensesque comparuerint, pauca interposita mora, ubi iam sicca fuerit, cum viro congrediatur.

§ 17. libri I. de m. mull., licet aliud quid ibi memoretur. Cf. Aph. 44. V.; — τὸ δὲ ἔμβρ. ceteri, otiosum δέ omisi; — γίνηται, uti V., mss. 4. apud Littr.; — ταύτην χρή ceteri; omitto otiosum ταύτην; — φαρμακεύειν καὶ π. vulgo, sed cum multis mss. Littr. φαρμακεύσαντα π. sine καί; — τε om. D.; — ἴσχωσι vulg., ἰσχύωσι H. al. m., Littr.; — ἰσχύσωσι Foës. in adn.

26. ἢν δὲ κυΐσκηται — χρόνον.] cf. de superfoet. § 27. ἢ ante καὶ πλείονα χρόνον om. C.; — κατὰ τὸν αὐτὸν τρόπον τοῦτο (τοῦτον mss. 5., Foës. in adn., Lind., Littr.) vulgata; αὐξάνεται C.; — ἐπιδιδόασι J. solus utroque loco pro vulgato ἐπιδιδοῦσι. Intersepsi uncinis emblemata aliena; vide adn. ad lib. de superfoet.

ταύτῃ — προστιθέναι.] ταύτην ceteri, ταύτῃ e lib. l.; — καὶ διαφ. J., καί om. vulg.; — προσθέτοισι ἢ φαρμάκοισι vulg., Littr. ἢ delevit, ego et ἢ et φαρμάκοισι repudio; ἢ φαρμάκοισι verum non est, nam aliorum medicamentorum praeter πρόσθετα nulla mentio fit; προσθέτοισι φαρμάκοισι vero ineptum, quia προσθέτοισι solum sufficit. Porro παραμίξαντα J.; — παραδέξασθαι ὁ στόμαχος πρὸς τὸ στόμα ceteri, sed otiosum πρὸς τὸ στόμα abiicio. Tum ἐς τὸ ἔξω τῆς μ. vulgo, at recte Littr. de suo ἔσω pro ἔξω scripsit. Tandem solet scribi κολοκυντίδος, sed C. per θ scriptum legit. In sequenti periodo χρῆσθαι edi solet, sed χρήσθω dedi de meo; tum pro ἐν τῇ κοιλίῃ Foës. Latine *in utero*. Utrum ἐν τῇ μήτρῃ Graece legere voluerit, nec ne, nescio; sed puto vulgatam recte se habere veteresque illos existimasse cibos, qui flatum in intestinis facerent, etiam uterum flatu implere atque eum distendere.

Ὅταν δὲ — ἀνδρί.] καταστήσῃ ceteri, de meo secundam

[1] Φανῇ τε τὰ ἐπιμήνια, ἐπιμείνασα, ὅταν ξηρὴ ἤδη ᾖ, μιγνύσθω τῷ ἀνδρί.

κζ'. Ποιέειν δὲ Φῦσαν ἐν τῇ μήτρῃ [2] ὅταν βούλῃ, σκορόδου μώλυζαν καὶ ὀπὸν σιλφίου παραμιγνύναι πρὸς τὰ πρόσθετα.

κη'. Καὶ ἥτις ἂν μὴ δύνηται διατελεῖν τοὺς δέκα μῆνας κύουσα, ἀλλὰ διαφθείρῃ καὶ τοῦτο πάσχῃ πλεονάκις, ταύτης [3] τὰς μήτρας καθαίρειν ὕδωρ καὶ αὐτὴν φαρμακεύειν, ὅκως ὕδωρ καθαίρηται.

κθ'. Ἢν δὲ κατέχουσα τὴν γονὴν μὴ κυΐσκηται, — τὰ ἐπιμήνια πλείω γίγνεται τοῦ προσήκοντος καὶ ὑγρότερα, ὥστε τὸ ἀπὸ τῆς γυναικὸς μὴ ξυλλαμβάνεσθαι πρὸς τὴν τέκνωσιν τήν τε τοῦ ἀνδρὸς γονὴν ἐπιοῦσαν διαφθείρεσθαι· γίγνεται δὲ τοῦ τε σώματος καὶ τῶν μητρέων νοσεόντων. Ἀλλὰ δεῖ ταύτῃ κατωτερικὰ διδόναι διαλείποντα καὶ πυριᾶν ὅλον τὸ σῶμα καὶ τὰς μήτρας ὄξεϊ καὶ θαλάσσῃ [4] μύδρους διαπύρους ἐμβαλόντα· ἐμβάλλειν δὲ [5] ἐς τὸ πυρίημα κυπαρίσσου πρίσματα καὶ δάφνης φύλλα κόψας χλωρῆς καὶ πολυκνήμου φύλλα· πυριᾶν δὲ ὁκόσον ἂν δοκέῃ καιρὸς εἶναι χρόνον· μετὰ δὲ [6] τοῦτο ἐκλούσθω καὶ ὄξεϊ ἐνέψειν λωτοῦ πρίσματα καὶ ῥόδινον καὶ πολυκνήμου τὰ φύλλα· ἐπὶ τελευτῆς δὲ θυμιᾶν φλόμου φύλλα κόψας καὶ λωτοῦ πρίσματα· ἔμπροσθεν δὲ, πρὶν ἐκλούσασθαι, θυμιῆσαι σμύρνῃ καὶ [7] λιβανωτῷ

27. In utero autem cum flatum excitare voles, allii caput unicum et laseris succum ad subdititia admisceto.

28. Ac si quae concepit ad decem menses perdurare nequeat, sed foetum corrumpat, idque ei plerumque accidat, huic ex utero aquas purgato, eique medicamenta, quibus ipsa aqua purgetur, exhibeto.

29. At si quae genituram continet non concipit, menses copiosiores et humidiores quam conveniat defluunt, ut proinde quod a muliere prodit ad liberorum procreationem non concipiatur et viri genitura accedens corrumpatur; quod fit tum corpore tum utero male affecto. Verum huic deorsum medicamenta purgantia per intervalla exhibere et totum corpus uterumque aceto et aqua marina fovere oportet, lapidibus ignitis immissis. In fomentum autem coniicienda cupressi ramenta et lauri viridis folia contusa et polycnemi folia. Adhibendum autem fomentum quamdiu opportunum esse videatur, post quod lavet. Et aceto loti ramenta incoquito et rosaceum et polycnemi folia. Ad extremum autem suffitum ex verbasci foliis contusis et loti ramentis admoveto. Antea vero prius quam lavet suffitus ex myrrha et thure adhibendus, tritis utriusque aequis partibus et

[1] καὶ φανῆται τὰ ἐπιμήνια. — [2] ὅταν δὲ β. — [3] τῆς ἡμέρης. — [4] μύλας. — [5] ὡς. — [6] τοῦτον λούεσθαι καὶ ὄξει ἐνεψεῖν λ. τορνεύματα. — [7] λιβανωτοῦ.

personam dedi. Dein: μήτρης καὶ (καί om. C.) φανῆται (φανεῖται H., φανῇ τε C. Littr.) τά vulg. et μείνασα J.

27. ποιέειν — πρόσθετα.] τῇ om. C.; — ὅταν δὲ βούλῃ vulg., sed δέ omm. C., Foës. in adn., Lind., Littr.

28. καὶ ἥτις — καθαίρηται.] τῆς μήτρης vulg., τῆς ἡμέρης libri 6. apud Littr., uti V.. τὰς μήτρας C. Littr.

29. ἣν δὲ κατέχουσα — νοσεόντων.] Post κυΐσκηται ceteri: συμβαίνει (ξυμβ. C.) δὲ τοῦτο πλείστῃσι τοῦ στομάχου χανόντος τῆς μήτρης παρὰ φύσιν, in quibus pro τοῦτο saltem τῇσι legendum; sed esse emblema recens docet finis huius periodi, ubi demum rei causa exponitur et longe probabilior traditur quam h. l.

ἀλλὰ — ποιέειν.] δή C. pro δεῖ; — διαλιπόντα idem; — πυριᾶν idem, πυριῆν vulg.; — μήλας vulg., μύλα D. I. K., μύλους C. Littr., qui μύλους reddit „de grosses pierres" sed *lapides molares* hic non spectantur; fortasse μύλους natum est e μύδρους, quod Calvum legisse videri adnotat Foës. et re ipsa occurrit de m. mul. II. § 26. vid. Oecon. Hipp.; fieri tamen etiam possit, ut μήλας in μύλους abierit, postquam μύλας scribi coeptum erat. Hoc utut est, inter μήλας et μύδρους h. l. est optio: puto autem verosimilius esse μύδρους διαπύρους antiquos illos usurpavisse, quam μήλας, quare illud recipio. — Dein ἐμβάλλοντα vulgata, ἐσβάλλοντα C., ἐμβαλόντα de meo; — καὶ πολυκνήμου αὐτοῦ φύλλα (τὰ φύλλα D.) vulg., sed αὐτοῦ abundat, itaque et hoc loco et paulo post eieci. Tum ὁκοῖον ἂν δοκέῃ καιρὸς εἶναι χρόνον, sed si alios locos consulas, probabile est sermonem esse non de occasione solum administrandi, sed de temporis tractu per quem sit adhibendus, quare ὁκόσον lego. Tum τοῦτον vulgo, τοῦτο C.; — λούσθω vulgo, ἐκλούσθω C., quod etiam Galenum legisse e Gloss. in voce patet, ita ut receperit Littr. — Dein καὶ ὄξεϊ ἐνεψεῖν (ἐνεψῶν Ald., mss. 5.) vulg.; Littréus καί delevit et ἐνεψῶν recepit, sed ἐκλούσθω ἐνέψων de muliere incongruum, quare vulgatam retinere praestat, me iudice. — Porro καὶ ῥοδ. — πρίσματα om. J.; nempe de meo πρίσματα reposui bis pro τορνεύματα, quod mss. et edd. ferunt contra usum horum scriptorum. Cornarium non ῥόδινον, sed ῥόδον legisse, Foës. monet. Tum σμύρνης pro σμύρνῃ D., λιβανωτοῦ C. D. H. I.; — ταῦτα ἀναμίξας ceteri; eieci otiosum prono-

τρίψας ἴσον ἑκατέρου καὶ μυρσίνης καὶ δάφνης φύλλα ἀναμίξας, καὶ ἐπιβαλὼν ἐπὶ μαλθακὸν πῦρ θυμιᾷν νεοπυρίητον ἐοῦσαν [1] δὶς τῆς ἡμέρης καὶ τῆς θυμιήσιος ὕστερον λουέσθω καὶ τὸν στόμαχον καθιστάναι ἐς τὴν ἀρχαίην φύσιν· καὶ ἢν ἐξαρκέουσα ᾖ, πρόσθεν τούτων πάντων τάμνειν τὴν ἐν τῇ χειρὶ φλέβα τῇ ἀριστερῇ καὶ οὕτω τἄλλα ποιέειν. Ἢν [2] δὲ ὁ μὲν στόμαχος οὕτως ἔχῃ, τὰ δ' ἐπιμήνια [3] μὴ ἴῃ, ἢ φλαύρως ἢ ἐπὶ τοὔλαττον, [4] πρὸς πλείονα κάθαρσιν τρέπεσθαι πρὸς τοῖσι ἄλλοισι ἅπασι καὶ [5] οὕτω θεραπεύειν, καὶ προστιθέναι, ἢν δέῃ, καὶ ἐκ τῶν προσθέτων λούειν καὶ θυμιᾷν καὶ ξηραίνειν.

myrti et lauri foliis. His commixtis et in levem ignem coniectis, suffitum a recenti fomento bis die adhibeto et post suffitum lavet et os pristinae suae naturae restituito. Quodsi vires sufficiant, ante haec omnia venam in brachio sinistro pertundito, atque ita reliqua facito. Si vero os ita se habeat, menses vero minime aut vitiose aut parcius decurrant, ad maiorem purgationem transire oportet praeterquam reliqua omnia, atque ita curare eam, et subdititiis, si opus sit, uti et post suppositoria lavare, et fumigare et siccare.

λ'. Ἢν δὲ γυνὴ ἐκτιτρώσκῃ ἀέκουσα καὶ μὴ θέλῃ ἐκβάλλειν, πυροὺς πεφρυγμένους καὶ κατεληλεσμένους καὶ σταφίδα κεκομμένην λευκὴν μελικρήτῳ γλυκερῷ [6] διεὶς, ἐλαίου σμικρὸν παραχέων νήστι [7] πίνειν διδόναι· μετὰ δὲ ῥαφάνου σπέρμα τρίψασα καὶ ὄξος καὶ χηνὸς στέαρ [8] μίξασα ἐσθιέτω, καὶ προστιθέσθω δάφνης φύλλα τρίβουσα· μετὰ δὲ πινέτω ὀρίγανον καὶ γλήχωνα καὶ ἄλφιτον ἐν ὕδατι ἐπιπάσσουσα δάφνης φύλλα κεκομμένα καὶ τετριμμένα λεῖα . . . . κόμμι παραμίξας καὶ διεὶς ὕδατι, πίνειν διδόναι. — [9] Ἄλλο. Οἴος στέαρ καὶ χηνὸς ἄλειφα καὶ μέλι ἐς τωὐτὸ μίξας καὶ τρίψας ἔκλεικτον διδόναι. — [10] Ἄλλο. Σταφυλῖνον τρίβων ὡς λειότατον καὶ γάλακτος ὑπόστασιν ἐς [11] τωὐτὸ μίξας, χηνὸς στέαρ τήξας,

30. At si mulier invita abortionem faciat, neque foetum eiicere possit, triticum tostum et molitum, uvam passam albam contusam, aqua mulsa diluta, pauco oleo affuso, ieiunae potui exhibeto. Postea vero raphani semen tritum, acetum et adipem anserinum mixta comedat et lauri folia trita in subdititio apponat. Deinde origanum et pulegium et polentam ex aqua bibat, lauri foliis contusis et tenuiter tritis inspersis . . . . gummi ammixto et aqua diluta potui exhibeto. — Aliud. Ovis pingue et anserinum adipem et mel simul mixta et trita delingenda exhibeto. — Aliud. Staphylinum quam levissime terito et cum lactis sedimento commisceto; adipem anserinum liquato istaque cocta sorbenda exhibeto. — Aliud. Origani folia laevissime trita, viridia, si habeas, sin minus,

[1] δίς om. — [2] δὲ καὶ ὁ στομ. — [3] ἴῃ φλαύρως sine μή. — [4] ἢ πρὸς πλείονα ἄλλην καθ. — [5] οὕτως. — [6] ταῦτα διείς. — [7] πιεῖν. — [8] ταῦτα μίξας. [9] ἄλλο om. — [10] ἄλλο om., tum σταφυλίνου. — [11] τούτῳ μίξας καὶ χηνὸς ἄλειφα ἀνεψήσας διδόναι ῥοφεῖν.

men; — καί ante ἐπιβαλών om. C.; — δίς omm. D. F. J. — Post τῆς ἡμέρης ceteri πυριῆν νεόλουτον ἐοῦσαν, quod rursus abundat et errore natum, quum antecedat θυμιῆν νεοπυρίητον ἐοῦσαν. — In illis, quae sequuntur, καθεστάναι vulg., καθιστάναι C. Littr.; — καὶ ἢν ἐξαρκ. ᾖ vulgo, sed ἐξαρκέουσαν sine ᾖ C.; tum πρόσθεν δέ cett.: „δέ est ici pour δή" inquit Littr.; malui omittere particulam otiosam.

ἢν δὲ — ξηραίνων.] δὲ ὁ στόμαχος vulgo. δ' ὁ μὲν στόμαχος C.; — καὶ τὰ ἐπιμ. J.; — ἤ ante φλαύρως omm. mss., sed dudum restituerunt interpretes. Porro πρὸς τοῖσι ἄλλοισι ἅπασι Vatt. Foësii, πρὸς τοῖσι ἄλλοισι C. sine ἅπασι, unde Littr. πρός h. l. intulit; — οὕτω J. Littr., οὕτως vulg.; — εἰ δέει C. — Dein καὶ ἐκ τῶν πρόσθεν λούων καὶ θυμιῶν καὶ ξηραίνων. In qua lect. καί absurdum; sed vitium est in πρόσθεν, quod ex προσθέτων, uti aliis locis, est ortum, quo revocato participia in infinitivos mutavi.

30. ἢν δὲ γυνὴ — διδόναι.] κατεληλαμένους mss. 6. apud Littr., κατεληλασμένους vulg., κατεληλεσμένους C. Littr.; — ἐλαίῳ C. J.; — πιεῖν C. D. K.; — τρίψας cett., τρίψασα de meo; — ταῦτα μίξας cett., ταῦτα abieci et μίξασα scripsi de meo; — ad sequens ἐσθιέτω Foës. adnotat Cornarium πινέτω legisse videri, Calvum ῥοφεέτω; — γληχ. καὶ ὀριγ. D.; — ἐν ὕδατι om. K.; — κόψας καὶ τρίψας C. pro κεκομμένα καὶ τετριμμένα, in quibus [τε] καί Lind. — Ante κόμμι lacunae signa posui; locus sensu cassus est propter nonnullorum defectum. Denique καί ante διείς om. C.

ἄλλο — διδόναι.] ἄλλο mss. 6., Vatt. Foësii, Lind., Littr.; vulgo om.; — τὸ αὐτό vulg., τωὐτό C., Littr.

ἄλλο — ῥυφεῖν.] ἄλλο Littr. e mss. 5., vulgo om.; — σταφυλίνου nonnulla mss. — ἐν τούτῳ vulg., ἐς τοῦτο C., in quo latet id, quod exhibui; — καὶ χηνός vulg., καί omm. C. Littr.; — τήξας omm. ms. 5., in quorum uno

ταῦτα ἀνεψήσας διδόναι ῥοφεῖν. — [1] Ἄλλο. Ὀριγάνου φύλλα τρίψας ὡς λειότατα, ἢν μὲν [2] ἔχῃς, χλωρῆς, εἰ δὲ μὴ, ξηρῆς, διεὶς [3] ὕδατι πίνειν διδόναι. — Ἄλλο. Δάφνης καρπὸν τρίψας ὡς λειότατον καὶ ὑὸς θηλείης στέαρ τήξας καὶ μέλιτι μίξας [4] ἔκλεικτον διδόναι. — Ἄλλο. Σταφυλῖνον τρίβων ὡς λειότατον [5] οἴνῳ διεὶς κεκρημένῳ, πίνειν διδόναι.

sicca aqua diluta potui exhibeto. — Aliud. Lauri fructum laevissime tritum et suis foeminae adipem liquatum cum melle mixta delingenda praebeto. — Aliud. Staphylinum laevissime tritum vino aqua temperato dilutum bibendum dato.

λα'. Ἢν αἱ μῆτραι μὴ κατέχωσι τὴν γονὴν, μόλιβδον καὶ [6] λίθον, ἥτις τὸν σίδηρον ἁρπάζει, [7] τρίψας λεῖα ἐς ῥάκος ἀπόδησον, καὶ ἐς γάλα γυναικὸς ἐμβάψασα προσθετῷ χρήσθω. — Ἄλλο. Χαλκοῦ ἄνθος τρίψας μέλιτι διεῖναι καὶ [8] προστιθέναι.

31. Si uterus genituram non retineat, plumbo et lapide, qui ferrum attrahit, tenuiter tritis, linteo illigatis, muliebri lacti intinctis in subdititio utitor. — Aliud. Aeris florem tritum, melle subactum subdito.

λβ'. Ὅταν αἱ μῆτραι τοῦ ἀνδρὸς τὴν γονὴν ἐξερεύγωνται τρίτῃ ἡμέρῃ, πᾶσα ἀνάγκη τῆς γυναικὸς, ἢν ταῦτα πάσχῃ, πώρου πεπληρωμένας εἶναι τὰς μήτρας, καὶ οὐ δύναται τοῦ ἀνδρὸς ἡ γονὴ ἐμμένειν ἐν τῇσι μήτρῃσι, ἀλλὰ [9] ἀποκλείεται, καὶ διὰ τοῦτο οὐ δύναται [10] κυῆσαι, ἕως ἂν ὁ πῶρος [11] ἐνῇ ἐν τῇσι μήτρῃσι. Τοῦ δὲ πώρου ἥδε ἡ ἐξέλασις· πτερὰ λαβὼν ὡς ἐλάχιστα καὶ μαλθακώτατα, ξυνδήσας ὁμοῦ, τούτοισι ἐπαλείφειν τὰς μήτρας, ὡς τοὺς ὀφθαλμοὺς ἐπαλείφουσι, ὁμαλύνας τὰ πτερὰ, [12] ῥάμματι ὡς λεπτοτάτῳ καταδήσας τὰ ἄκρα· εἶτα ῥοδίνῳ πολλῷ χρίσας αὐτὰ, ὑπτίην κατακλίνας ὑπὸ τὴν ὀσφὺν μέσην ὑποθεῖναι προσκεφάλαιον, [13] καὶ προσθεῖναι τὴν μήλην τὰ σκέλεα τανύ-

32. Cum uterus viri genituram tertio die reiectarit, mulieris uterum, ubi haec accidunt, callosa duritie plenum esse omnino necesse est, neque viri genitura in utero manere potest, sed excluditur; quas ob causas, quoad callosa durities in utero insit, concipere nequit. Quae sic educitur: pennas minutissimas et mollissimas sumito, quibus simul colligatis uterum, velut oculos illinunt, inungito pennis exaequatis et extrema parte filo tenuissimo inter se colligatis, deinde copioso rosaceo inunctis supinae mulieri reclinatae ad medios lumbos pulvino substrato, specillum immittito mulieris cruribus distentis et huc et illuc diductis; specillum autem sursum ac deorsum, donec callus promineat, obvertito. Quem cum in uteri ore conspe-

[1] ἄλλο om. et sic deinceps locis singulis. — [2] ἔχῃ. — [3] ἐν ὕδατι. — [4] ἔκλεικτον — λειότατον om. — [5] ἐν οἴνῳ. — [6] λίθον. — [7] ταῦτα τρίψας. [8] προστιθέναι τοῦτο. — [9] ἀποκλύεται. — [10] κυῆσαι οὐδὲ μυκῆσαι. — [11] ἦ. — [12] ῥάμματι. — [13] ὑποθεῖναι sine καί.

rest.; — ἐνεψήσας C. Littr.; — ῥυφῆν K., ῥυφεῖν Ald., codd. 5., ῥοφεῖν vulg. Cornarium offendit ὑπόστασις γάλακτος; quare ἐπίστασιν legit; nemo, quod sciam, eum secutus est, neque ego illum sequor; in lacte acescente omnino ὑπόστασις oritur.

ἄλλο — διδόναι.] ἄλλο mss. 5., Littr.; vulgo om.; — ἢ — λειότατον om. K.; — ἔχει vulg., ἔχῃ Littr. e Parr. 7., ἔχῃς de meo.

ἄλλο. δάφνης — διδόναι.] ἄλλο mss. 4., Littr., vulgo om.; — καὶ μέλιτι ταῦτα ὁμοῦ (ἐς τωὐτό pro ὁμοῦ C.) πάντα μίξας (ξυμμίξας C.) καὶ τρίψας ἐκλ. διδ. vulgo. Reiicio ταῦτα ὁμοῦ πάντα et καὶ τρίψας, quae otiosa et inepta sunt.

ἄλλο σταφ. — διδόναι.] ἄλλο mss. 7., vulg. om.

31. ἢν — χρήσθω.] ἢν γ. μὴ κ. C.; — μόλιβδον codd. 4., μόλυβδον vulg.; — ἢ pro ἥτις C.; — καί ante ἐς γάλα om. idem; — ἐμβάψας ceteri.

ἄλλο — προστιθέναι.] ἄλλο C. D. J. Littr., ἄλλο ὁμοίως H. I.; ἄλλο om. vulg.; — ceteri τοῦτο post προστιθέναι, equidem otiosum pronomen delevi.

32. ὅταν — μήτρῃσι.] πᾶσα ἀν. omm. J. K.; — ταύτη pro ταῦτα J.; — πλέας C., πεπληρωμένας vulgo; — ἀλλὰ — μήτρῃσι om. G.; — διὰ τοῦτο om. J., τούτων vulg., τοῦτο D. H. I. K. Littr. — Post κυῆσαι ferunt οὐδὲ μυκῆσαι, uti V., D. F. H. I. J. Q.', οὐδὲ μὴ κύσαι K., οὐδὲ μὴ κυήσῃ C.; — ἕως οὗ codd. nonnulli; — ἦ pro ἐνῇ codd. quinque. — Foës. e Vatt. adnotat οὐδὲ μὴν κυήσει ἕως ἂν ὁ πῶρος ἐνῇ ἐν τῇσι μήτρῃσι.

τοῦ δὲ πώρου — ἀνδρί.] ἥδε om. K.: — ἅμματι vulgo, ῥάμματι Vatt. Foësii, C. Voss.; — ἐπὶ τὰ ἄκρα Vatt. Foësii, C.; — εἶτα om. idem; — χρίσας τὰ πτερά C.; — ὑποθεῖναι τὴν μήλην vulg. sine καί, quod de meo adscripsi, προσθεῖναι cum Littréo e Vatt. Foësii, C. recipiens. Porro

σας τῆς γυναικὸς, καὶ διαστήσας τὸ μὲν ἔνθεν τὸ δὲ ἔνθεν· ἀναστρέφειν δ' ἄνω καὶ κάτω τὴν μήλην, ἕως ἂν προκύψῃ ὁ πῶρος· ἐπὴν δὲ [1] ἴδῃς ἐν τῷ στόματι τῆς μήτρης, [2] ἢν μὲν μὴ προσίσχηται τῷ ἰσχίῳ καὶ ἐθέλῃ ἐπακολουθῆσαι, πάντων ἄριστον· ἢν δὲ [3] ἐνέχηται ἐν τῷ στόματι τῆς μήτρης, λαβίδι ὡς λεπτοτάτῃ προμηθευόμενος ἐξελκύσαι ἡσυχῇ καὶ μὴ βιαίως, καὶ μετὰ ταῦτα ξυγκοιμάσθω τῷ ἀνδρί.

xeris, si quidem ad coxendicem non adhaerescat, sed ultro sequatur, omnium est optimum. Quodsi is in uteri ore inhaerescat, volsella tenuissima apprehensum, ut leniter et citra vim extrahas prospicito; quo facto cum viro dormiat.

λγ'. Ἢν κυούσῃ αἷμα ἐπιφαίνηται, ὀνίδα ξηρὴν, [4] μίλτον, ὄστρακον σηπίης τρίψας λεῖα, ἐς ῥάκος ἀποδήσας προστιθέναι. — Ἄλλο. Γλυκυσίδης τοὺς μέλανας [5] κόκκους τρίβων ἐν οἴνῳ διδόναι [6] πιεῖν κεκρημένῳ.

33. Si praegnanti sanguis appareat, stercus asininum, minium, sepiae testam tenuiter trita in linteo ligata supponito. — Aliud. Paeoniae grana nigra trita ex vino aqua temperato propinato.

ἢν μὲν — οὕτως.] Vulgo: ἢν μὲν οὖν ἤδη τεθνηκὸς ἔξω γένηται, τοῦτο προσημαίνει; in quibus γίνηται Ald., mss. multa Parr.; — προσημαίνειν C., Parr. 6. alii; — at inde nihil proficis; quare de coniectura vocabula transposui τοῦτο abiiciens; — ἐπιτοπουλύ Ionice Littr. e Parr. nonnullis; — κίνδυνος καί sine δέ C., alii Parr. 4.; — οὗτος D. bis, οὕτως J.

3. ἔνιαι — τόκῳ.] λόχια vulg., λοχεῖα nonnulli Parr.; — πρὸ — λόχεια om. Par. unus; — ἀφιᾶσιν (ἀφιᾶσιν omm. mss. 8. Littréi; in quorum uno rest. al. m.) (ὥστε addunt mss. 6.) ἀναγκαῖον δὲ (δέ omm. mss. 2., οὖν pro δέ C., Vatt. Foësii) γινώσκειν (γινώσκω H. bis, γινώσκειν omm. C., alii Parr. 6., Vatt. Foës.) εἶναι τὴν ὠδῖνα ξηρὰν (τὴν ὠδῖνα ξηρὰν ἀνιέναι C., Parr. 6. alii, Vatt. Foës.) καὶ ἐπίπονον vulg.; textum descripsi, quemadmodum Littr. — Deinde ὅσαις F.; — καθαίρονται nonnulli codd. pro προκαθαίρονται, unus καθαίρωνται; — ἀπαλλάσσουσιν J. bis, Littr., per ττ vulg.

4. ἀνασείειν — ἰέναι.] De eodem argumento cf. lib. I. de

σαντα ἀνακλῖναι τὴν γυναῖκα καὶ ἑτέρην [1] ἐπιβαλεῖν, ὅκως ἂν τὸ αἰδοῖον κεκρυμμένον ᾖ, καὶ περικαλύψαι περὶ ἑκάτερον τὸ σκέλος τὴν σινδόνα καὶ περὶ ἑκάτερον τὸ γυῖον· γυναῖκας [2] δὲ δύο λαβέσθαι τοῦ σκέλεος ἑκατέρου καὶ τῆς χειρὸς ἑκατέρης [3] ἑτέρας γυναῖκας δύο· ἔπειτα διασείειν λαβούσας ἐγκρατέως, μὴ ἔλασσον ἢ δεκάκις· ἔπειτα δὲ ἐς κλίνην ἀνακλῖναι τὴν γυναῖκα ἐπὶ κεφαλήν· τὰ δὲ σκέλεα ἄνω ἔχειν καὶ τὰς γυναῖκας [4] πάσας λαβέσθαι [5] τῶν σκελέων, ἀφείσας τὰς χεῖρας· ἔπειτα [6] σείειν ἐπὶ τοὺς ὤμους καὶ πολλάκις ἀναβολὰς ποιέεσθαι ἐπὶ τὴν κλίνην, ὅκως ἐς τὴν εὐρυχωρίην ἐπανασεισθὲν τὸ ἔμβρυον στραφῇ καὶ δύνηται [7] ἐπὶ φύσιν ἰέναι. Καὶ ἢν ἔχῃς δίκταμνον Κρητικὸν, μεταπῖσαι· εἰ δὲ μὴ, κάστορος ἐνεψῆσαι [8] οἴνῳ Χίῳ.

ε΄. Ἢν δὲ αἱ ὑστέραι ἔξω χωρέωσι, ἤν τε ἐκ [9] πόνου, ἤν τε ἐκ τόκου, ἢν μὲν παραλάβῃς νέας, ἄξιον ἐπιχειρεῖν· εἰ δὲ μὴ, [10] ἐᾶν. Ἐπιχειρεῖν δὲ χρὴ ὧδε· ἐπιταμὼν τὸν ὑμένα τῆς ὑστέρης κατὰ φύσιν καὶ κατὰ πλάγιον, τρῖψαι ὀθονίῳ ὡς φλεγμαίνῃ, [11] κᾆτα ἀλείψας [12] φώκης ἐλαίῳ ἢ πίσσῃ, ... καταπλάσας [13] ἅμα κυτίνοισι καὶ μαλθακοὺς σπόγγους οἴνῳ ῥήνας, προσθεὶς, ἀναδῆσαι ἐκ τῶν

tenui linteo substrato mulier reclinanda, alio superiniecto, quo pudendum obveletur et utrumque crus tenui linteo circumtegendum et utraque manus. Duae autem mulieres utrumque crus apprehendant aliaeque duae utramque manum; deinde ipsam valide correptam non minus quam decies concutiant. Postea vero mulier in lectum reclinetur, ita ut caput deorsum, crura autem sursum habeat, et mulieres omnes dimissis manibus crura apprehendant, dein in humeros eam concutiant et saepe moram interponant in lectum (reclinata muliere), ut in ampliorem locum concussus foetus convertatur et naturaliter prodire possit. Quodsi dictamnum Creticum ad manum habeas, ipsum propinato, sin minus, castoreum vino Chio incoctum.

5. Si vero uterus sive ex labore, sive ex partu foras prodierit, si quidem recens malo affectae tibi in manus venerint, operae pretium est manum operi admovere; sin minus, eas sibi permittere oportet. Hoc autem modo rem aggredi oportet: uteri tunica secundum eius habitum naturalem et oblique incisa, linteo confricanda ut inflammationem concipiat, et illito phocae oleo aut pice . . . . simul mali punici

[1] ἐπιβάλλειν σινδόνα. — [2] δὲ χρὴ δύο. — [3] ἑτέρας om. — [4] πάσας om. — [5] τοῖν σκελοῖν. — [6] σείειν τὰς γυναῖκας ἐπὶ τοὺς ὤμους πολλάκις καὶ ποιεῖν ἀναβ. — [7] κατὰ φ. — [8] τῷ ἰσοχίῳ. — [9] τόνου. — [10] ζῆν. — [11] κατά. — [12] φώκης ἐμπύῳ ἢ π. — [13] ἢ κυτίοισι.

mm. mull. § 68.; — δὲ δεῖ (χρή V.) ὧδε vulg., sed δεῖ omisi cum C. J.; — ὑποστορέσασαν vulg., ὑποστορέσαν C., pro quo ὑποστορέσαντα Littr. de suo. — Pro ἐπιβαλεῖν Par. unus ἐπιβάλλουσαν, ἐπιβάλλειν C. et alii. 6. Parr.; — ante ὅκως inferunt σινδόνα Parr. 3.; — αὐτῆς τὸ αἰδ. vulg., αὐτῆς om. Littr. cum Parr. aliis 4. et C.; — περὶ ἑκατέρου om. Par. unus. — Porro γυναῖκας δὲ χρὴ δύο Parr. 7., δὲ δύο χρή C.; ἑτέρας om. C. cum aliis 7. Parr.; — ἐγκρατέως Ionice C. H. bis, Littr.; — ἔπειτα δὲ κλ. sine δέ Parr. 7.; — ἐπὶ κεφαλῆς Parr. 2.; — τὰ σκέλεα sine δέ D.; — πάσας omm. Parr. 6.; — ἀφείσας δὲ τὰς χεῖρας C., alii Parr. 5., Littr. — Quae dein sequuntur Littr. sic exhibuit: ἔπειτα σείειν πολλάκις ποιεῖν τὰς γυναῖκας ἐπὶ τοὺς ὤμους. ἀναβολὰς ἐπὶ τὴν κλίνην, ὅκως κ. τ. λ. Excerpo varr. lectt.: σείειν πολλάκις καὶ ποιεῖν ἀναβολὰς ἐπὶ τὴν κλίνην Q.'; — ἰσχυρῶς pro πολλάκις ποιέειν libri Parr. 10., in quorum una vulgata rest., et Q.'; — πολλάκις ποιέειν omm. C. Parr. alii 5.; — post ὤμους addunt πολλάκις C., Parr. alii 5.; — καὶ (καί om. K. bis) ποιεῖν ·καὶ ποιεῖν omm. C. et Parr. 7., in quorum uno rest.) ἀναβολάς vulg.; — post ἀναβολάς al. m. πολλάκις H.; — tum κατά pro ἐπί Parr. 6. — Videbis me vulgatam: ἔπειτα σείειν πολλάκις ποιεῖν τὰς γυναῖκας ἐπὶ τοὺς ὤμους καὶ ποιεῖν ἀναβολὰς ἐπὶ τὴν κλίνην ita secutum esse, ut ποιεῖν τὰς γυναῖκας pro emblemate alieno reiicerem, et πολλάκις referrem ad ἀναβολὰς ποιέεσθαι, non ποιέειν. Neque Corn., neque Foës., neque Littr. illud ἀναβολάς ποιεῖσθαι, *moram interponere*, recte intellexerunt; Foës. in adn. meminit quidem verae significationis, sed eam repudiat tamen. Iam vero omnia in tuto esse arbitror.

καὶ ἢν — Χίῳ.] μεταπῖσαι δός vulg., sed δός recte omm. C., alii 7. Parr.; — κάστορας vulg., Littr. e libris multis emendavit; — συνεψῆσαι codd. 7.; — ἐγξύσαι Corn. Pro οἴνῳ Χίῳ non pauci codd. ἰσοχόῳ et ἰσοχίῳ.

5. ἢν δὲ — ἐᾶν.] ἢν δὲ καὶ αἱ D.; — ἐάν τε bis vulg.; — κἄν τε bis edd. antt., mss. 7. Parr.. ἤν τε utroque loco C., Parr. 5. alii, Q.', Littr.; — ἤν τε ἐκ πόνου, ἤν τε καὶ ἐκ τόκου Par. unus; ἤν τε ἐκ τόκου. ἢν τε ἐκ πόνου alius; — ἢν μὲν οὖν vulg., οὖν omm. Parr. 2., uti V.; — ἢν μὲν ἄν C., Parr. alii 5., Q.'; — νέας vulg., νεωστὶ παθούσας Parr. 7., Q.', Littr.; puto νεωστὶ παθούσας glossam, νέας antiquam lectionem esse; — ἐῆν C., alii Parr. 7., Littréus, cf. lect. V.

ἐπιχειρεῖν — μέτρια.] ποιέειν pro ἐπιχειρεῖν C., Parr. 6. alii et Littr.; — ἀποταμὼν δὴ τόν Par. unus; — φλεγμήνῃ D. H. K.; — καὶ (καί omm. Ald., Parr. 13.) καταλείψας (κατα ἀλείψας Parr. 2., κᾆτα ἀλείψας Parr. 4., Littr.) vulg.; — ἢ κυτίνοισι, sed ἅμα Littréo praebuerunt Parr. 7., in quorum uno ἤ rest. al. m., et codd. apud Foës.; — qui

ὤμων· καὶ ἀνακείσθω ὡς ἀνωτάτω [1] τὰ σκέλεα ἔχουσα· ἐσθιέτω δὲ σιτία μέτρια.

floribus in cataplasmate adhibitis mollibusque spongiis vino respersis appositis in subdititiis, ex humeris deligato; mulierque quam maxime excitatis cruribus decumbat, et moderatis cibis vescatur.

[1] ἔχουσα τὰ σκ.

scribit quaedam mss. ferre ἅμα κινῆσαι post καταπλάσας; — μαλακούς C.; — ἐν οἴνῳ vulg., sed ἐν om. Littr. cum C. et aliis Parr. sex; — ῥάνας Parr. 7., Q.' — Profecto vere Littr. animadvertit sibi aliquid periisse videri, quod ad uteri repositionem in locum suum spectaverit; lacunam notavi, ubi olim talia scripta fuisse coniicio.



ΠΕΡΙ ΓΥΝΑΙΚΕΙΗΣ ΦΥΣΙΟΣ.

ΑΠΟΣΠΑΣΜΑΤΑ, ΩΝ ΤΑ ΠΛΕΙΣΤΑ ΕΝ ΤΩΙ ΠΡΩΤΩΙ ΚΑΙ ΔΕΥΤΕΡΩΙ ΠΕΡΙ ΓΥΝΑΙΚΕΙΩΝ ΓΕΓΡΑΠΤΑΙ.

DE NATURA MULIEBRI.

FRAGMENTA, QUAE MAXIMAM PARTEM IN PRIMO ET SECUNDO LIBRO DE MORBIS MULIERUM SUNT DESCRIPTA.

ΠΕΡΙ ΓΥΝΑΙΚΕΙΗΣ ΦΥΣΙΟΣ.

α'. Περὶ δὲ [1] τῆς γυναικείης φύσιος καὶ νοσημάτων τάδε λέγω· μάλιστα μὲν τὸ θεῖον αἴτιον εἶναι· ἔπειτα [2] δὲ τὰς φύσιας τῶν γυναικῶν καὶ τὰς χροιάς· [3] αἱ μὲν γὰρ ὑπέρλευκοι, ὑγρότεραί τε καὶ ῥοωδέστεραι, αἱ δὲ μέλαιναι, σκληρότεραί [4] τε καὶ [5] στριφνότεραι, αἱ δὲ οἰνωπαὶ μέσον τι ἀμφοτέρων ἔχουσι. Οὕτω δὲ καὶ περὶ τῶν ἡλικιῶν ξυμβαίνει· αἱ μὲν νέαι ὑγρότεραι καὶ πολύαιμοι ὡς ἐπιτοπουλὺ, αἱ δὲ [6] πρεσβύτιδες ξηρότεραι καὶ ὀλίγαιμοι, αἱ δὲ μέσαι μέσον τι ἀμφοτέρων ἔχουσι. Δεῖ δὲ τὸν ὀρθῶς ταῦτα χειρίζοντα πρῶτον μὲν ἐκ τῶν θείων ἄρχεσθαι, ἔπειτα διαγιγνώσκειν τάς τε φύσιας τῶν γυναικῶν καὶ τὰς ἡλικίας, καὶ τὰς ὥρας καὶ τοὺς τόπους· οἱ μὲν γὰρ τῶν τόπων ψυχροὶ, ὑγροὶ καὶ ῥοώδεες, οἵ [7] δὲ θερμοὶ, ξηροὶ καὶ στάσιμοί εἰσι. Ἄρχομαι δὲ διδάσκειν ἀπὸ τοῦ ὑγροῦ κατὰ φύσιν.

β'. Ἢν ὕδερος ἐν τῇσι μήτρῃσι ἐγγένηται, τὰ ἐπιμήνια ἐλάσσω καὶ κακίω [8] γίγνεται,

DE NATURA MULIEBRI.

1. De natura muliebri et morbis ista mihi dicenda sunt: Potissimum quidem causam esse divinum numen, deinde mulierum naturas et colores. Quae enim admodum albae sunt, humidiores et ad fluxionem magis comparatae, nigrae vero duriores et adstrictiores. Quae ad vini colorem vergunt, medium quid inter utrasque habent. Ad eundem etiam modum in aetatibus res se habet; iuvenes quidem humidiores sunt, fereque copioso sanguine abundant, seniores vero sicciores paucoque sanguine redundantes, mediae medium quid inter utrasque habent. Eum autem, qui ista probe tractare volet, primum quidem a divino numine initium sumere oportet, postea tum mulierum naturas dignoscere, tum aetates et anni tempestates et loca. Frigida enim loca, humida et ad fluxionem comparata sunt, calida vero, sicca et quieta. Doctrinae autem initium a suapte natura humido faciendum est.

2. Si hydrops in utero oboriatur, menses pauciores et deteriores fiunt, deinde derepente

[1] τῆς om. — [2] δέ abest. — [3] αἱ abest. — [4] τε omittitur. — [5] στρυφνότεραι. — [6] πρεσβύτεραι. — [7] δὲ γε θ. — [8] γένηται.

1. περὶ δὲ — ἔχουσι.] τόδε λέγω cod. θ.; — ceteri: μάλιστα μὲν τὸ θεῖον ἐν τοῖσι ἀνθρώποισι αἴτιον εἶναι, sed ego illud ἐν τοῖσι ἀνθρώποισι pro emblemate alieno reiiciendum putavi. — Dein vulgo ἔπειτα αἱ φύσιες τῶν γυναικῶν καὶ χροιαί vulgo; quod incongruum, quare item de meo mutavi; — λευκαί C., ὑπέρλευκαι G.; — ξηρότεραι pro σκληρότεραι H. L. θ. Lind., lib. II. de m. mul. § 3. — Littr. ex C. θ. τε recepit, ubi vulgo abest, cf. lectt. Voss.; — tum στρυφνότεραι vulgo, sed I. recte στριφνότεραι; cod. vero θ. fert στριφρότεραι i. e. στιφρότεραι, quod item rectum. — Advertit feminini forma οἰνωπαί, quae recentioribus tantum usurpata; sed si conferas lib. II. de m. mull. § 3. principio capituli, unde haec ducta esse videntur, apparet ibi οἰνωποί femininum esse. Noster autem de nat. mul. liber recens est et magnam partem ex lib. I. et II. de morbis mulierum desumptus.

οὕτω — ἔχουσι.] ὧδε περὶ τῶν ἡλ. C. θ.; — δή J.: — αἱ μὲν [γάρ] Lind.; — ὀλιγόαιμοι C.; — μέσον τι ἐξ ἀμφ. aliquot mss.

δεῖ δὲ — εἰσί.] Pro χειρίζοντα loco l. e lib. II. de m. mull. legitur διαχειριούμενον; — ἔπειτα [δὲ] διαγιν. Lind.; — καὶ τοὺς τόπους οὗ (ὅπου Voss.) ἂν ᾖ ceteri, sed mihi οὗ ἂν ᾖ additamentum alienum esse videtur; — τῶν τόπων omm. C. θ.; — ὑγροὶ καί ante ῥοώδ. cum Calvo dedi ex lib. II. l.; — ῥοώδεες Ionice ex C. Littréus; — δέ γε θερμοί vulg., sed γε omm. C. θ. Littr.

ἄρχομαι — φύσιν.] ἄρξομαι C. θ.; — διδάσκειν vulg., διδάσκων Parr. 4., θ., Littr.

2. ἢν ὕδερος — ὑδεραίνει.] τὰ δ' ἐμήνια et ἐμμήνια codd. C. θ.; — καί ante κακίω omm. C. θ., sed in illo rest. alia m., τε καί solus D.; — γένηται, uti V., edd. antt., Parr. 4.; — οἱ μαζοὶ ξηροί vulgo, pessime, στερροί dedi e lib. I. de m.

ἔπειτα ἐξαπίνης ἐκλείπει καὶ ἡ γαστὴρ ἐπανοιδέει καὶ οἱ μαζοὶ στερροὶ γίγνονται καὶ τἄλλα πονήρως ἔχει καὶ δοκέει ἐν γαστρὶ ἔχειν καὶ τούτοισι γνώσει ὅτι ὑδεραίνει. Σημαίνει δὲ καὶ ἐν τῷ στόματι τῶν ὑστερέων· [1] ψαυούσῃ γὰρ ἰσχνὸν φαίνεται. Καὶ ῥῖγος καὶ πῦρ αὐτὴν λαμβάνει· ὁκόσῳ δ' ἂν ὁ χρόνος πλείων [2] γένηται, ὀδύνη τὴν νείαιραν γαστέρα καὶ τὰς ἰξύας καὶ τοὺς κενεῶνας ἴσχει. Αὕτη ἡ νοῦσος ἐκ τρωσμοῦ μάλιστα γίγνεται, προσγίγνεται δὲ καὶ ἐξ ἄλλων. Ὁκόταν ὧδε ἔχῃ, λούειν χρὴ πολλῷ καὶ θερμῷ καὶ χλιάσματα προστιθέναι, [3] ᾗ ἂν ἡ ὀδύνη ἔχῃ· ἢν δὲ μὴ ἔχῃ, φάρμακον χρὴ πῖσαι κάτω· μετὰ δὲ τὸ φάρμακον [4] πυριῆν τῷ βολίτῳ τὰς ὑστέρας, ἔπειτα προσθεῖναι τὸ ξὺν τῇ κανθαρίδι, [5] διαλιπὼν δὲ ἡμέρας τρεῖς τὸ ξὺν τῇ χολῇ· μίαν δὲ διαλιπὼν τρεῖς ἡμέρας κλυσάτω [6] τῷ ὄξεϊ. Καὶ ἢν μὲν ἡ γαστὴρ γένηται λαπαρὴ καὶ οἱ πυρετοὶ πεπαυμένοι ἔωσι καὶ τὰ ἐπιμήνια [7] ἐπιγένηται, τῷ ἀνδρὶ ξυγκοιμάσθω· ἢν δὲ μή, αὖθις τὰ αὐτὰ ποιέειν, ἔστ' ἂν γένηται τὰ ἐπιμήνια, καὶ προσθέτοισι χρήσθω· τὰς μεταξὺ δὲ ἡμέρας πινέτω τοῦ κρήθμου τὸν φλοιὸν καὶ γλυκυσίδης τοὺς μέλανας κόκκους καὶ τῆς ἀκτῆς τὸν καρπὸν ἐν οἴνῳ νῆστις καὶ τὴν λινόζωστιν ἐσθιέτω ὡς πλείστην καὶ σκόροδα ἑφθὰ καὶ ὠμὰ καὶ τοῖσι ὄψοισι μαλθακοῖσι [8] χρήσθω,

deficiunt, venter intumescit, mammae siccae evadunt et in reliquis male habet, sibique utero gestare videtur, ex quibus eam aqua intercute laborare cognoscas. Quin et ex uteri osculo indicium sumitur; ad tactum enim gracile deprehenditur. Et febris ac rigor ipsam invadit; quoque longius tempus processerit, dolor imum ventrem, lumbos et laterum inanitatem detinet. Hic morbus ex abortione praecipue oritur, et ex aliis etiam accidit. Cum sic habuerit, calida multa lavare et tepefacientia admovere oportet ad locum ubi dolet; sin dolor non sit, medicamentum deorsum purgans propinare. Post medicamentum vero utero fomentum ex stercore bubulo admoveto, deinde quod ex cantharide paratur in subdititio apponito; tribus vero diebus intermissis, id quod ex felle conficitur. Uno autem die intermisso per tres dies infusum ex aceto adhibeat. Et si quidem venter mollis evadat et febres cessent, ac menses suboriantur, cum viro dormiat. Sin minus, eadem rursus facito, quoad menses decurrant, et subdititiis utatur; diebus vero intermediis crethmi corticem et paeoniae grana nigra et sambuci fructum ex vino ieiuna bibat, plurimamque mercurialem atque allia cocta et cruda edat et opsoniis mollibus utatur, polypis aliisque mollibus. Quodsi pepererit, convalescit.

[1] ψαύουσι. — [2] γένηται. — [3] ᾗ ἂν ὀδύνη μὴ ἔχῃ. — [4] πυριῆν τὴν ἐν τῷ β. — [5] διαλιπὼν — χολῇ om. — [6] ἐν τῷ ὄξεϊ. — [7] γένηται. — [8] χρήσθω om.

mull. § 59.; — καί ante τἄλλα om. Lind.; — ἔχει om. θ. — Pro τἄλλα lib. l. τὸ γάλα legitur.

σημαίνει — φαίνεται.] σώματι C. θ. pro στόματι; — vulgo ψαύουσι, sed ψαυούσῃ dedit Littr. e lib. I. de m, mull. § 59.; consentio.

καὶ πῦρ — ἴσχει.] γένηται vulg. et lib. I. de m. mul., γίνηται C. θ. Littr.; — νειαίρην C. D., νείαιραν H. C., νειαίραν vulg.

αὕτη — τῷ ὄξεϊ.] προσγίνεται om. C., γίνεται pro προσγίνεται cod. θ.; — πολλῷ θερμῷ cod. θ., sine καί, quod de meo dedi; — ceteri omm. πολλῷ, sed cf. lib. I. de m. mull.; — ᾗ ἂν ἡ ὀδύνη μὴ ἔχῃ vulgo; Littr. suppressit μή collato loco ex lib. I. de m. mull., § 59., quem si conferas et ad asyndeton φάρμακον χρὴ πῖσαι κάτω in vulgata h. l. mentem advertas, videbis scriptum fuisse ᾗ ἂν ἡ ὀδύνη ἔχῃ, ἢν δὲ μὴ ἔχῃ, φάρμακον πῖσαι κάτω, quod exhibui; fieri tamen possit, ut hoc loco, uti lib. I. de mm. mull. scriptum fuerit, ἢν ἡ ὀδύνη ἔχῃ, ἢν δὲ μὴ κ. τ. λ., sed hoc incertum, quare haec non tetigi. — Lind. locos consentientes non conferens: φάρμακον [δὲ] χρή; — τὸ φάρμακον omm. C. θ.; — πυριῆν τήν libri nonnulli, sed inde natum est hoc, quod πυρίην, non πυριῆν legere sibi videbantur librarii. Iam vero legi solet πυριῆν ἐν τῷ βολβίτῳ, unde ἐν reieci; in lib. de m. mull. I. legitur τῷ ξὺν τῷ βολίτῳ; — loco autem nostro βολίτῳ C. θ. — Cod. θ. προστιθέναι fert; — σύν bis C. θ.; — [καὶ] διαλ. Lind.; — διαλιπὼν δέ C. θ. Littr., δέ om. vulg.; — κλυσάτω ἐν τῷ ὄξεϊ vulg., unde rursus redundans ἐν abieci.

καὶ ἢν μὲν — γίγνεται.] γίνηται vulg., γένηται cum Lind. scripsi; — τὰ ἔμμηνα ἐπιγένηται C. θ., unde ἐπιγένηται recepit Littréus pro vulgato simplice verbo; — συγκοιμ. C. θ.; — εἰ δὲ μή J.; — ἔστε sine ἄν C.; — καὶ ἐνίοις προσθέτοις χρήσθω ceteri; equidem ἐνίοις abiicio et προσθέτοισι scribo; χρήσθω om. C.; — τάς ante μεταξύ de meo adscripsi, cf. locum e lib. I. de mm. mull.; — μεταξὺ ἡμέρας sine δέ C. θ.; — vulgo καὶ σιτίοισι μαλθακοῖσι, sed τοῖσι pro σιτίοισι C. θ.; equidem, uti in lib. de m. mull. I., scripsi καὶ τοῖσι ὄψοισι, vide illic adnotata, — χρήσθω Foës. in adn., Lind., Littr., vulgo om., cf. lib. I. de mm. mull.; — καὶ τοῖσι πουλύποσι vulgo, ego, ut lib.

τοῖσι πουλύποσι καὶ τοῖσι ἄλλοισι [1] μαλθακοῖσι· ἢν δὲ τέκῃ, ὑγιὴς γίγνεται.

γ'. Ἢν αἱ μῆτραι πρὸς τὸ ἧπαρ ἔλθωσι, ἄφωνος ἐξαπίνης γίγνεται καὶ τοὺς ὀδόντας ξυνερείδει καὶ [2] ἡ χροιὴ μέλαινα γίγνεται· ἐξαπίνης δὲ ταῦτα πάσχει ὑγιὴς ἐοῦσα· γίγνεται δὲ παρθένοισι μάλιστα παλαιῇσι [3] ἐούσῃσι καὶ χήρῃσι, [4] αἳ νέαι ἐοῦσαι καὶ τοκήεσσαι χηρεύουσι. Ὁκόταν ὧδε ἔχῃ, τῇ χειρὶ [5] προώσας κάτω ἀπὸ τοῦ ἥπατος ἀποδῆσαι ταινίῃ [6] ὑπὸ τὰ ὑποχόνδρια, καὶ τὸ στόμα διοίγων οἶνον εὐωδέστατον ἐγχέαι, καὶ προσέχειν [7] πρὸς τὰς ῥῖνας καὶ ὑποθυμιῆν τὰ κακώδεα, ὑπὸ δὲ τὰς ὑστέρας τὰ εὐώδεα· ἐπὴν δὲ [8] καταφρονήσῃ, πῖσαι φάρμακον κάτω [9] καὶ μεταπῖσαι γάλα ὄνου, ἔπειτα πυριῆσαι τὰς ὑστέρας εὐώδεσι καὶ προστιθέναι [10] τὸ ξὺν τῇ βουπρήστι, τῇ δὲ ὑστεραίῃ νέτωπον· διαλιπὼν δὲ δύο ἡμέρας [11] κλύσαι τὰς ὑστέρας εὐώδεσι· τῇ δ' ὑστεραίῃ προσθεῖναι [12] τὴν γλήχωνα· διαλιπὼν δὲ μίαν ἡμέρην, θυμιῆσαι τοῖσι ἀρώμασι. Ταῦτα ποιέειν τὴν [13] χήρην, ἄριστον δ' ἐν γαστρὶ σχεῖν· τὴν δὲ παρθένον πείθειν ξυνοικῆσαι ἀνδρί· πρὸς δὲ τὰς ὑστέρας προσφέρειν μηδὲν, μηδέ τι φάρμακον πίνειν, κόνυζαν δὲ καὶ καστόριον διδόναι ἐν οἴνῳ νήστι, καὶ τὴν κεφαλὴν μὴ ἀλειφέσθω [14] τοῖσι εὐώδεσι, μηδὲ ὀσφραινέσθω.

δ'. Ἢν [15] προέλθωσι αἱ μῆτραι καὶ ἐξέλθωσι

3. Si uterus ad hepar processerit, derepente vox deficit, dentes inter se collidit, et color niger evadit. Haec autem derepente cum sana est accidunt. Hic vero affectus praecipue affligit virgines vetulas et viduas, quae iuvenes pepererunt et viduitatem experiuntur. Cum sic habuerit, manu propulsione facta deorsum ab hepate, deliga fascia sub praecordiis, oreque diducto vinum odoratissimum infunde. Naribus graveolentibus admotis suffitum parato, subter vero ad uterum odorata apponito. Ubi vero ad se redierit, medicamentum deorsum purgans propinato, posteaque lac asininum bibendum dato. Deinde admotis ad uterum fomentis odoratis, medicamentum ex bupresti in subdititio apponito, postridie vero netopum. Intermissis autem diebus duobus, uterum per odorata infusa eluito et postero die pulegium subdito. Intermisso vero die uno suffitum ex aromatis parato. Atque haec viduam facere oportet, optimum vero fuerit mulierem gravidam fieri; virgini vero ut viro iungatur persuadeto. Ad uterum vero ne quidquam admoveas, neque medicamentum bibendum praebeas, sed conyzam et castorium ex vino ieiunae exhibe. Caput odoratis ne ungatur, neque ea olfaciat.

4. Si uterus prociderit et foras prodierit, ignis

[1] μαλακοῖσι. — [2] ἡ χρούς. — [3] ἐούσῃσι om. — [4] ἤν. — [5] πρώσασα. — [6] ἢ ὑπό. — [7] πρός om. — [8] κακοφρονήσῃ. — [9] καί om. — [10] τό om. — [11] καῦσαι. — [12] τὸν γλήχονα. — [13] χήραν τὴν δὲ παρθένον omissis intermediis. — [14] τισὶν εὐώδεσι. — [15] προσέλθωσι.

de m. mul. I., καί omitto; — μαλθακοῖσι vulg., μαλαχίουσιν C.; — μαλακείοισι cod. θ., μαλακίοισι codd. nonnulli alii et Vatt. Foësii, Lind., Littr.

3. ἢν αἱ μῆτραι — χηρεύουσι.] δεύτερον ante ἤ cod. J.; — πελιδνή, πελίη pro μέλαινα C. θ., e lib. II. de morbis mull. § 19., uti opinor; — est autem operae pretium utrumque locum conferre; — γίγνεται C. bis, ubi vulg. γίνεται; — γίνεται δὲ τὸ τοιοῦτον πάθος παρθένοισι μάλιστα vulgo, sed τὸ τ. πάθος omisi cum cod. C., cod. θ. ταῦτα pro omissis illis fert. — Lind. μάλιστα [δέ] dedit; ἐούσῃσι omm. Parr. aliquot; — χήροισι C.; — ἤ pro αἵ Parr. 5., ἥν, uti V., pro eodem cod. θ.; — τοκυίεσσαι K.; — χηρεύσωσι cod. θ.

ὁκόταν ὧδε ἔχῃ — ἀρώμασι.] πρώσασα vulg., ἀπώσασα L. Lind., πρώσας Littréus conferens διάγων, quod sequitur. Vulg. ὑπὸ τοῦ ἥπατος fert. ἀπὸ τοῦ ἧπ. multi codd., Lind., Littr.; — ταινίῃ ἢ ὑπό vulg., ἤ omm. L. θ. Lind., Littr.; — ἢ καὶ τὸ στόμα διανοίγων L. Lind., e loco e lib. II. de morbis mull.; mihi in vulgato διάγων latere visum est διοίγων; — τὰ στόματα C.; — διαγαγών cod. θ.; — προσχεῖν C. θ., i. e. προσσχεῖν; — πρὸς τὰς ῥῖνας L. Lind., Littr., πρός e vulg. exciderat; — καταφρονήσῃ cod. θ., codd. Regii apud Foës., vulgatam e V. notavi; — καταφορήσῃ C., κάτω φορήσῃ L., ἐπαναφορήσῃ Lind.; — μεταπιπίσκειν C. θ.; — τὰ ξὺν τῇ β. vulgo, sed τό L., Littr.; — σύν C. θ.; — δέ post διαλιπών om. C.; — καῦσαι, uti V., Ald., Parr. nonnulli; — δ' C. D. H. θ., δέ vulg.; — τὸν γληχ. Ald. Parr. 5., θ., uti V.

ταῦτα — ὀσφραινέσθω.] ἄριστον — σχεῖν ex C. supplevit Littr., vulgo abest, Foës. e Vatt. memorat lectionem; — ἔχειν in his cod. θ. et Vatt. Foësii; — πείθειν om. C.; — ἀνδρί omm. C. θ.; — διδόναι om. θ.; — νῆστιν C. θ.; — ἀλειφέτω K.; — τισὶν εὐώδεσι vulg., τισί omm. C. θ., sed in τισίν latet τοῖσι.

4. ἢν προέλθωσι — ξυγκοιμηθῇ.] Hic locus desumptus est e lib. II. de m. mull. § 35. cf. etiam de sterilibus § 35. Ante ἤν cod. J. τρίτον fert; — προέλθωσι recte θ. Littr., vulgatam e V. notavi; — καὶ ἔλθωσιν ἔξω C. θ.; — μάλι-

ἔξω, πῦρ ἔχει μάλιστα [1] τὰ αἰδοῖα καὶ τὴν ἕδρην καὶ τὸ οὖρον στάζει κατ' ὀλίγον καὶ δάκνεται· ταῦτα πάσχει, ἢν ἐκ τόκου [2] ἐοῦσα τῷ ἀνδρὶ [3] ξυγκοιμηθῇ. Ὁκόταν δὲ οὕτως ἔχῃ, μύρτα καὶ λωτοῦ πρίσματα ἑψήσας ἐν ὕδατι, καταθεὶς [4] ἐς τὴν αἰθρίην, προσχέειν [5] ὡς ψυχρότατον πρὸς τὰ αἰδοῖα, καὶ τρίβων λεῖα προσπλάσσειν· ἔπειτα πίνουσα ὕδωρ φακῶν καὶ μέλι καὶ ὄξος, ἕως ἂν μεταρθῶσι αἱ ὑστέραι, ἐμείτω, καὶ τὴν κλίνην πρὸς ποδῶν ὑψηλοτέρην κεῖσθαι, καὶ ὑποθυμιῆν ὑπὸ τὰ αἰδοῖα τὰ κακώδεα καὶ ὑπὸ τὰς ῥῖνας τὰ εὐώδεα· σιτίοισι δὲ χρήσθω ὡς μαλθακωτάτοισι καὶ ψυχροῖσι καὶ τὸν οἶνον [6] ὑδαρέα πινέτω λευκόν· μὴ λουέσθω δὲ, μηδὲ [7] μετ' ἀνδρὸς ξυγκοιμάσθω.

pudenda praecipue et sedem occupat, urina paulatim stillat et morsum percipit. Haec accidunt si recens a partu cum viro concubuerit. Cum sic habuerit, myrti baccis et loti ramentis in aqua decoctis, ad aërem expositis, aqua quam frigidissima ad pudenda affundatur et leviter trita ex cataplasmate apponito. Deinde lenticulae decoctum, mel et acetum bibens vomat, quoad uterus locum mutaverit. Et lecto a pedibus excitato iaceat, pudendisque suffitum ex graveolentibus admoveat, naribus vero ex odoratis. Cibis autem quam mollissimis et frigidis utatur et vinum aquosum, album bibat; ne lavet, neque cum viro dormiat.

ε'. Ἢν δὲ παντάπασι ἐκ τῶν αἰδοίων ἐκπέσωσι, [8] ἐκκρήμναται ὥσπερ ὄσχη καὶ ὀδύνη λαμβάνει τὴν [9] νείαιραν γαστέρα καὶ τὰς ἰξύας, καὶ ὁκόταν [10] χρόνος ἐπιγένηται, οὐ θέλουσι ἐς χώρην ἰέναι· ἡ δὲ νοῦσος λαμβάνει ὁκόταν ἐκ τόκου [11] ἐοῦσα πονήσῃ ἢ τῷ ἀνδρὶ ἐν τοῖσι λοχείοισι ξυγκοιμηθῇ. Ὁκόταν δὲ οὕτως ἔχῃ, ψύγματα χρὴ προστιθέναι πρὸς τὰ αἰδοῖα, καὶ τὸ ἔξω ἐὸν ἀποκαθήρας, σίδην ἐν οἴνῳ μέλανι ἑψήσας, τούτῳ περιπλύ-

5. At vero si prorsus extra pudenda prociderit, velut scrotum propendet et dolor imum ventrem et lumbos prehendit progressuque temporis ad locum suum redire non vult. Morbus autem invadit, cum partui vicina gravem laborem peregerit, aut puerperii purgamentis euntibus viro condormierit. Cum sic habuerit, refrigerantibus pudendis admotis, quod foris est vino nigro, in quo malum punicum coxerit, repurgatum et ablutum intro protrudito,

αι

[1] τὰ αἰδοῖα om. — [2] ἔχουσα, — [3] μὴ ξυγκ. — [4] τὴν νείεραν sine ἐς. — [5] καί. — [6] ὑδαρέα μὴ λευκὸν πινέτω· μὴ λουέσθω δὲ. — [7] μετὰ τοῦ ἀνδρός. — [8] ἐκκρέμαται. — [9] νείαιραν. — [10] ὁ πόνος γένηται. — [11] ἐοῦσα om.

στα τὰ αἰδοῖα καί omm. C. θ.; — καὶ δάκνεται σφοδρῶς τὸ αἰδοῖον lib. II. de m. mull.; — ἐκ τόκου ἐούσης C., ἔχουσα Parr. 4., uti V.; — μὴ ξυγκοιμ. vulg., μή vero omm. H., Foës. in adn., Lind., Littr., neque habetur lib. II. de mm. mull., neque l. l. de sterilibus; repugnat sensui loci.

ὁκόταν — ξυγκοιμάσθω.] δέ omm. C. θ., qui ὧδε pro οὕτως, fortasse e lib. II. de morbis mull.; — καταθεὶς τὴν νείαιραν vulg., καὶ θεὶς ἐς τὴν αἰθρίην Lind. e lib. de mm. mull. II.; — ego textum fere descripsi, uti Littr.; sed propter structurae anacoluthiam immanem pro προσχείσθω, quod omnes ferunt, προσχέειν dedi de meo. — Vulgo καὶ ὡς ψυχρότ., sed καί omm. Ald., Parr. 5., Lind., Littr.; — καὶ ἐάν pro ἕως ἄν C.; — pro μεταρθῶσι Calvus καθαρθῶσι legit; — ὑπὸ τὰ αἰδοῖα τὰ κακώδεα, ὑπὸ δὲ τὰς ῥῖνας τὰ εὐώδεα cod. θ., (Lind. καὶ ὑπὸ τάς); — atque ita quidem fere legitur lib. II; de m. mull. et de sterill., unde locum emendandum esse Corn. et Foës. viderunt, neque ferendam vulgatam ὑπὸ τὰ αἰδοῖα τὰ εὐώδεα καὶ ὑπὸ τὰς ῥῖνας τὰ κακώδεα. — Copulam ante ὑπὸ τὰς ῥῖνας om. C.; — χρῆσθαι C. θ.; — μαλακωτάτοισι Parr. 4.; — μὴ λευκοῦ vulg., sed μή omm. θ., Foës. in adn., lib. II. de mm. mull., de sterill., Littréus. — Denique καί pro δὲ μηδέ C. θ., et κοιμάσθω iidem.

5. ἢν δὲ παντάπασι — ξυγκοιμηθῇ.] Cf. de morbis mull. II. 36. et de sterilibus § 36.; — ἐκκρημνᾶται C.; — ἐκκρίμναται cod. θ., ἐκκρέμανται Foës. in adn. e mss. regiis, D. H. Lind., ἐκκρέμαται vulg.; ἐκκρήμναται Littr.; — lib. II., de morbis mull. similis fluctuatio in librorum scriptura. Vulgo ὁ πόνος ἐγγένηται, in quibus Foës., Lind., Littr., ὁ χρόνος pro ὁ πόνος e lib. II. l. l.; equidem articulum omisi et χρόνος ἐπιγένηται e l. l. scripsi. Tum οὐκ ἐθέλουσι D.; — ἐκτοκεῦσα e codd. Vatt. adfert Foës., truncata lectio videtur esse; — πονήσῃ τὰς ὑστέρας codd. et edd., sed τὰς ὑστέρας emblema alienum est, quod repudio; πονήσῃ pro ταλαιπωρήσῃ, quod libb. l. legitur, fortasse compilatori nostro debetur; — si ὑστέρας retinere velis, saltem lacunae signa inter πονήσῃ et τὰς ὑστέρας sunt ponenda et ad l. l. recurrere oportet, ut lacuna expleatur; — λοχίῳ vulg., λοχείῳ D. al. m.; — λόχῳ, uti V., Parr. 7. et θ. Equidem familiare novi his scriptoribus τὰ λόχεια, et singulari numero ἡ λοχείη κάθαρσις, singulare sive τὸ λόχειον, sive ὁ λόχειος, quod esse deberet ῥόος, non novi. Itaque pro ἐν τῷ λοχείῳ tum h. l., tum lib. de sterill. lego plurale.

ὁκόταν — ἔα.] Post προστιθέναι Lind. παρηγορικά e lib. II. l.; — τούτῳ — μίξας omm. C. θ.; — ξυντήξας pro μίξας Lind.; — καί ante ἄνω ex C. θ. Littréus, vulgo om.; — τοὺς πόδας ἔχουσα ἐκτεινομένη omnes, sed ἔχουσα abun-

νας, εἴσω ἀπωθέειν, εἶτα μέλι καὶ ῥητίνην μίξας ἐγχεῖν· καὶ κατακείσθω ὑπτίη [1] καὶ ἄνω τοὺς πόδας ἐκτειναμένη· ἔπειτα σπόγγους ἐπιθεὶς ἀναδῆσαι ἐκ τῶν ἰξύων· ὁκόταν δὲ οὕτως ἔχῃ, σίτων μὲν ἀπεχέσθω, ποτῷ δὲ ὡς ἐλαχίστῳ χρήσθω, μέχρις ἂν ἑπτὰ ἡμέραι παρέλθωσι· καὶ ἢν μὲν οὕτως ἐθέλωσι ἐσιέναι· — ἢν δὲ μὴ, ἄκρας περιξέσας καὶ θερμήνας, περιπλύνας τε καὶ χρίσας καὶ δήσας τὴν γυναῖκα πρὸς κλίμακα, κρούειν κατὰ κεφαλῆς καὶ τῇ χειρὶ ἐσωθεῖν τὰς ὑστέρας, ἔπειτα ξυνδῆσαι αὐτῆς τὰ σκέλεα ἐπαλλὰξ, καὶ ἐᾶν ἡμέρην καὶ νύκτα οὕτω καὶ διδόναι ὀλίγον χυλὸν πτισάνης ψυχρὸν, ἄλλο δὲ μηδέν· τῇ δὲ αὔριον κατακλίνας, ἐπὶ τὸ [2] ἰσχίον σικύην προσβάλλειν ὡς μεγίστην καὶ ἐᾶν χρόνον πουλὺν [3] ἕλκειν· ἐπὴν δὲ ἀφέλῃς, μὴ ἀποσχάζειν, ἀλλὰ κατακλίνας ἔα. Καὶ μὴ πρόσφερε ἄλλο ἢ τὸν χυλὸν, ἕως ἂν ἑπτὰ ἡμέραι παρέλθωσι· ἢν δὲ διψῇ, ὕδωρ δίδου ψυχρὸν ὡς ἐλάχιστον· ἐπὴν δὲ αἱ ἑπτὰ ἡμέραι παρέλθωσι, σιτίοισι ὡς μαλθακωτάτοισι καὶ ἐλαχίστοισι [4] χρεέσθω. Ἢν δὲ ἀποπατῆσαι θέλῃ, ἀνακειμένη ἀποπατείτω, ἕως ἂν τεσσαρεσκαίδεκα ἡμέραι παρέλθωσι· ἔπειτα ἀνιστάσθω καὶ περιχωρείτω ὡς ἐλάχιστα καὶ μὴ λουέσθω [5] καὶ ὑποθυμιήσθω τοῖσι κακώδεσι καὶ ἐσθιέτω ὀλίγα.

deinde mel admixta resina infundito, supinaque sursum extentis pedibus iaceat, postea appositas spongias ex lumbis religato. Cum vero ita habuerit, cibis quidem abstineat, potu autem quam paucissimo utatur, quoad septem dies praeterierint. Et si quidem sic intro redierit, satis est; sin minus, summo utero deraso et calefacto, abluto et illito, alligata ad scalam muliere ad caput concutito et manu uterum introtrudito, postea eius cruribus alternatim simul colligatis, sic per diem et noctem sinito et paucum ptisanae succum frigidum, nihilque aliud exhibeto. Postero autem die reclinatae coxendici cucurbitulam quam maximam adhibeto multoque tempore trahere sinito. At postquam detraxeris, cutem ne pertundito, sed recumbere sinito, nihilque aliud quam succum exhibeto, quoad dies septem praeterierint. Quodsi sitiverit, aquam frigidam quam paucissimam dato. At ubi dies septem praeterierint, cibis quam mollissimis et paucissimis utatur. Quodsi alvum deiicere velit, recumbens deiiciat, quoad dies quadraginta praeterierint. Deinde surgat et quam minimum ambulet, neque lavetur, et suffitum ex graveolentibus adhibeat et parum comedat.

ϛ'. Ἢν αἱ μῆτραι ἅψωνται τοῦ ἰσχίου καὶ προσκέωνται, ἢν ἅψῃ, ὄψει σκληρόν τι ὑπὸ τὸν κενεῶνα καὶ ὀδύνη λαμβάνει τὴν [6] νείαι-

6. Si uterus coxendicem attigerit eique accumbat, si tetigeris, durum quid sub lateris inanitate deprehendes, dolor imum ventrem in-

[1] καί om. — [2] ἰσχνόν. — [3] ἕλκειν om. — [4] χρήσθω. — [5] μὴ δὲ ὑποθ. — [6] νείερων.

dat in hac lect., congruum est in lect. e lib. II. de m. mull.; — σπόγγους ἐνθείς C. θ.; — ὁκόταν ὧδε ἔχῃ C., ὁκόταν δὲ ὧδε ἔ. cod. θ.; — sequuntur hi partim lect. lib. II. l.; — χρῆσθαι μέχρι ἢν C. θ.; — καὶ εἰ μὲν ἐθέλουσι C. — Post ἐσιέναι Lind. ἅλις ἔστω supplevit ex lib. II. l., ubi tamen aposiopeseos expletio tollenda, non h. l. inferenda. — Porro εἰ δὲ μή C. θ.; — μακρὰς περιζέσας vulgo, ἀκρὰς περιξέσας cod. θ. Corn., Foës. in adn., Littr.; lib. II. l. ἄκρα περιξέσας τὰ λέγνα τῆς ὑστέρης. — Sequens τε omm. C. θ.; — post χρίσας Lind. τῇ πισσηρῇ, ut lib. II. l.; — πρὸς κλίμακα δήσας ποιήσαντας pro καὶ δ. τὴν γυν. π. κλ. C. et θ. fert ποιήσαντας post κεφαλήν. — Dein κρούειν τὴν κλίμακα κατὰ κεφαλῆς vulgo, sed τὴν κλίμακα omm. C. θ.; — κάτω τὴν κεφαλήν iidem; — τὰς ὑστέρας omm. iidem; — ἀπαλλάξ vulg., ἐπαλλάξ ex edd. antt. et mss. multis revocavit Littr.; ἐναλλάξ lib II. l. legitur; — οὕτως non pauci codd.; — ἐᾶ vulgo, ἐᾶν Lind., ἔα Parr. 5. Littr.

καὶ μὴ — χρεέσθω.] ἔστ' ἂν C. θ.; — αἱ ἑπτά Parr. 4.; χρήσθω Parr. 6. cod. θ.

ἢν δὲ — ὀλίγα.] ἐθέλῃ C.; — vulgo τεσσαράκοντα, ubi τεσσαρεσκαίδεκα l. l., tum vero ἔστ' ἂν ἐς τεσσαρεσκαίδεκα ἡμέρας περιέλθωσι cod. θ. et ἔστ' ἂν αἱ τεσσαρεσκαίδεκα ἡμέραι παρέλθωσι cod. θ.; nempe ita notatum video apud Littréum, sed alterutra lectio codici C. deberi videtur. Etiam Ald. et H. al. m. habent τεσσαρεσκαίδεκα. — Vulg. ἀνιστάτω; Ald., Parr. 7., θ., Littr. ἀνιστάσθω legunt; — μηδὲ (καὶ μή pro μηδέ C., καί pro μηδέ cod. θ. Littr.) ὑποθυμ. vulgo; — καί legendum esse loci sensus et verba libb. l. l. docent.

6. ἢν αἱ μῆτραι — τάμης.] Ante ἤν cod. J. fert τέταρτον. — Vulgo: ἢν αἱ μῆτραι ἅψωνται, πρόσκεινται καὶ ἢν ἅψῃ, ὄψει κ. τ. λ., in quibus ἀνάψεις C., sine ὄψει, quod cod. θ. etiam omittit. Sunt autem ista sensu cassa: ἅψωνται sine significatione rei, ad quam referatur, absurdum est;

ραν γαστέρα καὶ τοὺς κενεῶνας καὶ τὰς ἰξύας, καὶ ἐς τὸ σκέλος ὀδύνη ἐμπίπτει καὶ ἐκτείνειν οὐ δύνανται· πολλάκις δὲ καὶ ἐκπυΐσκονται ἔμμοτοι γενόμεναι καὶ ἀποθνήσκουσι, ἢν [1] μὴ καύσῃς ἢ τάμῃς. Ὁκόταν ὧδε ἔχῃ, φάρμακον [2] χρὴ πῖσαι κάτω καὶ λούειν [3] πολλῷ θερμῷ καὶ πυριῆν, καὶ ὁκόταν νεόλουτος ᾖ ἢ νεοπυρίητος, κελεύειν [4] παραφάσσουσαν ἀφέλκειν τὸ στόμα τῶν ὑστερέων καὶ ὑποθυμιῆν σκαμμωνίην, σμύρναν ῥόδινον περιχέων. Πινέτω δὲ γλυκυσίδης κόκκους πέντε τοὺς μέλανας, τοῦ καστορίου ξυμμίσγων ἐν οἴνῳ εὐώδεϊ καὶ κατακείσθω ἐπὶ τοῦ ὑγιέος ἰσχίου καὶ προσθέσθω βάκκαριν ἢ λευκὸν ἔλαιον πρὸς τὸ ὑγιὲς ἰσχίον καὶ ἐσθιέτω σκόροδα πλεῖστα καὶ ὠμὰ καὶ ἑφθὰ, καὶ τὸν χυλὸν ῥοφεέτω, καὶ σιτίοισι μαλθακοῖσι χρήσθω. Ἐπὴν δὲ ἡ ὀδύνη παύσηται, [5] ἀπώσεις ἐπὶ τὸ ὑγιὲς ἰσχίον· ἔπειτα πυριῆν τῷ οὔρῳ περιπάσσοντα τῆς δάφνης καὶ ἐκ τῆς πυρίης προστιθέναι τὴν κυκλάμινον· τῇ δ' ὑστεραίῃ λουσαμένη ὑποθυμιήσθω τοῖσι ἀρώμασι. Μάλιστα δὲ ἐκ ταύτης ἄτεκνοι γίγνονται.

ζ'. Ἢν ὑποπτυχθῇ τὸ στόμα τῶν μητρέων, τὰ ἐπιμήνια οὐκ ἐπιγίγνεται· ἢν δὲ γένηται, ὀλίγα καὶ πονηρά· καὶ τῷ ἀνδρὶ ὁκόταν ξυνίῃ, ἀλγέει καὶ ὀδύνη τὴν νείαιραν γαστέρα ἴσχει καὶ τὰς ἰξύας καὶ ἢν ἀφάσσῃ τῷ δακτύλῳ καὶ [6] σκέπτηται τὸ στόμα, οὐ δῆλόν

vadit et laterum mollitudinem et lumbos dolorque ad crus fertur, neque id extendere valent. Plerumque vero pus colligunt et linamentorum curatione indigent et, nisi uras aut seces, pereunt. Ubi sic habuerit, medicamentum deorsum purgans propinato, multaque calida lavato et foveto, cumque recens lota aut fota fuerit, iubeto ut quae sensim admota manu eam contrectarit, os locellorum detrahat, suffitumque ex scammonio, myrrha administrare oportet circumfuso rosaceo. Bibat autem paeoniae grana nigra quinque ex vino odorato castorio admixto et in sanam coxam recumbat, eique baccarim aut oleum album admoveat, allia plurima tum cruda tum cocta edat, succum sorbeat cibisque mollibus utatur. Ubi autem dolor sedatus fuerit, (uterum) depelles in sanam coxam, deinde ex urina lauro adspersa fomentum parato et a fomento cyclaminum adhibeto. Postero vero die lotae suffitum ex aromatis admoveto. Praecipue autem ex hoc morbo infoecundae redduntur.

7. Si uteri os complicatum fuerit, menses non oriuntur; sin oriantur, pauci sunt et vitiosi et ubi cum viro congreditur, dolet dolorque imum ventrem et lumbos detinet. Quodsi digito contrectet et perquirat osculum, non comparet. Ubi ita habuerit, fomentum ex urina

[1] μήν. — [2] χρή om. — [3] θερμῷ πολλῷ. — [4] παραπάσσουσαν. — [5] ἅπαξ ἐούσης ἐπί. — [6] σκέπηται.

consecutio ἢν ἅψωνται, πρόσκεινται ridicula. Sed lucem accipiunt e § 26. lib. II. l., quem locum si conferas, videbis quo iure haec partim expleverim, partim mutaverim. Ceterum operae pretium est totum hoc capitulum cum locis e libb. l. l. conferre, ut quomodo inde desumpta sint appareat. Porro δύναται cod. θ., — καὶ ῥεόμεναι ἀποθνήσκουσι codd.: vide varr. lectt. in adn. ad l. l. e lib. II. de m. mul.: probabile est librarios in illum locum e nostro ῥεόμεναι invexisse; sed est hoc tam incongruum, ut neque hoc loco, neque altero feram: abigo dictionem minime Graecam. Tandem τάμῃς ἢ καύσῃς J. non male.

ὁκόταν — περιχέων.] Vulgo δέ ante ὧδε, sed omisi cum Parr. 4., θ., K.; — ὧδ' C.; — ᾖ post νεοπυρ. in C. θ.; — παραπάσσουσαν vulgo; emendavit Foës. in adn. — Vulgo καὶ ὑποθυμιῆν καλωνίην (καλωνίαν C. θ.) σμύρναν ῥόδινον περιχέων (περιέχων nonnulli libri et Voss.). „On ne sait ce que signifie, inquit Littréus, cette epithète *calcnienne*." Pertinet illa καλωνίη σμύρνα ad ea, quae ἅπαξ εἰρημένα, si Dîs placet, Foës. in Oeconomiam inferre non debuerat: § 32. enim huius libri (p. 152. Littréo) legis σκαμμωνίην τρίψας, ubi καλλωνίην cod. C., καλονίην Vatt. Foës., καλων εινς cod. θ.; unde abunde constat ΚΑΛΩΝΙΗΝ nihil esse, nisi male scriptum ΣΚΑΜΩΝΙΗΝ. — Itaque reposui!

πινέτω — χρήσθω.] κατακεῖσθαι Aldus, Parr. 4., θ., κεῖσθαι C.; — προσχέσθω C.; — ἔλαιον om. θ.; — ἑφθὰ καὶ ὠμά pro πλεῖστα — ἑφθά J.; — ῥυφείτω H. I.

ἐπὴν — ἀρώμασι.] ἡ om. Ald.; — Littr. ἀπάξεις, ubi ego ἀπώσεις scripsi: ἀπάξεις est Foësii coniectura a Lind., Littréo recepta pro vulgato ἅπαξ ἐούσης, in qua tamen la-
αξ
tet dittographia ἀπώσεις. Itaque puto ἀπώσεις a manu prima, ἀπάξεις a manu secunda esse. — Dein περιπλάσσοντα cod. θ.; — δ' idem, δέ vulg.; — ὑποθυμιάσθω cod. θ.

7. ἢν ὑποπτυχθῇ — δῆλόν ἐστι.] Cf. de morbis mull. II. § 38. Ante ἢν J. πέμπτον fert; — οὐκ ἔτι γίνεται Parr. 5. et Littr., οὐκ ἐγγίνονται C., οὐκ ἔτι γίνονται D. H.; — οὐκ ἔτι ἐγγίνεται Lind.; de meo mutavi; — εἰ δέ H.; — ἐγγένηται cett., γένηται de meo; — καὶ ἡ ὀδ. cod. C.; — νειαίρην C. D. Littr.; — ἐσαφάσσῃ [τις] Lind., ἀφάσσηται D.; — τῶν δακτύλων vulg., emendavit Foës. in adn.

ἐστι. Ὁκόταν ὧδε ἔχῃ, πυριῆσθαι τῷ ἀνθρωπίνῳ οὔρῳ· ἐπὴν δὲ πυριήσηται, λουσάσθω ἀπὸ τοῦ Φακίου· ἔπειτα λουσαμένη πυριήσθω τῷ Αἰγυπτίῳ μύρῳ τὰς ὑστέρας, καὶ ἢν ἐς τὰς ῥῖνας ἀνέλθῃ ἡ ὀδμὴ, ἐλπὶς αὐτὴν ὑγιέα γενέσθαι. Καὶ ὁκόταν μέλλῃ καθεύδειν, προσθέσθω τὸ Αἰγύπτιον ἔλαιον ἐν εἰρίῳ· τῇ δὲ αὔριον σκέψασθαι [1] εἴ τι μᾶλλον ὤρθωνται· ἔπειτα πυριῆν εὐώδεσι καὶ προστιθέναι [2] ἃ μὴ δήξεται καθαρτήρια καὶ μετακλύζειν μετὰ τὰ πρόσθετα, ἴσον τὸ ὄξος μίσγων· ὅταν δὲ τὰ ἐπιμήνια γένηται, ἐκνηστεύσασα καὶ ἀλουτήσασα καὶ θυμιησαμένη τῷ ἀνδρὶ ξυνέστω. Μάλιστα δ' ἐκ ταύτης τῆς νούσου ἄφοροι γίγνονται.

η'. Ἢν αἱ μῆτραι πρὸς τὸ ἰσχίον [3] αὐανθέωσι, τά τε ἐπιμήνια οὐ γίγνεται καὶ ὀδύνη ἐς τὴν νείαιραν γαστέρα φοιτᾷ καὶ ἐς τὸν κενεῶνα καὶ ἢν ἅψῃ τῷ δακτύλῳ, ὄψει τὸ στόμα [4] πρὸς τῷ ἰσχίῳ. Ὅταν ὧδε ἔχῃ, λούειν θερμῷ, καὶ σκόροδα διδόναι ἐσθίειν ὡς πλεῖστα καὶ γάλα ὄϊος πινέτω ἄκρητον, ἐπειδὰν κατατρώξῃ· [5] ἔπειτα πυριήσας δοῦναι φάρμακον κάτω· ἐπειδὰν δὲ καθαρθῇ, αὖθις πυριῆν τὰς ὑστέρας, τὸ μάραθρον καὶ τὸ ἀψίνθιον ξυμμίσγοντα· ἐπὴν δὲ [6] νεοπυρίητος ᾖ, ἀφέλκειν τὸ στόμα τῷ δακτύλῳ· ἔπειτα προσθεῖναι τὴν σκίλλην, μετὰ δὲ τοῦτο [7] τὸ ξὺν τῷ ναρκισσίνῳ διαλιπών· ἐπὴν δέ σοι δο-

humana adhibeto et post fomentum lavet postquam lenticulae decoctum sumpserit. Deinde post lotionem unguento Aegyptio uterus foveatur. Quodsi ad nares odor pervenerit, eam sanam fore spes est. Cumque dormire volet, oleum Aegyptium ex lana in subdititio apponito. Postero vero die num magis directus (uterus) fuerit, considerato; postea odoratis foveto et purgantia, quae minime mordeant, subter apponito postque subdititia aequali aceti parte admixta eluito. Cum vero menses affuerint, ieiuna et illota post suffitum virum adeat. Ex hoc autem potissimum morbo steriles evadunt.

8. Si uterus ad coxendicem resiccatus fuerit, menses non eunt et dolor ad imum ventrem et lateris inanitatem pervenit, ac si digito contigeris, os in coxendice deprehendes. Cum ita habuerit, calida lavato et allia quam plurima comedenda dato et lac ovillum impermixtum bibat, postquam comederit; deinde fomento adhibito medicamentum deorsum purgans exhibeto. Postquam autem purgata fuerit, rursus uterum ex foeniculo et absinthio simul permixtis foveto. Ubi vero recens fota fuerit, os digito abstrahito, postea scillam in subdititio apponito et post hoc intermissione facta id, quod cum narcissino conficitur. Quodsi tibi perpurgata

[1] ἤν τε μᾶλλον. — [2] ἄν μὴ δέξηται καθαρτήριον. — [3] ἐυανθέωσι. — [4] τῷ ἐν τῷ ἰσχίῳ sine πρός. — [5] ἔπειτα om. — [6] νεοπύρητος — [7] τό om.

e ms. Regiis et Vatt.; — σκέπτηται D. K. Foës. in adn., Lind., Littr., vulgatam e V. notavi; — οὐ om. G.; — ἦσθαι pro ἔστι C., ἔσται D.

ὁκόταν ὧδε — γενέσθαι.] τῷ οὔρῳ τοῦ ἀνθρώπου C. θ., ἀνθρωπείῳ Parr. plures; — λούσασθαι C. — Ad illud λούσασθαι ἀπὸ τοῦ Φακίου cf. lib. II. l. l., unde locus desumptus est; — ἡ ὀδμὴ ἀνέλθῃ G.

καὶ ὁκόταν — ξυνέστω.] τῆς δέ C.; — ἤν τι vulg., εἴ τι Littr. de suo; — ὀρθῶνται vulg., cum Littréo sequor C.; — ἄν pro ἅ. ut V., Parr. 4.; — δήξεται C. θ. Littr., δήξηται vulg., δέξηται alii codd. — καθαρτήριον, uti V., Parr. 3., καθάρσεως C.; — τὰ πρόσθεν τὸ ἴσον C.; — ἐμμήνια C., ἔμμηνα ἐκγένηται cod. θ.; — vulgo ἐγγένηται, sed simplex γένηται dedi, uti lib. II. de mm. mull.; — καὶ ἀλουτήσασα omm. C. θ.; — συνελθέτω C.

μάλιστα — γίγνονται.] δ' C. θ., δέ vulgo; — γίνονται vulg., sed per γν C., ut saepius.

8. ἢν αἱ μῆτραι — ἰσχίῳ.] Ante ἤν J. ἕκτον fert; — ἐκθέωσι Foësii ex Erotiano emendatio est vulgati, quod e V. notavi; sed vide adnn. ad lib. II. de mm. mull. § 27. Dein ἔμμηνα C. θ., ἐπιμήνια D.; — οὐκ ἐγγίγνεται C., ἐγγιν. vulg.; — οὐ γίγνεται repono e lib. II. l. l.; sitne fortasse οὐκ ἐγγίγνεται ex οὐκ ἔτι γίγνεται natum? — ἅψει C. θ. Littr., ἀφῇ vulg., ἐσαφάσσῃ [τις] Lind.; — τῷ δακτύλῳ om. K.; — ἢ ἔψει pro ὄψει Ald., ὄψῃ Ed. Bas. θ.; — ἢ ἔψη τὸ στόμα τό pro ὄψει τὸ στ. non pauci Parr.; — πρὸς τῷ ἰσχίῳ C. θ. Littr., ἐν τῷ ἰσχ. vulg. — Cum hoc capitulo cf. § 27. lib. II. l.

ὅταν — ἀπολίπῃ.] ὁκόταν D. H.; — διδόναι σκόροδα C. θ.; — ἐσθίειν om. D.; — τρίβειν pro ἐσθίειν C.; — ἄκρητον· καὶ (καί omm. Parr. nonnulli, θ., Lind.) ἐπειδὰν δὲ (δέ omm. Parr. aliquot et θ.) κατατρώξῃ, ἄκρητον (ἄκρητον omm. C. θ.) ἔπειτα (ἄκρ. ἔπειτα omm. Parr. nonnulli) vulg.; — textum descripsi, uti Littr.; — sed si conferas locum e lib. II., videbis probabile esse in γάλα ὄϊος πινέτω ἄκρητον latere καὶ γάλα πινέτω καὶ οἶνον ἄκρητον, vel eiusmodi quid aliud; saltem in ὄϊος latere οἶνον! Vides quam belle haec inde desumpta sint! — Dein vulgo συμμίσγοντας, plures tamen libri sing. num. habent, quem cum Littr. dedi; — νεοπύρητος C.; — ἐφέλκει cod. θ.; — σκίλλην

κέῃ κεκαθάρθαι, νέτωπον προσθέσθαι· τῇ δ' ὑστεραίῃ ῥόδινον μύρον· παύσασθαι δὲ [1]προσθεμένη τῇ προτέρῃ τῶν ἐπιμηνίων· ἄρχεσθαι δὲ τῇ αὔριον, ἐπὴν ἀπολίπῃ. Ἐν δὲ τοῖσι ἐπιμηνίοισι ἢν μὲν τὸ αἷμα καταρραγῇ· εἰ δὲ μὴ, πινέτω κανθαρίδας τέσσαρας [2]ἀποκολούσασα τοὺς πόδας καὶ τὰ πτερὰ καὶ τὴν κεφαλὴν καὶ γλυκυσίδης κόκκους πέντε τοὺς μέλανας καὶ σηπίης ᾠὰ καὶ σπέρμα [3]σελίνου ὀλίγον ἐν οἴνῳ· καὶ ἢν ὀδύνη [4]ἐνῇ καὶ ἢν στραγγουρίη ἔχῃ, ἐν ὕδατι θερμῷ καθήσθω, καὶ πινέτω μελίκρητον ὑδαρές· ἢν δὲ μὴ καθαρθῇ ὑπὸ τοῦ πρώτου, αὖθις πινέτω, ἔστ' ἂν γένηται· ἐπὴν δὲ γένηται, ἀσιτήσασα ξυνέστω τῷ ἀνδρί· ἐν δὲ τῇ καθάρσι τὴν [5]λινόζωστιν ἐσθιέτω καὶ πουλύποδας [6]ἐφθοὺς καὶ σιτίοισι μαλθακοῖσι [7]χρεέσθω. Τῆς δὲ νούσου ἀπαλλάσσεται ἐὰν ἐν γαστρὶ σχῇ.

θ'. [8]Ἢν ἐκ τόκου μὴ καθαρθῇ, οἰδέει ἡ γαστὴρ καὶ τὰ σκέλεα, καὶ ῥῖγος καὶ ὀδύνη τὴν [9]νείαιραν γαστέρα καὶ τὰς ἰξύας ἔχει· ἔστι δ' ὅτε καὶ πρὸς τὰ σπλάγχνα ἀνέρχεται καὶ λιποψυχέει· ταῦτα πάσχει ἀρχομένης τῆς νούσου· ὁκόταν δὲ χρόνος γένηται, οἱ κύκλοι τοῦ προσώπου ἐξερυθριῶσι. Ὁκόταν ὧδε ἔχῃ, πυριήσας τὰς ὑστέρας προσθεῖναι τὴν κυκλάμινον· πινέτω δὲ τὸ ξὺν τῇ δᾳδὶ, ἔστ' ἂν τὸ ῥεῦμα κινηθῇ· ἐσαλείφειν δὲ ἐς τὸ στόμα τῶν ὑστερέων στέαρ χήνειον καὶ σμύρναν καὶ ῥητίνην χλιερὴν, καὶ [10]ἐμπλασσέσθω ὡς μάλιστα [11]καὶ πρὸ τοῦ σιτίου ἐσθιέτω ἕψουσα τὴν λινόζωστιν καὶ σκόροδα καὶ πράσα, καὶ

videatur, netopum subter apponito, posteroque die unguentum rosaceum. Pridie autem mensium a subdititiis cessato, postridie vero, postquam defecerint, incipito. In mensibus autem si quidem sanguis erumpat, satis est; — sin minus, cantharidas quatuor, resectis pedibus, alis et capite, bibat paeoniaeque nigra grana quinque et sepiae ova, apiique semen ex vino. Quodsi dolor et urinae stillicidium detinuerit, in calida desideat et aquam mulsam aquosam bibat. Si vero sub primum diem purgata non fuerit, rursus bibat, quoad purgatio adsit, quae ubi adfuerit, ieiuna virum adeat. In purgatione vero mercurialem edat et polypos coctos cibisque mollibus utatur. Morbo autem liberabitur, ubi conceperit.

9. Si ex partu minime purgata fuerit, venter et crura intumescunt, rigor et dolor imum ventrem et lumbos occupat, quandoque etiam ad viscera progreditur et animus deficit. His per morbi exordia afficitur, procedente vero tempore genae erubescunt. Cum ita habuerit, post fomentum utero admotum, cyclaminum in subdititio apponito. Bibat autem quod cum taeda conficitur, quoad fluxus emotus fuerit. Uteri autem ori pingue anserinum, myrrham et resinam tepidam illinito et quam maxime inducito. Ante cibum mercurialem coctam, allia et porrum edat et brassicae succum sorbeto, cibisque mollibus utatur, marinis autem potius, et calida

[1] τοῦ προσθέτειν (sic). — [2] ἀποκόψας. — [3] λίνου et ὀλίγον om. — [4] ἔχῃ — [5] λινοζώστιδα. — [6] ἐσθιέτω ἐφθούς. — [7] χρήσθω. — [8] ἐάν. — [9] νείεραν. — [10] ἐμπλαζέσθω. — [11] καί om.

C. θ., σκίλλαν vulg.; — τό post τοῦτο de meo dedi; — post διαλιπών Lind. μίην e l. l. lib. II. l.; — ἐπήν cod. θ. γῆν vulg.; — προσθέσθω C. θ.; — δὲ προσθεμένη cod. θ., Littr., δὲ τοῦ προσθετεῖν vulg (cf. lectt. V.), δὲ τοῦ προσθετοῦ D.

ἐν δὲ τοῖσι — χρεέσθω.] ἀποκολούσασα C. θ. Littr., ἀποκόψασα vulg.; — [καὶ] σπέρμα Lind. e lib. II. l. l., unde item καί recepi; — σελίνου pro vulg. λίνου ex eodem fonte Corn., alii; — ὀλίγον Vatt. Foësii, C. θ., Littr., ὀλ. om. vulg.; — μὴ ὀδύνη cod. θ.; — ἐνῇ pro vulg. ἔχῃ dedi cum Littr. ex eodem lib. II., καὶ ἢν ὀδ. καὶ στρ. ἔχῃ Lind.; — ἢν δὲ καθαρθῇ C.; — ἐν τῇ καθ. idem; — λινόζωστιν C. θ. Littr., vulg. e V. notavi; — μαλακοῖσι J.; — χρήσθω C. θ.

τῆς — σχῇ.] ἐάν vulg., ἤν C. θ. Littr.

9. ἢν ἐκ τόκου — ἐξερυθριῶσι.] Locus desumptus est e § 37. lib. I. de morbis mull., quam confer. Cod. J. ἕβδομον fert ante ἤν; — cod. θ. περὶ τῆς ἐκ τόκου μὴ καθαιρομένης καὶ θεραπεία αὐτῆς. — Porro ἔστι δὲ ὁκόταν C., ὁκότε cod. θ.; — ἀνέρχονται C.; — λειποψυχέει Parr. 4., Lind., Littr.; — ὁκόταν δὲ χρόνος ἐγγένηται ceteri, γένηται de meo; — τὰ κοῖλα — ἐξερυθριᾷ vulgo, Littr. τὰ κύλα dedit. Sed cf. adnn. § 37. lib. I. l., ubi fortasse vitium iam aderat, quo tempore noster locus inde desumptus est.

ὁκόταν ὧδε — γένηται.] ὁκόταν οὖν vulg., sed οὖν omm. C. θ. Littr.; — ἐπαλείφειν D.; — στέαρ Vatt. Foësii, C. Littr., ἔλαιον vulg.; — χλιερήν cod. θ. Littr., Ionice; — ἐμπλασσέσθω K. Littr., vulgatam e V. notavi; — Foës. adnotat Cornarium pro vulgata ἐμπλαζέσθω legisse sibi videri; —

κράμβης τὸν χυλὸν [1] ῥοφεέτω, καὶ σιτίοισι μαλθακοῖσι [2] χρεέσθω, θαλασσίοισι δὲ μᾶλλον, καὶ λουέσθω θερμῷ· τῶν δὲ λιπαρῶν καὶ τῶν γλυκέων ἀπεχέσθω, ἕως ἂν ὑγιὴς γένηται.

lavet. Pinguibus vero et dulcibus abstineat, quoad convalescat.

ι'. Ἢν αἱ μῆτραι Φλέγματος [3] ἐμπλησθῶσι, Φῦσα ἐγγίγνεται, καὶ τὰ ἐπιμήνια λευκὰ ὑπέρχεται Φλεγματώδεα· ἔστι δ' ὅτε καὶ αἷμα [4] λεπτὸν, ὑμένων ἔμπλεων· καὶ τῷ ἀνδρὶ ὑπὸ τῆς ὑγρότητος οὐκ ἐθέλει μίσγεσθαι, καὶ ὠχρὴ καὶ λεπτὴ γίγνεται. Ἐρέσθαι οὖν χρὴ αὐτὴν [5] τὸ ῥέον εἰ [6] δάκνει τε καὶ ἐξελκοῖ· καὶ ἢν μὴ [7] δάκνῃ, ἀπὸ τοῦ ἐγκεΦάλου [8] Φάναι εἶναι τὸ ῥεῦμα· ἢν δὲ δάκνῃ, ἀπὸ τῆς κοιλίης. Ἢν μὲν οὖν ἀπὸ τῆς κοιλίης ᾖ, ἐμεέτω ἀπὸ τοῦ Φακίου· ἔπειτα ἐλλεβόρῳ καθῆραι, ἔπειτα ἐς τὰς ῥῖνας ἐνεῖναι· ἐπὴν δέ σοι ἡ ἄνω κοιλίη κεκαθάρθαι δοκέῃ, Φάρμακον πῖσαι κάτω· σιτίων δὲ ἀπεχέσθω λιπαρῶν καὶ γλυκέων· τὰ δὲ δριμέα προσΦέρειν, ὡς ξύμΦορα, ἢν μὴ τὰ αἰδοῖα ἡλκωμένα ἔῃ· ψυχρὰ δὲ ἀμείνω· καὶ λουέσθω ὀλίγῳ, καὶ μὴ θερμῷ, μηδὲ τὴν κεΦαλήν· πινέτω δὲ νῆστις ὑπερικὸν, λίνου σπέρμα, ἐλελίσΦακον ἐν οἴνῳ ὑδαρεῖ· ἐπὴν δὲ παύσηται τὸ ῥεῦμα, κλύσαι τῷ χυλῷ τῶν ὀλύνθων καὶ μετακλύζειν τοῖσι στρυΦνοῖσι. Ἡ δὲ νοῦσος χαλεπή.

10. Si uterus pituita redundarit, flatus intus oritur et menses albi, pituitosi prodeunt, interdum vero etiam sanguis tenuis, pelliculis plenus, neque prae humiditate cum viro vult congredi, pallidaque et gracilis evadit. Interrogare igitur eam oportet, num quod defluit mordeat et exulceret, et si non mordeat, ex cerebro defluere asserito; sin vero mordeat, ex ventre. Si igitur ex ventre sit, ex lenticulae decocto vomat, dein veratro purgato, postea in nares indito. Ubi vero superior ventriculus tibi perpurgatus videbitur, medicamentum deorsum purgans propinato. Cibis pinguibus et dulcibus abstineat, acres vero exhibeto, ut qui conveniant, nisi pudenda exulcerata fuerint; praestant autem frigidi. Parca aqua lavet, neque calida, neque caput. Ieiuna vero hypericum, lini semen, salviam ex vino diluto bibat. Ubi autem fluxus cessarit, grossorum succo eluito, deinde acerbis. Morbus autem gravis est.

ια'. Ἢν αἱ μῆτραι [9] Φλεγμήνωσι, τὰ [10] ἐπιμήνια οὐ γίγνεται παντάπασι, ἢ πονηρὰ καὶ ὀλίγα· καὶ ὁκόταν νῆστις ᾖ, ἔμετος αὐτὴν λαμβάνει· ὁκόταν δέ τι Φάγῃ, ἐμέει τὰ σι-

11. Si uterus inflammatione laboret, menses prorsus non eunt, vel pravi et pauci, cumque ieiuna fuerit, eam vomitus prehendit, ubi vero quid ederit, cibos vomitione reiicit dolorque

[1] ῥοΦείτω. — [2] χρεέσθω etiam V. — [3] πλησθῶσι. — [4] λεπτόν. — [5] τὸν ῥόον. — [6] δάκνηται καί. — [7] δάκνηται. — [8] Φαίην. — [9] Φλεγμαίνωσι. [10] ἐπιμήνια.

περιπατείτω σίτου C. θ.; — ῥηΦεέτω C., in quo ῥυΦεέτω latet; — τῶν δὲ γλ. καὶ τῶν λιπαρῶν cod. θ.; — ἔστ' pro ἕως C.

10. ἢν — γίγνεται.] ὀγδόον J. ante ἤν; — περὶ μήτρης Φλέγματος καὶ ἐμπρήσεως καὶ θεραπείης αὐτῆς cod. θ. Dein Φλεγμήνασαι πλησθῶσι vulgo, sed Φλέγματος πλησθῶσιν Vatt. Foësii; est autem lectio § 57. lib. I. de mm. mull., ubi vide; — πλησθῶσι, uti dixi, vulgo, sed in C. eadem m. ρ̄, unde Littréus πρησθῶσι recepit; mihi lectio lib. I. sola admittenda videtur, quam video Foësium etiam Latine expressisse. Porro καὶ τὰ ἐπ. λ. ὑπέρχ. om. C.; — ἔμμηνα cod. θ.; — ἀπέρχεται vulg., ἐπέρχεται Ald., Parr. nonnulli, Lind., Littr.; puto ὑπέρχεται fuisse scriptum. Lind. [καὶ] Φλεγμ. frustra, cf. lib. I. l.; — καί ante αἷμα omm. C. θ.; — λεπτῶν C. Littr., λεπτόν vulgata, quam tangendam non esse docet locus e lib. I. l.; — ἔμπλεον vulg., ἔμπλεων Ald. Parr. plures.

ἐρέσθαι — κοιλίης.] ἐρέσθαι γοῦν αὐτὴν χρή J.; — ἢν δάκνῃ vulg., εἰ δάκνει de meo; — καὶ ἐξελκοῖ om. C.; — δάκνηται vulg., δάκνῃ C. θ. Littr.; — Φαίην. uti V., non pauci Parr.; — ἢν δὲ δάκνῃ pro vulgato εἰ δ' οὖν C. θ., Vatt. Foësii, hic ipse in adn.

ἢν μὲν οὖν — στρύΦνοισι.] δοκέῃ Ionice ex C. Littr.; — σίτων C. θ.; ἀπέχεσθαι K.; — καὶ γλυκ. om. C.; — συμΦέρει pro προσΦ. ὡς ξυμΦ. C. θ.; — ἢν δὲ τὰ ἀ. C.; — ᾖ vulg., εἴη libri scripti nonnulli, ἔῃ Lind., Littr.; — λούσθω cod. θ.; — ὀλίγῳ C. D. θ., ὀλίγον vulg.; καὶ μὴ θερμῷ C. θ., πλὴν μὴ θ. vulgata. Pro λίνου malim σελίνου.

11. ἢν αἱ μῆτραι — οἰδέουσι.] Cum hoc capitulo cf. § 61. lib. II. de mm. mull.; — ἔνατον. ἢν κ. τ. λ. J.; — περὶ Φλέγ-

τία καὶ ὀδύνη ἔχει τὴν [1] νείαιραν γαστέρα καὶ τὰς ἰξύας καὶ [2] λιποψυχίη ἴσχει· ἡ δὲ γαστὴρ ὁτὲ μὲν σκληρὴ, ὁτὲ δὲ μαλθακὴ ἐστι καὶ φυσᾶται καὶ μεγάλη γίγνεται, καὶ δοκέει ἐν γαστρὶ ἔχειν· ἣν δ' ἐσαφάσσῃς, κενεὸν γίγνεται τὸ πλήρωμα· ταύτῃ [3] μέχρι μὲν δέκα μηνῶν τὸ οἴδημα κατ' ὀλίγον αὔξεται, οἷόν περ ἐν γαστρὶ ἐχούσῃ· ἐπὴν δὲ οἱ δέκα μῆνες παρέλθωσι, ἐμπίπλαται ἡ γαστὴρ ὕδατος καὶ ὁ ὀμφαλὸς ἐξίσχει, καὶ ἢν [4] ἐσαφάσσῃς τῷ δακτύλῳ, εὑρήσεις τὸ στόμα ἰσχνὸν καὶ ξυμπεπτωκὸς τῆς μήτρης καὶ ἐπ' οὖν ἐφάνη τὰ ἐπιμήνια ὀλίγα καὶ πονηρὰ, καὶ τὰς κληῖδας καὶ τὸν τράχηλον λεπτύνεται, καὶ οἱ πόδες οἰδέουσι. [5] Ὁκόταν ὧδε ἔχῃ, φάρμακον πῖσαι κάτω, καὶ προστιθέναι πρὸς τὰς ὑστέρας ὁκόσα καθαίρει μὴ δάκνοντα, καὶ μετὰ τὴν πρόσθεσιν κλύζειν τὰς ὑστέρας, ἴσον τὸ ὄξος μίσγων ὀξύτατον· καὶ τὴν λινόζωστιν ἐσθιέτω καὶ τὸν χυλὸν ἐπιβάλλουσα ἄλητον, ὁκόταν ἑφθὸν ᾖ, ῥοφεέτω. Ἡ δὲ νοῦσος ἐπικίνδυνός [6] ἐστι.

imum ventrem et lumbos detinet animique deliquium occupat. Venter autem interdum quidem durus, interdum vero mollis est, flatu distenditur et magnus evadit, seque utero gestare existimat. Quodsi attrectaris, tumor ille evanescit. Huic velut uterum gestanti tumor paulatim ad decem usque menses increscit. Cum vero praeterierint decem menses, venter aqua impletur et umbilicus exstat. Quodsi immisso digito attrectaris, os uteri gracile in seque considens deprehendes. Ubi menses comparent, pauci et pravi prodeunt, cervix et claviculae extenuantur et pedes intumescunt. Cum sic habuerit, medicamentum deorsum purgans propinato, et ad uterum quae purgent neque mordeant in subdititio apponito, post quae uterum aequali aceti acerrimi portione admixta eluito, mercurialem edat, succumque farina iniecta cum decocta fuerit, sorbeat. Hic autem morbus periculo proximus est.

ιβ'. [7] Ἐρυσίπελας ἢν ἐν τῇσι μήτρῃσι ἐγγένηται, οἴδημα γίγνεται ἀπὸ τῶν ποδῶν [8] ἀρξάμενον ἐς τὰ σκέλεα καὶ τὴν ὀσφύν· ὅσῳ δ' ἂν πλείων ὁ χρόνος [9] γένηται, οἰδέει καὶ ἡ γαστὴρ καὶ ῥῖγος καὶ πυρετὸς λαμβάνει καὶ ἀσθένεια· ὑπὸ δὲ τῆς ὀδύνης οὐ δύναται ἡσυχάζειν, ἀλλὰ ῥίπτει ἑωυτήν. Ἡ δὲ ὀδύνη ἀνέρχεται ἐκ τῆς νειαίρης γαστρὸς ἐς τὰς ἰξύας· ἔπειτα ἄνω ἔρχεται [10] ἐπὶ τὰ

